Baiter

<36636784640018

ORATORES ATTICI.

RECENSUERUNT ADNOTAVERUNT

SCHOLIA FRAGMENTA INDICEM NOMINUM ADDIDERUNT

IO. GEORGIUS BAITERUS

ET

HERMANNUS SAUPPIUS.

PARS POSTERIOR.

SCHOLIA FRAGMENTA INDICES.

TURICI

IMPENSIS S. HOEHRII.

1845—1850.

ORATORES ATTICI.

RECENSUERUNT ADNOTAVERUNT

SCHOLIA FRAGMENTA INDICEM NOMINUM ADDIDERUNT

IO. GEORGIUS BAITERUS

ET

HERMANNUS SAUPPIUS.

2

TURICI

IMPENSIS S. HOEHRII.

1850.

TYPIS ZÜRCHERI ET FURRERI.

IMMANUELI BEKKERO

D. D. D.

H. SAUPPIUS ET I. G. BAITERUS.

PARS ALTERA PRAEFATIONIS DEMOSTHENICAE.

10. GEORGIUS BAITERUS ET HERMANNUS SAUPPIUS

LECTORI.

Quod sperabamus factum iri, ut absoluto hoc oratorum graecorum volumine ea, quae singulis eius partibus editis Tibi breviter et ad tempus exposuissemus, coniungere, corrigere, augere possemus, id per varias causas, de quibus dicere molestum est, nunc praestare non potuimus. Quare iis, quae de una et viginti Demosthenis orationibus a. d. III. Kal. novembres a. MDCCCXLI. explicavimus, nunc pauca brevissime addenda sunt. Ac primum quidem indicem librorum manuscriptorum, quibus homines docti in singulis orationibus usi sint, intelligimus continuandum esse.

	F	Π	Σ	Υ	Φ	Ω	k	o	p	q	r	s	t	u	v	α^m	β^m	γ^m	δ^m	ε^m	ζ^m	η^m	ϑ^m	B	A^1	A^2	A^3	A^4	A^5	H	l	h
orat. 22.	F	.	Σ	Υ	.	Ω	k	.	.	.	r	s	t	.	v	.	β^m	.	.	ε^m	.	.	.	B	A^1	.	.	.	.	.	.	.
» 23.	F	.	Σ	Υ	.	Ω	k	.	.	.	r	s	.	.	v	.*)	.	.	.	.	.	.	.	B	A^1	.	.	.	.	.	.	.
» 24.	F	.	Σ	Υ	.	Ω	k	.	.	.	r	s	.	.	v	.	.	.	.	.	.	.	.	B	A^1	.	.	.	.	.	.	.
» 25.	F	.	Σ	Υ	.	Ω	k	.	.	.	.	.	.	.	v	.	.	.	.	.	.	.	.	B	A^1	.	.	.	A^5	.	.	.
» 26.	F	.	Σ	Υ	.	Ω	k	.	.	.	.	.	.	.	v	.	.	.	.	.	.	.	.	B	A^1	.	.	.	A^5	.	.	.
» 27.	F	.	Σ	.	.	.	.	.	.	.	r	.	.	.	.	.	.	.	.	.	.	.	.	B	A^1	.	.	.	A^5	.	.	.
» 28.	F	.	Σ	.	.	.	.	.	.	.	r	.	.	.	.	.	.	.	.	.	.	.	.	B	A^1	.	.	.	A^5	.	.	.
» 29.	F	.	Σ	.	.	.	.	.	.	.	r	.	.	.	.	.	.	.	.	.	.	.	.	B	A^1	.	.	.	.	.	.	.
» 30.	F	.	Σ	.	.	.	.	.	.	.	r	.	.	.	.	.	.	.	.	.	.	.	.	B	A^1	.	.	.	A^5	.	.	.
» 31.	F	.	Σ	.	.	.	.	.	.	.	r	.	.	.	.	.	.	.	.	.	.	.	.	B	A^1	.	.	.	A^5	.	.	.
» 32.	F	.	Σ	.	Φ	.	.	.	.	.	r	.	.	.	.	.	.	.	.	.	.	.	.	B	A^1	.	.	.	.	.	.	.
» 33.	F	.	Σ	.	Φ	.	.	.	.	.	r	.	.	.	.	.	.	.	.	.	.	.	.	B	A^1	.	.	.	.	.	.	.
» 34.	F	.	Σ	.	Φ	.	.	.	.	.	r	.	.	.	.	.	.	.	.	.	.	.	.	B	A^1	.	.	.	.	.	.	.

*) In or. 23 et 24 Lambinus unum librum α nominavit, inde ab orat. 25 varias lectiones adnotavit quidem hic illic, sed siglis librorum non additis.

orat. 35.	F	Σ		Φ			r		B	A^1		
» 36.	F	Σ		Φ			r		B	A^1		
» 37.	F	Σ		Φ			r		B	A^1		
» 38.	F	Σ		Φ			r		B	A^1		
» 39.	F	Σ		Φ			r		B	A^1*)		
» 40.	F	Σ		Φ			r		B	A^1		
» 41.	F	Σ		Φ			r		B	A^1		
» 42.	F	Σ		Φ			r		B	A^1		
» 43.	F	Σ		Φ			r		B	A^1		
» 44.	F	Σ		Φ			r		B	A^1		
» 45.	F	Σ		Φ					B			
» 46.	F	Σ		Φ					B			
» 47.	F	Σ		Φ					B	A^1**)		
» 48.	F	Σ		Φ			r		B	A^1		
» 49.	F	Σ		Φ			r		B	A^1		
» 50.	F	Σ		Φ			r		B	A^1		
» 51.	F	Σ		Φ			r		B	A^1		
» 52.	F	Σ		Φ					B			
» 53.	F	Σ		Φ			r		B	A^1		
» 54.	F	Σ		Φ		k	r		B	A^1		
» 55.	F	Σ		Φ			r		B	A^1	A^5	
» 56.	F	Σ		Φ			r		B	A^1		
» 57.	F	Σ		Φ			r		B	A^1		
» 58.	F	Σ		Φ			r		B	A^1		
» 59.	F	Σ	Υ	Φ	Ω		r	v	B			
» 60.	F	Σ	Υ	Φ	Ω		r***)	v	B		A^5	*H*
» 61.	F	Σ	Υ	Φ	Ω			v	B			
Prooemia	F†)	Σ	Υ	Φ	Ω			v	B			
Epistolae		Σ††)		Φ				t	B			

*) Desunt §§. 9–26.

**) Desinit in v. τιμωρίας §. 2. v. 5.

***) Nisi in §. 1 et 2 non commemoravit Bekkerus, ut per errorem ibi pro libro v videatur nominatus esse.

†) Inde a prooemio 48 F non commemoratur.

††) Sexta epistola in Σ deest.

Vides etiam *augustanum quintum* commemorari. De quo cum in praefationis huius parte priore nihil dixerimus, intelligendum est eum codicem, nunc monacensem 486, chartaceum, forma quadrantali, seculo XV exeunte scriptum esse perhiberi. Quae ex eo attulimus, I. I. Reiskii testimonio nituntur. Sed haec omnia non pertinent ad Libanii summaria orationibus plerisque praemissa. Nam codice Σ I. Bekkerus tantum in summario or. 4 (FΣ*Y*Ω*uv*) usus est, F versavit in plerisque (in 1. 2. 3. 5. 6. 7. 8. 10. F*Y*Ω*uv*, in 14. 24. 25. F*Yr*, in 15. F*Y*Ω*v*, in 17. F*Y*, in 18. FΩ*pov*, in 19. 20. F*Ytv*, in 23. F*Ykv*, in 59. F*rv*, in 29—36. 39—44. 47. 49—51. 53. 55—58. F, in vita Demosthenis FΩ*v*). De summariis earum orationum, quas hic non commemoravimus, iudicari non potest, cum nihil ad eas Bekkerus adnotaverit. Quae vero alterius grammatici summaria libanianis addita sunt (or. 18. 19. 20. 21. 22. 23. 24), ea Bekkerus, cum ne uno quidem loco discrepantiam aliquam adnotaverit, ad librum manuscriptum non videtur exegisse.

Ad aliud venimus. Fortasse enim fuerunt qui mirarentur, quod tot orationes uncis incluso Demosthenis nomine summi oratoris non esse, sed aut in rhetorum scholis ortas aut cum ab alio oratore scriptae ad veram causam pertinuissent Alexandriae vel Pergami ab hominibus literatis per errorem inter demosthenicas relatas esse iudicavimus. Ac saepissime hoc factum esse certa et luculenta veterum scriptorum testimonia exstant, sed rectene in expendenda singularum origine orationum egerimus apparet quaerendum esse. In qua re duo genera orationum distinguenda sunt, alterum earum, quas Demosthenis esse non posse omnes fere consentiant, alterum earum, de quibus dubitari possit. Ad prius illud pertinent oratio 7. *περὶ Ἁλοννήσου*, 10. *κατὰ Φιλίππου δ'*, 11. *πρὸς τὴν ἐπιστολὴν τὴν Φιλίππου*, 13. *περὶ συντάξεως*, 25 et 26. *κατὰ Ἀριστογείτονος α'. β'.*, 46. *κατὰ Στεφάνου β'*, 58. *κατὰ Θεοκρίνου*, 59. *κατὰ Νεαίρας*, 60. *Ἐπιτάφιος*, 61. *Ἐρωτικός*. Neque de or. 49. *πρὸς Τιμόθεον* vel de prooemiis et epistolis multi dubitabunt. Ad alterum genus retulerim, quas et I. Bekkerus et nos Demosthenis non esse existimamus, or. 42. *πρὸς Φαίνιππον* et 47. *κατὰ Εὐέργου καὶ Μνησιβούλου*, deinde quas nos primi a demosthenicis segregandas esse significavimus, or. 29. *πρὸς Ἄφοβον* (cf. A. Westermann. quaestt. demosth. 1, 3 p. 11 sqq.), 44. *πρὸς Λεωχάρη*, 45. *κατὰ Στεφάνου α'*, 51. *περὶ τοῦ στεφάνου τῆς τριηραρχίας*, denique or. 17. *περὶ τῶν πρὸς Ἀλέξανδρον συνθηκῶν*, quam cum Bekkerus suppositam esse censuisset nos Demostheni non eripiendam esse existimavimus. De his igitur, quas ad alterum genus pertinere diximus, quanquam accurate explicandum esse intelligimus, tamen neque temporis neque spatii huic praefationi concessi rationes eam quaestionem nunc institui patiuntur. Quare nunc in eo acquiescendum est, ut nisi religiose et diligenter ponderatis omnibus verborum rerumque momentis nos ne unam quidem orationem

Demostheni abiudicasse originisque illustris honore privasse asseveremus. Atque si alii nos erroris convicerint, certe hoc dubitatione effecisse videbimur, ut veritas rei penitus intelligatur. Quare hic addimus etiam de or. 56. *κατὰ Διονυσοδώρου* nobis videri dubitandum esse. Quam vero rationem criticae pertractationis nos in priore orationum demosthenicarum parte secutos esse in praefatione primi fasciculi diximus, eam etiam in reliquis orationibus tenuimus. Ac de aliorum hominum doctorum commentationibus, quibus nos qua par erat diligentia usi sumus, hoc dicendum est, C. H. Funkhaenelii androtioneam et quae ad aristocrateam adnotavit (in Zimmerm. diurn. lit. ant. 1841 p. 946 sq.) nobis ad manus fuisse, quae de timocratea exposuit (Zimmerm. annall. 1842 p. 311 sqq.), iis nos uti non potuisse. Idem symbolas criticas ad nos ipse benigne transmisit, quas in voluminibus 4 et 6 minoris editionis typis describi iussimus. Quae I. D. Riemer de aristocratea, C. L. Blume de timocratea, C. E. A. Schmidt de orationibus in Aristogitonem, A. Westermannus de orationibus adversus tutores, I. N. Schmeisser de re tutelari Atheniensium, A. Baumstark de oratione adversus Phormionem, C. D. Beels de orationibus in Stephanum, F. C. Rumpf de oratione adversus Timotheum, C. W. Fittbogen de oratione contra Neaeram (Zimmerm. diurn. scholast. 1830. II. 35 sq.) scripserunt, eorum in re critica non ita magnus usus fuit, haud exiguus vero eorum, quae C. de Boor de heredibus intestatorum apud Athenienses et de oratione Demosthenis quadragesima tertia (Hamburgi 1838) scripsit et quae de hoc libro C. F. Hermannus in Zimmerm. diurn. 1840, 2—7 et G. F. Schoemannus in diurn. lit. halens. 1840. additam. p. 530 sqq. exposuerunt.

Haec habuimus, quae de nostro opere moneremus, sed postquam Demosthenis orationes nostra cura perpolitas eruditorum iudicio existimatorum publice exposuimus, non tantum Th. Voemelius, Fr. Frankius, A. Westermannus de permultis rebus, quae ad criticam harum orationum tractationem pertinent, accurate et copiose scripserunt, sed E. G. Weberus aristocrateam commentario plenissimo instructam, Th. Voemelius vero et G. Dindorfius omnes orationes, Parisiis ille, hic Oxonii, a se recensas et emendatas ediderunt. Quo factum est, ut multa corrigere, addere, defendere possemus, si uberiorem haec praefatio caperet disputationem. Ut nunc res se habet, diligentiae nobis conscii aliis iudicium permittimus, speramus vero fore, ut idoneo loco et tempore quae post curam nostram hominum doctorum studia ad emendanda atticae monumenta eloquentiae contulerunt vel contulisse nobis videntur, collecta et disposita dare possimus. Vale.

Turici et Vimariae Kal. februariis a. MDCCCXLIX.

SCHOLIA.

SCHOLIA IN ISOCRATEM.

1. *ΑΝΩΝΥΜΟΥ ΒΙΟΣ ΙΣΟΚΡΑΤΟΥΣ.*

p. VIII Dind. *Ἰσοκράτης Θεοδώρου μὲν τοῦ αὐλοποιοῦ ἐγένετο παῖς, Ἡδυτοῦς μητρὸς (οὐχ ὅτι δὲ ἰδίαις χερσὶν εἰργάζετο, διὰ τοῦτο αὐλοποιὸς ἐκλήθη, ἀλλ' ὅτι παῖδας εἶχε τοὺς ἐργαζομένους καὶ ἐκ τούτου προσεπορίζετο τὸν βίον)· γυναῖκα δὲ ἠγάγετο Πλαθάνην τινά, Ἱππίου τοῦ ῥήτορος ἀπογεννωμένην· ἀτυχήσας δὲ περὶ τέκνα θετὸν ἐποιήσατο παῖδα τὸν ταύτης υἱόν, τὸν Ἀφαρέα. μαθητὴς δὲ ἐγένετο φιλοσόφου μὲν Σωκράτους, ῥήτορος δὲ Θηραμένους (τοῦ μαθητοῦ Γοργίου, ὁ δὲ Γοργίας μαθητὴς Τισίου), τοῦ καὶ κοθόρνου. ἐκλήθη δὲ οὗτος κόθορνος διὰ τοιαύτην αἰτίαν. κόθορνος ὑπόδημά ἐστιν ἁρμόζον γυναιξὶ καὶ ἀνδράσιν, ἢ ἁρμόζον κατὰ δεξιοῦ καὶ ἀριστεροῦ ποδός· εἴτε οὖν διὰ τοῦτο εἴτε δι' ἐκεῖνο, ἁπλῶς κόθορνος ἐκλήθη διὰ τὸ εὔχερὲς τῶν τρόπων, ὥσπερ καὶ ὁ κόθορνος εὐμετάβλητός ἐστι περί τε δεξιὸν πόδα καὶ ἀριστερόν, ἤγουν πρὸς ἄνδρας καὶ γυναῖκας, καὶ μὴ ἐν ἑνί ποτε μόνῳ ἱστάμενος. μέμνηται καὶ Ἀριστοφάνης τοῦ κοθόρνου ἐν τοῖς βατράχοις καὶ ῥόπαλον δ' ἔτι συνῆλθε τινά. ἀεὶ γὰρ πρὸς τὰς πολιτείας μετεβάλετο, καὶ τιμῶν τὴν παροῦσαν πολιτείαν, καταλυθείσης ταύτης ποτὲ ὕστερον κατήγορος ἐγένετο, ἧς καὶ μετεῖχε πρώην. καὶ δὴ τοῦτο συνειδότες οἱ τριάκοντα πρὸ τῆς καταλύσεως αὐτῶν ἐφόνευσαν αὐτόν, ἵνα μὴ ὕστερον διαβάλῃ καὶ αὐτούς, ὥσπερ τοὺς τετρακοσίους, ὡς σὺν θεῷ μαθησόμεθα. ἀπιόντος δὲ τούτου πρὸς θάνατον συνηκολούθει ὁ Ἰσοκράτης, μετασχεῖν βουλόμενος τοῦ θανάτου, ὥσπερ καὶ ἐν τῷ θανάτῳ τὴν τιμὴν τὴν πρὸς τὸν διδάσκαλον ἐνδεικνύμενος. ὡς δὲ ἐκώλυσε καὶ οὐκ ἔπειθεν, ὕστερόν τι εἰπὼν ἔπεισεν· ἔφησε γὰρ ὅτι, ἐὰν μὴ σὺ περιλειφθῇς, συναπόλλυταί σοι καὶ ἡ ἐμὴ διδασκαλία, ὥστε ζῶν πλέον ἔτι τιμᾷς, ἐπιδεικνύμενος τὴν ἐμὴν διδασκαλίαν. καὶ οὕτω πεισθεὶς ἀπελθὼν ἐδίδασκεν. ἔγραφε δὲ λόγους πανηγυρικοὺς καὶ συμβουλευτικούς· τῶν γὰρ δικανικῶν ἀπείχετο πλεονάκις διὰ τὸ δύο πάθη ἔχειν σωματικά, ὅτι τε δειλὸς ἦν καὶ ἀσθενὴς τῇ φωνῇ. καὶ οὕτως ἦν δειλὸς καὶ συνδήμων καὶ μὴ φέρων λέγειν ἐν τοῖς πλήθεσι διὰ τὸ ἀπαρρησίαστον, ὥστε λέγεταί ποτε ὡς αὐτοῦ ἐξηγουμένου ἐπεισελθόν τινες αὐτοῦ ἀκοῦσαι· ὁ δὲ αἰδούμενος ἐσιώπησεν. ἐλάμβανε δὲ χρήματα πάμπολλα ὑπὲρ τῆς διδασκαλίας, παρὰ μὲν τῶν πολιτῶν οὐδέν, ὥσπερ γέρας τοῦτο κατατιθέμενος καὶ τροφεῖα καταβάλλων τῇ πατρίδι, παρὰ δὲ τῶν ξένων χιλίας*

Haec vitam primus edidit Andreas Mustoxydes in anecdot. graecis (*συλλογὴ ἀποσπασμάτων ἀνεκδότων ἑλληνικῶν*. Venet. 1817. 8., fasc. 3. p. 9 — 23, deinde repetiverunt Io. Conr. Orellius opusc. Graecorum veterum sentent. et moral. vol. 2 p. 4 sqq., G. Dindorfius ante Isocratis orationes Lipsiae 1825 editas, I. G. Baiterus ante Isocratis orationem panegyricam (Lips. 1831). Zosimi Ascalonitae sive Gazaei (cf. Suidas 1 p. 1592. C.) esse iure videtur A. Westermannus suspicatus esse (ad Plutarchi vitas decem oratorum p. 9). — A. Mustoxydes edidit ex codd. duobus bibl. laurentianae, plut 58, 5 et 59, 37 Bandini catal. codd. graec. bibl. laur. 2 p. 442 et 569, chartaceo utroque seculi XV. — p. 21 sq. leguntur: *διάφ. ἀναγν. εἰς τὸν βίον τοῦ ἰσοκρ. τῶν δύο χειρογράφων*, immixtis paucis coniecturis. Addidimus ea omnia in margine inferiore, codicum lectiones adscripta sigla *ll*, coniecturas adscripto Mustoxydae nomine. Ex utro codice quaevis lectio petita esset, Mustoxydes ipse distinguere noluit.

ΙΣΟΚΡΑΤΟΥΣ Dindorfius: erat *ΙΣΟΚΡΑΤΟΥ*. 1. *μὲν τοῦ ll*: erat *τοῦ*. 2. *Ἡδυτοῦς*] cf. C. Keil. analect. epigraph. et onomatol. p. 194 sq. Videtur idem nomen restituendum esse apud Pseudoplutarchum (p. 838. C.): *καὶ ἡ μήτηρ Ἡδυτώ*, ubi nunc legitur: *καὶ ἡ μήτηρ αὐτοῦ*. 5. *Πλαθάνην ll*: erat *Πλανθάνην*. 7. *ἐποιεῖτο ll*. *Ἀφαρέα* Dindorfius: erat *ἀφερέα*. 7. *μαθητὴς μὲν ἐγέν. ll*. 10. *Τισίου τοῦ*] *τις τούτου ll*. — *δὲ ll*: erat *δὲ καί*. 14. *δι'* Dindorfius: erat *δ'*. 15. *εὐμετάβλητον ll*. 19. *δ' ἐστι ll*. — Aristoph. Ran. 47: *τίς ὁ νοῦς; τί κόθορνος καὶ ῥόπαλον ξυνηλθέτην;*

1. *δὴ διὰ* Dindorfius. 3. *διαβάλλῃ ll*. 15. *τε* om. *ll*. 16. *ἀσθενὴς τῇ* Dindorfius: erat *ἀσθενὴς καὶ τῇ*. 18. *ὥστε* Mustoxydes: erat *ὅτι*. 22. *τοῦτο* om. *ll*.

δραχμάς. ἀμέλει Ἐφόρου τινός, αὐτοῦ μαθητοῦ, ἀπελθόντος ἐν τῇ πατρίδι καὶ ἐλθόντος πάλιν πρὸς τὸ ἀναλαβεῖν καὶ δόντος τὰς χιλίας, ἐκάλει τοῦτον Δισέφορον. πλούσιος δὲ γενόμενος, ἐμερίσατο τὸν πλοῦτον πρὸς τὴν πόλιν διὰ τῆς εὐνοίας, τριηραρχίας καὶ πολλὰς λειτουργίας συντελῶν. ἔσκωπτον δὲ τοῦτον οἱ κωμικοὶ ὡς κεχρημένον τινὶ πόρνῃ Λαγίσκῃ ὀνόματι. λέγομεν δὲ ἡμεῖς ἀπολογούμενοι, ὅτι μάλιστα μὲν οὐδὲν τοῦτο ποιεῖ, εἰ εἶχε μετὰ τὴν τελευτὴν τῆς γυναικὸς ταύτην παλλακίδα· ἔπειτα λέγομεν ὅτι τοῦτο αὐτὸν πολὺ πλέον προσαπολύει τῆς διαβολῆς, ὅτι ψευδὲς τὸ παρὰ τῶν κωμικῶν σκώπτεσθαι· εἰώθασι γὰρ οἱ κωμικοὶ τὰ μεγάλα πρόσωπα σκώπτειν διὰ γέλωτα, ὡς Σωκράτην εἰσάγουσιν ἐρῶντα νέων. ἔγραψε δὲ πολλοὺς λόγους, ὧν εἰσὶν αἱ παραινέσεις, εἰ καί τινες ἠβουλήθησαν αὐτὰς εἰπεῖν μὴ εἶναι αὐτοῦ διὰ τὸ ἀσθενὲς τῆς φράσεως, ἃς πρῶτον εἰκότως ἀναγινώσκομεν, οὐχ ὡς βελτίονας οὔσας τῶν ἄλλων λόγων· καὶ γὰρ καὶ ὁ πανηγυρικὸς αὐτῶν προέχει καὶ ἄλλοι πολλοί· ἀλλ' ὅτι περὶ ἠθῶν διαλαμβάνουσιν. ἀναγκαῖον δὲ τὰ ἤθη πρὸ τῶν λόγων κοσμῆσαι, ὥσπερ ὁ γεωργὸς ὀφείλει πρὸ τῶν σπερμάτων καὶ ἧς μέλλει καταβάλλειν φυτείας ἐκκόπτειν ἀπὸ τῶν χωρίων τὰ λυμαινόμενα τούτοις, οἷον ἄγρωστιν καὶ τὰ τούτοις παραπλήσια· δι' ὅ, ὡς καὶ πρὸς παῖδας ταῦτα γράφων, ἠναγκάσθη ταπεινοτέρᾳ χρήσασθαι τῇ φράσει· ὥστε αὐτοῦ ἂν εἴησαν καὶ αἱ παραινέσεις. Ἄξιον δὲ ζητῆσαι διὰ ποίαν αἰτίαν οὕτως αὐτὰς ἀναγινώσκομεν κατὰ τάξιν, πρῶτον τὴν πρὸς Δημόνικον, ἔπειτα τὴν πρὸς Νικοκλέα, καὶ μὴ ἀδιαφόρως, ὥσπερ ἐν τοῖς ἄλλοις αὐτοῦ λόγοις. λέγομεν ὅτι Ἰσοκράτης βουλόμενος κοινωφελὴς γενέσθαι, φορτικὸν δὲ ἡγούμενος τὸ πρὸς πάντας ὥσπερ γράφειν τὰς συμβουλάς, ἦλθεν ὡς τούτους γράφειν· τὸ δὲ ἀληθὲς πᾶσι παραινεῖ διὰ τῶν τριῶν παραινέσεων, ὥσπερ καὶ ὁ Ἡσίοδος ὡς πρὸς τὸν ἀδελφὸν λέγων ἐργάζευ, νήπιε Πέρση, πᾶσι παραινεῖ. οὕτω καὶ ὁ Ἰσοκράτης. τάττει οὖν πρῶτον τὸν πρὸς Δημόνικον, ὡς πρὸς ἰδιώτας πρῶτον διαλεγόμενος, εἶτα βασιλεύειν διδάσκων ἐν τῷ πρὸς Νικοκλέα· πρῶτον γάρ τις ἰδιώτης γενόμενος ὕστερον ἔρχεται ἐπὶ τὴν βασιλείαν. εἶτα λέγει ἐν τῷ πρὸς Νικοκλέα ἢ συμμαχικῷ, πῶς δεῖ καὶ τὸν ἰδιώτην βασιλεύεσθαι. σκώπτουσι δὲ αὐτόν, ὡς εἶπον καὶ ἄνω, οἱ κωμικοὶ ἐπὶ τῇ Λαγίσκῃ, ὧν εἷς ἐστι καὶ Στράττις λέγων ταῦτα ἐν Ἀταλάντῃ·

καὶ Λαγίσκην τὴν Ἰσοκράτους παλλακὴν
εὑρεῖν μὲν συκάζουσαν, εἶθ' ἥκειν ταχὺ
τὸν αὐλοτρύπην αὐτόν.

λέγουσι δέ τινες ὅτι τοῦ Πελοποννησιακοῦ πολέμου πρεσβύτερος [πέντε, Λυσίου δὲ νεώτερος] ἐγένετο δυσὶ καὶ εἴκοσιν ἔτεσιν. ἤκουσε δὲ κατά τινας καὶ Προδίκου τοῦ Κείου καὶ Γοργίου τοῦ Λεοντίνου· νέος δὲ ὢν ἐδόκει διοίσειν τῶν περὶ Λυσίαν τὸν ῥήτορα πρὸ αὐτοῦ γενομένων, καὶ τοῦτο μαρτυρεῖ Πλάτων ἐν τῷ Φαίδρῳ Σωκράτην λέγοντα ποιήσας οὕτω· νέος μὲν ἔτι, ὦ Φαῖδρε, Ἰσοκράτης· ὃ μέντοι περὶ αὐτοῦ μαντεύομαι, εἰπεῖν ἐθέλω· δοκεῖ γάρ μοι XI ἀμείνων ἢ κατὰ τοὺς περὶ Λυσίαν εἶναι λόγους. ἔσχε δὲ μαθητὰς πολλοὺς μέν, τοὺς δὲ εὐδοκιμηκότας καὶ ἐπιφανεῖς τούτους, Θεόπομπον, Ἔφορον, ὧν καὶ ἱστορίαι φέρονται, Ὑπερείδην, Ἰσαῖον, Λυκοῦργον, οἵ τινές εἰσι τῶν δέκα ῥητόρων τῶν κριθέντων τε καὶ ἀναγινωσκομένων, εἶτα Φιλίσκον, Ἰσοκράτην ὁμώνυμον αὐτοῦ, Θεοδέκτην, Ἀνδροτίωνα τὸν τὴν Ἀτθίδα γράψαντα, καθ' οὗ καὶ ὁ Δημοσθένης ἔγραψε, καὶ Πύθωνα τὸν Βυζάντιον, τὸν ῥήτορα Φιλίππου. περὶ δὲ Θεοπόμπου καὶ Ἐφόρου φέρεταί τι τοιοῦτον αὐτοῦ καὶ ἀστεῖον· εἶχε γὰρ καὶ τοῦτο. ὡς ἑώρα τὸν Θεόπομπον μικρὰν ὑπόθεσίν τινα λαμβάνοντα καὶ ἐπεκτείνοντα ταύτην καὶ διὰ πολλῶν λέγοντα, ὥσπερ ἐν τῇ Φιλιππικῇ αὐτοῦ ἱστορίᾳ ἐποίησε, τὸν δὲ Ἔφορον μεγάλην μὲν ὑπόθεσιν λαμβάνοντα καὶ πολλῶν δεομένην, εἶτα δι' ὀλίγων αὐτὴν λέγοντα καὶ ἐλλειπῶς, ἔφησεν, ὡς ὅτι ἔχω τινὰς δύο μαθητάς, ὧν ὁ μὲν δεῖται μάστιγος, ὁ δὲ χα-

---

3. Δίφορον Pseudoplutarchus p. 839. A. 7. λαγείσκῃ. λαγίσκῃ ll. 18. καὶ γὰρ καὶ ll: erat καὶ γάρ. 23. φυτείαις ll. 29. πρῶτον τὸν πρὸς ll. — ἔπειτα τὴν] immo ἔπειτα τάς. Spp. 32. φορτίον ll. 33. ἔξω τόπου τὸ ὥσπερ. Mustox. Dindorfius v. ὥσπερ delevit. Fort. πρὸς πάντας γράφειν τὰς συμβουλάς. ἤθελεν ὡς πρὸς τούτους γράφειν. Spp. 36. λέγει ll. — Hesiodus ἔ. 397.

5. συμμαχικῷ Dindorfius: erat συμμαχικόν. 7. Στράττις Mustoxydes: erat στράτης. — A. Meinekius Fragm. comicor. graec. vol. 2 p. 764 sqq. (cf. vol. 1 p. 225.) hos versus sic constituit:

καὶ τὴν Λαγίσκαν τὴν Ἰσοκράτους παλλακὴν
εὑρεῖν με συκάζουσαν, εἶθ' ἥκειν ταχὺ
τὸν αὐλοτρύπην αὐτόν.

sed videntur collatis inter se Athenaei, Harpocrationis, Zosimi testimoniis potius sic scribendi esse:

καὶ τὴν Λαγίσκαν, τὴν Ἰσοκράτους παλλακήν,
ἰδεῖν με συκάζουσαν εὐναίαν ἔτι,
τὸν τ' αὐλοτρύπην αὐτὸν εἶθ' ἥκειν ταχύ. Spp.

13. πρεσβύτερος πέντε, Λυσίου δὲ νεώτερος Sauppius: erat πρεσβύτερος. cf. Dionysius 5 p. 534, 8 R. 15. Κείου Baiterus: erat κίου. 16. πρὸ Mustoxydes: erat πρός. 17. γενομένου. γενόμενον ll. 18. σωκράτῃ ll. — Platon. Phaedr. p. 279. A. 21. ἀμείνων λόγους ἢ ll. — εἶναι λόγους Plato l. d.: erat εἶναι. 24. Ὑπερείδην nos: erat Ὑπερίδην. 34. μεγάλην. πολλὴν ll. 36. ὅτι om. ll. 37. δεῖται nos: erat δέεται.

λινοῦ· μάστιγος μὲν λεγων περὶ τοῦ Ἐφόρου, διὰ τὸ νωθὲς καὶ βραδὺ τῆς φύσεως· χαλινοῦ δὲ διὰ τὸ Θεοπόμπου πολύ τε καὶ ἀκρατὲς τῆς γλώττης. διατριβὴν δὲ εἶχε πρὸς τῷ Λυκείῳ τῷ γυμνασίῳ. λέγεται δὲ καὶ τοῦτο περὶ αὐτοῦ, ὡς ὅτι κατηγορηθεὶς ὡς διαβάλλων τὴν δημοκρατίαν ἐν τῷ γράφειν πρὸς Νικοκλέα τὰς παραινέσεις βασιλέα ὄντα, ἦει ἀπολογησόμενος πάλιν ἐξ αὐτῶν τῶν παραινέσεων εἰπὼν ἐκεῖνο· ὥσπερ γὰρ τὸν ἐν δημοκρατίᾳ πολιτευόμενον τὸ πλῆθος δεῖ θεραπεύειν, οὕτω καὶ τὸν ἐν μοναρχίᾳ κατοικοῦντα τὸν βασιλέα προσήκει θαυμάζειν. τοὺς δὲ δικανικοὺς αὐτοῦ λόγους καὶ οὓς ἔδει ἐν πλήθει λέγειν λεγεται ὡς ὅτι ἢ δι' ἄλλων ἐπεδείκνυτο, ἢ δι' ἑαυτοῦ ὀλίγους. ἄξιον δὲ καὶ περὶ τοῦ χαρακτῆρος τἀνδρὸς εἰπεῖν. ἤδη μὲν οὖν προφθάσαντες εἴπομεν, ὡς ὅτι ζηλωτὴς μὲν ἐγένετο τοῦ Γοργίου κατὰ τὸ ὁμοιοκαταληκτῶδες καὶ παρισῶδες, πλὴν οὐχ ὥσπερ ἐκεῖνος ἀεί, διὰ τὸ προσκορές· σαφεῖ δὲ τῇ λέξει κέχρηται καὶ ἠθικῇ καὶ πιθανῇ· στρογγύλη δὲ οὐκ ἔστιν,
XII οὐδὲ χαριν ἔχουσα, ὥσπερ ἡ τοῦ Λυσίου. λέγεται γὰρ καὶ τοῦτο, ὡς ὅτι διεφθονοῦντο οὗτοι ἀλλήλοις καὶ ἀντεπαίδευον. συνεχὴς δέ ἐστι τοῖς ἐνθυμήμασιν· οὔπω γὰρ τελειώσας τὸ νόημα ἄλλο αὐτῷ συμπλέκει ἐνθύμημα. διὰ πολλῶν δὲ αὐτοῦ καὶ τὰ προοίμια. εἰ δέ τινες ἐπεισάγουσιν ἄλλους τινὰς λόγους, ὡς ὄντας αὐτοῦ, οὐ προσδεκτέον ἐκείνους παρὰ τοὺς φερομένους. εἰσὶ δὲ οἱ ἐπεισφερόμενοι οὗτοι· συμβουλευτικοὶ ἐννεα, περὶ παρασκευῆς ἱππομεδῶν, περὶ αὐτονομίας, Σινωπικός, νησιωτικός, σύμμικτοι τρεῖς, Ἀμφικτυονικός, περὶ τοῦ κατοικισμοῦ Μιλησίοις. ἐπιδεικτικοὶ επτά, Κλυταιμνήστρας ἐγκώμιον, Πηνελόπης, Μενεκράτης, επιτάφιος τοῖς ἐν Θυραίᾳ, Νεοπτόλεμος, Παριακός, συνηγορία πρὸς τὴν ἐπιστολὴν τοῦ ἐπιστάτου, περὶ τοῦ ὄρτυγος, ὑπὲρ Τιμοθέου, ἐπιτροπικὸς περὶ τῆς ὑδρίας. σύμμικτοι πεντε, περὶ φιλοσοφίας, περὶ Πλάτωνος, περὶ ἔριδος, προτρεπτικός, καταδρομὴ σοφιστῶν. λέγεται δὲ ὡς ὅτι καὶ τέχνην ῥητορικὴν ἔγραψε· τῷ δὲ χρόνῳ ἔτυχεν αὐτὴν ἀπολέσθαι. ἐρεῖ δε τις· καὶ πόθεν δῆλον, ὅτι τοῦτο οὕτως ἔχει; λεγομεν, ὡς ὅτι Ἀριστοτέλης ὁ φιλόσοφος συναγαγὼν τέχνας ῥητορικάς, ἐμνήσθη καὶ ταύτης. ἐβίωσε δε, οἱ μὲν λέγουσιν, ὡς ὅτι ἑκατὸν ἔτη, οἱ δὲ ενενήκοντα καὶ ὀκτώ. ἀπέθανε δὲ ἐπὶ Χαιρώνδου ἄρχοντος μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην, λυπηθεὶς διὰ τὴν ἧτταν καὶ τὴν συμφορὰν τὴν γενομένην ἐκεῖσε τοῖς Ἀθηναίοις παρὰ Φιλίππου. ἀποκαρτερήσας δὲ ἐτελεύτησεν, ὡς μὲν Δημήτριός φησιν, ἐννέα ἡμέρας, ὡς δὲ Ἀφαρεύς, δεκατέσσαρας. προαναγνοὺς δὲ τούτους τοὺς στίχους ἐτελεύτησεν, ἐκ τριῶν δραμάτων Εὐριπίδου·

Δαναὸς ὁ πεντήκοντα θυγατέρων πατήρ.
Σιδώνιόν ποτ' ἄστυ Κάδμος ἐκλιπών.
Πέλοψ ὁ Ταντάλειος, εἰς Πῖσαν μολών.

δηλῶν ἐκ τούτων, ὡς ὅτι, ὥσπερ ἐκεῖνοι βάρβαροι ὄντες, ελθόντες εἰς τὴν Ἑλλάδα, κατέσχον αὐτῆς, οὕτω καὶ τέταρτός τις οὗτος ἀνεφύη δεσπότης τῆς Ἑλλάδος, ὁ Φίλιππος. καὶ γὰρ Δαναός, Αἰγύπτιος ὢν βάρβαρος, ἡ γὰρ Αἴγυπτος τότε ὑπὸ τοὺς Περσας ἦν, φυγὼν τὸν ἀδελφὸν διὰ τὸν περιφερόμενον χρησμόν, ελθὼν εἰς Ἄργος, κατέσχε τούτου. XIII πάλιν ὁ Σιδώνιος Κάδμος, βάρβαρος ὤν, ἡ γὰρ Σιδὼν καὶ αὐτὴ ὑπὸ τοὺς Πέρσας ἦν, ἐξελθὼν ἐπὶ ζήτησιν τῆς ἑαυτοῦ ἀδελφῆς Εὐρώπης, ἐλθὼν εἰς Θήβας, κατέσχε τούτων. ὁμοίως Πέλοψ ὁ Φρύγιος, ἡ δὲ Φρυγία καὶ αὐτὴ τῆς Ἀσίας ἦν, φυγὼν τὴν ἐπιβουλὴν τοῦ Ἴλου πολεμοῦντος αὐτοῦ πρὸς τὸν αὐτοῦ πατερα, ἦλθεν εἰς Πῖσαν, καὶ ὕστερον συμπάσης Πελοποννήσου ἐκράτησεν· ἐξ οὗ καὶ Πελοπόννησος εκλήθη. ταῦτα δὲ αὐτοῦ εἰρηκότος καὶ τελευτήσαντος, θαυμάσαντες αὐτοῦ οἱ Ἀθηναῖοι ἣν εἶχε πρὸς τὴν πόλιν εὔνοιαν, δημοσίᾳ φιλοτίμως ἔθαψαν, καὶ Σειρῆνας εκκολάψαντες διὰ λίθου, ἐπέθηκαν αὐτοῦ τῷ μνήματι, δηλοῦντες τὴν εὐμουσίαν τοῦ ἀνδρός. καὶ ταῦτα μὲν περὶ τοῦ θεσπεσίου ῥήτορος.

Λοιπὸν δὲ χωρεῖν ἤδη ἀνάγκη ἐπ' αὐτὰς τὰς ἐξηγήσεις τῶν λόγων αὐτοῦ, πρώτας ποιουμένους τὰς παραινέσεις· ἤδη γὰρ καὶ τὴν αἰτίαν προειρήκαμεν. ἀνάγονται δὲ αἱ παραινέσεις ὑπὸ τὸ συμβουλευτικὸν εἶδος, κέκληνται δὲ παραινέσεις παρὰ τὸν αἶνον, ὅ ἐστι τὴν συμβουλήν, ὡς καὶ Ἡσίοδος· νῦν δ' αἶνον βασιλεῦσι· στάσιν δὲ οὐκ επιδεχονται· οὐ γὰρ ἔχουσι τὸν ἀντιλέγοντα. Καιρὸς μὲν ἤδη, ὡς εἴπομεν, ἐπ' αὐτὰς λοιπὸν χωρεῖν τῶν λόγων τὰς ἐξηγήσεις· ἀλλ' ἐπειδὴ ἀναγκαῖον πρὸ αὐτῶν τῶν ἐξηγήσεων προηγεῖσθαι τὰς ὑποθέσεις καὶ τοὺς σκοποὺς τῶν λόγων, δεικτέον πρῶτον τοῦ λόγου τὴν ὑπόθεσιν. Ἱππόνικός τις, ὡς ἔχει ὁ πολὺς λόγος, Κύπριος μὲν ἦν τῷ γένει, Ἰσοκρά-

---

2. νωθὲς ll. 7. τὰς παραινέσεις Sauppius: erat ταῖς παραινέσεσι. — ἦει Mustoxydes: erat ἥψει. 9. Isocrat. 1 §. 36. 13. ὡς ὅτι ll: erat ὡς. 20. οὐδὲ] ἀλλὰ Dindorfius; sed v. Dionysius t. 5 p. 538, 4 et 541. 5. 557. 1 R. γὰρ] δὲ γὰρ ll. 23. ἄλλο] ἄλλῳ ll. 27. επισφερόμενοι ll. 28. Fort. ἱπποδρόμων. Spp. 29. Σινωπικός ll: erat σινοπικός. 31. Κλυταιμνήστρας Dindorfius: erat Κλυτεμνήστρας. 32. Θυραίᾳ l: θηρέᾳ l, erat θηραίᾳ. — νεοπτόλεμος ll. 38. απολέσθαι Baiterus: erat ἀπολέσαι. 43. Χαιρώνδου nos: erat χερώνδου.

5. δεκατέσσαρας] coll. Pseudoplutarcho p. 837. E et 838. C. malis: δέκα, ὡς δὲ οἱ πλεῖστοι, τέσσαρας, vel simile quid. Spp. 7. Euripidis Archelai Fragm. 2. 8. Euripidis Phrixi Fragm. 1. 9. Πέλοψ ὁ Ταντάλειος εἰς Πῖσαν μολὼν Euripides Iphig. Taur. v. 1: erat πέλωψ ὁ ταντάλιος επὶ πίσσαν μολών. — επὶ ἀπέθανεν ἐπὶ ll. 21. αὐτὴ Dindorfius: erat αὕτη. 26. πρὸς Dindorfius: erat πρὸ. 27. Immo Σειρῆνα, coll. Pseudoplutarcho p. 838. C. Spp. 35. δὲ] δὲ αἱ Dindorfii operae. 36. δ' αἶνον Hesiodus ἔ 200: erat δὲ αἰνεῖν.

τους δὲ φίλος τοῦ σοφιστοῦ· οὗτος τελευτήσας κατέλειψε παῖδα, ὀνόματι Δημόνικον. τοῦτον Ἰσοκράτης ὁρῶν παῖδα ὄντα καὶ πολλῆς ἐπιμελείας λόγων δεόμενον, γράφει αὐτῷ ὑποθήκας, ὅπως δεῖ ζῆν αὐτὸν διδάξαι βουλόμενος, ὥσπερ ἣν εἶχε πρὸς τὸν πατέρα εὔνοιαν παραπέμψαι καὶ μέχρι τοῦ παιδός, ὡς καὶ ἐν αὐτῇ τῇ ἀρχῇ τοῦ λόγου τοῦτο προοιμιάζεται. συμβουλεύει δὲ αὐτῷ, γράψας δι' ἐπιστολῆς· οὐ γὰρ ἐδύνατο καταλεῖψαι τὰς Ἀθήνας διὰ τοὺς μαθητάς. XIV τινὲς δὲ ἐπιχειροῦσι λέγειν τὸν λόγον „ἐπιστολὴ πρὸς Δημόνικον.“ καὶ ἡ μὲν φαινομένη ὑπόθεσις αὕτη· εἰρήκαμεν δὲ ἐν τοῖς ἄνω, ὡς ὅτι κοινωφελεῖς αὐτοῦ βούλεται ποιήσασθαι τὰς παραινέσεις, καὶ συμβουλεῦσαι πῶς δεῖ ζῆν τὸν ἰδιώτην· καὶ τοῦτο ποιεῖ ἐνταῦθα διὰ τοῦ Δημονίκου, καὶ τὸ πῶς δεῖ βασιλεύειν προβαλλόμενος τὸν Νικοκλέα· φεύγων δὲ τὸ φορτικόν, οὐ φανερῶς ἐπιφέρει τοῖς ἑαυτοῦ λόγοις τὸν ἴδιον σκοπόν. ἄρχεται δὲ ἀπὸ θείων, εἶτα εἰς γονέας μεταβαίνει, εἶτα φίλους καὶ οἶκον καὶ πατρίδα, τήν τε δίαιταν καὶ τὴν περὶ τὸ σῶμα καὶ τὴν περὶ ψυχήν. χωρητέον οὖν λοιπὸν καὶ ἐπὶ τὸ προοίμιον· εἴρηται δὲ προοίμιον παρὰ τὸν οἶμον, ὅ ἐστιν ὁδόν· Ἡσίοδος μακρὸς τε οἶμος καὶ ὄρθιος ἐπ' αὐτήν. ὁδὸς δὲ τοῦ λόγου οἱ ἀγῶνες καὶ αἱ πράξεις.

2. ΥΠΟΘΕΣΕΙΣ.

a. Τοῦ Ἀρεοπαγιτικοῦ (or. 7).

Ἐν τούτῳ τῷ λόγῳ συμβουλεύει ὥστε τοὺς Ἀρεοπαγίτας ἀναλαβεῖν τὴν προτέραν πολιτείαν, ἥτις ἦν ἔχουσα πᾶσαν ἐξουσίαν, σχεδὸν εἰπεῖν, τῶν ἐν τῇ πόλει πάντων πραγμάτων. ἦσαν γὰρ αὐτὴν ἀποβαλόντες ἀπὸ τοιαύτης αἰτίας. Ἐφιάλτης τις καὶ Θεμιστοκλῆς χρεωστοῦντες τῇ πόλει χρήματα καὶ εἰδότες, ὅτι, ἐὰν δικασθῶσιν οἱ Ἀρεοπαγῖται, πάντως ἀποδώσουσι, καταλῦσαι αὐτοὺς ἔπεισαν τὴν πόλιν, οὕτως οὔπως τινὸς μέλλοντος κριθῆναι. ὁ γὰρ Ἀριστοτέλης λέγει ἐν τῇ πολιτείᾳ τῶν Ἀθηναίων ὅτι καὶ ὁ Θεμιστοκλῆς αἴτιος ἦν μὴ πάντα δικάζειν τοὺς Ἀρεοπαγίτας· δῆθεν μὲν ὡς δι' αὐτοὺς τοῦτο ποιοῦντες, τὸ δ' ἀληθὲς διὰ τοῦτο πάντα κατασκευάζοντες. εἶτα οἱ Ἀθηναῖοι ἀσμένως ἀκούσαντες τῆς τοιαύτης συμβουλῆς, κατέλυσαν αὐτούς. καὶ ἡ μὲν ὑπόθεσις αὕτη· ἡ δὲ στάσις τοῦ λόγου πραγματική. κεφάλαιον δὲ τὸ συμφέρον. ἐγράφη δ' ὁ λόγος ἐν ἀρχαῖς τῶν Φιλιππικῶν χρόνων, ὡς καὶ αὐτὸς δηλοῖ.

b. Τοῦ κατὰ σοφιστῶν (or. 13).

Οὗτος ὁ λόγος τῶν ἄγαν τεχνικῶς γεγραμμένων ἐστὶν Ἰσοκράτους, εἴ πέρ τις ἄλλος· ἐν τούτῳ γὰρ σχεδὸν ἅπασαν διέλαβε τὴν ῥητορικήν. διδάσκει γὰρ ἡμᾶς ἐν αὐτῷ, ὁποῖος ὀφείλει εἶναι ὁ μαθητής, οἷος δὲ ὁ διδάσκαλος, καὶ διαιρεῖ τὸν λόγον εἰς δύο, εἴς τε τὴν ἐριστικὴν φιλοσοφίαν καὶ εἰς τὴν πολιτικὴν ἀρετήν, ὅ ἐστι τὴν ῥητορικήν, τοὺς ἐν αὐταῖς κακῶς ἐξεταζομένους ἐξελέγξαι βουλόμενος. καὶ λέγει πρῶτον περὶ τῶν ἐριστικῶν, εἶτα περὶ τῶν πολιτικῶν· τέμνει δὲ τοῦτο εἰς δύο, εἴς τε τοὺς ἐπαγγελλομένους διδάσκειν, μὴ εἰδότας δέ, καὶ εἰς τοὺς γράψαντας τέχνην ῥητορικήν, πάλιν δὲ καὶ αὐτοὺς ἀγνοοῦντας. ἐζήτησαν δέ τινες, διὰ ποίαν αἰτίαν οὕτως ἦλθεν ἐπὶ τοῦτον τὸν λόγον, ὥστε ἁπλῶς καταδραμεῖν τούτων. καὶ οἱ μὲν ἀπελογήσαντο, λέγοντες τὴν αἰτίαν, ἣν προείπομεν, διὰ τὸ τὸν Ἀριστοτέλην λυπῆσαι αὐτόν, διὰ τὸ ἀφελέσθαι τὸν μαθητὴν αὐτοῦ, Θεοδέκτην ὀνόματι. αὕτη δὲ ἡ αἰτία ὡς ἐστιν εὐήθης οὐ δύσκολον καταμαθεῖν· οὐδὲ γὰρ κατὰ μόνων φιλοσόφων ποιεῖται τὸν λόγον, ἀλλὰ καὶ ῥητόρων αὐτῶν. Ποία οὖν εἴη ἂν ἀληθὴς αἰτία, ἢ αὕτη, διότι

16. τό, εις τὸ *ll.* 18. γονέας Dindorfius: erat γενεάς. 22. Hesiodus ἐ. 288: μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐπ' αὐτήν.

Ὑποθέσεις. Has grammaticorum praefationes idem A. Mustoxydes in anecdot. graecorum sylloge supra commemorata (fasc. 1. p. 25 sqq.) edidit, tres priores ex codice, quem ipse possideret (ἀπὸ ἓν μικρόν μας χειρόγραφον), reliquas e bibl. laurent. plut. 58. cod. 5: qui cum etiam tres illas priores contineret, diversitatem lectionis enotavit fasc. 3 p. 22 sq. Eam excerpsimus, addita sigla *l.* — 27. ἔχουσα *l*: erat ἵν' ἔχωσι. 28. πάντων πραγμάτων *l*: erat πραγμάτων πάντων. 31. Ἀρεοπαγῖται, πάντως ἀποδώσουσι, καταλῦσαι αὐτοὺς ἔπεισαν *l*: erat Ἀρεοπαγῖται.

1. πόλιν, πολιτείαν *l.* — οὕτως οὔπως Sauppius: οὕτως *l*, erat οὔπω. 3. ὁ Θεμιστ. *l*: erat Θεμιστ. Themistoclem et Periclem miro modo commutavit. 6. πάντα *l*: erat πάντως. 10. καὶ αὐτὸς *l*: erat αὐτός. 12. γεγραμμένων ἐστὶν Ἰσοκράτους, εἴ πέρ τις ἄλλος· ἐν τούτῳ γὰρ σχεδὸν ἅπασαν διέλαβε *l*: erat γεγραμμένων, ἐν ᾧ σχεδὸν πᾶσαν διέλαβε. 18. τὴν ῥητορικὴν *l*: erat ῥητορικήν. 19. κακῶς ἐξεταζομένους ἐξελέγξαι βουλόμενος nos: κακῶς. ἐξελέγξαι βουλόμενος *l*, erat κακῶς ἐξεταζομένους ἐλέγχων. 20. καὶ λέγει πρῶτον *l*: erat πρῶτον δέ. εἶτα περὶ *l*: erat εἶτα. 21. τέμνει δὲ τοῦτο *l*: erat ὁ διαιρεῖ. εἴς τε *l*: erat εἰς. 23. γράψαντας τέχνην ῥητορικήν, πάλιν δὲ καὶ αὐτοὺς ἀγνοοῦντας *l*: erat γράψαντας. 24. διὰ ποίαν αἰτίαν οὕτως ἦλθεν ἐπὶ τοῦτον τὸν λόγον *l*: erat διατὶ ὁ ῥήτωρ ἐπὶ τοῦτον ἦλθεν οὕτω τὸν λόγον. 27. διὰ τὸ τὸν Ἀριστοτέλην λυπῆσαι αὐτὸν om. l. 29. ὀνόματι *l*: erat τὸ ὄνομα.

ἑώρα ἐν τῷ χρόνῳ τοῦ λόγου τούτου πολλοὺς ἐπιπηδῶντας ταῖς τέχναις ἀπερισκέπτως, καὶ ἐπαγγελλομένους διδάσκειν ἅπερ οὐκ ἴσασι, καὶ σοφιζομένους τὴν ἀλήθειαν. διὸ καὶ ὁ λόγος αὐτῷ ἐπιγέγραπται κατὰ τῶν σοφιστῶν, οὐχ ἁπλῶς τῶν σοφιστευόντων, ἀλλὰ κατὰ πάντων τῶν σοφιζομένων τὴν ἀλήθειαν. τριχῶς γὰρ τοῦτο τοὔνομα λέγεται παρὰ τοῖς παλαιοῖς· οἷον οὕτω σοφὸν καλοῦσιν αὐτὸ τὸ ἀληθὲς καὶ τὸ φρόνιμον καὶ τὸ καλόν· ὅθεν καὶ ὁ Πλάτων φιλόσοφον καλεῖ τὸ πρῶτον αἴτιον, τὸ φιλοῦν αὐτὸ τὸ ἀληθὲς καὶ τὸ καλόν, ὅθεν καὶ ὁ ἄνθρωπος ὁ μετιὼν τὴν φιλοσοφίαν ἐκ τούτου παρωνόμασται, καθὰ καὶ αὐτὸς μιμεῖται τὸν θεὸν κατὰ τὸ δυνατόν· καὶ πάλιν σοφιστὴν καλοῦσι αὐτὸν τὸν ῥήτορα, τὸν διδάσκοντα τοὺς ῥητορικοὺς λόγους· σοφιστὴν δὲ καὶ τὸν σοφιζόμενον τὴν ἀλήθειαν, περὶ οὗ νῦν διέρχεται. ἐζήτησαν δέ τινες πάλιν καὶ διὰ τί αὐτὸς ὁ λόγος, εἴ γε εἷς ἐστι τῶν τεσσάρων ἐγκωμίων, κατὰ τῶν σοφιστῶν ἐπιγράφεται. καὶ ψόγος ἐστὶ καὶ μὴ ὅπερ οἰκεῖον ἐγκωμίου, τὸ μᾶλλον ὑπέρ τινος λέγειν ἢ κατά τινος. καὶ λέγομεν, ὅτι, ἐὰν σκοπήσῃ τις ὑπὸ τί ἀνάγεται καὶ ὁ ψόγος καὶ τὸ ἐγκώμιον, ὅτι ἑκάτερον ὑπὸ ἓν εἶδος τὸ πανηγυρικόν, εὑρήσει τὴν αἰτίαν· ἡ γὰρ οἰκειότης πρὸς τὸ ἐγκώμιον, καὶ τὸ τοῖς αὐτοῖς κεφαλαίοις τέμνεσθαι τὸν ψόγον, ὥσπερ καὶ τὸ ἐγκώμιον, ἐποίησε καὶ τὸν ψόγον ἐγκώμιον ὀνομάζεσθαι κατὰ ἀντίφρασιν. εἰ δέ τις εἴποι· διὰ τί δὲ μὴ δικανικοῦ εἴδους ἐστίν, εἴ γε καταδρομῇ κέχρηται, λέγομεν, ἐπειδὴ οὔτε ἐν δικαστηρίῳ ελέχθη, οὔτε ἡ τιμωρία ὥρισται.

c. Τοῦ Πλαταικοῦ (or. 14).

Περὶ τοὺς χρόνους τοῦ λόγου τούτου πολλοὶ πλανῶνται. ζητοῦσι γὰρ πῶς δυνατὸν εἰρηκέναι τὸν Ἰσοκράτην ὑπὲρ Πλαταιέων, κατασκαφέντων ἐν τῇ γ' ἱστορίᾳ τοῦ Πελοποννησιακοῦ πολέμου, τὸν ὕστερον μετὰ πολλὰ ἔτη γενόμενον τῶν Πελοποννησιακῶν. ἐγένετο γὰρ ἡ κατασκαφὴ τῶν Πλαταιέων ἐν τῷ ε' ἔτει τοῦ Πελοποννησιακοῦ· κατέσχε δὲ κ' καὶ ἑπτὰ ἔτη ὁ πᾶς πόλεμος, καὶ τὰ λοιπὰ κβ'· εἶτα ἐν ᾧ ἦρξαν Λακεδαιμόνιοι, τριάκοντα, ἤγουν πεντήκοντα δύο κατὰ Φιλίππου ἔτη εἴρηται ὁ λόγος, ὡς ἀνάγκη τὸν Ἰσοκράτην τριῶν ἐτῶν ὄντα εἰπεῖν τὸν λόγον, ὅπερ ἀδύνατον. πρὸς ὃ καί τινες ἀπολογούμενοι λέγουσιν, ὅτι πρὸς μελέτην εἴρηται ὁ λόγος ζητήματος· οὐκ ἔστι δέ. ἀλλὰ τὸ δεύτερον κατεσκάφησαν οἱ Πλαταιεῖς· ὁτὲ μὲν ἐν τῷ Πελοποννησιακῷ πολέμῳ ὑπὸ Λακεδαιμονίων χαριζομένων Θηβαίοις, εἶτα ὅτε ἐπολέμησαν Λακεδαιμόνιοι Θηβαίοις μετὰ τὸν Πελοποννησιακὸν πόλεμον καὶ ἐνίκησαν οἱ Λακεδαιμόνιοι, πολεμίους ὁμόρους ἀναστῆσαι Θηβαίοις βουλόμενοι ἀνῴκισαν Πλάταιαν· εἶτα ὕστερον νικήσαντες οἱ Θηβαῖοι ἐν Λεύκτροις, κατέσκαψαν αὐτούς, Πλαταιέας, οὓς ὕστερον ἀνοικίζει πάλιν Φίλιππος κατὰ Θηβαίων. κατασκαφέντες οὖν νῦν τὴν δευτέραν κατασκαφὴν ἔρχονται εἰς τὰς Ἀθήνας, ἀναλαβεῖν βουλόμενοι τὴν πόλιν διὰ τῶν Ἀθηναίων, εἰς οὓς κατέφυγον, ὥς φησιν ὁ Ἀριστείδης. καὶ ἡ μὲν ὑπόθεσις αὕτη· ἡ δὲ στάσις πραγματικὴ ἄγραφος.

d. τοῦ πρὸς Νικοκλέα περὶ βασιλείας (or. 2).

Ἤδη φθάσαντες εἰρήκαμεν τὴν αἰτίαν, δι' ἣν οὕτως ἀναγινώσκομεν· ἡ δὲ φαινομένη ὑπόθεσις αὕτη. Νικοκλῆς υἱὸς μὲν ὢν Εὐαγόρου, κατάγων δὲ τὸ γένος ἀπὸ Τεύκρου καὶ Τελαμῶνος, ὡς σὺν θεῷ μαθησόμεθα ἐν αὐτῷ τῷ Εὐαγόρᾳ, ἐβασίλευσε Σαλαμῖνος, μιᾶς πόλεως ἐν Κύπρῳ τῆς νῦν Κωνσταντίνου καλουμένης καὶ μητροπόλεως οὔσης πάσης τῆς Κύπρου. πρὸς τοῦτοι γράφει πάλιν ὁ Ἰσοκράτης παραινέσεις, πῶς δεῖ βασιλεύειν ὀρθῶς. Ἕρμιππος δέ φησιν ἐν τῷ περὶ τοῦ Ἰσοκράτους, παρατιθέμενος Εὔανδρόν τινα κατὰ τῶν σοφιστῶν εἰρηκότα, ὡς ὅτι λαβὼν εἴκοσι τάλαντα παρὰ τοῦ Νικοκλέους αὐτὸς ὁ Ἰσοκράτης, ἔπεμψεν αὐτῷ τὸν λόγον τοῦτον, τελευτήσαντος τοῦ Εὐαγόρου, ὥσπερ καὶ τούτῳ βουλόμενος χρήσιμος γενέσθαι μετὰ τὴν τοῦ πατρὸς τελευτήν.

6. κατὰ] καὶ l. 10. αἴτιον, τὸ φιλοῦν αὐτὸ τὸ ἀληθὲς καὶ τὸ καλὸν l: erat αἴτιον. 12. καθὰ καὶ αὐτὸς μιμεῖται l: erat κατὰ τὸ καὶ αὐτὸς μιμεῖσθαι. 16. περὶ οὗ νῦν l: erat νῦν. 17. καὶ διὰ τί l: erat διὰ τί καί. 18. ἐγκωμίων l: erat ἐγκώμιον. 26. εἰ δὲ Sauppius: erat οὐδέ. 27. τί δὲ l: erat τί. — εἴδους l: erat εἶδος. 31. δυνατὸν l: erat δύναται. 32. τῇ γ' ἱστορίᾳ l. male: grammaticus Thucydidis historiarum librum *tertium* vult intelligi, cf. c. 20 – 24. 52 — 68. 35. κατασκαφὴ l: erat καταγραφή. ε' ἔτει Baiterus: erat ἔτει. 36. κ' Sauppius: erat δύο. 37. πᾶς om l. — ἤρξαντο l.

1. τριάκοντα] cf. Clinton, F. H. 2 p. 253. ἤγουν] ἰδοὺ l. κατὰ Φιλίππου, haec corrupta sunt. Fort. πρὸ τοῦ Φιλίππου. Spp. 5. ζητήματος Sauppius (*oratio quaestionis*): ζητηματος l, erat ζητητέος. 6. τὸ δεύτερον l: erat δεύτερον. 7. ὁτὲ Sauppius: erat ὅτε. 10. πολεμίους Sauppius: καὶ πολεμίους l, erat καὶ πολέμους. 14. ἀνοικίζει l: erat ενοικίζει. 16. διὰ τῶν Ἀθηναίων, εἰς οὓς l: erat διὸ τοῖς Ἀθηναίοις. 20. Ἤδη] cf. supra p. 4 a. 28.

e. *εἰς τὸν πρὸς Νικοκλέα ἢ Συμμαχικόν.*

Οὗτος ὁ λόγος οὔτε περὶ τῶν αὐτῶν ἐστιν, οὔτε μὴν παρὰ τοῦ αὐτοῦ λέγεται. ἐν γὰρ τῷ πρὸ αὐτοῦ λόγῳ διελέγετο, πῶς δεῖ βασιλεύειν, ὧδε δὲ πῶς δεῖ βασιλεύεσθαι τὸ ὑπήκοον. καὶ πάλιν ἐκεῖ παρὰ Ἰσοκράτους ἦν λεγόμενα πρὸς Νικοκλέα, ὧδε δὲ παρὰ τοῦ Νικοκλέους πρὸς τοὺς τῶν ὑπηκόων τιμιωτάτους, τοῦ Ἰσοκράτους αὐτῷ πέμψαντος τὸν λόγον. Εἰ δέ τις εἴποι, διὰ τί γὰρ μὴ πρὸς τοὺς ὑπηκόους ἔπεμψε τὸν λόγον Ἰσοκράτης, λέγομεν, ὅτι εἰκότως οὐ δι' ἑαυτοῦ ἀλλὰ διὰ τοῦ βασιλέως αὐτοῖς συμβουλεύει, ἐπειδὴ πλήθει συμβουλεύων ἀνάγκην εἶχε καὶ φόβον κεράσαι τῷ λόγῳ, ἵνα πάντως πεισθῇ τοῖς λεγομένοις τὸ πλῆθος. ἐπιγέγραπται δὲ Νικοκλῆς ἢ συμμαχικός, οὐχ ὅτι διὰ τοῦ συνδέσμου ἀναιροῦμεν τὸ ἕν, ἀλλ' ὅτι καὶ τὰ δύο ἕν ἐστιν, ὥσπερ καὶ οὗτος· Φαίδων ἢ περὶ ψυχῆς. καὶ λέγεται οὗτος ὁ σύνδεσμος διαζευκτικός, ὁ καὶ τὸ πρότερον πρᾶγμα διαβεβαιούμενος. καὶ γὰρ καὶ ὁ λόγος ὑπὸ Νικοκλέους λέγεται, καὶ πρὸς τοὺς ξυμμάχους καὶ ὑπηκόους. ὅτι δὲ διὰ τοῦτο παρ' Ἰσοκράτους ἐστὶν ὁ λόγος πρὸς τὸν βασιλέα πεμφθείς, αὐτὸς ἡμῖν σαφὲς ποιεῖ, ἐν τῷ λόγῳ λέγων· τὸν μὲν οὖν ἕτερον λόγον, ὡς χρὴ τυραννεῖν, Ἰσοκράτους ἠκούσατε, ἃ δὲ δεῖ ποιεῖν τοὺς ἀρχομένους, ἐγὼ πειράσομαι διελθεῖν, οὐχ ὡς ἐκεῖνον ὑπερβαλούμενος, ἀλλ' ὡς πρέπον μοι περὶ αὐτῶν διελθεῖν.

f. *Εὐαγόρου* (or. 9).

Ἰστέον, ὅτι τὸν λόγον τοῦτον ἔγραψεν Ἰσοκράτης πρὸς τὸν Νικοκλέα μετὰ τὴν παραίνεσιν τὴν πρὸς αὐτόν. πόθεν δὲ τοῦτο δῆλον; λέγομεν, ἐπειδὴ αὐτὸς φανερὸν ἡμῖν τοῦτο καθίστησι περὶ τὸ τέλος τοῦ λόγου τούτου λέγων ὅτι· οὐ νῦν σε παρακελεύομαι σπουδάζειν περὶ τὴν ἀρετήν, ἀλλὰ καὶ πάλαι, ὅ ἐστιν ἐν ταῖς παραινέσεσιν. πρῶτον οὖν ἔγραψεν αὐτῷ τὰς παραινέσεις μετὰ τὸν τοῦ πατρὸς θάνατον, εἶτα δεύτερον τὸν ἐπιτάφιον τοῦτον, ἵνα πλέον καὶ διὰ τούτου εὔνους αὐτῷ φανῇ τιμῶν τὸν Εὐαγόρου θάνατον. λέγουσι δέ τινες, ὅτι καὶ τριάκοντα τάλαντα ὑπὲρ τούτου ἐδέξατο. Ζητήσειεν ....

g. *Ἑλένης* (or. 10).

Τινὲς λέγουσιν, ὡς ὅτι καὶ τὸν λόγον τοῦτον ἔγραψε πρὸς Πολυκράτην, ἐπιλαμβανόμενος αὐτοῦ καὶ ἐν τούτῳ. οὐκ ἔστι δέ· καὶ γὰρ τὸ ἐναντίον συνέβη. ἐκεῖνος γὰρ ὁ Πολυκράτης ἐπελάβετο τοῦ Ἰσοκράτους ὡς κακῶς γράψαντος τὸν λόγον τοῦτον, ὥσπερ ἐκείνου ἐπελάβετο ἐν τῷ Βουσίριδι. ἀλλὰ τί οὖν ἐροῦμεν; λέγομεν, ὅτι Γοργίου ἐπιλαμβάνεται τοῦ Λεοντίνου, τοῦ ἐνεγκόντος τὴν ῥητορικὴν εἰς τὴν Ἑλλάδα, ὡς κακῶς γράψαντος, ὡς καὶ αὐτὸς ἐν τοῖς προοιμίοις δηλοῖ ὑποκατιών. βέλτιον δὲ λέγειν, ὥσπερ ὁ Μαχάων, ὅτι πρὸς Ἀναξιμένην τὸν Λαμψακηνὸν γράφει. φέρεται δὲ ἐκείνου λόγος, Ἑλένης ἀπολογία μᾶλλον οὖσα ἤπερ ἐγκώμιον. ἐπαινεῖ μὲν γὰρ αὐτόν, καθὸ καλὴν ὑπόθεσιν προείλετο γράφειν, περὶ Ἑλένης· ψέγει δὲ διὰ πολλῶν ἐν τοῖς προοιμίοις φιλοσόφους τινάς, τοὺς μὴ αἱρουμένους τοιαύτας τινὰς καλὰς ὑποθέσεις γράφειν, ἀλλ' ἁπλῶς ἄτοπά τινα καὶ παράδοξα λέγειν ἐπιχειροῦντας, μηδεμίαν ὄνησιν ἔχοντα, ἅ τινα καὶ διεξέρχεται.

3. SCHOLIA.

Or. 1 § 48. *Τοῖς μὲν φαύλοις*] *Τοῖς εὐτελέσι, ἤγουν τοῖς φαύλοις. Φλαῦρος δὲ λέγεται ὁ πονηρός.*

Or. 2 § 1. *Ἄγειν*] *Τὸ μὲν ἄγειν κυρίως ἐπὶ ἐμψύχων λέγεται· καταχρηστικῶς δὲ καὶ ἐπὶ ἀψύχων.*

§. 4. *Τοῖς δὲ τυράννοις*] *Ἀντὶ τοῦ· Τοῖς βασιλεῦσιν· ἀδιαφόρως γὰρ κέχρηνται τῷ ὀνόματι οἱ ῥήτορες.*

§. 7. *Καταλογάδην*] *Καταλογάδην λέγεται ὁ πεζὸς λόγος, καὶ μὴ ὢν ἔμμετρος.*

§. 20. *Τίμα ταῖς μὲν ἀρχαῖς τῶν τιμῶν κ. τ. λ. Ἀντίστροφος φράσις.*

§. 24. *Πλεονεκτεῖν*] *Τὸ Πλεονεκτεῖν καὶ ἐπὶ ἀρετῆς καὶ ἐπὶ κακίας.*

§. 28. *Ἀμφιγνοῇς*] *Ἀμφιβάλλῃς. Ἀγνοεῖν δὲ τὸ μηδ' ὅλως εἰδέναι.*

§. 30. *Φιλοτιμούμενος*] *Σεμνυνόμενος, ὑπερηφανευόμενος.*

§. 34. *Τοὺς μὲν σεμνυνομένους*] *Τοὺς ὑπερηφάνους.*

Συμμαχικόν nos: erat *συμμαχικός*. 9. *οὐ δι'* Sauppius: erat *ὅτι οὐ δ'*. 21. Isocrates 3 §. 11. 31. Isocrates 9 §. 78: *καὶ μὴ νόμιζέ με καταγιγνώσκειν, ὡς νῦν ἀμελεῖς, ὅτι πολλάκις σοι διακελεύομαι περὶ τῶν αὐτῶν.* 38. *τὸ ἐπίλοιπον ταύτης τῆς ὑποθέσεως ἀφίνεται, ἐπειδὴ ἀπὸ τοῦ ζητήσειεν ἕως εἰς τὸ παραινεῖν βιῶναι εὑρίσκεται εἰς τὰ σχόλια τοῦ κοραῆ εἰς τοὺς Ἰσοκράτους λόγους, ἴδε τ. ά. σελ. 443 καὶ 444.* Mustox.

1. *καὶ τὸν λόγον τοῦτον*] cf. argumentum orat. 11.

Scholia primus edidit Adamantius Coraes Isocratis vol. 1 p. 440 – 448, exscripta ex codice vaticano 65 (*A*). Prolegom. p. *πα'*: „*εἰς πολλὰ τοῦ ἀντιγράφου μου μέρη*, inquit, *εὑρίσκονται εἰς τὸ πλάγιον τῶν σελίδων καὶ ὀλίγα τινὰ σχόλια, μέρος ἀπὸ τὴν αὐτὴν τοῦ γράψαντος τὸ κείμενον, καὶ μέρος ἀπὸ πολὺ μεταγενεστέραν ἄλλην χεῖρα.*“ Dobson ea repeti iussit vol. 3 p. 785 sqq.

§. 39. *Περὶ μικρῶν ἐρίζοντας*] Ἤγουν τοῦ φυσιολογεῖν περὶ τῆς τοῦ κώνωπος φύσεως καὶ τῆς ψύλλης ..... τοιοῦτοι γὰρ οἱ κυμινοπρίσται καὶ .....

§. 45. *Τοῖς πολλοῖς*] Τοῖς μὴ φρονίμους.

§. 46. *Πρὸς τοῖς εἰρημένοις*] Ἀντὶ τῆς Σύν· ἤγουν σὺν οἷς ἀρχόμενοι εἰρήκαμεν.

§. 46. *Περὶ τῶν ἰδίων λογιζόμενοι κ. τ. λ.*] Ἤγουν λογοπραγούμενοι καὶ ἐξεταζόμενοι.

§. 51. *Ἢ τῶν πωλούντων*] Δῶρόν τι, ὃ ἐὰν παρὰ τῶν πωλούντων ἐξωνηθῇ, ὀλίγου ἂν ἠγοράσθη.

§. 54. *Καὶ πλείονος ἀξίας*] Πολλοῦ τιμώμενον καὶ πολλαπλάσιον τῆς τοῦ εἰσαχθέντος δώρου τιμῆς.

Or. 3 §. 1. *Δυσκόλως*] Ἐχθρῶς καὶ μεμισημένως.

§. 1. *Ἡδέως ἂν οὖν πυθοίμην*] Ἰστέον, ὅτι ἐν τοῖς προοιμίοις τούτοις πρότασιν λέγει καὶ εὐθὺς κατασκευήν· καὶ πάλιν προτείνει καὶ κατασκευάζει. Τοιοῦτος γὰρ Ἰσοκράτης, καὶ ἐν ἄλλοις αὐτοῦ λόγοις τοῦτο ποιῶν.

§. 3. *Θαυμάζω*] Ἀντὶ τοῦ Καταγινώσκω.

§. 3. *Τὴν ῥώμην καὶ τὴν ἀνδρίαν*] Ῥώμη μὲν ἐπὶ σώματος, Ἀνδρεία δὲ ἐπὶ ψυχῆς.

§. 9. *Ἕδη*] Ἑδράσματα, ἀγάλματα.

§. 23. *Τοῦτο μὲν γάρ*] Ἀριθμητικόν ἐστι τὸ σχῆμα, παρὰ τοῖς ῥήτορσιν οὕτω λαμβανόμενον· ὅταν εἴπωσι Τοῦτο μέν, σημαίνουσιν ἀντὶ τοῦ Πρῶτον.

§. 26. *Καὶ τοὺς θεοὺς ὑπὸ τοῦ Διὸς βασιλεύεσθαι*] Σημείωσαι, ὡς φαίνεται Ἰσοκράτης ἀπὸ τούτου μὴ ἀρεσκόμενος ἐπὶ τῇ πολυθεΐᾳ.

§. 33. *Δυσκόλως*] Φθονερῶς.

§. 34. *Ἦν καὶ*] Ὅρα, πῶς εἰς ἀνάγκην ἐλθὼν τοῦ εἰπεῖν κἂν οὐκ εἶπεν· ἐπειδὴ οἶδε σπανίως αὐτὸ λεγόμενον καὶ παραχαραττόμενον, ὡς τὸ παρὰ Μενάνδρῳ ἐν Μισουμένῳ·

Εἴσελθε κἂν νῦν, ὦ μακάριε.....

§. 43. *Οὐχ ἥκιστα*] Μάλιστα.

Or. 4 §. 136. *Τὰ μὲν ἔχει κ. τ. λ.*] Ὁ Δημοσθένης ἐν τοῖς Φιλιππικοῖς καὶ τῇ διανοίᾳ καὶ σχεδὸν τῇ λέξει ἐχρήσατο.

§. 139. *Εἰ μὲν γὰρ ἀπέφαινον αὐτὸν κ. τ. λ.*] Τοῦτο Δημοσθένης ἐν τοῖς Φιλιππικοῖς εἰληφὼς σαφῶς φαίνεται, μόνον μεγεθύνας.

Or. 5 §. 120. *Καὶ διαλαβεῖν τὴν Ἀσίαν*] Περὶ τῆς ἐπικαλουμένης ἰδίως Ἀσίας.

§. 141. *Πέρας ἕξειν*] Ἤγουν τέλος εἶναι τῶν καλῶν, καὶ μὴ ἔχειν πλέον τούτων.

Or. 6 §. 24. *Ἐκείνην δὲ ἐλάβομεν*] Ἤγουν τὴν ἀμφισβητουμένην Μεσσήνην.

§. 42. *Ἐξ ὧν τοῖς ἄλλοις προσέταττον*] Τετράκωλος περίοδος χιαστή·

Ἐξ ὧν τοῖς ἄλλοις προσέταττον — πρὸς τοὺς Ἕλληνας διαβληθέντας,
X
ἐξ ὧν δὲ τοὺς ὑβρίζοντας — παρὰ πᾶσιν ἀνθρώποις κ. τ. λ.

§. 46. *Τὸ πρὸς Διονύσιον ῥηθὲν*] Ἤγουν τὸ μικρὸν κῶλον τοῦτο νοήσας, τὸ „Καλὸν ἐντάφιον ἡ τυραννίς."

Or. 8 §. 17. *Πλεονεξίαν*] Ἤγουν πλέον ἔχειν καὶ κτᾶσθαι.

§. 23. *Πλεονεκτεῖν*] Πλέον ἔχειν.

§. 50. *Δεκάζων*] Δωροδοκῶν.

§. 55. *Ὡς ἐκεῖ σοφωτέρους ἐσομένους*] Κατ' εἰρωνείαν τὸ σχῆμα.

§. 100. *Οὐκ Ἠλείων μὲν .... εἰς δὲ τὴν Ἀργείων ἐνέβαλον*] Σχῆμα διαζεύξεως, τὸ λεγόμενον ἐφ' ἑκάστῳ.

§. 102. *Διὰ μὲν γὰρ τὴν ... τῆς ἡγεμονίας ἐστερήθησαν*] Τετράκωλος περίοδος ἀχίαστος.

§. 108. *Οὐχ ἡ μὲν τῶν Ἀττικιζόντων*] Ἀγχίστροφον τὸ σχῆμα.

§. 108. *Οὐ διὰ μὲν τὴν τῶν δημηγορούντων*] Τὸ σχῆμα ἀντίθετον.

§. 114. *Περὶ τῆς ἀρχῆς*] Τῆς κατὰ θάλατταν δηλαδή.

§. 130. *Εἰσαγγελίαις*] Ἤγουν κατηγορίαις.

Or. 9 §. 1. *Ὁρῶν, ὦ Νικόκλεις*] Τριῶν προοιμίων, ὡς εἴπομεν, μελλόντων λέγεσθαι, τὸ μὲν ἕν, τὸ πρῶτον, ἀποδίδωσι τῷ Νικοκλεῖ, ἔπαινον ἔχον αὐτοῦ, διότι οὕτω πολυτελῶς ἐτίμησε τὸν πατέρα τελευτήσαντα· τὰ δὲ ἄλλα δύο πρὸς αὐτὸν τὸν ἀπελθόντα. Ζητήσειε δ' ἄν τις ἐν τῷ λόγῳ τούτῳ, διὰ τί, ἐπιταφίου ὄντος καὶ τοῦ ἐπιταφίου ἀπαιτοῦντος παρὰ τὰ ἐγκωμιαστικὰ πάντα κεφάλαια πλέον τό τε θρηνητικὸν ἐν τῇ ἀρχῇ καὶ τὸ παραμυθητικὸν ἐν τῷ τέλει (ἐν γὰρ μόνοις τοῖς δύο τούτοις κεφαλαίοις διαφέρουσιν ὅ τε ἐπιτάφιος λόγος καὶ τὸ ἐγκώμιον), ἐνταῦθα δὲ παρῆκε τὰ δύο κεφάλαια; καὶ λέγομεν, ὅτι φαίνεται ἐκ πολλοῦ τοῦ χρόνου τετελευτηκὼς Εὐαγόρας· καὶ ὁ Ἰσοκράτης, νῦν πέμψας τὸν λόγον μετὰ πολὺ τοῦ ἐκείνου θανάτου, ἄτοπον ἡγεῖτο θρηνητικὸν τάττειν καὶ ἀναμιμνήσκειν τῶν θρήνων τῶν ὀφειλόντων πρὸ τοῦ λεχθῆναι παρ' αὐτὸν τὸν θάνατον. Εἰ δέ τις εἴποι, ὅτι, εἰ διὰ ταύτην τὴν αἰτίαν παρῆκε τὸ θρηνητικόν, διὰ τί καὶ ἐν τῷ τέλει ἐξέστη τοῦ εἰπεῖν τὸ παραμυθητικόν; λέγομεν, ὅτι, εἰ τοῦτο ἐπήγαγε, μὴ προηγησαμένου τοῦ θρηνητικοῦ, ἔτι πλέον ἀκαιρότερον ἐδόκει ποιεῖν. Ἔνθα

---

3. ταυτὶ μόνα μοι ἐξεγένετο ἀναγνῶναι ἐκ τοῦ ἀμυδρῶς γεγραμμένου σχολίου. Coraes.
5. Μισουμένῳ Dobsonus: erat Μισουμένη. v. Meinek. com. gr. vol. 4 p. 172. 11. Demosth. 9 §. 27 sqq.
15. Demosth. 2 §. 14 sq.

γὰρ εἰσι θρῆνοι, ἐκεῖ ὀφείλει καὶ ἡ παραμυθία παρέχεσθαι· εἰ δὲ μηδένα ἐθρηνήσαμεν τῷ λόγῳ, ὑπὲρ τίνος ἐμέλλομεν παραμυθεῖσθαι τοὺς τῷ γένει προσήκοντας; Ὥστε οὖν δύναται ὁ λόγος καὶ Ἐπιτάφιος λέγεσθαι, καὶ Ἐγκώμιον· Ἐπιτάφιος μέν, διότι εἰς τὸν τετελευτηκότα Εὐαγόραν γράφει τὸν λόγον, Ἐγκώμιον δέ, διότι παρῆκε τὰ δύο κεφάλαια τοῦ Ἐπιταφίου. Ἐνίκησε δὲ αὐτὸν τὸν λόγον Ἐγκώμιον μᾶλλον λέγεσθαι. Ἰστέον δὲ ὡς ὅτι ἀντὶ τῶν δύο τούτων κεφαλαίων ἕτερα δύο ἀντεισήγαγε, τό τε τρίτον προοίμιον, ὅπερ οὐκ ἔστιν εὑρεῖν ἐγκώμιον, ὡς προείρηται, καὶ τὸ παραινετικόν. Καὶ τὸ μὲν προσθεῖναι τρίτον προοίμιον ἦν ἀντὶ τοῦ θρηνητικοῦ· τὸ δὲ παραινετικὸν ἐν τῷ τέλει ἀντὶ τοῦ παραμυθητικοῦ· ἐν ᾧ αὐτῷ παραινεῖ ὅτι· „Ὀφείλεις, ὦ Νικόκλεις, μιμήσασθαι τὰς πράξεις τὰς τοῦ πατρός, ἃς νῦν διήλθομεν ἐν τῷ ἐπιταφίῳ.“ Διὰ τοῦτο γὰρ καὶ τὸ παραινετικὸν ἐν τῷ τέλει ἔταξε, καὶ οὐκ ἐν τῇ ἀρχῇ, ἐπειδὴ ἔδει πρῶτον ἀποδειχθῆναι τοῦ πατρὸς τὰς πράξεις, ἵνα πρὸς ταύτας ὕστερον δυνηθῇ αὐτῷ παραινεῖν βιῶναι.

§. . Εὑρήσομεν γὰρ τοὺς φιλοτίμους] Κατασκευὴ τοῦ προοιμίου.

§. 4. Αἱ μὲν οὖν δαπάναι] Συμπέρασμα τοῦ προοιμίου.

§. 5. Ἐχρῆν μὲν οὖν καὶ τοὺς ἄλλους] Δεύτερον, πρὸς τὸν πατέρα προοίμιον.

§. 5. Ἐπαινεῖν] Ἰστέον, ὅτι Ἔπαινος μὲν κυρίως κληθείη ὁ λόγος, ὁ ἐγκωμιάζων μόνην πρᾶξιν, Ἐγκώμιον δὲ τὸ περιλαμβάνον πολλὰς πράξεις. Ὅμως ἀδιαφόρως τούτοις κέχρηνται.

§. 6. Τοὺς ἐπέκεινα γενομένους] Οἷον Ἐριχθόνιος, Ἴναχος, Εὔμολπος.

§. 7. Οὐ μὴν δουλευτέον] Συμπέρασμα τοῦ προοιμίου.

§. 8. Οἶδα μὲν οὖν] Τρίτον προοίμιον, εἰς τὸν τελευτήσαντα.

§. 8. Σημεῖον δὲ μέγιστον· περὶ μὲν γὰρ ἄλλων] Κατασκευὴ τοῦ προοιμίου.

§. 11. Ὅμως δέ, καίπερ] Συμπέρασμα τοῦ προοιμίου.

§. 12. Πρῶτον μὲν οὖν] Εἰσβολὴ τῶν ἐγκωμίων.

§. 13. Ὁμολογεῖται μὲν γὰρ] Ἄρχεται μὲν ἀπὸ τῶν προγόνων. Εἰ δέ τις εἴποι, διὰ τί παρῆκε τὸ ἀπὸ πατρίδος; οὕτω γὰρ ὀφείλει διωρίσθαι τὸ ἐγκώμιον, πρῶτον ἀπὸ πατρίδος, εἶτα ἀπὸ προγόνων, εἶτα ἀπὸ ἀνατροφῆς, ἀπὸ πράξεων, καὶ συγκρίσεων, καὶ ἐπιλόγων· λέγομεν, ὅτι οὐδὲν μέγα εἶχεν εἰπεῖν εἰς τὴν θέσιν τῆς πατρίδος, τῆς Σαλαμῖνος. Δεῖ δὲ ἐν πᾶσι τὰ συμφέροντα καὶ τὰ ἀναγκαίως ὀφείλοντα λεχθῆναι λέγειν, οὐ μέντοι ὅσα διδάσκει ἡ τέχνη· μᾶλλον δὲ τέχνη ἀνέγκλητον τὸ ἐπιτηδείως ἀποδοκιμάζειν τὰ μὴ ὀφείλοντα ἕπεσθαι.

§. 22. Ἐκρατίστευσεν] Σημείωσαι, ὡς γράψαι τις Κρατιστείαν ἀπὸ τοῦ Κρατιστεύω, ὡς ἀπὸ τοῦ Ἀριστεύω Ἀριστείαν.

§. 28. Τὴν κάθοδον] Ἐπάνοδος μὲν γάρ ἐστι τὸ ἐπανελθεῖν τινα εἰς τὴν ἰδίαν πατρίδα, ἐξελθόντα ἐξ ἀρχῆς μηδενὸς βιασαμένου· Κάθοδος δέ, ὅταν τις ἄκων ἀποδημήσῃ καὶ φυγαδευθῇ, ἢ συμφορᾶς τινος προηγησαμένης ἢ διὰ φόβον τυράννων ἢ τι τοιοῦτον.

§. 37. Κῦρον] Διὰ τί, ἀεὶ μετὰ τὰς πράξεις τιθεμένης τῆς συγκρίσεως, ἐν τῷ μεταξὺ τῶν πράξεων παρήγαγε σύγκρισιν πρὸς Κῦρον, τὴν ἀπὸ τοῦ μείζονος; Λέγομεν, ὅτι δεῖ μὲν αὐτὴν μετὰ τὰς πράξεις, εἰ δὲ ἀνάγκη τις, καὶ μεταξὺ τούτων, καὶ οἱωνδήποτε, οὐ παραιτητέον αὐτὴν τιθεμένους, χωρὶς τῶν προοιμίων.

§. 54. Σεμνὸς] Τὸ Σεμνὸς διττῶς λέγεται, καὶ ἐπὶ τοῦ ὑπερηφάνου καὶ ἐπὶ τοῦ σεμνῶς ποιοῦντος τὰ πράγματα.

§. 47. Οὔτε τέχνας ἐπισταμένην κ. τ. λ.] Εἴ τις οὖν εἴποι, Καὶ πόθεν ἔξων μηδενὶ τούτων κεχρημένοι; λέγομεν ὅτι μάλιστα μὲν ἔξεστιν ἐν ἐγκωμίῳ ψεύδεσθαι.

§. 49. Ἀπροσδοκήτως] Μὴ προσδεχόμενοί τινας τῶν Ἑλλήνων.

§. 55. Τὰ περὶ τὴν ἤπειρον] Ἤγουν τὰ περὶ τὴν Ἀσίαν· καὶ αὕτη γὰρ Ἤπειρος καλεῖται.

Or. 10 §. 1. Καὶ καταγεγηράκασιν, οἱ μὲν κ. τ. λ.] Κατασκευὴ τοῦ προοιμίου, πῶς τινὲς ἀτόπους ποιοῦσιν ὑποθέσεις. Ἰστέον ὅτι τρία εἴδη προοιμίων τὰ κεφαλαιωδέστατα, ἓν μὲν τὸ πρὸς κατηγορίαν τῶν ἐναντίων λαμβανόμενον, δεύτερον δὲ τὸ πρὸς θεραπείαν τῶν δικαστῶν, τρίτον τὸ ἕνεκα τοῦ προσώπου αὐτοῦ τοῦ λέγοντος. Εἰ δέ τις ἀκριβῶς ζητήσοι, εὑρήσει ὅτι καὶ τὰ τρία ἕνεκα τοῦ ἰδίου προσώπου τοῦ λέγοντος γίγνεται.

§. 12. Βομβυλιοῖς] Οἱ μὲν λέγουσιν εἶδος Καυκαλίου, οἱ δὲ εἶδος μυίας, ὥσπερ ἡ ἐμπίς.

§. 14. Τὸν γράψαντα περὶ τῆς Ἑλένης] Πολυκράτην λέγει τὸν σοφιστήν.

§. 63. Θεράπναις] Κωμύδριον τῆς Λακωνικῆς.

Or. 11 §. 3. Γιγνώσκω μὲν οὖν, ὅτι κ. τ. λ.] Δεύτερον προοίμιον, ἔννοιαν ἔχον τοῦ μὴ δεῖν τὸν Πολυκράτην ἐπαχθῶς φέρειν πρὸς τὴν νουθεσίαν· ὅπερ πάσχουσιν οἱ μωροί.

§. 9. Ἵνα δὲ μὴ δοκῶ] Ἰστέον, ὅτι συμπέρασμα τοῦ προοιμίου, καὶ εἰσβολὴ τοῦ ἐγκωμίου.

---

11. ἐγκώμιον] Immo περὶ ἐγκωμίου vel tale quid. Spp. 15. Isocrat. or. 9 §. 76 sqq. 28. μόνην] immo μίαν μόνην. 29. περιλαμβάνον Coraes coll. Suida I p. 671 F.; liber παραλαμβάνον.
16. immo οἱωσδήποτε et v. 17 τιθεμένην.

§. 9 *Οὐδὲ σεμνοὺς λόγους ἔχουσαν*] Ἰστέον, ὅτι αἱ προσποιήσεις αὗται ῥητορικαί εἰσι, τὸ ἐξ ἀρχῆς μετριάζειν, ἵνα, ὅταν ἀγωνίσηται καλῶς, μετὰ τὴν ἐπίδειξιν πλέον θαυμάζηται.

§. 33. *Ἀλλὰ καὶ τῆς ἰδίας ὅλης ... διημαρτηκώς*. Ἰστέον, ὅτι εἰ καὶ δεῖ ψεύδεσθαι ἐν τοῖς ἐγκωμίοις καὶ τῶν προσόντων ἀγαθῶν μείζονα λέγειν, ἀλλ᾽ οὐκ ἀδύνατα γίνεσθαι. Εἰ δὲ μή, τοὐναντίον δόξομεν κατηγορεῖν τοὺς ἐγκωμιαζομένους ἢ ἐπαινεῖν, ἐλεγχόμενοι παρὰ τοῖς ἀκροαταῖς ψευδόμενοι φανερῶς, ἀποδεικνύντες τὸν ἐπαινούμενον μὴ πεπραχότα ταῦτα.

Or. 12 §. 47. *Ἐξ ὧν μὲν ἡμεῖς ἐπράττομεν κ. τ. λ.*] Συμπέρασμα κατὰ χιασμόν, μὴ ἀναστρέφον πρὸς τὴν διάνοιαν τοῦ λόγου·

ἐξ ὧν μὲν ἡμεῖς ἐπράττομεν — X — *ἐξ ὧν δὲ Σπαρτιᾶται,*

αὐξάνεσθαι τὴν Ἑλλάδα κ. τ. λ. — X — *τὴν ἐκείνων μόνην μεγάλην κ. τ. λ.*

§. 125. *Θεοφιλεῖς*] Τοῦτο οὕτω νοητέον· οὐχὶ φιλοῦντας τοὺς θεούς, ἀλλ᾽ ὑπὸ τῶν θεῶν φιλουμένους.

§. 126. *Ὁ φύς*] Ὁ γενόμενος.

Or. 13 §. 8. *Ἀδολεσχίαν*] Ἀδολεσχία ἡ πάνυ φλυαρία, ἤγουν ἡ πλείστη.

§. 19. *Καὶ τὰς καλουμένας τέχνας γράψαι τολμήσαντες*] Τισίαν καὶ Κόρακα λέγει τοὺς Συρακουσίους, Γοργίαν καὶ Θρασύμαχον, οἳ πρῶτοι ῥητορικὰς τέχνας ἔγραψαν.

SCHOLIA IN AESCHINEM.

p. 719 ed. Reisk.

I. IN TIMARCHEAM.

§. 1. *οὔτε γραφὴν γραψάμενος οὔτε εὐθύνας*. γραφὴ καὶ δίκη καὶ εὔθυναι διαφέρουσιν ἀλλήλων. δίκη μὲν γὰρ ἰδιωτικόν πρᾶγμά ἐστι, γραφὴ

Scholiorum aeschineorum duo sunt genera. Alterum est eorum, quae Josephus Scaliger in marginibus exempli oratorum graecorum aldini adscripserat. Quod exemplum cum prius Eduardi Bernardi fuisset, deinde in bibliothecam bodleianam Oxoniensium illatum est. In usum J. J. Reiskii scholia timarcheae Griesbachius, theologus clarissimus, exscripsit, orationis secundae et tertiae Whyte, Oxoniensis. Postea ab A. Askewio exemplum stephanianae ad Reiskium transmissum est, in quo eadem illa scholia erant, e libro Bernardi a J. Tayloro adnotata. Etiam tertium eorum apographum Reiskius nactus est. Ex alia enim aldina, quae cum antea P. Wesselingii fuisset deinde in bibliotheca ultraiectina asservabatur, eadem scholia, manu eiusdem Jos. Scaligeri, ut credebatur, adnotata, Goensius exscripsit (Reiske Aeschin. t. 1 p. 713 sqq.). Haec scholia fere omnia sunt admodum levia, qualia grammaticorum infimae aetatis esse solent, ac J. Scaliger nonnulla videtur e lexicographis ipse addidisse. — Multo graviora sunt scholia generis alterius. Quae ad timarcheam pertinent, e codice meadiano (cf. Reisk. Aeschin. 1 p. 771. Fr. Franke praef. timarch. p. XIV sq.) a J. Tayloro exscripta Reiskius edidit. Similem meadianae, sed haud paullo copiosiorem scholiorum collectionem I. Bekker in duobus codd. parisinis coisliniano 249 (*f*) et regio 3003 (*m*) invenit. Ea, quae ad ctesiphonteam pertinent, cum Aeschinis et Demosthenis orationibus, quae sunt de corona, Halis 1815 edidit. Scholia timarcheae et orationis secundae, quae est de falsa legatione, in commentariis academiae literarum berolinensis a. 1836 p. 227 seqq. evulgavit, ita tamen ut ea tantum adnotaret, quae vel in reiskiana non essent vel codices sui aliter haberent. Quae priusquam Bekkerus edidit, I. Th. Voemelius scholia cod. *m* suo sumtu exscribi iusserat. Atque hoc apographum cum Fr. Frankio liberaliter communicavit: qui timarcheae Casselis a. 1839 a se editae scholia huius or. addidit (p. 122 — 180). Inde intelligimus, scholia codicum *m* et *f* fere nihil inter se discrepare, sed hoc ipso consensu effectum esse, ut Bekkerus unum cod. *f* sequeretur, alterum bis terve tantum inspiceret. Hoc Fr. Frankii iudicium verum esse confirmat E. Milleri, bibl. reg. paris. codd. graecorum custodis, auctoritas. Is enim cum scholia codicis *m*, quae ad orationem secundam pertinerent, usque ad §. 71 exscripsisset et cum cod. coisl. 249 (*f*) et regio 2996 (*i*) contulisset, apographum suum singulari prorsus liberalitate nobis donavit. Maior pars etiam horum scholiorum talis est, ut nihil nisi fastidium legentis moveant, sed haud pauca tamen insunt, quae taedium leniant; quaedam gravitate et bonitate cum iis, quae in hoc genere optima sunt, scholiis Aristophanis, Aristidis, Apollonii, Sophoclis conferri possunt. Nos emendandi et adnotandi laborem haud parum illum molestum ita sustinuimus, ut quicquid vel ab aliis vel a nobis contra codices positum esset indicaremus, locis desperatis lectiones codicum adscriberemus, cetera silentio premeremus. His vero siglis usi sumus: *B* = bernardina scholia (B^g, B^t, B^w = apographum Griesbachii, Taylori, wesselingianae), *q* = meadianus, *m* = regius 3003, *f* = coislinianus 249, *i* = regius 2996.

δὲ δημόσιον. καὶ ἡ μὲν ὀλίγοις νόμοις ὥρισται ἡ καταδίκη, τῇ δὲ γραφῇ τιμᾶται τὸ δικαστήριον ὁπόσον τι βούλοιτο. δηλοῖ δὲ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου τὴν διαφοράν. ἤδη μέντοι συγχέουσιν ὥστε ἐπιμίσγειν. εὔθυναι δ' εἰσὶ καὶ αἱ κατὰ τῶν ἀρξάντων ἢ δημόσιόν τι διοικησάντων ἀποτιθέμεναι γραφαί. ἦσαν δ' ἐπὶ τούτων ᾑρημένοι λογισταὶ δέκα τὸν ἀριθμόν. ἐνίοτε μέντοι καὶ εἰσαγγελίας κατὰ τῶν εὐθυνομένων ἀπετίθεντο. ἐκ τούτου δὲ δῆλον, ὅτι πρῶτον ἔγραψε τὸν κατὰ Τιμάρχου λόγον. [Ἄλλως.] διαφέρει γραφὴ εὐθύνης, καθὸ ἡ μὲν γραφὴ περὶ μόνων ἐστὶν ἐγγράφων, ὅταν τις κατηγορῆται ἢ παράνομον γράψας νόμον ἢ ψήφισμα ἤ τι τοιοῦτον, ἡ δὲ εὔθυνα ἀπολογία ἐστὶν ὑπὲρ ὧν κατεπιστεύθη παρὰ τῆς πόλεως, οἷον πρεσβείαν, στρατηγίαν καὶ τὰ τοιαῦτα. fm

Ἐπιεικείας συστατικὸν τὸ οὔτε γραφὴν γραψάμενος οὔτ' ἐν εὐθύναις λυπήσας. γραφὴ μὲν δημόσιον πρᾶγμα, δίκη δὲ ἰδιωτικόν, εὐθύνη δὲ ὅταν πρεσβευτὴν ἢ ἄρχοντά τις κρίνῃ. τὸ προοίμιον κατ' ἐπιείκειαν ἀπολογίας, ἐκ προτάσεως, ἐκ κατασκευῆς, ἐξ ἀποδόσεως, ἥτις ἐστὶν ἀξίωσις, καὶ ἐκ βάσεως. q.

γραψάμενος] ἢ κατηγορίαν ἀποθέσθαι. q.

[Τὸ γὰρ ἀπενεγκεῖν, ἐπαναγαγεῖν, ἐπαγγεῖλαι, γράψασθαι, ἐγγράψασθαι, ἀποθέσθαι γραφήν, κοινῇ ταῦτα φαίης ἂν ἐγκλήματα, καὶ ὡς Πλάτων ἐπικλήματα, καὶ ἐγκαλεῖν καὶ ἐπικαλεῖν. καὶ κατηγορία δ' ἂν εἴη τὸ αὐτὸ τοῦτο καὶ αἰτία, ὡς Αἰσχίνης, καὶ ὡς Πλάτων αἰτιάσεις καὶ διώξεις. q.]

ὃν δὲ τρόπον] ὃν τρόπον οὗτος καταισχύνει τὴν πόλιν, οὐχ ὃν τρόπον συκοφαντεῖ αὐτόν. πάρεστι γὰρ κατηγορήσων, οὐκ ἀπολογησόμενος. qfm.

720 §. 2. τῇ τε πόλει — ἐμαυτῷ] δείνωσιν ἔχει πολλὴν καὶ αὔξησιν κατηγορίας ὁ ἐπιμερισμὸς τῶν πραγμάτων. qfm.

οἷς — ἀναγιγνώσκοντος] ἀνάγκη προαναγνῶσθαι ἐφ' οἷς πάρεστι κατηγορῆσαι λόγου χάριν. fm.

ἐπήγγειλα] ἑταιρήσεως ἦν ἡ γραφὴ καὶ δοκιμασία καὶ ἐπαγγελία. καὶ ταῦτα τῆς κατὰ ἡταιρηκότων κατηγορίας τὰ ὀνόματα. q.

προσεκαλεσάμην εἰς τὸ δοκιμασθῆναι, ἐδήλωσα, ὅτι ἐπὶ τοῦτο καλῶ. Αἰσχίνης δὲ ἐπήγγειλε δοκιμασίαν Τιμάρχῳ, ὅτι παρὰ τοὺς νόμους ἑταιρήσας δημηγορεῖ. δοκιμασία δέ ἐστι κυρίως ἐξέτασις περὶ ἀρχῆς. fm.

§. 3. τοῦ μὲν οὖν] δεύτερον προοίμιον. q.

δημηγορεῖν] ἤγουν ἐν βουλῇ καὶ ἐν δικαστηρίῳ. q. μὴ λέγειν ἐν βουλῇ, μηδ' ἐν δικαστηρίῳ, μηδ' ἐκκλησίᾳ. m.

οὐ χαλεπὸν — ῥᾴδιον] παραλογίζεται ἐνταῦθα λέγων τὸ σιωπᾶν ῥᾴδιον ἐπὶ ῥήτορι ὄντι Τιμάρχῳ. fm.

μὴ συκοφαντεῖν] φασὶν ὅτι διηχθρεύσατο Αἰσχίνῃ ὁ Τίμαρχος, ἐπεὶ ἐδόκει ὁ Αἰσχίνης τὰ Φιλίππου φρονεῖν. καὶ γὰρ εἶχεν ἀγρὸν ὁ Αἰσχίνης ἐν Πύδνῃ τῆς Μακεδονίας. οἱ δὲ διὰ τὴν γραφὴν τὴν τῆς παραπρεσβείας, ἣν ἀπέθετο μετὰ Δημοσθένους κατ' αὐτοῦ, ὃ καὶ μᾶλλον. fm.

§. 4. τυραννίς] οὐκ ὀρθῶς ὁ Αἰσχίνης τὴν τυραννίδα πολιτείαν ἐκάλεσεν. ἡ μὲν γὰρ πολιτεία ἐκ νόμων συνέστηκεν, ἐν δὲ τυραννίδι οὐκ εἰσὶ νόμοι, ἀλλὰ παρανομίαι. καὶ ἐκ τούτων δὲ δῆλον, ὡς οὐ διήκουσε Πλάτωνος. οὗτος μὲν γάρ φησι τρεῖς εἶναι πολιτείας, Πλάτων δὲ καὶ δύο καὶ πέντε καὶ ἑπτά. qfm

§. 5. τῶν τυράννων] σημείωσαι παρὰ τοῖς παλαιοῖς τυραννίδα τὴν βασιλείαν καλουμένην. fm.

ἐν χειρῶν νόμῳ] οὕτω λέγουσι τὸ διὰ μάχης· ἐν χειρῶν νόμῳ. καὶ φαμέν· ὁ δεῖνα ἐν χειρῶν νόμῳ ἐτελεύτα, οἷον ἐν αὐτῇ τῇ μάχῃ. qfm.

§. 6. προσήκειν — νομίζω] ἐπειδὴ πρεσβύτερος ὢν ὁ Τίμαρχος κρίνεται, φοβεῖται τοῦτο ὁ Αἰσχίνης. καί φησιν, ὅτι οὐ δεῖ ζητεῖν νῦν, ἥπερ ἔχουσιν οἱ νόμοι, οἱ κελεύοντες αὐτὸν ἄτιμον εἶναι, ἀλλὰ δεῖ πάντας τὰ ἐκ τῶν νόμων πράττειν. qfm.

ὁ Σόλων] Δράκοντος νεώτερός ἐστι κατὰ τὴν νομοθεσίαν ὁ Σόλων ἔτεσιν ρ'. ὁ δὲ Δράκων ἔγραψε τοὺς φονικοὺς νόμους. qfm. 721

οἱ νομοθέται] τοὺς μετὰ Σόλωνα λέγει, οὐχ ὡς αὐτοὶ ἐνομοθέτησαν, ἀλλ' ὅτι μὴ ἔλυσαν. τῷ γὰρ μὴ λῦσαι δηλοῦσι συντιθέμενοι. qfm.

§. 7. μειρακίων] παῖδας τοὺς ἀνήβους, μείρακας τοὺς ἀρξαμένους ἡβᾶν, ἕως ἂν ἐκ τῶν ἐφήβων ἐξελθόντες ἐγγραφῶσιν εἰς ἄνδρας. qfm.

§. 8. βούλομαι δή] ἐντεῦθεν ἡ κατάστασις αναμεμιγμένη τοῖς ἀγῶσι. τοῦτο δὲ κατ' ἐπαγγελίαν τὸ σχῆμα. ἔστι δὲ ἡ κατάστασις ἀναμεμιγμένη τοῖς ἀγῶσιν, ἐπεὶ ἠπόρει μαρτύρων ἐνταῦθα, καὶ ὅπως λάθοι τοὺς δικαστάς. qfm.

εὐμαθεῖς] εὐμαθὴς λόγος λέγεται ὁ εὔγνωστος

1. ἡ μὲν Baiterus: libri ἡ μέν. ὀλίγοις, ὀλίγ τοῖς Baiterus, ἐν τοῖς Sauppius coll. Meier. de lit. att. p. 173. 4. ἐπιμίσγειν Frankius: libri ἐπισμίγειν. 5. εὔθυναι Sauppius: εὔθυνα (vel εὐθύνη) δέ, ὅταν πρεσβευτὴν ἢ ἄρχοντά τινά τις κρίνῃ. εὔθυναι libri. sed pertinent illa ad aliud Scholium: cf. v. 18. εἰσὶ καὶ] malim εἰσίν. Spp. 10. Ἄλλως addidit Frankius. 16. συστατικὸν Frankius: συστατικὰ q. 23. Cancellis seclusa, quae Taylorus e cod. q enotavit, loco ad quem pertinerent non indicato, cum Reiskio huc retulimus. Desumta sunt e Pollucis l. 8 §. 29 sq. 25. καὶ ὡς Pollux l. d.: erat καί. 28. immo αἰτιάσει. Spp. 37. immo ἦν γραφή. Spp.

3. μηδ' Scheibius (in Jahnii annall. XXXV p. 143): μὴ m. μηδ' ἐκκλησίᾳ Baiterus: μὴ δοκιμασία m. 6. ἐπὶ m: ἐστι f. 16. οὐ διήκουσε mg. f: οὐδὲ . . . . q, οὐδὲ ᾖσαν m. 22. ἐν χειρῶν nos: libri χειρῶν. ὁ δεῖνα nos: libri ὁ δεῖνα ἔχων διὰ μάχης. 26. ἥπερ ἔχουσιν Sauppius: libri εἰ περιέχουσιν. 27. οἱ κελεύοντες nos: libri κελεύοντες. 28. πάντας q: πάντα reliqui. 36. ἕως ἂν Reiskius: ἐν ἂν B[4], erat ἕως.

καὶ εὐκόλως καταλαμβανόμενος, ὡς ἐνταῦθα καὶ παρὰ Σοφοκλεῖ·

ὡς εὐμαθές μοι, κἂν ἄγνωστος ᾖς ὅμως,
φώνημ' ἀκούω καὶ ξυναρπάζω φρενί. fm.

§. 10. σκότος] αἰδὼς γὰρ ἐν ὀφθαλμοῖς, καὶ νὺξ ἀναίσχυντος. B.

εισφοιτῶντας — περὶ τῆς συμφοιτήσεως] ἐκεῖ μὲν τίνας δεῖ φοιτᾶν, νῦν δὲ πῶς μετ' ἀλλήλων εὑρίσκεσθαι. ἐν τοῖς χοροῖς δὲ τοῖς κυκλίοις μέσος ἵστατο ὁ αὐλητής. fm.

ἀρχὴν] οἱ καλούμενοι παιδονόμοι. m.

Μουσείων] κατὰ κοινοῦ τὸ παρακελεύεται ὁ νομοθέτης. θέλει δὲ ειπεῖν, ὅτι ἀγαλμάτια ἦν, ὥσπερ καὶ ναΐσκάρια, ἐν τῷ ἐνδοτέρῳ οἴκῳ τῶν διδασκαλείων καὶ τῶν παλαιστρῶν, Μουσῶν καὶ Ἑρμοῦ καὶ Ἡρακλέους. ἐκεῖ δὲ ἔσω ἀπέκειτο ὕδωρ, ἵνα μή τις διψήσῃ τῶν παίδων. προσποιούμενοι δὲ δίψην εἰσήρχοντο καὶ ἐκεῖσε ἔσω ἠχρειοῦντο μετ' ἀλλήλων. ἐκέλευσεν οὖν ὁ νομοθέτης περὶ τούτου εἶναι ἐπιμέλειάν τινα. qfm.

Ἑρμαίων] ἑορτὴ τοῦ Ἑρμοῦ ὡς ἐφόρου ὄντος τῶν ἀγώνων. qfm.

722 τῶν χορῶν τῶν ἐγκυκλίων] ἐξ ἔθους Ἀθηναῖοι κατὰ φυλὰς ἵστασαν ν' παίδων χορὸν ἢ ἀνδρῶν, ὥστε γενέσθαι δέκα χορούς, ἐπειδὴ καὶ δέκα φυλαί. διαγωνίζονται δ' ἀλλήλοις διθυράμβῳ, φυλάττοντος τοῦ χορηγοῦντος ἑκάστῳ χορῷ τὰ ἐπιτήδεια. ὁ δ' οὖν νικήσας χορὸς τρίποδα λαμβάνει, ὃν ἀνατίθησι τῷ Διονύσῳ. λέγονται δ' οἱ διθύραμβοι χοροὶ κύκλιοι καὶ χορὸς κύκλιος. qfm.

§. 11. τετταράκοντα ἔτη] καὶ πῶς ὁ Δημοσθένης τριάκοντα ἔτη ἔχων ἐγίνετο χορηγός; ἀπορίᾳ δηλονότι χορηγῶν. qfm.

§. 13. ἐκ γὰρ τοῦ κτλ.] αποδείξεις τοῦ γίνεσθαι ἐν τῇ πόλει. m.

κατ' αὐτοῦ] οἱ μὲν ἐπάνω διορισμοὶ τοῦ νόμου ῥητά εἰσιν. εἶτα τὸ λοιπὸν τοῦ νόμου ἰδίας ἀφ' ἑαυτοῦ φησι· κατ' αὐτοῦ μὲν καὶ τὰ ἑξῆς. qfm.

ἐπαναγκες] ἐξῆν γὰρ αὐτῷ, εἰ ἐβούλετο, τρέφειν τὸν πατέρα, μὴ βουλόμενον δὲ οὐκ ἠνάγκαζεν ὁ δῆμος. qm.

ἡβήσαντι] ἀντὶ τοῦ τελειωθέντι, εἰς ἄνδρας ἐγγραφέντι. qm.

καὶ τἄλλα — νομιζόμενα] σπένδειν, ἀπάρχεσθαι, τὰς ἡμέρας ἐπιτελεῖν. qfm.

§. 14. ὄνησιν] ἤγουν τὸ εὖ πάσχειν παρὰ τῶν παίδων. q.

τὴν παρρησίαν] πῶς λέγει· κατ' αὐτοῦ μὲν τοῦ παιδὸς οὐκ ἐᾷ γραφὴν εἶναι, ἐνταῦθα δε, ὅτι ἀφαιρεῖ αὐτοῦ τὴν παρρησίαν; ἀνάγκη γάρ, εἰ τολμήσῃ λέγειν, γράφεσθαι καὶ εὑρίσκεσθαι φύσει ἀντινομίαν· ὅπερ οὐχ οἷόν τε. φαμὲν οὖν, ὅτι ἡσυχάζοντα αὐτὸν οὐ γράφεται, ὥσπερ ἐπὶ τῶν ἑκουσίως ἡταιρηκότων, ἀλλὰ λέγειν βιαζόμενον. εἰ γὰρ θέλει λέγειν, κωλύει ὁ νόμος. fm.

§. 15. τίμημα ἐπέθηκεν] τῇ τῆς ὕβρεως γραφῇ ὁ νόμος ἐπέθηκε τίμημα οὐχ ὡρισμένον τι, ἀλλ' ὅ τι ἂν τὸ δικαστήριον ἢ εἰς χρήματα ἢ εἰς τὴν ἄλλην ἐπιτιμίαν καταδικάσῃ. fm.

§. 16. οἱ θεσμοθέται ἄλλα μὲν τοιοῦσι κοινῇ, ἰδίᾳ δέ, πότε δεῖ δικάζειν τὰ δικαστήρια καὶ τὰς εἰσαγγελίας εἰσάγειν εἰς τὸν δῆμον, καὶ τὰς χειροτονίας καὶ τὰς προβολὰς εἰσάγουσι καὶ τὰς τῶν παρανόμων γραφὰς καὶ ἕτερα. q.

§. 18. ἐγγραφῇ — γραμματεῖον] τὴν ἐφημερίδα λέγει τὴν δημοσίαν, εἰς ἣν ἐνεγράφοντο οἱ τελεωθέντες τῶν παίδων, οἷς ἐξῆν ἤδη τὰ πατρῷα οἰκονομεῖν καὶ τῶν λήξεων ἄρχειν. B. ἤγουν ἐπειδὰν γένηται ἐννόμου ἡλικίας. ὁ εἰς τὸ ληξιαρχικὸν γραμματεῖον ἐγγραφεὶς ἤδη τὰ πατρῷα παρελάμβανεν· ἡ δὲ πατρῴα οὐσία καὶ λῆξις ἐκαλεῖτο. ἦσαν δὲ ἓξ [ληξίαρχοι], οἳ τοὺς [μὴ] ἐκκλησιάζοντας ἐζημίουν καὶ τοὺς ἐκκλησιάζοντας ἐξήταζον. q.

ὡσανεὶ ἔλεγεν· ὅταν γένωνται τῆς ἐννόμου ἡλικίας. 723
ἐνεγράφοντο δὲ ἀπὸ ἐτῶν ιη', καὶ δύο ἔτη εἰς τοὺς ἐφήβους ἐτέλουν καὶ ἐφύλαττον τὰ φρούρια περὶ τὴν πόλιν. ἀπὸ εἴκοσι δὲ ἐτῶν ἐπολέμουν. qm. ἐκλήθη δὲ ληξιαρχικὸν ἀπὸ τῆς λήξεως, ὅ ἐστι τῆς οὐσίας, τοῦ κλήρου, καθώσπερ ἐξουσίαν ἐλάμβανε τῶν πατρῴων αὐτὸς ὁ ἐγγραφείς, εἰ ἦν ὑπὸ ἐπιτρόποις· ἀπὸ τοῦ τοὺς ἐν αὐτῷ γραφομένους ἄρχειν τῆς λήξεως, ὅπερ ἐστὶ τοῦ κλήρου. ἐγράφοντο δὲ ἐνταῦθα οἱ τέλειοι γινόμενοι καὶ δυνάμενοι τὰ κοινὰ διοικεῖν. Ἄλλως. εἰς ὃ ἀνεγράφοντο οἱ τῆς νομίμου πολιτείας καὶ ἡλικίας γενόμενοι, οἷς ἐξῆν οἰκονομεῖν τὰ πατρῷα. καὶ ἦν τὰ γραμματεῖα ταῦτα παρὰ τοῖς δημόταις, ἔνθα ἀνεγράφοντο οἱ ἐκ παίδων γινόμενοι μειρακίσκοι, ἴσως ὅτι ἔξεστι τούτοις λαγχάνειν τινὰς ἀρχὰς ὡς ἤδη νοοῦσιν. m.

αὐτῷ Τιμάρχῳ] ὡσανεὶ ἔλεγεν ἀλλ' ἤδη αὐτῷ τῷ ἡταιρηκότι, ὄνομα τῆς ἀσελγείας ποιούμενος

---

3. Soph. Aiac. v. 15 sq. 7. erat εἰσφοιτῶντας] περὶ τῆς συμφοιτήσεως ἐκεῖ. 10. ἵστατο ὁ nos: libri ἵστατο. 11. ἀρχὴν] οἱ καλούμενοι παιδονόμοι m. nos: ἀρχὴν] διὰ τοὺς σώφρονας q. παιδαγωγῶν] οἱ καλούμενοι παιδονόμοι m. 18. ἠχρειοῦντο f: ἠχρηστοῦντο reliqui. 19. τούτου f: τούτων reliqui. 33. ἐκ γὰρ τοῦ κ. τ. λ. nos: erat γινομένων. 41. σπένδειν Frankius: libri σπεύδειν.

3. γὰρ Sauppius: libri δέ. 4. ἀντινομίαν Frankius: libri ἀντινομία. 16. προβολὰς Frankius: libri προυβολάς. 18-21. cf. Harpocrat. p. 120, 16. 24. ἓξ ληξίαρχοι οἳ Sauppius: libri ἑξῆς οἱ. cf. Polluc. 8 §. 104. μὴ addidimus e Poll. l. d. 30. πόλιν q: ἀκρόπολιν reliqui. 32. καθώσπερ Sauppius: libri καθὸ ὥσπερ. 43. ἀλλ' ἤδη αὐτῷ τῷ ἑταιρηκότι huc transponenda esse vidit Sauppius, cum legerentur p. 14 v. 2 post v. ὑπόνοιαν.

Τίμαρχον. τοῦτο δὲ τὸ σχῆμα καλεῖται παρ' ὑπόνοιαν. qm.

§. 19. *στεφανηφόρος*] ἡ ἀρχὴ αὕτη ἐν Ἀθήναις σεμνὴ καὶ στεφανηφοροῦσα· οἱ γὰρ ἐννέα ἄρχοντες στέφανον ἐφόρουν μυρρίνης. ἦσαν δὲ ἄρχων, βασιλεύς, πολέμαρχος καὶ θεσμοθέται ἕξ. οὗτοι δὲ οἱ ἐννέα ἄρχοντες μετὰ τὸ ἐξελθεῖν ἐκ τῆς ἀρχῆς Ἀρεοπαγῖται γίνονται. qm.

724 *ἱερώσασθαι*] οὐ παντὶ τῷ βουλομένῳ ἐξῆν ἱεροῦσθαι, ἀλλὰ τὸ ἐκ γένους καταγομένῳ ἱερατικοῦ. οὕτω δὲ καὶ τὸ *μηδὲ κηρυκευσάτω*. qfm.

συνδικησάτω] ἀντὶ τοῦ μὴ γενέσθω ἐκ τοῦ μεγάλου δικαστηρίου, τῆς ἡλιαίας, ὅτε ὁ δῆμος δικάζει. qfm.

§. 20. *κηρυκευσάτω*] ἄξιον ἀπορεῖν. τὸ γὰρ τῶν Κηρύκων γένος πρόσθεν ἦν ἱερόν. καὶ οὕτω λέγονται κήρυκες περὶ τὰ μυστήρια τὰ τῶν θεῶν ὄντες. δεῖ δὲ λέγειν, ὅτι τῷ ἐκ τοῦ γένους ἀπαγορεύει κηρυκεύειν, ἄν τι πάθῃ. Ἄλλως. Κηρύκων ἐστὶν ἐν Ἀθήναις γένη τέσσαρα, πρῶτον τὸ τῶν πανάγνων, οἵ εἰσιν ἀπὸ Κήρυκος τοῦ Ἑρμοῦ καὶ Πανδρόσου τῆς Κέκροπος, δεύτερον τὸ τῶν περὶ τοὺς ἀγῶνας, τρίτον τὸ τῶν περὶ τὰς πομπάς, τέταρτον τὸ τῶν περὶ τὰς ἀγορὰς καὶ τὰ ὤνια. fm.

μὴ κηρυκευσάτω οὖν, μὴ ἐπὶ κηρυκείαν ἀποστελλέσθω. νῦν οὐ περὶ τῶν κατὰ γένος Κηρύκων λέγει, ἀλλ' ἐπὶ τῶν κατὰ πόλεμον πεμπομένων πρὸς τοὺς πολεμίους μετὰ κηρυκείων περὶ σπονδῶν καὶ εἰρήνης. ἐπέμποντο δὲ ἐκ πάντων Ἀθηναίων. μηδ' ἐπὶ τοιαύτην οὖν φησι διακονίαν πεμπέσθω ὁ ἡταιρηκώς. qfm.

πρεσβεύσαντας κρινέτω] ἐπειδὴ ἀπέθετο μετὰ Δημοσθένους Τίμαρχος τὴν κατ' Αἰσχίνου παραπρεσβείας γραφήν. qfm.

συκοφαντείτω] τοῦτο ἔξωθεν αὐτὸς πρὸς τὸν Τίμαρχον, ἤτοι ὡς αὐτὸς πρεσβεύσας καὶ συκοφαντηθείς, ἢ ὡς ἑτέρου τοῦτο παθόντος ὑπὸ Τιμάρχου. qfm. Ἄλλως. ἆρα οὖν τοῖς μὴ ἡταιρηκόσιν ὁ νόμος συκοφαντεῖν λέγει; οὔ, ἀλλὰ τοῦτο λαμβάνει ἐκ τοῦ μείζονος ἀτόπου. εἰ γὰρ νόμιμόν σε οὐκ ἐᾷ πράττειν, πολλῷ μᾶλλον παράνομον. fm.

§. 23. *τὸ καθάρσιον*] ἐπεὶ ἔθος ἦν τοιοῦτο. εἰσήρχετό τις ὁ λεγόμενος περιστίαρχος, ὁ περικαθαίρων τὴν ἐκκλησίαν διὰ χοίρου ἐσφαγμένου καὶ ἄλλων τινῶν, καὶ τὰ καθάρσια λαβὼν ἔρριπτεν εἰς τὴν θάλασσαν. ὃ καὶ ὁ ποιητὴς εἶπεν·

οἱ δ' ἀπελυμαίνοντο καὶ εἰς ἅλα λύματ' ἔβαλλον.

εἶτα εἰσήρχετο ὁ κῆρυξ, ὃς θυμιατεύσας πρότερον καὶ αὐτὸς τὴν ἐκκλησίαν, ὕστερον ἐβόα· *τίς ἀγορεύειν βούλεται τῶν ὑπὲρ πεντήκοντα ἔτη γεγονότων Ἀθηναίων;* εἶτα εἰ μέν τις ἐβούλετο τούτων λέγειν, ἀνίστατο· εἰ δὲ ἐπὶ πολὺ βοῶντος οὐδεὶς ὑπήκουσε, δευτέρᾳ φωνῇ ἐβόα· *τίς ἀγορεύειν βούλεται τῶν πάντων Ἀθηναίων;* ἐκέχρητο δὲ ὁ περιστίαρχος χοίρῳ καὶ τοῖς τοιούτοις ἀκαθάρτοις, διὰ τούτων τοὺς ἀκαθάρτους δαίμονας καὶ τὰ πνεύματα τὰ πολλάκις ἐνοχλοῦντα ταῖς διανοίαις τῶν ἀνθρώπων, ὥστε πολλάκις ἄλλως βουλεύεσθαι, ἕλκων πρὸς τὰ θύματα 725 καὶ ὥσπερ ἀποχωρίζων τῆς ἐκκλησίας, ἵνα καθαρῶς βουλεύσωνται. ὁ δὲ κῆρυξ διὰ θυμιαμάτων ἐπικαλῶν τὰ θεῖα [εἷλκε], τοῖς ὁμοίοις τὰ ὅμοια, ἵνα διὰ τῆς τούτων παρουσίας ἀγαθόν τι ἔχωσιν οἱ Ἀθηναῖοι βουλεύεσθαι. B.

καθάρσιον] ὁ λεγόμενος περιστίαρχος ἱερεῖον λαβὼν τούτῳ καθαίρει τὴν ἐκκλησίαν. τοῦτο λέγεται κάθαρμα καὶ καθάρσιον. Ἀριστοφάνης Ἀχαρνεῦσι·

πάριθ' ὡς ἂν ἐντὸς ἦτε τοῦ καθάρματος.

ἔθος δὲ ἦν καθαίρειν τὴν ἐκκλησίαν καὶ τὰ θέατρα μικροῖς χοιριδίοις, ἃ καθάρσια ἐκάλουν. καὶ προσηγορεύοντο οἱ περικαθαίροντες περιστίαρχοι. τὸ δὲ καθάρσιον ἦν χοῖρος ἐσφαγμένος, δι' οὗ ἐκάθηραν τὴν ἐκκλησίαν. qfm.

προέδροις] πρόεδροί εἰσιν οἱ ἐν τῇ ἐκκλησίᾳ προκαθήμενοι. q.

ἱερῶν — κηρύκων] ὅτι τὰ ἱερὰ πρῶτον εἰσεκάλουν. οὐκοῦν α' περὶ ἱερῶν καὶ περὶ κηρύκων· καὶ γὰρ οὗτοι ἱεροί. εἶτα πρέσβεων καὶ τῶν ἄλλων ὁσίων· ὅσια δέ ἐστι τὰ μὴ ἱερά. ὥστε πρῶτον τὰ ἱερά, δεύτερον δημόσια, τρίτον ἰδιωτικά. qm.

πάντες] οὐχ ὅτι πάντες ἔλεγον, ἀλλ' οἱ βουλόμενοι.

§. 24. *τόλμα*] τόλμα φησὶ τὸ θρασέως τι ἢ τολμηρῶς ποιεῖν. ἐπειδὴ δὲ οἱ πρεσβύτεροι ὡς ἔμπειροι πραγμάτων εὐλαβοῦντο συμβουλεύειν, μὴ ἀποτυχίας γενομένης κριθῶσι, διὰ τοῦτο αὐτοὺς ὁ νόμος καλεῖ, ἵνα ἐξ ἀνάγκης ἀναστάντες δημηγορήσωσιν. ἀλλὰ καὶ 726 τοὺς ἄλλους καλεῖ, φησίν. ἐκείνους μὲν οὖν ἀορίστως, τούτους δὲ ὡρισμένως. qfm.

τοὺς νεωτέρους] εἰ γὰρ ἡ πόλις αὐτοὺς τιμῶσα πρώτους καλεῖ, καὶ οἱ νέοι αὐτοὺς τιμήσουσιν. qm.

ἐὰν διαγενώμεθα] ἐὰν διασωθῶμεν μέχρι γήρως, ἐὰν ἀφικώμεθα εἰς τὸ γῆρας. fm.

§. 25. *τὴν ἀνόμοιον*] κατὰ τὸ γένος τῆς κακίας

---

3. ἡ ἀρχὴ **nos: libri** ἀρχή. 4. στεφανηφοροῦσα **nos: libri** στεφανηφοροῦσα καὶ ἡ ἀρχὴ στεφανηφόρος. 10. καταγομένῳ q: **reliqui** καταγομένῳ. 19. τὸ τῶν **Sauppius: libri** τῶν. 26. τοὺς πολεμίους **Reiskius: libri** πόλεμον. 29 ὁ ἡταιρηκὼς **nos: libri** ἡταιρηκώς. 33. *συκοφαντείτω*] **nos: erat** *συκοφαντείτω*] συκοφαντεῖ. 45. **Homer. Iliad. 1, 314.**

2. ἐβόα **B**st: ἐβόα πρώτῃ φωνῇ **Reiskius, cum in B**w **haec verba adnotata essent ad §. 22 v. 5** ἐσκέψατο. 6. τούτων **Reiskius: libri** τοῦτο. 14. εἷλκε **add. Sauppius. 19. Aristoph. Acharn. v. 44. 29.** α' **Sauppius: libri** καί. 43. *ἐὰν διαγενώμεθα* **nos: libri** *ἀφιξόμεθα*.

καὶ τῆς ἀρετῆς. οὐ γὰρ δήπου τῆς δικαιοσύνης καὶ τῆς ἑταιρήσεως. qm.

ὅτι πάντες] τὸ πάντες νῦν ἐπὶ τοῦ οἱ πολλοί. qfm.

Σόλωνος εἰκόνα] ἀνετέθη ἡ Σόλωνος εἰκὼν οὐκ ἐπὶ τῷ ἐν κόσμῳ λέγειν, ὥς φησιν Αἰσχίνης, ἀλλ' ἐπειδὴ οὕτω τὰ ἐλεγεῖα ἀπήγγειλεν. Δημοσθένης μέντοι νεωστί φησι πρὸ πεντήκοντα ἐτῶν ἀνατεθεῖσθαι ταύτην τὴν εἰκόνα. λέγεται δὲ Κλέων ὁ δημαγωγὸς παραβὰς τὸ ἐξ ἔθους σχῆμα περιζωσάμενος δημηγορῆσαι. Bqfm.

§ 27. οὐκ ἀπελαύνει] ταῦτα προσάγωγά ἐστι πρὸς τοὺς δικαστὰς ἰδιώτας ὄντας. qm.

τέχνην] τοῖς Ἀθηναίοις ἐνομίζετο τέχνην τινὰ ἐπιτηδεύειν. οὐχ οὕτως τοῖς Λακεδαιμονίοις· τούτοις γὰρ αἰσχρὸν ἦν καὶ δουλοπρεπές. B.

πολλάκις ἐπερωτᾷ] διὰ τοῦ καλεῖν τὴν ἐξουσίαν δηλῶν. qfm.

727 § 29. τὰ ὅπλα μὴ τίθεσαι] τὸ τίθεσθαι λέγεται καὶ ἐπὶ τοῦ ἀποτίθεσθαι τὰ ὅπλα καὶ ἐπὶ τοῦ περιτίθεσθαι καὶ ἐνδύεσθαι, ὡς ἔγνωμεν ἐν τοῖς Θουκυδιδείοις ἐν τῷ δευτέρῳ. ἐνταῦθα δὲ ἐπὶ τοῦ περιτίθεσθαι λέγει. qfm.

ἢ πεπορνευμένος] ἐστὶν ὁ πολλάκις ἁμαρτὼν εἰς τὸ ἑαυτοῦ σῶμα, ἡταιρηκὼς δὲ ὁ προσάπαξ. qm.

§ 30. οἰκήσαντα] ἀντὶ τοῦ διοικήσαντα. καὶ παρ' Ἰσοκράτει οἴκει τὸν πατρῷον οἶκον ἀντὶ τοῦ διοίκει. Bfm.

§ 31. καταγελάστως] ἀσελγῶς. B.

§ 32. ἐπαγγειλάτω] πάλιν περιφραστικῶς λέγει. τὴν ἐπαγγελίαν κατηγορείτω. fm. ἐπαγγελία δέ ἐστιν ὄνομα δίκης κατὰ τῶν ἡταιρηκότων. Bfm.

§ 33. ὑμεῖς νόμον] ἡ σύνταξις· ὑμεῖς δὲ προσέθεσθε καινὸν νόμον, καθ' ἑκάστην ἐκκλησίαν ἀποκληροῦν. τὰ δὲ ἄλλα διὰ μέσου. qfm.

προσέθεσθε] ἤγουν προσενομοθετήσατε. qm. ἤγουν ἐτάξασθε. m.

μετὰ — παγκράτιον] ψεύδεται· οὐ γὰρ διὰ Τίμαρχον. παλαιότερος γὰρ ἦν. qm.

§ 34. ἀνεκτοί] οὓς δύναταί τις φέρειν καὶ ἀνέχεσθαι· τιμωρουμένους γὰρ αὐτοὺς καὶ μηκέτι ἐνοχλοῦντας τῷ βήματι δυνάμεθα φέρειν. qfm.

γεγραμμένοι εἰσίν] τοῦτ' ἔστιν ἐγράψαντο. m.

§ 37. ὥσπερ ὑπεθέμην] οὕτω γὰρ ἐπηγγείλατο, πρῶτον περὶ τῶν νόμων ἐρεῖν, εἶτα ἐξετάσαι τοὺς τρόπους τοῦ Τιμάρχου. qfm.

δέομαι δὲ ὑμῶν] τὸ σχῆμα προδιόρθωσις. εἰώθασι δὲ χρῆσθαι αὐτῷ, ὅταν μέλλωσιν ἀνελεῖν τι, πρὸς ὃ δυσκόλως διάκεινται οἱ ἀκούοντες. τὸ δ' αὐτὸ καὶ μετὰ τὰ πράγματα λεχθὲν ἐπιδιόρθωσις καλεῖται. πληρώσας τὸ νόμιμον ζήτημα, τῷ τῆς παραγραφῆς εἰσβάλλει εἰς τὸ στοχαστικόν, εἰ ἡταίρηκεν. qfm.

§ 39. τῶν τριάκοντα] οἱ λ' τύραννοι διὰ Λακεδαιμονίων κατασταθέντες καὶ τὴν πάτριον πολιτείαν 728 τῶν Ἀθηναίων καταλύσαντες ἐλυμήναντο τοὺς Δράκοντος καὶ Σόλωνος νόμους. ἀπολαβὼν οὖν ὁ δῆμος τὴν ἐλευθερίαν εἵλετο πολίτας κ' τοὺς ζητήσοντας καὶ ἀναγράψοντας τοὺς διεφθαρμένους τῶν νόμων. καὶ ἐψηφίσαντο καινοὺς νόμους εἰσφέρειν ἀντὶ τῶν ἀπολωλότων ἐπ' ἄρχοντος Εὐκλείδου, ὃς πρῶτος ἦρξε μετὰ τοὺς τριάκοντα. πολλὰ μέντοι καὶ δεινὰ ἔπραξαν οἱ λ'. τόν τε γὰρ δῆμον ἐξέβαλον καὶ τῶν ἐπιφανῶν τοὺς μὲν ἐβασάνισαν, τοὺς δὲ ἐφυγάδευσαν ἀφελόμενοι τὴν οὐσίαν αὐτῶν, τοὺς δὲ ἀπέκτειναν ἀκρίτους, ὡς μὲν ἔνιοί φασιν, φ' καὶ ͵α, ὡς δὲ Λυσίας ἐν τῷ κατὰ ..... δοκιμασίας ἐπιλόγῳ, δισχιλίους φ'. γεγόνασι μέντοι πλείους αἱρέσει τῶν πεντήκοντα. οἵ τε γὰρ ἐν ἄστει δικασταὶ τριάκοντα ἦσαν καὶ ἐκ τῶν πλουσίων τριάκοντα ᾑρέθησαν ὀβολοστάται, ὅ ἐστι δανεισταὶ ἐπὶ ὀβολῷ τὴν μνᾶν δανείζοντες. δεῖγμα δὲ τῆς τῶν λ' πολιτείας καὶ τόδε ἐστίν. Κριτίου γὰρ ἑνὸς τῶν λ' ἀποθανόντος ἐπέστησαν τῷ μνήματι Ὀλιγαρχίαν δᾷδα κατέχουσαν καὶ ὑφάπτουσαν Δημοκρατίαν καὶ ἐπέγραψαν τάδε·

μνῆμα τόδ' ἐστ' ἀνδρῶν ἀγαθῶν, οἳ τὸν κατάρατον
δῆμον Ἀθηναίων ὀλίγον χρόνον ὕβριος ἔσχον.

οὕτω μέντοι ἐμίσησεν ὁ δῆμος τοὺς λ', ὥστε καὶ πρὸς τὴν ὀνομασίαν τοῦ ἀριθμοῦ δυσχεραίνειν. ἄρξαντος οὖν Εὐκλείδου μετὰ τὴν τῶν λ' κατάλυσιν τὰ πρὸς αὐτῶν πραχθέντα ἄκυρα εἶναι ἐψηφίσαντο οἱ Ἀθηναῖοι. — οἱ λ' τύραννοι μετὰ τὸν Πελοποννησιακὸν γενόμενοι πόλεμον Ἀθήνησιν ἐπειδὴ καθῃρέθησαν, Θρασυβούλου τοῦ ἀπὸ Φυλῆς ἀγωνισαμένου, ψήφισμα ἐτέθη ἀμνησικακεῖν τῶν ὑπαρξάντων ἐπ' αὐτῶν. ὥσπερ οὖν τὰ ἐπὶ τούτων ἀνεξέταστα καὶ ἀνέγκλητα ἐγένετο, οὕτω καὶ τὰ ἐν παιδὶ πραχθέντα Τιμάρχῳ παρίημι, φησίν. fm et partim Bq.

---

6. Demosth. 19 § 251. 14. τούτοις Reiskius: libri τοῦτο. 20. Thucyd. 2, 2. 21. ἐπὶ Reiskius: libri περι. ib. περιτίθεσθαι Frankius: libri ἀποτίθεσθαι. 23. ἢ πεπορνευμένος m: erat ἢ πεπορνευμένος] πεπορνευμένος. 26. Isocrat. 2 §. 19. 36. ἤγουν ἐτάξασθε Reiskius: ἤγουν τάξησθε q post scholium, quod proxime sequitur, sed transponendum esse vidit idem Reiskius. 39. ἀνεκτοὶ reiskiana: μόνως γένοιντο frankiana. 43. ἐπηγγείλατο §. 8.

7. τῷ Sauppius: libri τὸ. 21. ͵α nos: libri μ'. Fort. excidit Εὐάνδρου, in cuius orationis paragraphis deperditis numerus interfectorum poterat commemorari. 22–26. Haec omnia valde corrupta esse patet. Videtur grammaticus varia collegia trigintavirorum discernere voluisse. cf. Photius et Hesychius s. v. τριάκοντα. 35. πρὸς Frankius: libri πρὸ. 41. καὶ ἀνέγκλητα ἐγένετο add. B et ut videtur f.

πρὸ Εὐκλείδου] Εὔμηλος ὁ Περιπατητικὸς ἐν τῷ τρίτῳ περὶ τῆς ἀρχαίας κωμῳδίας φησὶ Νικομένη τινὰ ψήφισμα θέσθαι μηδένα τῶν μετ' Εὐκλείδην ἄρχοντα μετέχειν τῆς πόλεως, ἂν μὴ ἄμφω τοὺς γονέας ἀστοὺς ἐπιδείξηται, τοὺς δὲ πρὸ Εὐκλείδου ἀνεξετάστως ἀφεῖσθαι. fm.

ἢ εἴ τις ἄλλη] ὡς εἴ τις ἔγραψε τοὺς ἀπὸ τοῦδε τοῦ ἄρχοντος ἐν τῷ δημοσίῳ ἄρξαντας εἰσπράττεσθαι. fm.

προθεσμία] ἤγουν χρόνος, καταχρηστικῶς. q.

729 §. 40. *οὗτος γάρ*] ἐνταῦθα τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους. q.

§. 41. *κιθαρῳδοὺς ἢ κιθαριστάς*] διαφέρει *κιθαρῳδὸς* καὶ *κιθαριστής*, τῷ τὸν μὲν κιθαριστὴν κεχρῆσθαι τῇ κιθάρᾳ μόνον, τὸν δὲ κιθαρῳδὸν μετὰ τῶν χειρῶν καὶ τῇ φωνῇ· διὸ καὶ κιθαρῳδὸς λέγεται. qfm. παρὰ τὸ κεχρῆσθαι σὺν τῇ κιθάρᾳ καὶ τῇ ᾠδῇ. κιθαρῳδὸς ὁ καὶ ᾄδων καλῶς, κιθαριστὴς δὲ ο χωρὶς ᾠδῆς. m.

ἀνέστησεν] ὡς νῦν λεγομεν· ἀνεκάθισεν. καὶ Δημοσθένης· *ἀνέστησεν αυτὴν ἀπὸ τῆς καλῆς ἐργασίας*. qfm.

§. 42. *οὐδενὸς — μετρίων*] ἵνα μή τις οἰήσηται δι' ἔνδειαν αὐτὸν πεπορνεῦσθαι, ὅπερ συγγνώμης ἦν. qfm.

§. 43. *ἦν μὴν Δ.*] ἄλλα ἀπ' ἀρχῆς ἄχρι τέλους. q.

Διονυσίων] Διονύσια ἑορτὴ Ἀθήνησιν, ἣ Διονύσῳ ἤγετο, τὰ μὲν κατ' ἀγροὺς μηνὸς Ποσειδεῶνος, τὰ δὲ Λήναια μηνὸς Ληναιῶνος, τὰ δὲ ἐν ἄστει μηνὸς Ἐλαφηβολιῶνος. Διονυσιάδες δὲ ἐν Σπάρτῃ παρθένοι, αἱ ἐν τοῖς Διονυσίοις δρόμον ἀγωνιζόμεναι. qfm.

§. 44. *ἢ δή*] ἀντὶ τοῦ διὸ δή. q.

§. 45. *επειδὴ — ἐσμέν*] ἔνθα χρεία ἐστὶν ἀποδείξεως διὰ μαρτυριῶν. qfm.

730 *γέγραφα*] γράφουσι μαρτυρίας οἱ βουλόμενοι μάρτυρας παρασχέσθαι προκλητικὰς αὐτῶν, οἷον· *τὸν δεῖνα τόδε πραχθὲν ἀκριβῶς γινώσκοντα ἀξιῶ μαρτυρεῖν τοῖς δικασταῖς*. qfm. ἂν μὴ οὖν ὑπακούσῃ μου τῇ μαρτυρίᾳ, ἀλλὰ θελῃ ἐκτὸς γενέσθαι, ὀφείλει δραχμὰς χιλίας· ἐὰν δὲ ὑπακούσῃ, ἤτοι ἀληθῆ φησιν εἶναι, ἢ, εἴπερ ἀμφίλεκτα, ἐξόμνυται οὐκ εἰδέναι τὰ ἀξιούμενα. fm.

αὐτὸ μὲν γὰρ τοὔνομα] οὐ γὰρ ἀπῄτει αὐτὸν μαρτυρεῖν, εἰ παρ' αὐτῷ ἡταίρηκεν, ἀλλ' ει μετ' αὐτοῦ διέτριβεν. καὶ τί τοῦτο ἔμελλε συνοίσειν περὶ τὴν ἀπόδειξιν; λέγομεν οὖν, ὅτι ὑποπτευομένου τοῦ Μισγόλα ἤρκει τοῦτο ειπεῖν, ὅτι μετ' ἐμοῦ διέτριβεν. qfm.

οὐκ ἐγγράφω] ὅτι ἔγραφε τις αὐτὸ τὸ πρᾶγμα, λέγων, ὅτι μαρτυρεῖ μοι ὅδε. καὶ ἐδείκνυεν αὐτὸ τῷ μάρτυρι λέγων, ὅτι μαρτύρει μοι τόδε. εἶτα ει μὲν ἔλεγεν, ὅτι ναί, ἔγραφει αὐτὸς ὁ μάρτυς, ὅτι ναὶ μαρτυρῶ· ει δὲ μή, οὐδὲν ἔγραφεν. fm.

§. 46. *ἐκκλητευθῆναι*] ἐκκλητεύειν τὸ εἰς κρίσιν ἄγειν, ἵνα ἐπάναγκές τις μαρτυρῇ. B. κλητεύεσθαι δὲ τὸ καλεῖσθαι εἰς μαρτυρίαν. q. ὑπὸ τοῦ κήρυκος κληθῆναι. τῶν εγκαταλειπόντων τὴν μαρτυρίαν τὰ ὀνόματα ἐν τῷ δήμῳ ἐκηρύσσετο, καὶ τοῦτο ἐκαλεῖτο ἐκκλητευθῆναι. εἰς κρίσιν ἀχθῆναι ἢ ἐπάναγκες μαρτυρῆσαι. κλήτορες δὲ οἱ μάρτυρες. τὸ οὖν ἐκκλητευθῆναί ἐστιν ἔξω τοῦ μαρτυρῆσαι. καὶ ἔκκλητος ο θελήσας ὀφλεῖν ἐπὶ τῷ μὴ μαρτυρῆσαί τι. fm.

χιλίας] ἐὰν μὴ ὑπακούσῃ πρὸς τὴν μαρτυρίαν, ὡς τούτου ἐπιτιμίου ὡρισμένου τοῖς μὴ υπακούσασιν. fm.

§. 47. *ἐξόμνυσθαι*] μεθ' ὅρκου ἀρνεῖσθαι. B.

εις ἑαυτὸν εξαμαρτήσεται] διὰ τὴν ἐπιορκίαν δηλονότι. m.

οὐδὲν αὐτῷ ἔσται πλεον] τουτεστιν οὐδὲν ὀνήσεται τῆς ἀρνήσεως ἐνόρκου καὶ τῆς ἐπιορκίας. οὐδὲν αὐτὸν ὠφελήσει ἡ ἐξόμνυσις. B.

πρᾶγμα] τὸ ἑτέραν μαρτυρίαν ἐπιζητεῖν. fm.

τοὺς ἐμαυτοῦ φίλους] ἐπειδὴ αι παρὰ τῶν φίλων μαρτυρίαι οὐκ εισὶν ἀξιόπιστοι· πολλάκις γὰρ ὑπ' εὐνοίας κινούμενοι, ἵνα τοῖς φίλοις βοηθήσωσι, καὶ ψευδομαρτυροῦσιν. fm.

§. 49. *βούλομαι — προειπεῖν*] τοῦ λυποῦντος ἀναίρεσις. λυπεῖ γὰρ Αἰσχίνην τὸ μὴ φαίνεσθαι πρεσβύτερον Μισγόλαν. φοβεῖται γὰρ μὴ διὰ τοῦτο δόξῃ ψευδὴς εἶναι ἡ φήμη. qm.

προφερεῖς] οἱ νεοι μὲν ὄντες, πρεσβύτεροι δὲ φαινόμενοι. B. προφερής ἐστιν ὁ μὲν χρόνῳ νεώτερος, τῇ δὲ ὄψει δοκῶν πρεσβύτερος. ἀλλὰ καὶ τῶν ἀμωμων, ὦ Αἰσχίνη, ἔσθ' ὅτε ὁ μῶμος ἅπτεται. q. προβεβηκότες ἐν τῷ εἴδει, προπόλιοι. προφερὴς ὁ νεος μὲν ὤν, πρεσβύτερος δὲ φαινόμενος. τὸ δ' ἐναντίον σκληφρός, ὃς πρεσβύτερος ὢν νέος δοκεῖ. οὕτω καὶ Πλάτων ταῖς λέξεσιν ἐχρήσατο. καὶ γάρ φησιν ὁ μὲν *προφερής*, ὁ δὲ *σκληφρός*, περὶ τινῶν διηγούμενος. δῆλον δὲ καὶ ὡς οὐ καλῶς τῷ προφερεὶς ὁ Αἰσχι-

---

2. *Νικομένη* Meinekius hist. cr. com. att. p. 8 et 449, 3: libri *νικωμένη*. 19. Demosth 18 §. 129. 20. *αὐτὴν* f: *ἂν αὐτὸν* ceteri. 25. *ἄλλα* nos: libri *ἀλλά*. 26. *Ἀθήνησιν, ἣ* Hesychius s. v. *Διονύσια*: erat *Ἀθήνησιν*. ib. *Διονύσῳ* Hesychius: *διονυσίῳ* qf, *διονυσίων* m. In B deest. 40. *ἀμφίλεκτα* Sauppius: libri *ἀναμφιλέκτως*.

9. *τι* Frankii operae. cf. Harpocrat. p. 68, 10. 12. *ἐκηρύσσετο* Bekker. anecd. p. 188, 28: erat *κηρύσσεται*. 13. *ἐπάναγκες* nos: libri *ἐπ' ἀνάγκαις*. 16. *μαρτυρῆσαί τι* Frankius: libri *μαρτυρήσαντι*. 17. *ὑπακούσῃ* Frankius: libri *ἐπακούσῃ*. 22. *δηλονότι* Frankius: *δηλοῖ* liber. 31. *τοῦ* add. Frankius. 42. Plat. Euthyd. p. 271. B.

νης ἐχρήσατο, προσθεὶς τὸ *νέοι ὄντες* καὶ τὸ *πρεσβύτεροι*· ἤρκει γὰρ μόνον τὸ *προφερεῖς* πάντα δηλῶσαι. fm.

§. 51. *οὐκ ἂν ὤκνησα αὐτὸν*] οὐκ ἂν ηὐλαβήθην αὐτόν. fm.

παρρησιάζεται] σαφῶς λέγει. fm.

αὐτῷ τούτῳ] τῷ ἡταιρηκέναι πρὸς ἕνα. fm.

§. 52. *ὑπερβαίνων — τοὺς ἀγρίους*] ἀντὶ τοῦ μὴ ὀνομάζων τοὺς προσάπαξ αὐτῷ χρησαμένους. fm. *ἀγρίους* δέ φησι τοὺς σφόδρα κιναιδοποιούς. qfm.

731 *ἀγρίους*] τοὺς μὴ ἐν τῷ ἄστει, ἀλλ' ἐν ἀγρῷ διατρίβοντας. fm. τοὺς σφόδρα ἐπτοημένους περὶ τὰ παιδικὰ καὶ χαλεποὺς παιδεραστάς. ἐπονομάζονται δὲ καὶ Τριβαλλοὶ καὶ Κένταυροι. B.

Κηδωνίδην κτλ.] οὗτοι παιδερασταί, ἐπωνυμίας ἔχοντες ἄγριοι καὶ Τριβαλλοὶ καὶ Κένταυροι. qfm.

μόνον ἡταιρηκώς] διαφορὰν εἶπεν ἡταιρηκότος πρὸς πόρνον. τὸν μὲν οὖν ὑφ' ἑνὸς καταισχυνθέντα ἡταιρηκέναι φησί, τὸν δὲ ὑπὸ πολλῶν πεπορνεῦσθαι. qm.

§. 53. *τῇ τε δαπάνῃ ἀπεῖπε*] ἐπειδὴ βούλεται αὐτὸν καὶ τὰ πατρῷα κατεδηδοκότα ἐπιδεῖξαι, θαυμαστῶς πάνυ τοῦτο προοικονομεῖ λέγων αὐτὸν πολυτελῆ εἶναι. fm.

μετὰ τοῦτον] ἄλλα ἀπ' ἀρχῆς ἄχρι τέλους. q.

Σάμῳ] εἰς Σάμον κληρούχους ἔπεμψαν Ἀθηναῖοι ἐπ' ἄρχοντος Νικοφήμου. Bqm.

κυβείῳ] κυβεῖον λέγεται ὁ τόπος, ἔνθα συνέρχονται οἱ κυβεύοντες, ὃ νῦν καλοῦσί τινες ταβλιστήριον. qfm et partim B.

τηλίᾳ] ἡ τηλία σανὶς ἡ κυβευτική. ἦν καὶ σανίς, ἐν ᾗ οἱ ὀρτυγοτρόφοι τοὺς ὄρτυγας συνέβαλλον. B. τηλία σανίδιόν τι πεφραγμένον πάντοθεν, εἰς ὃ εἰσέβαλλον ἢ ἀλεκτρυόνας ἢ ὄρτυγας μάχεσθαι. καὶ τὸν ὑπερπηδῶντα αὐτῶν τὰ περιφράγματα ἔλεγον ἡττᾶσθαι. ἰδίως δὲ εἶπεν κυβεῖον· οὐ γὰρ οὕτως ἐκάλουν, ἀλλὰ
732 σκιραφεῖον. — ἡ τηλία ἐστίν, ἐφ' ἧς τὰ ἄλευρα ἐκάθαιρον. ἐχρῶντο δ' αὐτῇ οἱ κυβεύοντες καὶ πρὸς τὸ βάλλειν τοὺς κύβους καὶ πρὸς τὸ συμβάλλειν τοὺς ὄρτυγας καὶ τοὺς ἀλεκτρυόνας. qfm. ἢ σηλιόν ἐστιν ἡ τηλία, ἐφ' οὗ μάττεται τὰ ἄλευρα. fm.

§. 55. *ὑπὸ δὲ*] ἄλλα ἀπ' ἀρχῆς ἄχρι τέλους. q.

περὶ οὗ πάλαι] οὐχ ἁπλῶς διαβάλλει τοῦτον τὸν Ἡγήσανδρον ὁ Αἰσχίνης, ἀλλ' ἐπειδὴ ἀδελφός ἐστιν Ἡγησίππου τοῦ μισοφιλίππου. qm.

§. 56. *Τιμομάχῳ*] τοῦ Τιμομάχου τούτου τοῦ στρατηγοῦ Ἀθηναῖοι θάνατον κατέγνωσαν καὶ ἀνῃρέθη. qfm.

ἀπολελαυκώς] πολλὰ ἀφῃρημένος αὐτοῦ διὰ τὴν ἐκείνου δειλότητα καὶ μωρίαν. fm.

εὐηθείας] διότι λέγων κεχορηγηκέναι αὐτῷ τῷ στρατηγῷ πολλά, ὀλίγα δὲ δούς, τὰ πολλὰ ἐκέρδαινεν καὶ ἐχλεύαζεν ὡς μωρόν. fm.

τῆς συμφορᾶς] αἰτίαν γὰρ ἔσχεν ὡς προδιδοὺς Κότυϊ τὴν Χερρόνησον· κατεγνώσθη δὲ θανάτου. οὕτως ὁ Ἀπολλώνιος. fm.

§. 57. *δεινὴ ἡ ἀκακία*] ἀντὶ τοῦ φαύλη. ἀκακία ἁπλότης. εὐπιστία εὐχέρεια εἰς τὸ πείθεσθαι. qm.

αὐτῶν τούτων] ἢ τῶν μισθωσαμένων ἢ ἀντὶ τοῦ *διὰ ταῦτα*. fm.

§. 58. *ὅτι — ἠνώχλει*] ἀντὶ τοῦ ἐπειδὴ δὲ αὐτοὺς ἠνώχλει. qm.

§. 59. *ἀστραγάλους — διασείστους*] εἶδος ἀστραγάλων οὕτως ὑπὸ τῶν κυβευτῶν ὀνομαζομένων. qm. πολλάκις τινὲς κώδωνας ἀργυροῦς ἐξῆπτον ἢ χαλκοῦς ἔνδον αὐτῶν, ἵνα ἀφιέμενοι ἠχόν τινα ἀποτελῶσι καὶ τέρψιν ἐν τῇ παιδιᾷ. οὗτοι οὖν ἐλέγοντο διάσειστοι. Bqfm. *φιμοὺς* δὲ ἀλλαχοῦ μὲν σημαίνει εἰς οὓς 733
ἐμβάλλονται αἱ ψῆφοι, ἐνταῦθα δὲ ἃ νῦν καλοῦσιν οἱ κυβευταὶ πυργία. qfm. φιμοὶ οἱ καλούμενοι κημοί, εἰς οὓς ἐνεβάλλοντο οἱ ἀστράγαλοι. B.

τὰς — πληγάς] ἢ τὰς ἀπολλύναι δυναμένας καὶ ἐξ ἀνθρώπων ποιούσας ἢ ἃς οὐ γινώσκουσιν οἱ ἄνθρωποι ἢ ἃς εἰκὸς ἀνθρώπους παρασχεῖν ἢ ὅσαι εἰσὶν ἐν ἀνθρώποις ἢ ὅσας ἄνθρωποι πλήττουσιν. Bqm.

§. 60. *ἀνακηρυχθῇ*] ἤγουν περιβόητος γένηται. qm.

ἐπῄει] ἐπήρχετο, σύνεγγυς ἦν· γίνονται δὲ ἐκκλησίαι τρεῖς τοῦ μηνὸς αἱ λεγόμεναι κύριαι, ἃς ἐκ τῶν νόμων ἔχουσιν ἀναγκαίως τελεῖν. ἐὰν δὲ αἰφνίδιόν τι προσπέσῃ, ἐκκλησιάζουσι μέν, καλεῖται δὲ σύγκλητος. εἰ δ' ἄρα καὶ ἐκκλησία, οὐ κυρία. ἐπειδὴ δὲ εἶπεν *εἰς πᾶσαν τὴν πόλιν*, ἐπήνεγκε τὸ *ἐπῄει δὲ ἐκκλησία*. εἰκὸς ἐρχομένων πολλῶν ἦν καταφανὲς γενέσθαι. fm.

§. 61. *παροινία*] κυρίως ἐχρήσατο τῇ λέξει· εἶπε γὰρ ὅτι *μεθυσθέντες*. qm.

---

7. *αὐτῷ τούτῳ* nos: erat *ἔνοχος εἶναι*. 8. *ὑπερβαίνων — τοὺς ἀγρίους* Baiterus: erat *ἀναμνήσας — ἄνδρας*. 15 et 17. *Κένταυροι* Reiskius: libri *κένταρχοι*. 18. *εἶπεν* q: *εἶναι* ceteri. 26. *ἄλλα* nos: libri *ἀλλά*. 30. *ταβλιστήριον* f: *ταυληστήριον* q, *ταβληστήριον* ceteri. 38. *ἡ* f: *ἢ* ceteri. 39. *αὐτῇ* Frankius: *αὐτοὶ* fm, *αὐτῷ* q. 40. *συμβάλλειν* Sauppius: libri *βάλλειν*. 43. *ἄλλα* nos: libri *ἀλλὰ*

7. *δειλότητα καὶ μωρίαν* Frankius: libri *δεινότητα καὶ τιμωρίαν*. 12. *δὲ θανάτου. οὕτως* Sauppius: *γὰρ θανάτου οὗτος* libri. 20. *ἀστραγάλους — διασείστους* nos: erat *ἀστραγάλους*. 22. ante *πολλάκις* delevimus *διασείστους*. 28. *κημοί* Harpocratio p. 182, 1: libri *κῆμοι*. 39. *κυρία* m: *κυρίως* ceteri.

ὑπογενειάζων] ἁπτόμενος τῶν γενείων καὶ ἱκετεύων. *qm.*

§. 63. *λήξεις — ἐποιήσαντο*] ἤγουν ἔλαχον δίκας ἀλλήλοις. *q.* παρὰ τὸ λαγχάνειν. ἐλάγχανον ἀλλήλοις δικάσοντες. καλοῦνται δὲ πάντες οὗτοι προκληθέντες. δικῶν δὲ λήξεις ἐποιήσαντο ἀντὶ τοῦ ἔλαχον ἀλλήλοις δίκην. *m.*

Ἡγησάνδρου] καὶ τὸν Ἡγήσανδρον διαβάλλει ὡς ἡταιρηκότα Διοπείθει. *m.*

ἐν ἡλικίᾳ] ὅτι ἐξαιρέτως εἰώθεσαν οἱ ἀρχαῖοι ἡλικίαν τὴν νεότητα καλεῖν. *qm.*

§. 64. *Ἀριστοφῶντι*] κεκωμῴδηται ὁ Ἀριστοφῶν ὡς ὑπὲρ Χάρητος μισθοῦ λέγων καὶ ὡς παρανόμων γραφὴν πεφευγὼς καὶ ὡς στρατηγήσας ἐν Κέῳ καὶ διὰ φιλοχρηματίαν πολλὰ κακὰ ἐργασάμενος τοὺς ἐνοικοῦντας, ἐφ᾽ ᾧ γραφεὶς ὑπὸ Ὑπερείδου παρανόμων ἑάλω. φησὶ δ᾽ αὐτὸν Ὑπερείδης καὶ Ἄρδηττον ἐπικληθῆναι διὰ τὸ πολλάκις αὐτόθι ἐπιωρκηκέναι. ἐπεβίωσε μέντοι ὁ Ἀριστοφῶν ρ᾽ ἔτη παρὰ μῆνα. *fm.*

πρὶν αὐτῷ] ἐπειδὴ ὁ Ἡγήσανδρος ἐδημηγόρει ἀντιπολιτευόμενος Ἀριστοφῶντι, τέως αὐτῷ ὁ Ἀριστοφῶν ἠπειλήσατο ἐπαγγελίαν ἑταιρήσεως, ὅ ἐστι δοκιμασίαν, ἥν, φησίν, ἐγὼ κρίνω Τιμάρχῳ. τοῦτό φησιν, ὅτι ὁ Ἡγήσανδρος Ἀριστοφῶντι ἀντεπολιτεύετο, τοῦ δὲ Ἀριστοφῶντος ἀπειλήσαντος αὐτὸν ἐπαγγέλλειν ἐπαύσατο. *fm.*

Κρωβύλος] ἀδελφὸς ἦν οὗτος Ἡγησάνδρου οὕτως ἐπωνομασμένος διὰ τὴν πανουργίαν. Ἡγήσιππος γὰρ κυρίως ἐκαλεῖτο. *B.* Κρωβύλον καλεῖ τὸν ἀδελφὸν τοῦ Ἡγησάνδρου τὸν Ἡγήσιππον τὸν μισοφίλιππον, καθὸ αὐτὸς ἤλειφε τὴν κεφαλὴν καὶ ἐφιλοκάλει τὰς τρίχας. κρωβύλος γάρ ἐστιν εἶδος ἐμπλέγματος πρώην γενομένου παρὰ τοῖς παλαιοῖς τῶν Ἀθηναίων, ὡς ἔγνωμεν ἐν τοῖς Θουκυδιδείοις. *qfm.*

734 §. 65. *τοὔψον*] ὅ ἐστιν ἐν τῇ ἀγορᾷ, ἔνθα τὰ ὄψα, οἱονεὶ πάντα τὰ ἐδέσματα πιπράσκεται. ἀπὸ γὰρ τῶν πιπρασκομένων ἔν τινι τόπῳ ἐκάλουν οἱ Ἀθηναῖοι τὸν τόπον. *qm.*

κώμοις] κῶμος ἡ μετ᾽ οἴνου ᾠδή. *qm.*

§. 69. *οὐκ ἠγνόουν ὅτι*] ἀξιοῦσί τινες μέμφεσθαι τῷ ῥήτορι ἐν ἀγῶνι συνηγόρων ἐκβολὴν ποιησαμένῳ, δέον ἐν ἐπιλόγῳ. εὐήθες δὲ πάσχουσι· μερικὰς γὰρ πανταχοῦ ποιεῖν ἔξεστιν, ὥσπερ καὶ ἐφ᾽ ἑκάστου κεφαλαίου ἐπιλογιζόμεθα. ἄλλως τε οὐδαμοῦ κάλλιον εἶχεν ἐκβαλεῖν αὐτὸν τὴν συνηγορίαν ἢ ἐν τῷ περὶ αὐτὸν λόγῳ, ἔτι μεμνημένων τῶν δικαστῶν. ἃ γὰρ ἐκεῖ ἐδεῖτο εἰπεῖν πρὸς τὴν διαβολήν, ταῦτα ἐνταῦθα εἶπεν ἀγωνιζόμενος. *fm.*

Λαοδάμαντα] οὗτος ἐραστὴς ἐγένετο Ἡγησάνδρου. *qfm.* δ᾽ αὐτοῦ καὶ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου. *fm.*

ἐθορυβήσατε] ἄδηλον, πότερον νῦν κατεπέπληκτο πρὸς τὴν μαρτυρίαν ὁ Λεωδάμας, ὥστε ἀχθεσθέντας τοὺς δικαστὰς τῷ ὀνόματι θορυβῆσαι, ἢ ὁ Ἀριστοφῶν ἀνέγνω μαρτυρίαν Λεωδάμαντος κρίνων τὸν Ἡγήσανδρον ἑταιρείας· εἰκὸς γὰρ ἦν κεκρίσθαι αὐτόν. καὶ γὰρ προείρηκεν, ὅτι ἐπολιτεύετο πρὶν αὐτῷ δοκιμασίαν ἠπείλησεν ὁ Ἀριστοφῶν. *fm.*

§. 70. *σαφέστερον*] ἀντὶ τοῦ ἀναιδέστερον καὶ αἰσχρότερον. *fm.*

ποιεῖσθαι] οἱονεὶ πεπονθέναι. *fm.*

βδελυρίας] ἀναισχυντίας εἰς αὐτὸ τὸ ἀσελγαίνειν. εἴρηται δὲ ὡς παρὰ τὴν βδέλλαν τὸ ζωΰφιον, ὅπερ ἐστὶν ἀναιδέστατον καὶ δυσαπόσπαστον. *fm.*

ἀπολογούμενον] οἱονεὶ ἀπολυόμενον ὑπὲρ τῶν αἰσχρῶν πράξεων ὧν ἔπραξεν. *fm.*

§. 71. *ἐπιστρεφῶς*] ἀντὶ τοῦ συνεστραμμένως τῇ φωνῇ, ἵνα μὴ ἐλεγχθῶσιν ὑπὸ τῆς φωνῆς ὄντες κίναιδοι καὶ χαύνως διαλεγόμενοι. ἢ ἀντὶ τοῦ σπουδαίως. *fm.*

ἀδελφός] Ἡγησάνδρου ἀδελφὸς ἦν Κρωβύλος. ἐκαλεῖτο δὲ οὐ μόνον Κρωβύλος, ἀλλὰ καὶ Ἡγήσιππος καὶ ἐκωμῳδήθη ὡς αἰσχρὸς τὴν ὄψιν καὶ περὶ τὰ Φωκικὰ ἡμαρτηκώς. *fm.*

ἀξιοῦσι δέ με] ἐντεῦθεν ἐλέγχων ἀπαίτησις. ἔλειψε δὲ τὸ παραγραφικόν, ὅτι ὁ λόγος ὅλος παραγραφή ἐστιν. *fm.*

§. 75. *ἀλλ᾽ εἰ πέπρακται*] καὶ γὰρ ἐκεῖ οὐ τὸν εἰσελθόντα εἶδεν ὁ θεασάμενος, ἀλλ᾽ ἐφ᾽ ᾧ εἰσῆλθεν. *qm.*

ἐπεὶ πρὸς θεῶν] θαυμασία ἀποστροφή. *q.*

μειράκιον νέον] ἀντὶ τοῦ οὐκ ἀκριβῶς βούπαιδα, ἀλλ᾽ ἔτι μικρόν. *fm.*

τὴν ὄψιν] τὸ εἶδος. *B*[t].

ἀσύμβολον] οὐκ εἰσενεγκὼν συμβολήν, οὐ συμβαλὼν ἔρανον. *B.* μὴ παρέχων σύμβολον καὶ ἔρανον, ἀλλ᾽ ἄλλου συμβάλλοντος δαπανᾷ. ἀσύμβολος οὖν ὁ ἑτέροις συνεστιώμενος δίχα συμβόλου καὶ ἐράνου τινός. *qm.*

---

3. *λήξεις — ἀλλήλοις. q.* post v. 9. *Διοπείθει* legebantur. Ante vv. *παρὰ τὸ λαγχάνειν* erat lemma: §. 62. *λαγχάνει.* 16. *Ὑπερείδου* et *Ὑπερείδης* nos: libri *Ὑπερίδου* et *Ὑπερίδης*. 17. *Ἄρδηττον* nos: *Ἄρδηλον* m, *Ἄρδηπτον* ceteri. cf. Hesych. s. v. *Ἄρδηττος*. 30. *τὸν μισ.* Sauppius: libri *καὶ μισ.* 31. *ἤλειφε* Baiterus: *εἰλήφει q*, *ἀλείφει* ceteri. *ἐφιλοκάλει* Reiskius: libri *φιλοκαλεῖ*. 34. Thucyd. 1, 6. 43. *γὰρ* Sauppius: libri *δὲ*.

2. *αὐτὸν f*: ceteri *αὐτήν*. 7. Demosth. 21 §. 146. 8. *κατεπέπληκτο*] Fort. *κατεκέκλητο*. Spr. 17. 18. *ποιεῖσθαι*] *οἱονεὶ πεπονθέναι. fm. βδελυρίας*] nos: libri *βδελυρίας*· *οἱονεὶ πεπονθέναι*. 20. *δυσαπόσπαστον f*: *δυσαποσπαστότατον* ceteri. 27. *Ἡγησάνδρου* nos: libri *Ἡγήσανδρος*. ib. *Κρωβύλος* Baiterus: libri *καὶ Κρωβύλος*. 37. *νέον* add. Baiterus. 43. *συμβόλου* nos: *συμβολαίου* m, *συμβούλου* ut videtur *q*, *συμβολῆς* cum Reiskio frankiana.

§. 77. διαψηφίσεις] αἱ δοκιμασίαι. Διαψηφίσεις δέ ἐστιν, ὁπηνίκα στάσεως δημοτικῆς γενομένης συνέρχονται ἅπαντες οἱ ἐκ τῶν δήμων καὶ σκοποῦσι, τίς τε ἐστὶ πολίτης καὶ τίς ξένος. τοῦτον διώκουσιν, ὡς ἐξ αὐτοῦ γενομένης τῆς στάσεως. ἔλεγον γὰρ ἐκ πολίτου μὴ γίνεσθαί τι τοιοῦτον. Δημόφιλος δέ τις εἰσηγήσατο διαψηφίσεις γενέσθαι τῶν ἀστῶν ἐν τοῖς δήμοις, ὥστε τοὺς δημότας περὶ ἑκάστου τῶν ἀναγρα-
735 φομένων διδόναι ψῆφον, ὅτι ἐστὶν ἀστός, μηδενὸς κατηγοροῦντος μηδὲ ἀπολογουμένου, ἀλλ' ἐκ τῆς συνιστορήσεως, καὶ ἴσχυον αἱ διαψηφίσεις τῶν δημοτῶν. qfm.

ψῆφον δέδωκε] περὶ γὰρ ἑκάστου ψῆφος ἐδίδοτο τοῖς δημόταις· ὡσεὶ ἔλεγε δοκιμασίαν ἔδωκεν. ἢ ἀντὶ τοῦ ἔδωκεν ἑαυτὸν εἰς τὸ ἑτέρους ὑπὲρ αὐτοῦ ψηφίσασθαι. qfm.

§. 79. τετρυπημένη] τετρυπημένη ψῆφος ἦν ἡ καταδικάζουσα, πλήρης δὲ ἡ ἀπολύουσα. q. τοῦτο κακοήθως εἶπεν ἐπὶ τοῦ Τιμάρχου καὶ ἔστι κεκεμφατον. οἱονεὶ καταψηφιζομένη. ἔγνωμεν γὰρ πολλάκις, ὡς ὅτι ποτὲ μὲν ἐψηφίζοντο οἱ δικασταὶ διὰ λευκῆς καὶ μελαίνης ψήφου· καὶ ἦν ἡ μὲν μέλαινα ἡ καταψηφιζομένη, ἡ δὲ λευκὴ ἡ σώζουσα· ποτὲ δὲ διὰ τετρυπημένης καὶ ἀτρήτου, καὶ κατέκρινον μὲν διὰ τῆς τετρυπημένης, ἔσωζον δὲ διὰ τῆς ἀτρήτου. fm.

§. 80. ἡ βουλή] ὅτε οὗτος ἐβούλευσεν, εἴ ποθ' ἡ βουλὴ ἀθροισθείη. fm.

§. 81. πρόσοδον ποιουμένης] προσιούσης τῷ δήμῳ. fm.

οἰκήσεων] οἰκήσεις τινὲς ἦσαν περὶ τὴν Πνύκα ἔρημοι καὶ καταπεπτωκυῖαι. ταύτας συνεβούλευσεν ὁ Τίμαρχος κτισθῆναι, οἱ δ' ἐξ Ἀρείου πάγου ἀντιλέγουσιν. Πνὺξ δὲ πετρώδης ἐστὶ τόπος, ἔνθα ἐκκλησιάζουσιν, ἐν ἐρήμῳ τόπῳ κείμενος, ὠνομάσθη δὲ Πνὺξ παρὰ τὸ πεπυκνῶσθαι ταῖς οἰκήσεσιν. κατέτεμε γὰρ αὐτὴν εἰς οἰκίας τοῖς ἡλιασταῖς. qfm. ἦν δὲ πάγος ὑψηλός, λόφος καλούμενος Πνύξ. fm.

§. 82. εἰ Τίμαρχος] πιθανῶς ὁ Αὐτόλυκος ἐμπειρότερον τῆς βουλῆς ἔφη τὸν Τίμαρχον εἶναι. fm.

§. 83. τοιαύτην τινὰ συγγνώμην] ὁ Αὐτόλυκος συγγνώμην ἔφη Τιμάρχῳ ἔχειν· οὗτος γὰρ ἴσως φήθη μικρὸν ὑμᾶς ἀναλώσειν ἐν τῇ ἐρημίᾳ οἰκοδομουμένους. ὁ γὰρ λόγος ἦν περὶ τῆς Πνυκός. λέγουσι δὲ ἡσυχίαν τὴν ἐρημίαν. qfm.

ἡσυχίᾳ] ἡσυχίαν ἐκάλουν τὴν ἐρημίαν. Ἀσπάσιος δὲ τὴν ἀπραγμοσύνην φήθη δηλοῦσθαι. qm.

πάλιν] οἱ ὑποπτεύοντες πόρνον τὸν Τίμαρχον ἐθορύβησαν. τὰ γὰρ ὀνόματα κακόσχολα πρὸς τὸν ἐπὶ τούτοις διαβαλλόμενον. fm.

§. 84. ὑπολαβόντες] ὑποτυχόντες, ἀποκρινάμενοι. fm.

§. 85. βοᾶτε] ἀντὶ τοῦ ἐβοήσατε· χρόνος ἀντὶ χρόνου. fm et partim q.

§. 86. ἐμνήσθην] ἀντὶ τοῦ ἐπλήρωσα ταῦτα λέγων. fm.

πολιτευμάτων] ὅταν τις εἰσηγήσηται τῷ δήμῳ τι συμφέρον, τοῦτο πολίτευμα τοῦ εἰσενεγκόντος καλεῖται. καὶ λέγουσιν· ὁ δεῖνα τόδε ἐπολιτεύσατο. fm.

ἠτιάσατο] ἤγουν κατηγόρησεν. q.

συνδεκάζειν] ἤγουν δώροις συνδιαφθείρειν. q. συνδεκασταὶ ἐλέγοντο, οἵτινες συνερχόμενοι ἅμα εἴτε τῶν βουλευτῶν εἴτε τῶν δικαστῶν τὴν αὐτὴν ψῆφον ἐτίθεσαν περὶ τῶν κρινομένων. οἷον παρεφέρετό τις ἄδικόν τι ποιήσας πρᾶγμα, οἱ δὲ δέκα ἐκεῖνοι ὄντες, οἳ συνδεκασταὶ ἐκαλοῦντο, κέρδους χάριν τὴν ὑπὲρ αὐτοῦ ἐτίθεσαν ψῆφον. οὗτοι δὲ ἐλεγχόμενοι ἐπὶ τούτῳ τῷ πράγματι θανάτῳ ἐζημιοῦντο. — συνδεκάζειν συνδωροδοκεῖν. κυρίως δὲ τὸ ἀναπείθειν δώροις δεκάζειν. συνδεκάζειν οἷον τινας συνδωροδοκῆσαι. fm.

Νικόστρατος] ἀπὸ κοινοῦ τὸ ἠτιάσατο. ἔστι δὲ ἀντὶ τοῦ κατηγόρησεν. m.

§. 87. ἐδέκαζε] δεκάσαι ἐστὶ τὸ διαφθεῖραί τινας χρήμασι παραδικάσαι ἤ τι τοιοῦτον ποιῆσαι. ἐδέκαζεν οὖν διέφθειρεν ἀργυρίῳ τοὺς δικαστάς. ἤρξατο δὲ τοῦ τοιούτου πρῶτος Ἄνυτος. ὠνομάσθη δὲ τὸ δεκάζειν ἀπὸ τοῦ δέκα συνισταμένους μισθαρνεῖν ἐν πόλει. fm.

§. 88. ἐκεῖνοι μὲν] συγγνώμην αὐτοῖς πορίζεται πάνυ δεινῶς. ἐπειδὴ γὰρ ἥλωσαν ἐκεῖνοι καὶ ταῦτα συγγνώμης ὄντες ἄξιοι, πόσης τιμωρίας ἄξιος Τίμαρχος, ὃς ἥμαρτεν ὑπ' οὐδενὸς τούτων κρατούμενος. fm.

§. 89. ἐκκλήτῳ] ὡς νῦν λέγομεν τὸ ἔκκλητον δοῦναι. ὅταν τις τῶν δικαζομένων ὑπονοῇ τὸν δικαστὴν παραδικάζειν δι' ἔχθραν αὐτοῦ ἢ φιλίαν τοῦ ἀντιδίκου καὶ ἕνεκα τούτου ἐκκαλῆται ἕτερον δικαστήριον κοινὸν ἀμφοτέροις. παρατηρητέον, ὅτι τῷ μὲν ὀνόματι κέχρηνται οἱ παλαιοὶ τῆς ἐκκλήτου, οὐκέτι μέντοι καὶ τῷ ῥήματι, ὥς φασιν οἱ Ἀττικισταί. fm.

ἐκκλήτῳ] ἀλλοτρίᾳ, εἰς ἣν ἐξεκέκλητο κριθησόμενος. ἐκκλήτῳ παρὰ τὸ ἐκεῖ καλεῖσθαι ἐπὶ κρίσει. οἷον εἰ Ῥόδιόν τις Ἀθήνησιν ἠτιάσατο, εἶτα ἐκλήθη Ἀθήναζε δικασόμενος. qfm.

§. 90. ὅρισται μὲν εἰδὼς] πῶς φησι τὸν μάρτυρα

5. γὰρ Baiterus: libri δέ. 6. γίνεσθαι q et fort. f: γενέσθαι ceteri. 15. αὑτοῦ Frankius: libri αὐτοῦ. 17. vv. τετρυπημένη δὲ ψ. — ἡ ἀπολύουσα, additis deinde vv. τετρυπημένη οὖν frankiana cum m, ut videtur, post κακέμφατον inserit. 20. γὰρ f: δὲ ceteri. 21. ὡς ὅτι f: ὡς ceteri. 38. ἐμπειρότερον Sauppius: ἔμπειρον libri. 43. ἡσυχίαν q et fort. f: ἡσυχίαν τινὰ ceteri.

19. οἳ add. Frankius. 37. αὑτοῦ nos: libri αὐτοῦ.

ταῖς μεγίσταις περιπίπτειν τιμωρίαις; λέγομεν ὡς οὐδεὶς ἔσται μάρτυς ἐπὶ τοιαύτης πράξεως· λάθρα γὰρ πράττεται. οὐκοῦν μάρτυς ἂν εἴη ὁ τὴν πρᾶξιν ἐργασάμενος. ἀλλ' ἐὰν μαρτυρῇ, κολάζεται ὡς τὸν Ἀθηναῖον καταισχύνων. fm.

736 §. 92. *εὖ πάνυ*] *ἀντὶ τοῦ μετὰ δεινότητος καὶ καλῆς φράσεως.* qfm.

§. 93. *οἱ μὲν γὰρ ἐν τῷ*] *οἱ παρὰ τὸν καιρὸν τῆς κρίσεως λόγοι λεγόμενοι ἕνεκα τοῦ πεῖσαι ὑμᾶς καὶ ἀπατῆσαι ἐνίοτε λέγονται. οἱ δὲ πρὸ τῆς κρίσεως λόγοι ἀληθεῖς, οὓς οὐχ ὁ κατήγορος συνέθηκεν, ἀλλ' ἡ τῆς πράξεως ἀλήθεια.* fm.

§. 94. *λογογράφος*] *Δημοσθένην λέγει.* Bqm. *οὐκ ἦν δὲ ἀστεῖον οὐδὲ ἐπαινετὸν τὸ λογογραφεῖν οὐδὲ τὸ συνηγορεῖν μισθοῦ.* Bm.

ἀνδρός] *ἵνα δύνηται πιπράσκειν τὰ κτήματα.* Bm.

ἔτι δὲ' ἐνταῦθα ἡ πιθανὴ ἀπολογία. q.

τερατευόμενος] *οἷον τέρας τι καὶ παράδοξον λέγει με ἐπαγγέλλειν.* qfm.

§. 95. *ἐπικλήρου*] *ὅτι ἐπίκληρόν τινα συγγενῆ πρὸς γάμον ἔλαβεν ὁ Ἡγήσανδρος πλουσίαν. νόμος γὰρ ἦν ὁ κελεύων τὸν ἐγγυτέρω τῶν ἄλλων συγγενῶν ὑπάρχοντα τῇ ἐπικλήρῳ γαμεῖν αὐτήν. ἐπίκληρος δὲ γυνὴ καλεῖται, ἣν ὁ πατὴρ μέλλων τελευτᾶν καταλιμπάνει τινὶ πρὸς γάμον, λέγων ὅτι τῷδε αὐτὴν θέλω δοῦναι.* Bfm.

κατεκεκύβευτο καὶ κατωψοφάγητο] *ἤγουν εἰς κύβους ἐδαπανήθη καὶ εἰς ὀψώνια ἀνηλώθη.* fm.

ἔξωρος] *ἔξω τῆς ἡλικίας. ὑπερεβεβήκει τὴν ὥραν, τουτέστι τὴν ἀκμὴν τῆς ἡλικίας, ἀνὴρ ἤδη ἐγεγόνει.* qm.

ἀνόσιος] *τὸ ἀνόσιος θηλυκῶς συνέταξε.* m.

§. 96. *τὸ πλέον*] *τὸν παρέχοντα αὐτῷ πλείονα.* fm.

§. 97. *τῆς πόλεως*] *τῆς ἀκροπόλεως λέγει. τὸ γὰρ παλαιὸν ἡ ἀκρόπολις τῶν Ἀθηναίων ἐκαλεῖτο πόλις.* Bqfm.

ἐσχατιάν] *ἐσχατιαί εἰσι τόποι ἔσχατοι τῆς χώρας περατούμενοι ἢ εἰς ὄρη ἢ εἰς θάλασσαν. Ἄλλως. τὰ ἐπὶ τοῖς τέρμασι τῶν δήμων ἔσχατα κείμενα χωρία*
737 *ἐσχατιαὶ ἐκαλοῦντο.* Bqfm. *Ἄλλως. ἐν τοῖς χωρίοις ἐναπολαμβάνονται ὄρη ἢ ἄκρα κατὰ τὴν Ἀττικήν· παρ' αὐτὰ δὲ ψιλοὶ τόποι εἰσίν, οἳ ἐσχατιαὶ καλοῦνται. τινὲς δὲ ἐργάζονται αὐτούς.* Bfm.

Σφηττοί] *Σφηττὸς δὲ δῆμος ὄπισθεν τῆς ἀκροπόλεως.* Bqm.

ὁ δ' ἡγεμών] *ὁ τῶν δημιουργῶν χοροδιδάσκαλος καὶ ὑφηγητὴς καὶ οἷον ἄρχων, ὁ τὰ ἔργα ἐκλαμβάνων.* qfm.

ἀμόργινα] *τὴν λινοκαλάμην ἀμοργίδα λέγουσιν. ἔνιοι δὲ ἀμόργινα πάντα τὰ λεπτὰ ὑφάσματα, ἁλουργὰ δὲ καὶ εὐανθῆ διὰ τὴν βαφήν. λεπτὰ δὲ λεπτοφυῆ. ἔπιπλα δὲ σκεύη περισσά, ἃ νῦν καλοῦμεν οἰκόσκευα.* qfm. *ἀμόργη εἶδος ξύλου ποιοῦν ἔρια, ὥσπερ ἐστὶ τὸ ἐριόξυλον. ἄλλοι δὲ λέγουσι τὸ ἐν τοῖς καλάμοις ὥσπερ ἔριον εὑρισκόμενον. ἐσθῆτα δὲ ποιῆσαι ἀπὸ τούτων ἐστὶ δυσχερές, καθὸ λεπτότατόν τί ἐστιν, ὡς ὑμήν. κατὰ τοῦτο δὲ καὶ πολύτιμα.* fm.

ποικιλτήν] *ὃν λέγομεν πλουμάριον.* qm.

§. 98. *ὁ χοροδιδάσκαλος*] *ὁ τοῦ χοροῦ ὑφηγητής.* B.

ἐξηγριωμένον] *ἀντὶ τοῦ χέρσον γενόμενον.* qm.

§. 100. *ἀπέδωκε*] *ἤγουν χρεωστῶν ἔδωκε.* q.

§. 101. *ἀργυρείοις*] *τὸ ἀργυρεῖον τῆς Ἀττικῆς* 738
τόπος, ἔνθα ἀργυρωρυχεῖα ἦν, ἃ λέγουσιν ἀργυρεῖα. ἐπὶ Θρασύλλῳ δὲ ἀττικῶς ἀντὶ τοῦ πρὸς τῷ Θρασύλλου μνήματι. ἦν δὲ πρὸς αὐτῷ μέταλλα ἀργυρίου. qm.

§. 102. *τὴν νόσον*] *τὴν πήρωσιν.* B.

συνταξάμενος] *ἤγουν φανερόν τι συνθέμενος παρέχειν αὐτῷ.* qfm.

§. 103. *ἀδυνάτοις*] *κατὰ μῆνα ἐκ τοῦ δημοσίου δίδοται τοῖς ἀδυνάτοις πολίταις μισθός. ἀδυνάτους δὲ πάντας λέγουσι τοὺς ὁπωσδηποτοῦν ἠχρειωμένους πρὸς ἐπικουρίαν αὐτῶν. Ἄλλως. τοῖς ἀδυνάτοις τοῖς σώμασιν ἐχορηγεῖτο ἑκάστης ἡμέρας ἐκ τοῦ δημοσίου εἰς τροφὴν τριώβολον.* Bqm.

μισθοφοροῦντα] *ἀντὶ τοῦ μισθὸν δεχόμενον ἐν τῷ καταλόγῳ τῶν λελωβημένων καὶ ἀδυνάτων. νόμος γὰρ ἦν Σόλωνος ὁ κελεύων τοὺς τοιούτους ἐκ τῶν δημοσίων τρέφεσθαι.* Bfm et q, „sed hic paullo turbatius“ B.

§. 104. *ἀπολειφθέντος*] *οἷον ἔτυχεν αὐτὸν μὴ παραγενέσθαι ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἔνθα δοκιμάζονται οἱ τρεφόμενοι ἐκ τῶν δημοσίων ὡς ἀδύνατοι.* qfm.

ἱκετηρίαν] *ἱκετηρία ἐστὶ θαλλὸς ἐλαίας ἐρίῳ ἀνεστεμμένος, ὃν κατεῖχον ταῖς χερσὶν οἱ ἱκέται καὶ δεόμενοι τινῶν.* B et partim qfm.

---

6. *εὖ πάνυ* Frankius: erat *πάνυ κακῶς*. 11. *λόγοι* Baiterus: libri *μοι λόγοι*. Fort. *λεγόμενοι*. Spr. *συνέθηκεν* f: *συντέθηκεν* m, *συντεθεικεν* frankiana. 19. *τερας τι καὶ* f: *τεράστιον* ceteri. 24. *ὑπάρχοντα* Bf: *ὑπάρχοντα εις συγγενειαν αὐτῇ* ceteri, ex dittographia ut videtur. 28. *καὶ κατωψοφάγητο* nos addidimus. 33. *τὸ πλέον* nos: erat *αναμενειν*. 35. *τῶν* om. frankiana. 38. *ἄλλως. τὰ* B: ceteri *τά*. 39. *τερμασι* B: ceteri *τερμασι δέ*. 42. *οἱ* B: ceteri *αἵ*.

1. *Σφηττος* nos: *σφῆττα* Bg, *σφήττα* B[1], *σφηττοί* q, *σφητὸς* ceteri. 8. *δὲ καὶ* fm: *τε καὶ* ceteri. 10. *ἀμόργη* Frankius: *αμοργὴ* f, *ἀμόργινον* m. Fort. *ἀμοργίς*. 19. *ἀπέδωκε* Baiterus: erat *ὠφείλησε*. 23. *ἀργυρίου* nos: libri *ἀργυρίου ἔτι*. 24. *τὴν νόσον* apud Aeschinem legebatur pro vv. *τὴν ἀσθένειαν*. 25. *συνταξάμενος* Bachmanni anecd. 1. p. 376, 14: erat *εις τροφην*. 27. *δημοσίου* Reiskius: libri *δήμου*. 38. *ἔτυχεν* f: ceteri *ἔτυχεν οὖν*.

739 *πρυτανείας*] οἱ πρυτάνεις συνάγουσι τὴν βουλὴν ὁσημέραι, πλὴν ἂν ἄφετός τις ᾖ, τὸν δὲ δῆμον τετράκις ἑκάστης πρυτανείας, καὶ προγράφουσι πρὸ βουλῆς καὶ πρὸ ἐκκλησίας ὑπὲρ ὧν δεῖ χρηματίζειν. ἡ μὲν κυρία, ἐν ᾗ τὰς ἀρχὰς ἐπιχειροτονοῦσιν, οἳ καλῶς ἄρχουσιν, ἢ ἀποχειροτονοῦσιν· ἐν ᾗ καὶ τὰς εἰσαγγελίας ὁ βουλόμενος εἰσαγγέλλει καὶ τὰς ἀπογραφὰς τῶν δημευομένων ἀναγινώσκουσιν οἱ πρὸς ταῖς δίκαις καὶ τὰς λήξεις τῶν κλήρων. ἡ δὲ δευτέρα ἐκκλησία ἀνεῖται τοῖς βουλομένοις ἱκετηρίας θεμένοις λέγειν ἀδεῶς περί τε τῶν ἰδίων καὶ τῶν δημοσίων. ἡ δὲ τρίτη κήρυξι καὶ πρεσβείαις [ἀξιοῖ] χρηματίζειν, οὓς δεῖ πρότερον τοῖς πρυτανεῦσιν ἀποδοῦναι τὰ γράμματα. ἡ δὲ τετάρτη περὶ ἱερῶν καὶ ὁσίων. q.

πρυτανείας] ἐπειδὴ δέκα ἦσαν πρυτανεῖαι, ἑκάστης δὲ τούτων ν´ βουλευταί, ἄνδρες πεντακόσιοι πρυτανεύουσιν, ἕκαστος μῆνα καὶ ἡμέρας ἕξ, ὥστε τὸ ἔτος περιέλθοι τὰς δέκα φυλάς. ὁ δὴ χρόνος, ὃν ἄρχει ἡ μία φυλή, πρυτανεία καλεῖται. καὶ μετροῦσι κοινότερον οὐ πρὸς μῆνας ἀλλὰ πρὸς πρυτανείας τούς τε μισθοὺς καὶ τόκους καὶ ἐνοίκια. fm.

§. 106. *λαχὼν ἀπὸ κλήρου, χειροτονηθεὶς δὲ* ἀπὸ δοκιμασίας. qm.

§. 107. *λογιστής*] λογισταὶ κρίνουσι τοὺς ἄρξαντας καὶ ὑπευθύνους ὄντας. qm. δύο ἦσαν, ὁ μὲν τῆς βουλῆς ὁ δὲ τῆς διοικήσεως, λογισταί. καὶ τούτους ἡ βουλὴ κληροῖ κατ᾽ ἀρχὴν ὡς παρακολουθεῖν τοῖς διοικοῦσιν. q.

§. 107. *Ἄνδρῳ*] τῶν Κυκλάδων νήσων μία Ἄνδρος. fm.

μνῶν] ἡ μνᾶ ἐστι μέγιστον τῶν τοῦ ταλάντου μερῶν, ὡς εἰς ξ´ μνᾶς κατακερματίσαι λύσαντα τὸ τάλαντον. ἦν δὲ ἡ μνᾶ σταθμοῦ τε ὁμοῦ καὶ νομίσματος ὄνομα, ὥσπερ καὶ τὸ τάλαντον. ὁ μέντοι ὀβολὸς ὀκτὼ χαλκοῦς εἶχεν. q.

740 *ἐπ᾽ ἐννέα*] ὡσανεὶ ἔλεγεν ἐπὶ μιᾷ καὶ ἡμισείᾳ ἑκατοστῇ, εἴγε οἱ ἓξ ὀβολοὶ ποιοῦσι μίαν δραχμήν, ἡ δὲ δραχμὴ ἑκατοστή ἐστι τῆς μνᾶς. qfm.

ἐκμαρτυρῆσαι] ἐν ἄλλῳ μὲν τόπῳ σημαίνει τὸ μαρτυρῆσαι περὶ ἀπόντος τινὸς ἀποδήμου, ἐνταῦθα δὲ τὸ ἐκφῆναι τὴν αὐτοῦ συμφορὰν διὰ τῆς μαρτυρίας. qfm.

§. 108. *ὠνητής*] οἷον πολέμιός τις ἀγοράσαι αὐτὴν βουλόμενος. qf. πάντως γὰρ ἂν αὐτὴν εὐθὺς οὗτος ἐπώλει. — ὡς ὑποβαλομένου τοῦ Τιμάρχου ὠνήσασθαι παρὰ τῆς πόλεως φόρον, ὥστε αὐτὸς προκαταθέμενος ἐκλέξαι ἐπιπλείσας, ἔπειτα σφαλέντος τῷ βουλεύματι. fm.

§. 109. *Νικοφήμου*] οὗτος ἦρξε πρὸ Θεμιστοκλέους, ἐφ᾽ οὗ βουλεῦσαι τὸν Τίμαρχον. ἦν δ᾽ ἐπὶ τοῦ αὐτοῦ ἄρχοντος καὶ Ἡγήσανδρος τῆς θεοῦ ταμίας. καὶ κοινῇ διέκλεπτον τοῦ δημοσίου χιλίας δραχμάς, ὥς φησιν ὁ ῥήτωρ. Bfm.

πρὸς μικρὸν μέρος] ὅ ἐστι πρὸς τὸ ἀποδοθὲν ὕδωρ. fm.

ἐγγυτάτω τῆς αἰτίας] διὰ τὸ ἐπιφέρειν· *κλέπτουσι τῆς πόλεως ἀνὴρ καὶ γυνή.* qfm.

§. 110. *οὗτος*] ἀναφορική ἐστιν ἡ ἐπιδεικτική, ὡς τοῦ Ἡγησάνδρου συνηγοροῦντος νῦν τῷ Τιμάρχῳ. fm.

§. 111. *ἐκφυλλοφορήσασα*] ἀντὶ τοῦ διὰ φύλλων αὐτοῦ καταψηφίσηται. διὰ φύλλων γὰρ οἱ βουλευταὶ ἐψηφίζοντο ἐν τῇ πρώτῃ δοκιμασίᾳ, ἐν δὲ τῇ δευτέρᾳ ψήφοις. Bfm. δεύτερον γὰρ ἐβουλεύοντο περὶ τοῦ αὐτοῦ. *Ἄλλως.* οἱ βουλευταὶ φύλλοις ἐχρῶντο ἐν ταῖς δοκιμασίαις. καὶ τὰς ἀρχὰς δὲ ἐνίας φύλλοις ἐκληροῦντο, πρότερον κυάμοις κληρουμένας. *Ἄλλως.* μὴ ἄρα τὴν τῶν ψήφων ἀθρόαν ἐπιφορὰν πρὸς τὸ ἐκβαλεῖν ἐκφυλλοφορίαν εἴρηκε παρὰ τὴν τῶν φύλλων φοράν. fm.

δωρεάν] στεφανοῦται ἡ βουλὴ κατ᾽ ἔτος, ὅτι καλῶς ἄρχει. ταύτῃ οὖν ἀξιῶ τὴν δωρεὰν δοῦναι. fm.

§. 112. *κατεδέξατο*] ὥστε τῇ μὲν τῶν φύλλων ἐπιβολῇ ἐκβαλεῖν, ψήφου δὲ περιενεχθείσης καταδέξασθαι. fm.

μὴ περιποιήσητε] πάλιν ἀττικῶς ἐπερίσσευσεν ἡ μὴ ἀπαγόρευσις ἐνταῦθα. fm.

§. 113. *Ἐρετρίᾳ*] Ἐρέτρια πόλις τῆς Εὐβοίας. ὅλη δὲ Εὔβοια ὑπ᾽ Ἀθηναίοις ἦν. Bfm. ἐξεταστὴς δὲ τῶν Ἀθηναίων ἐκεῖθι ξένων. fm.

τιμήματος] ἀντὶ τοῦ περὶ τῆς καταδίκης λοιπὸν παρεκάλει, ἧττον παθεῖν τῆς ἀξίας. fm.

τριάκοντα μνῶν] τὸ ἥμισυ τοῦ ταλάντου. ὀβολός. δραχμὴ ἓξ ὀβολοί. μνᾶ ρ´ δραχμαί. τάλαντον ξ´ μναῖ. fm.

§. 114. *διαψηφίσεσι*] οἷον ταῖς δοκιμασίαις τῶν πολιτῶν, τίνες ἀληθῶς πολῖταί εἰσι γνήσιοι, καὶ τίνες παρεγγεγραμμένοι. *ἔλαβε* δὲ ἵνα μὴ συκοφαντήσῃ τὸν Φιλωτάδην, ὅτι οὐ πολίτης. qfm.

---

3. *πρὸ* Sauppius: libri *ἑτέρας*. 7. *εἰσαγγέλλει* Pollux §. 95: libri *εἰσαγγέλλειν*. 8. *δημευομένων* idem: libri *δημοτευομένων*. *οἱ πρὸς* idem: libri *πρός*. 12. *ἀξιοῖ* addidimus cum Polluce. 16. *τούτων ν´* nos: *τούτων* m, *τούτων πεντήκοντα* celeri. ib. *βουλευταί* nos: *βουλευταί. τούτους* libri. Fort. *βουλευταί. οὕτως.* Spp. 17. *ἕκαστος* nos: *ἕκαστ* f, celeri *ἕκαστον*. 25. cf. G. Hermannus de Boeckhii corp. inscr. gr. p. 232 sq. 27. *κατ᾽ ἀρχὴν* H. Stephanus apud Pollucem 8, 99: libri *κατάρχειν*. 32 *ξ´ μνᾶς* Sauppius: libri *ὄνομα*. 39 *ἄλλῳ*; or. 2 §. 19. 40. *ἀποδήμου* q: celeri *ἀπὸ δήμου*. 43. *ἂν* add. Scheibius in Jahn. annall. l. d. p. 114.

4. archontes a. 482 et a. 361 confudit. 7. *διέκλεπτον* f: *διέκλεψαν* B, *ἔκλεπτον* celeri. 11. *ἐγγυτάτω* nos addidimus. 16. *καταψηφίσηται* nos: *καταψηφίσασα* Bs, *καταψηφίζουσα* Bt, celeri *καταψηφίσεται*. 20. *ἐνίας* Scheibius l. d.: libri *ἔνιοι*. 34. *τῶν* nos: libri *τῶν ὡς*.

741 ἀποψηφίσασθαι] ἀντὶ τοῦ ἐκβαλεῖν τοῦ εἶναι αὐτὸν πολίτην καὶ ἀποδοκιμάσαι ἀντὶ τοῦ μὴ ψηφίσασθαι πολίτην. qfm.

τοὺς ὁρκίους] Ἀπόλλωνα πατρῷον καὶ Δήμητραν καὶ Δία, ὥς φησι Δείναρχος ὁ ῥήτωρ. Bfm.

§. 115. εἴκοσι μνᾶς] τὸ αὐτό ἐστιν αἱ κʹ μναῖ ταῖς δισχιλίαις δραχμαῖς, εἴγε ἡ μνᾶ ἔχει ἑκατὸν δραχμάς. fm.

συνθηκῶν] ἅπερ αὐτὸς ἔγραψε καὶ δέδωκε τούτοις τοῖς δοῦσιν αὐτῷ χρήματα συνθέμενος αὐτοῖς, ὅτι καθυφίημι τὸν ἀγῶνα. fm.

§. 117. προδιήγησις] οἷον ὥστε προδιηγήσασθαι ὑμῖν ἅπερ μέλλει λέγειν ὁ Δημοσθένης. περὶ αὐτοῦ γὰρ αἰνίττεται. τέχνας δὲ ἐνταῦθα λέγει τὰς πανουργίας. fm.

§. 119. ὁ γὰρ περιττὸς ἐν τοῖς λόγοις] οἷον ὁ ἀκριβὴς καὶ περίεργος. ἢ ὁ πολὺς κατὰ σοφίαν, ἵν' ᾖ κατ' εἰρωνείαν. ἢ ὁ ἁπλοῦς ὢν ἐν τῇ πόλει. ἢ οἷον περιττὰ τῆς προκειμένης ὑποθέσεως ἀεὶ ἐξευρίσκων πρὸς τὸ παραλογίζεσθαι, ὡς ἐν τῷ ηʹ τῶν Φιλιππικῶν οὔσης τῆς ὑποθέσεως περὶ τοῦ σῶσαι τὸν Διοπείθην αὐτὸς ἄλλην τινὰ προσεξεῦρε λέγων περὶ Χερρονήσου εἶναι τὸν φόβον. καὶ ἐν τῷ κατὰ Ἀριστοκράτους, οὔσης περὶ Χαριδήμου, αὐτὸς ἀνεπλάσατο τὴν Χερρόνησον. fm.

πωλεῖ] ἀντὶ τοῦ μισθοῖ τοῖς τελώναις, ἵν' αὐτοὶ ἀπαιτήσωσι τοὺς κιναίδους. Bm.

ἀντιγράψασθαι] πρότερον γὰρ κατηγόρησεν ὁ Τίμαρχος Αἰσχίνου παραπρεσβείας. B. ἀντὶ τοῦ ἀντικατηγορῆσαι, ἐπεὶ πρῶτος κατηγόρησεν ὁ Τίμαρχος Αἰσχίνου παραπρεσβείας. qfm.

ἐκλέξαντος] ἀπαιτήσαντος. B.

§. 121. ἀπολογίας — παραχωρησάτω] τουτέστι μὴ χρησάσθω ταύτῃ ἀπολογίᾳ. B. οἷον τοῦ ἀπαιτεῖν ἡμᾶς αἰσχρὰς τοιαύτας αποδείξεις. Bm.

§. 122. ἐναπολογήσασθαι] ἡ ἐν πρόθεσις ἐπερίσσευσε κατ' Ἀττικὴν συνήθειαν. f.

παραιτησόμενος] συγγνώμην αἰτήσων, ὡς ὢν τοιοῦτος. fm.

§. 123. οἰκήματα] ὅτι οὐκ ἀπὸ τῶν ἐργαστηρίων τοῖς ἀνθρώποις, ἀλλ' ἀπὸ τῶν ἀνδρῶν τοῖς τόποις αι ἐπικλήσεις. m.

§. 125. ἥξει] ἐπίλογοί εἰσιν ἐνταῦθα. q. ὅτι ἐπίλογοί εἰσιν ἐνταῦθα. ἐξαγώνια γάρ ἐστιν ἃ μέλλει λέγειν. σοφιστοῦ δὲ λέγει ἐνταῦθα τοῦ σοφιζομένου τὴν ἀλήθειαν. πολλὰ γὰρ σημαίνει τοὔνομα. fm.

Κολωνῷ] δύο εἰσὶ Κολωνοὶ δῆμοι τῆς Ἀττικῆς· καὶ ἐν τῷ μὲν ἐργάται ἦσαν καὶ ἐκέκλητο ἐργατικός, ὁ δὲ ἕτερος ἵππιος. ἄδηλον οὖν ἐν ὁποτέρῳ Κολωνῷ. qfm. ἐν δὲ τῷ ἐργατικῷ οἱ ἀγοραῖοι καὶ οἱ μισθαρνοῦντες ἦσαν. fm.

Ἀνδοκίδου] Ἀνδοκίδης περὶ τῶν μυστηρίων· καὶ διὰ ταῦτα ὁ Ἑρμῆς, ὃν ὁρᾶτε πάντες, ὁ παρὰ τὴν πατρῴαν οἰκίαν τὴν ἡμετέραν, ὃν ἡ Αἰγηὶς ἀνέθηκεν, οὐ περιεκόπη, μόνος τῶν Ἑρμῶν. B. περὶ τὴν Ἀνδοκίδου οἰκίαν εὕρηται Ἑρμῆς. γέγονε δ' ἐπίσημος Ἀνδοκίδης, καὶ ἀπ' αὐτοῦ ἐλέχθη Ἀνδοκίδου Ἑρμῆς. fm. διὰ δὲ τὸ πλησίον εἶναι τῆς Ἀνδοκίδου οἰκίας, δι' αὐτὸ αὐτοῦ ἐνομίσθη. m.

§. 126. παραφέρει] παράγει. B.

ἰδίας διατριβὰς] ἰδιωτικὰς συντυχίας. — Βάταλος δὲ ὁ κίναιδος λέγεται. Βάταλος δέ τις γέγονεν ἀνὴρ αὐλητὴς ἡταιρηκώς. ἢ οὖν ἐκ τούτου Βάταλος ὁ Δημοσθένης ἐκαλεῖτο, καθότι μεγάλα καθίσματα εἶχεν, ἢ ἐκ τοῦ βαταλίζεσθαι οἱονεὶ τύπτεσθαι. qm.

γελοῖος] γελοῖος ὁ γελωτοποιός, προπαροξυτόνως 742 δὲ ὁ καταγέλαστος. qm.

εἰ μὴ] ἔξωθεν λαβέ· οὐδαμῶς οὖν χρὴ Τίμαρχον ὑπὸ μόνης φήμης ἑταιρήσεως κρίνεσθαι, εἰ μὴ καὶ ἐμὲ καὶ τὰ ἑξῆς. fm.

Βάταλον] Αἰσχίνης περὶ παραπρεσβείας· ἐν παιδὶ μὲν γὰρ ὢν ἐκλήθη δι' αἰσχρουργίαν τινὰ ἢ κιναιδίαν Βάταλος. B.

Βάταλον] καταπύγονα καὶ μαλακόν. ὠνομάσθη δέ φασιν οἱ μὲν ἀπὸ Βατάλου αὐλητοῦ μαλακοῦ, οἱ δὲ ἀπὸ ποιητοῦ κατεαγότα κρούματα γράφοντος. διόπερ καὶ Δημοσθένη διὰ μαλακίαν οὕτως ὀνομασθῆναι. λελοιδόρηνται γὰρ αὐτῷ πάντες εἰς μαλακίαν. fm. εἰσὶ δ' οἳ βάταλον προσηγόρευον τὸν πρωκτόν· καὶ Δημοσθένην ἐκ μεταφορᾶς διὰ μαλακίαν βάταλον ἐκάλεσαν. αὐτὸς μέντοι ὁ Αἰσχίνης φησὶν ὡς Δημοσθένης ἔλεγεν ὡς ὑποκοριζομένη παιδίον αὐτὸν ὄντα ἡ τίτθη οὕτως ἐκάλεσεν. qfm. καὶ νῦν δὲ οἱ αὐληταὶ ὑποπόδιον διπλοῦν ὑπὸ τὸν δεξιὸν πόδα ἔχοντες, ὅταν αὐλῶσι, κατακρούουσιν ἅμα τῷ ποδὶ τὸ ὑποπόδιον, τὸν ῥυθμὸν τὸν αὐτὸν συναποδιδόντες, ὃ καλοῦσι βάταλον. δοκεῖ δέ μοι λελέχθαι Βάταλος παρὰ τὸ Εὐπόλιδος σκῶμμα. ἐκεῖνος γὰρ ὑπὸ τῶν Βαπτῶν ὀνόματα κεῖσθαι τοῖς αἰσχροῖς καὶ τιγράνην βάταλον ἐπ' αὐτῶν καλεῖσθαι. fm.

τίτθης] τίτθη ἡ τροφός, τήθη ἡ μάμμη, τηθὶς ἡ θεία. fm.

6. τὸ αὐτό ἐστιν — δραχμάς ad hunc locum pertinere vidit Sauppius, cum vulgo legerentur post p. 21 v. 39 ξʹ μναῖ. quod post αὐτὸ legebatur δὲ omisimus cum f.

6. Andocid. 1 §. 62. 7. παρὰ τὴν addidimus ex Andocide 13. δι' αὐτὸ αὐτοῦ Sauppius: δὲ αὐτὸ αὐτοῦ liber, αὐτοῦ frankiana. 25. Aeschin 2 §. 99. 37. οἱ αὐληταὶ Meinekius (hist. crit. com. gr. p. 336): libri οἷα καὶ. 39. τὸν αὐτὸν Meinekius: libri τὸ αὐτὸ. 42. Fort. post γὰρ excidit πεποίηκε vel simile quid. Spp. 43. τιγράνην βάταλον] Fort. τὸν πρωκτὸν Βάταλον, cl. Harpocrat. p. 44, 9. Spp.

§. 129. *φήμης*] Ἀθήνησίν ἐστι βωμὸς Φήμης. Κίμωνος ἐν Παμφυλίᾳ νικήσαντος ναυμαχίαν καὶ πεζομαχίαν, αὐθημερεὶ ἔγνωσαν Ἀθηναῖοι, ὕστερον αὐτοῦ διὰ γραμμάτων τὴν νίκην σημήναντος· ὅθεν πρῶτον καὶ βωμὸν τῇ Φήμῃ ὡς θεῷ ἀνιδρύσαντο. qm.

§. 130. *ἐπισκήψασθαι*] οἱονεὶ ἐξενεγκεῖν ψῆφον. qm.

§. 131. *κομψά*] ἀντὶ τοῦ τὰ τρυφερὰ καὶ μαλακὰ καὶ πολυτελῆ. qm.

χιτωνίσκους] οἱονεὶ κολοβίωνας γυναικοπρεπεῖς. *χλανίσκια* δὲ τρίβωνας. qfm.

§. 132. *ὑπτιάζων*] γαυριῶν καὶ ὑπερηφανευόμενος. fm.

κατασκοπούμενος] ὅπερ συμβαίνει τοῖς ἀλαζόσιν. fm.

τὴν ὅλην ἔνστασιν] οἱονεὶ αὐτὴν τὴν ὅλην ὑπόθεσιν καὶ τὴν αἰτίαν τοῦ λόγου. qm.

παραφέρων] παράγων. B.

§. 133. *συμφοράν*] οἷον τιμωρίαν προξενοῦσαν τοῖς κεκτημένοις. qm.

§. 135. *ἐκ τοῦ πράγματος*] ἐκ τοῦ μάχεσθαι πρὸς τοὺς ἀντεραστάς. qm.

743 §. 137. *ἀδιαφθόρως*] ἤγουν ἀδωροδοκήτως, πρὸς ἀντιδιαστολὴν τοῦ λαβεῖν χρήματα δι' αἰσχρότητα. qm.

ἐπαρθέντα] ἀντὶ τοῦ ἀναπεισθέντα. Bm.

§. 138. *ξηραλοιφεῖν* ἔλεγον τὸ χωρὶς λουτρῶν ἀλείφεσθαι. *ἄλλως*. τὸ ἐξ ἐλαίου ἀλείφειν τὸ σῶμα, ὅπερ εἰώθασι ποιεῖν οἱ γυμναζόμενοι. B. ἀντὶ τοῦ ἐλαίῳ ἀλείφειν τὸ σῶμα. m. ξηροτριβεῖσθαι μὲν οὖν πρότερον, ἀλείφεσθαι δὲ ὕστερον, ὡς ἀσκητῶν τοῦτο ὄν. qfm. ξηροτριβεῖσθαι· ὃ καὶ ἔτι νῦν γίνεται, ταῖς χερσί τινας ἔλαιον λαμβάνοντας εὐτόνως τρίβεσθαι καὶ σχηματίζεσθαι τὸ σῶμα γαύρως. τάχα οὖν διὰ τοῦτο οὐκ ἐπέτρεψε τοῖς δούλοις. fm.

τῷ αὐτῷ νόμῳ] κατ' ἀμφιβολίαν ἀπὸ τοῦ ἐναντίου. fm. οἷον διὰ τὴν ἐναντιότητα. m.

§. 139. *δημοσίᾳ*] οἱ δημόσιοι δοῦλοι ἦσαν ταύτην τὴν πρᾶξιν ἐγχειρούμενοι. fm.

σωφρονίζει] πῶς σωφρονίζει; τῷ μὴ διδόναι ἄδειαν αὐτῷ διαλέγεσθαι τῷ παιδί. qm.

§. 140. *εἴτε ἔρωτα*] εἴτε ἔρως εἴτε τρόπος δέον εἰπεῖν. πρὸς τὸ *προειπεῖν* τὴν αἰτιατικὴν ἐποίησεν. q.

§. 141. *ἐπειδὴ δέ*] ἐνταῦθα συγκρούει αὐτὸν τοῖς δικασταῖς. fm.

λέξομεν — ἡμεῖς] πληθυντικῶς εἶπε, δέον ἑνικῶς. ἀδιάφορον κατὰ παλαιὰν συνήθειαν. φιλόσοφον δέ φησι τὸν Ὅμηρον διὰ τὸ παντοδαπὸν τῆς ὠφελείας τῆς ποιήσεως αὐτοῦ. φανερὸν δὲ ὅτι ἐκ παλαιοῦ φιλόσοφοι ἐλέγοντο οἱ ποιηταί. fm.

§. 149. *εὐηγενέων*] ἤγουν τῶν καλὰ γένη ἐχόντων. q.

ἐνδυκέως] ἤγουν ἐπιμελῶς. q.

§. 156. *Περιθώδου* (sic)] δῆμος Περιθοίδης. q.

§. 157. *Τιμαρχώδεις*] τοῦτο Παρμένων ὁ κωμικὸς ἔσκωψεν εἰς Τίμαρχον τοῦτον τὸν ῥήτορα. ἦν δὲ καὶ ἕτερος Τίμαρχος Τισίου μὲν υἱὸς τοῦ Ῥαμνουσίου, Ἰφικράτους δὲ ἀδελφιδοῦς τοῦ Ῥαμνουσίου. m.

κατ' αὐτῶν] ἀντὶ τοῦ *περὶ αὐτῶν*, ὥσπερ καὶ ἐν τοῖς Φιλιππικοῖς· *ὅπερ ἐστὶ μέγιστον καθ' ὑμῶν ἐγκώμιον* ἀντὶ τοῦ *περὶ ὑμῶν*. Bqfm.

§. 158. *ὧν ἥκιστα*] ὧν ἐλάχιστα, ἀντὶ τοῦ ὧν οὐδὲ ὅλως μοι μέλει. qfm. *ἄλλως*. τοῖς πολλοῖς παρήσω τῶν αἰσχρῶν, φεύγων τὰς ἀπεχθείας αὐτῶν. ἐκείνων δὲ ἐξ αὐτῶν μνησθήσομαι, ὧν οὐδέν μοι μέλει. τοῦτο δὲ εἶπεν ἴσως διὰ τοὺς πλουσίους, δεδιὼς αὐτῶν τὸ δυνατόν. fm.

τίς γὰρ ὑμῶν] πικρὸν καὶ δριμύ. q.

παρήδρευεν] ἑκάστῳ ἄρχοντι συναιρεῖται πάρεδρος πρὸς τὸ φυλάττειν τὰ πράγματα. qm.

§. 159. *οὐκοῦν μή*] ὡς τῶν δικαστῶν ἀποκρινομένων· *εἰς τοὺς πεπορνευμένους*, οὕτως ἀπήντησεν. fm.

συμμορίαν] τὴν τῶν ἡταιρηκότων τάξιν. fm.

αὐτομολήσῃς] μεταφορὰ ἀπὸ τῶν ἐν τῇ συμμαχίᾳ ἢ πολέμῳ τοὺς ἰδίους λιπόντων καὶ προδόντων καὶ πρὸς τοὺς ἀντιπάλους ἐλθόντων. τοῦτο γὰρ λέγεται κυρίως αὐτομολεῖν. B.

§. 160. *ὅπως ἄν*] εἴτε κατὰ γραμματεῖον πεποί- 744
ηκεν εἴτε μή. qm.

ἀπέστη τῆς — φιλοτιμίας] ὅ ἐστιν ἐν δευτέρῳ ἔθετο τὰ τῆς δόξης καὶ ἀρετῆς. qm.

ἐπίτιμον] ἔντιμον, ἔνδοξον. m.

§. 162. *ὁ τὴν ἡλικίαν προλαβών*] ἀντὶ τοῦ ὁ πρεσβύτερος. Bfm. καὶ γὰρ ἐπὶ πολὺ τῶν ἑαυτοῖς νεωτέρων ἐρῶσιν ἄνθρωποι. fm.

§. 163. *τὸν τοιοῦτον*] ἤγουν τὸν μισθωθέντα ἐπὶ τῷ ἑταιρεῖν. qm.

ὁ μισθούμενος] ἀντὶ τοῦ ὁ μισθωσάμενος. m.

ἐπωβελίαν] ἐπωβελία ἐπίτιμόν ἐστι τὸ ἕκτον μέρος τοῦ τιμήματος, ὃ ἐπράττοντο οἱ γραψάμενοί τινας

---

5. ὕστερον nos: libri ὡς ὕστερον. 29. ἐλαίῳ Frankius: liber ἐλαίου. ib. ξηροτριβεῖσθαι μὲν οὖν Sauppius: ξηροτριβομένοις q, ξηροτριβομένου ceteri. 31. ἔτι — γίνεται Sauppius: ἐστι — γίνεσθαι libri. 32. τινας — λαμβάνοντας Sauppius: libri τινες — λαμβάνοντες ib. καὶ σχηματίζεσθαι Sauppius: σχηματίζεσθαι f, σχηματίζοντες ceteri. 34. δούλοις Frankius: libri φίλοις. 42. ἐποίησεν nos: liber ἐποίησαν.

15. Demosth. 6 §. 9. 43. τῷ Baiterus: libri τὸ 46. τινας Suidas s. v. ἐπωβελία: libri τινα.

καὶ μὴ ἑλόντες, αὐτοῖς τοῖς γραφεῖσιν. B. ἐπωβελία ἦν τὸ ἕκτον μέρος τοῦ τιμήματος, ὃ προσοφείλει ὁ ἁλούς. m. οἱονεὶ τὸ ἕκτον μέρος τῆς δίκης, ὃ ἐδίδου μὴ ἀποδείξας ὁ κατήγορος περὶ χρέως ἐνάγων. ὁ δὲ παρανόμων κατηγορῶν μὴ ἀποδεικνὺς τὰς χιλίας προσώφλεν. ἐνομοθέτησε δὲ τοῦτο ὁ Ἀρχῖνος ἐγγράψας τῷ νόμῳ τὰ μὲν πρυτανεῖα εἶναι τοῖς δικασταῖς παρὰ τοῦ ἁλόντος, ὅ ἐστιν ἐπιδέκατον τοῦ τιμήματος, τὴν δὲ ἐπωβελίαν τῷ δημοσίῳ παρὰ τοῦ μὴ ἑλόντος. qfm. ἄλλως. ἐπωβελία τοῦ τιμήματος τῆς δίκης ἐστὶ κατὰ δραχμὴν ὀβολὸς ἢ ὁποσονοῦν. τοῦτο ἐπωβελία λέγεται, ἣν τῷ δικαστηρίῳ δίδωσιν ὁ ὀφλών. fm.

§. 164. σοφός] ὁ πανοῦργος καὶ δόλιος καὶ πολεμήχανος καὶ δεινός. B.

στεφανοῖ] ἀντὶ τοῦ μέλλεις στεφανοῦσθαι. ὁ γὰρ εἰς ἀρχὴν καθιστάμενος ἐστεφανοῦτο. ἢ θύων. fm.

§. 166. παρεμβολαί] παρεμβολὴ ἡ τῶν ὁμοίων παρένθεσις. μεταφορὰ ἀπὸ τῶν στρατηγικῶν καὶ πολεμικῶν. B.

πολὺς] πολλὴν τοῦ Φιλίππου μνείαν ποιήσει. ἢ οὕτω· πολὺν περὶ Φιλίππου ποιήσει λόγον. B.

745 §. 168. ἀντικρούσεις πρὸς ἕτερον παῖδα] οἷον πρὸς κῶλά τινα καὶ ᾄσματα. gm.

§. 169. τὴν τῶν λόγων εὐφημίαν] ἐπειδὴ ὑπισχνεῖται ἀγαθὰ ἡμῖν ποιήσειν πολλά· ὡς δῆλον ἐκ τούτου, ὅτι οὔπω ἦν γενομένη ἡ τρίτη πρεσβεία οὐδὲ κατασκαφέντες οἱ Φωκεῖς. μετὰ γὰρ τὴν δευτέραν πρεσβείαν εὐθὺς ἐγένετο ἡ κατηγορία ὑπὸ Τιμάρχου καὶ Δημοσθένους κατ' Αἰσχίνου ὡς παραπρεσβεύσαντος. — ὡς ὑπεσχημένου τινὰς ὑποσχέσεις τοῖς Ἀθηναίοις τοῦ Φιλίππου χρηστάς. fm.

§. 171. μέγα φρονοῦσα] ἀντὶ τοῦ πλέον ζητοῦσα τοῦ δέοντος φρονεῖν. fm.

Ἀρίσταρχος] περὶ τούτου πολὺς λόγος ἐν τῷ κατὰ Μειδίου λόγῳ. B. τούτου Δημοσθένης ἑταῖρος ἦν. φασὶ δ' ὡς λαβὼν παρ' αὐτοῦ φεύγοντος ἐπὶ φόνῳ παρακαταθήκην τρία τάλαντα, ταῦτα ἀπεστέρησεν. δύο δὲ φόνους ἔδρασεν ὁ Ἀρίσταρχος, πρότερον μὲν Νικόδημον, αὖθις δὲ Εὔβουλον ἀνελών. fm.

εἰς τὴν φιλανθρωπίαν] εἰς τὸ προσποιεῖσθαι αὐτοῦ εἶναι φίλος. m.

κατάλογον] ῥητόρων ὑπ' αὐτοῦ γεγενημένων. q.

§. 172. φεύγει] καθὸ ἐφόνευσε τὸν Νικόδημον. fm.

προλαβὼν] ἀντὶ τοῦ ἁρπάξας, καθὸ φεύγων κατέλειψεν αὐτῷ τρία τάλαντα, ὥστε ἀπαιτῆσαι χρεωστούμενα καὶ πέμψαι αὐτῷ ἐν τῇ φυγῇ. καὶ οὐκ ἔπεμψεν. qfm.

Νικόδημος] κατὰ τοῦ κοινοῦ τὸ ἐξ ὧν. m.

§. 173. Κριτίαν] Κριτίας Σωκρατικὸς εἷς τῶν λ'. fm.

ἑταίρους ἐξαιτήσεται] ἀντὶ τοῦ φίλους σώσει. qm.

ἰσηγορίας] m. pr. ἰσολογίας. m. — ὡς ἐν δημοκρατίᾳ ἔχων ἰσηγορίαν ἠναντιοῦτο οὕτω κακῶς πολιτευομένῳ. qfm.

ἐργολαβῶν] οἱονεὶ περιττὰ ποιῶν καὶ οἱονεὶ διὰ τούτων τῶν ῥημάτων ὥσπερ προξενῶν ἑαυτῷ πλείονας μαθητάς. — ἀντὶ τοῦ κέρδη περιποιούμενος. οἱ γὰρ μαθηταὶ αὐτοῦ μισθοὺς αὐτῷ διδόασιν. ἐφ' ὑμᾶς δὲ καθ' ὑμῶν. fm.

§. 175. διατριβὴν] ἀντὶ τοῦ πρόφασιν τοῦ ἔχειν πολλοὺς μαθητάς. qm.

§. 176. προαισθάνεσθαι] πάνυ δεινῶς. ἐπειδὴ γὰρ ἀμάρτυρός ἐστιν ὁ ἀγών, διὰ τοῦτό φησι τὸ προαισθάνεσθαι. qm.

§. 177. τῆς πόλεως] ἤγουν τῶν νόμων. q.

ἐπιπλήξεις] ἤγουν ὀβελισμούς. q.

§. 179. ἐφ' ἑτέρων] πραγμάτων δηλονότι. fm.

οὐδὲ παρ' ἑτέρου] τουτέστι παρ' οὐδετέρου. B.

§. 180. καλὸν δ' ἐστὶ] τοῦτο καλεῖται ἐπιδιόρθωσις. qfm. φοβηθεὶς γὰρ τὸ εἰπεῖν ἀλλ' οὐ Λακεδαιμόνιοι, χείρους γὰρ αὐτοὺς ἐκείνων ἐποίει, λύει τὸ ἀντιπῖπτον καὶ φησι· δέχομαι τὸ κέρδος οὐ διακρίνων τὸ πόθεν. fm.

γερόντων] ἕνα λέγει τῶν εἴκοσι ὀκτώ. qm. 746

ἀρχὴν] καθὸ ἡ γερόντων ἀρχὴ ἐλέγετο γερουσία. qm.

καθιστᾶσι] τοῦτο πρὸς τὸν Τίμαρχον εἶπεν. ἐπειδὴ γὰρ εἶπε γέροντας, ἦν δὲ καὶ ὁ Τίμαρχος γέρων, διὰ τοῦτό φησι· καθιστᾶσι δὲ αὐτούς. qm.

§. 181. ὑποδεδειλιακότων] ὑποδεδειλιακότας καλεῖ τοὺς κακῶς ζήσαντας, καθὸ ἐν δέει οὗτοι ζῶσιν ὑποπτεύοντες ἀεὶ τιμωρίαν. qm.

§. 182 χαλεποὶ] οὕτω φησὶν ἐλυποῦντο εἰς τὸ θεωρεῖν τινας αἰσχύνης ἄξια τῆς πόλεως πραττομένους. qm.

---

1. αὐτοῖς τοῖς γραφεῖσιν Suidas: αὐτοῖς τοῖς γραφείοις B t, αὐτοῖς τοῖς γραφείοις B c. cf. Harpocr. p. 84, 22. ib. ἐπωβελία — ὁ ἁλούς huc transposuimus, cum frankiana v. 6. ante ἐνομοθέτησε habeat. 4. χρέως Scheibius l. d.: libri χρήσεως. 5. προσώφλεν Reiskius: libri προσόφλει. 6. ἐγγράψας q et fort. f): ceteri ὁ γράψας. 23. πρὸς κῶλά q: ceteri πρόσκωλά. — Hoc scholion huc transposuimus, cum v. 29. legeretur post παραπρεσβεύσαντος. 24. ὑπισχνεῖται f: ceteri ὑπισχνεῖτο. — Recte Bekkerus hoc scholion ad h. l. retulit, cum ceteri ad §. 168. κιθαρίζοι pertinere putarent. 30. ὡς ὑπισχ. — χρηστάς ad §. 169 v. 5 ἐπαγγέλμασιν referebantur. 35. Demosth. 21 §. 104 sqq.

6. τῶν λ'. Scheibius l. d.: libri τῶν λ'. ἀνὴρ εἷς τῶν πολιτῶν. cf. schol. ad §. 182. 11. πολιτευομένῳ f: πολιτευόμενος q, πολιτευομένοις ceteri. 16. ante nos verba ἐφ' ὑμᾶς — ὑμῶν ante v. 15. οἱ γὰρ legebantur.

ἀνὴρ εἷς τῶν πολιτῶν] Ἱππομένης ἀπὸ Κόδρου καταγόμενος. ἡ δὲ θυγάτηρ Λειμωνίς. οὕτω Καλλίμαχος. Bqm.

ἡλικίαν] πάλιν τὴν νεότητα λέγει ἡλικίαν. fm.

ἐγκατῳκοδόμησεν] ἀντὶ τοῦ ἐν οἰκήματί τινι ἐγκατέφραξεν. Ἱππομένης γὰρ τὸ μὲν γένος τῶν Κοδριδῶν, βασιλεὺς δὲ Ἀθηναίων, λαβὼν ἐπὶ τῇ θυγατρὶ μοιχὸν τοῦτον μὲν αἰκισάμενος ἀπέκτεινε, τὴν δὲ θυγατέρα καθεῖρξεν ἐν οἰκήματι μεθ' ἵππου. ὁ δὲ λιμώττων κατέφαγε τὴν ἄνθρωπον. καὶ ὕστερον καὶ αὐτὸς ὑπὸ λιμοῦ ἀπέθανεν. Bfm. καλεῖται δ' ἔτι καὶ νῦν ὁ τόπος ἐν ᾧ καθείρχθησαν Παρ' ἵππον καὶ κόραν. fm.

παρ' ἵππον καὶ κόραν] ἴσως ἐκαλεῖτο ἱπποκόρειον. B.

§. 183. δημοτελῆ] τὰ δημόσια. ἦσαν γὰρ καὶ ἰδιωτικὰ ἐν τοῖς οἴκοις τοῖς ἰδίοις, ὧν οὐκ ἀπείργοντο. fm.

ἀνάπηρον] βεβλαμμένον τὸ σῶμα. ἐπί τισι δὲ σημαίνει τὸ ἀνά ἐν τούτῳ. f. ὁ μέλος τι βλαβείς, τυχὸν ἢ ὀφθαλμὸν ἢ χεῖρα ἢ πόδα ἀποβαλὼν ἤ τι τοιοῦτο. fm.

747 §. 187. ὅταν οἱ τὴν —] ὅταν οἱ δικασταὶ προσκεινται τοῖς πόρνοις καὶ ἐν αἰσχύνῃ ζῶσιν. qm.

§. 188. θαυμάζω] ἀντὶ τοῦ καταγιγνώσκω, κατὰ πρὸς γενικὴν φερεται. fm.

ταῖς Σεμναῖς] τρεῖς ἦσαν αὗται αἱ λεγόμεναι σεμναὶ θεαὶ ἢ Εὐμενίδες ἢ Ἐριννύες, ὧν τὰς μὲν δύο τὰς ἑκατέρωθεν Σκοπᾶς ὁ Πάριος πεποίηκεν ἐκ τοῦ λυχνίτου λίθου, τὴν δὲ μεσην Κάλαμις. οἱ δὲ Ἀρεοπαγῖται τρεῖς τοῦ μηνὸς ἡμερας τὰς φονικὰς δίκας ἐδίκαζον ἑκάστῃ τῶν θεῶν μίαν ἡμεραν ἀπονέμοντες. ἦν δὲ τὰ πεμπόμενα αὐταῖς ἱερὰ πόπανα καὶ γάλα ἐν ἄγγεσι κεραμικοῖς. φασὶ μέντοι αὐτὰς οἱ μὲν Γῆς εἶναι καὶ Σκότους, οἱ δὲ Σκότους καὶ Εἰωνύμης, ἣν καὶ Γῆν ὀνομάζεσθαι. κληθῆναι δὲ Εὐμενίδας ἐπ' Ὀρέστου, πρότερον Ἐριννύας καλουμένας. qfm.

ἐπιγραφομένων] ἐγράφετο γὰρ ἐν τοῖς ψηφίσμασιν· ὁ δεῖνα εἶπεν, Αἰσχίνης ἢ Τίμαρχος ἤ τις ἕτερος. q.

§. 189. ὁ γὰρ περὶ τῶν —] ὁ γὰρ ὑπεριδὼν τοὺς νόμους τοὺς κειμένους περὶ τῶν μεγίστων πραγμάτων καὶ τὴν σωφροσύνην ὥσπερ ἐν ἕξει τινὶ γίνεται τοῦ ἀδικεῖν, καὶ τὰ ἑξῆς. f.

§. 190. ἀνατετροφότας] ἀπὸ τοῦ ἀνατρέπω. καὶ Ἀριστοφάνης· τὰς δ' ἐμβάδας πῇ τέτροφας ἀνόητε σύ; ἤγουν ἔρριψας, ἀπώλεσας. q.

§. 191. μηδὲν ἱκανὸν ἡγεῖσθαι] ἀντὶ τοῦ οὐδενὶ ἀρκεῖσθαι διὰ τὴν ἀσωτίαν. m.

ἐπακτροκέλητα] κέλης καὶ ἐπακτρὶς εἴδη πλοίων εἰσίν. καὶ ἐξ αὐτῶν σύνθετον ἐπακτροκέλης, ληστρικὸν πλοῖον. qfm. πλοιάριον ληστρικόν. εἴρηται δὲ οὕτω παρὰ τὸν κέλητα, ὅπερ ἐστὶν εἶδος πλοίου μικροῦ, ὡς ἔγνωμεν ἐν τῷ α' Θουκυδίδου, καὶ τὴν ἐπακτρίδα, ἥτις ἐστὶ πάλιν εἶδος πλοίου μᾶλλον ληστρικοῦ. fm.

ζηλώματα] οἱονεὶ τὰ ἤθη καὶ τὰς πράξεις. qm.

§. 192. ἐπαρεῖ] ἐρεθίσει, προτρέψεται. qm.

ὁ καιρὸς] οἱονεὶ τὸ γενέσθαι πολλοὺς τοιούτους. m.

§. 193. ἀποσκήψατε] τὴν ὀργὴν συνεσβάλλετε. B. ἤγουν δίκην κεραυνοῦ ἐμπέσετε καὶ οἱονεὶ ἐξαγάγετε τὴν ὁρμήν. q. οἷον ἐγκατασκήψατε καὶ ἐξάγετε τὴν ὁρμήν. m.

§. 194. βοηθείαις] ταῖς ἐπὶ τῶν δικαστηρίων δυνάμεσι. q.

τινὲς] οἱ πάσχοντες δηλονότι. q.

ἐξαμαρτάνωσιν] ἀντὶ τοῦ πάσχωσιν αἰσχρῶς. ὑποκατιὼν γὰρ καὶ περὶ τῶν τοιούτων λέγει. fm.

§. 195. ὁ νομος] ἀληθὲς τοῦτο· φησὶ γὰρ καὶ Λυκοῦργος δοκιμάζεσθαι δεῖν οὐ πάντας ἐπὶ τῷ ἑταιρῆσαι, ἀλλὰ τοὺς πολιτευομένους ῥήτορας καὶ τὰ ψηφίσματα γράφοντας. Bfm.

τοὺς δὲ τῶν νέων] ἰδοὺ ἐνταῦθα περὶ τῶν ποιούντων λέγει. m. ἡ δὲ σύνταξις οὕτως ἔχει· τοὺς δὲ τῶν νέων θηρευτάς, ὅσοι ἐξ αὐτῶν ῥᾳδίως τούτῳ τῷ νοσήματι ἁλίσκονται, αὐτοὺς κελεύετε τρέπεσθαι εἰς τοὺς μετοίκους. καθ' ὑπόθεσιν δὲ ὁ λόγος, ὡσανεὶ ἔλεγεν· εἰ δεῖ συγχωρεῖν τοῦτο ὅλως γίνεσθαι, εἰς τοὺς μετοίκους, ἀλλὰ μὴ εἰς τοὺς πολίτας. τὸ δὲ ἁλίσκονται ἀντὶ τοῦ εὐχερεῖς εἰσιν εἰς τὸ ἐρᾶν. qfm.

ὅσοι ῥᾳδίως ἁλίσκονται] τοὺς εὐχερεῖς εἰς τὸ ἐρᾶν. B.

§. 196. εἰ οὖν βουλήσεσθε κτλ.] λείπει ταῦτα ἔν τινι τῶν ἀντιγράφων. B.

---

1 ἀνὴρ εἷς τῶν πολιτῶν Scheibius l. d.: erat ἀνήρ. cf. schol. ad §. 173. 2. Λειμωνίς Bq: λειμωνίς Bw, Λιμωνίς ceteri. Callimach. frg. 157. 29. τοῦ B: ceteri τῆς. cf. Preller. ad Polemon. p. 72 sq. 35. Εἰωνύμης nos: εἰωνύμης m, Εἰωνύμου ceteri. cf. schol. Soph. Oed. Col. v. 42.

2. Aristophanes Nub. 858. 10. τῷ α' τῇ β' f. cf. Thucyd. 4, 9 et 8, 15. 15. γενέσθαι Sauppius: liber μὴ γενέσθαι. 27. cf. Lycurg. frg 24. 39. hoc scholion ante v. 30 legebatur. 41. In codd. Aeschinis dfh adduntur verba quaedam: ad ea hoc scholion pertinet.

II. IN ORATIONEM DE FALSA LEGATIONE.

§. 1. τὰς τέχνας] τὰ μετ' αὐξήσεως εἰρημένα, συκοφαντήματα. — Ὅτι ἐδυνήθη νικῆσαι τὴν κατηγο-
749 ρίαν, Εὐβούλου συνηγωνισμένου κατὰ τοῦ Δημοσθένους ἐν τῷ ποιῆσαι τοὺς δικαστὰς ἀναστῆσαι τοῦ Δημοσθένους λέγοντος, ἔγνωμεν καὶ τοῦτο ἐν τοῖς Δημοσθενικοῖς. συνέβη δὲ αὐτῷ ἐκπεσεῖν τῆς πατρίδος ὕστερον διὰ τὸ κατηγορῆσαι τοῦ ψηφίσματος τοῦ Κτησιφῶντος τοῦ ὑπὲρ τοῦ Δημοσθένους ὡς παρανόμου, καὶ ὁρίσαντος τὸ πρόστιμον ἐὰν μὴ δείξῃ αὐτὸ παράνομον καὶ ἡττηθέντος καὶ διὰ τὸ μὴ δύνασθαι καταβάλλειν τὴν καταδίκην, ἣν αὐτὸς ὥρισε, φυγῇ χρησαμένου, ὡς καὶ τοῦτο ἔγνωμεν ἐν τῷ ὑπὲρ στεφάνου. φυγὼν δὲ τὴν πατρίδα καὶ θελήσας ἀπελθεῖν πρὸς Ἀλέξανδρον, μαθὼν περὶ τῆς αὐτοῦ τελευτῆς καὶ τῆς ταραχῆς τῶν τούτου διαδόχων εἰς Ῥόδον ἔπλευσε καὶ Ῥοδιακὸν διδασκαλεῖον συνέστησε, παιδεύων τε τοὺς νέους καὶ τοὺς τελειοτέρους. ἀναγινώσκων δὲ τὸν λόγον τὸν κατὰ Κτησιφῶντος, ὃν εἶπε κατὰ τοῦ Δημοσθένους, καὶ θαυμαζόμενος σφόδρα παρ' αὐτῶν ἐπὶ τούτῳ καὶ ἐρωτώμενος παρ' αὐτῶν· πῶς οὖν ἐπὶ τοιούτῳ λόγῳ ἡττήσαι; ἀπεκρίνατο· θαυμάζετε πῶς ἥττημαι, καθὸ οὐκ ἠκούσατε ὑμεῖς τοῦ θηρίου ἐκείνου. θηρίον γὰρ αὐτὸν ἐκάλει διὰ τὸ δεινὸν τῶν τρόπων καὶ ἀνελεήμον. λέγεται δὲ ὅτι καὶ τὰς λεγομένας μελέτας καὶ τὰ πλάσματα τῶν ζητημάτων αὐτὸς πρῶτος εὗρεν ἐκεῖ ἐν τῷ σχολάζειν. Ὅτι μαθητὴς ἐγένετο, ὡς μὲν Δημήτριος ὁ Φαληρεὺς φησι,
750 Σωκράτους τοῦ φιλοσόφου, εἶθ' ὕστερον τοῦ Πλάτωνος· ὡς δὲ Καικίλιος καὶ Ἰδομενεὺς καὶ Ἕρμιππος ἱστοροῦσιν, οὐκ ἤκουσε τούτων τῶν ἀνδρῶν μαθήσεως χάριν. φασὶ γὰρ ὡς ὅτι οὐδὲν τοῦ χαρακτῆρος τοῦ Πλατωνικοῦ σώζει, οὔτε τὸ ἀκριβὲς καὶ καθαρὸν [οὔτε τὸ] ἀπέριττον καὶ εὔρυθμον, ἀλλὰ κεχηνυῖά πώς ἐστιν αὐτοῦ ἡ ἰδέα τοῦ λόγου καὶ ἄτεχνος μὲν καὶ προπετὴς καὶ εὐχερῶς ἐπὶ τὸ λοιδορεῖν αἰσχρῶς καὶ ἀπρεπῶς ῥήτορι ἐξαγομένη, ἔχουσα δέ τι εὐφυὲς καὶ εὐάγωγον καὶ οἷον ἂν γένοιτό τινι ἐκ φύσεως καὶ μελέτης ἀφαιροῖς. Bfm.

§. 2. ταῦτ' εἶπεν etc.] τοῦτο λέγει, ὅτι συνειδὼς ἑαυτῷ ψευδομένῳ οὐ δύναται ὀργίζεσθαι· τότε γάρ τις ὀργίζεται, ὅταν αἰσθάνηται τὴν ἀληθῆ ἀδικίαν. Bfmi.

οὐδεὶς γὰρ etc.] ἀντὶ τοῦ οὔτε οἱ τἀληθῆ λέγοντες οὔτε οἱ τὰ ψευδῆ· ἴσασι γάρ, εἴτε ἀληθῆ εἴτε ψευδῆ λέγουσιν, ὅτι οὐδὲν αὐτοῖς ἐντεῦθεν ὄφελος. Bfmi.

§. 3. οὕτω] ὥστε δικαιοπραγεῖν καὶ μὴ συκοφαντεῖν. m.

τὴν ὑμ. ὀργὴν etc.] εἰς ὀργὴν ὑμᾶς μόνον κινῆσαι θέλει. f.

ἀπίθανος ὤν] οὐ πιστὸς ὤν, μὴ δυνάμενος πεῖσαι. τοὐναντίον δὲ βούλεται λέγειν, ὅτι γνώριμος ὢν ἐπὶ τῇ αἰτίᾳ ταύτῃ καὶ ὁμολογουμένως δωροδόκος. Bfmi. ἢ οὕτως· ἀπιθάνως τοιαύτην ὑποψίαν ἐμοὶ ἐπιφέρων. Bfm.

§. 4. ψυχαγωγηθέντες] ἀντὶ τοῦ ἀπατηθέντες ὑπὸ τῆς ἡδονῆς. i. τουτέστι τῇ τῶν λόγων αὐτοῦ ἡδονῇ παραπεισθέντες καὶ τοῖς ἐξ ἀντικειμένων λεγομένοις. ἀντίθετα γὰρ ἔλεγον τὰ ἐν περιόδῳ διπλῇ ἐξ ἀντικει- 751
μένων, οἷον· τοὺς φίλους μὲν λυπῶν, τοὺς δ' ἐχθροὺς εὐεργετῶν. ἔστι γὰρ τοῦτο δίκωλον ἀντικείμενον. ἡδονὴν δ' ἔχει τὸ ἀντίθετον σχῆμα, οἷον· ἐδίδασκες γράμματα, ἐγὼ δὲ ἐφοίτων. Bi.

ἐξεβάλετε] Οὐλπιανὸς ὁ Δημοσθένους ἐξηγητής· ἐνταῦθα, φησίν, οἱ δικασταὶ ἀνέστησαν. B.

§. 5. ὑμᾶς μὲν οὖν etc.] τοῦτο τινὲς τρίτον προοίμιον. ἔστι δὲ τοῦ δευτέρου συμπέρασμα. fi.

διαφερόντως] ἀντὶ τοῦ πάνυ καὶ καθ' ὑπερβολήν. i.

ἀνόσιον] τὸν ἃ μὴ ἐπιτέτραπται ποιοῦντα· ὅσιον γὰρ τὸ ἐκ τῶν νόμων ἐπιτετραμμένον. Bfi.

§. 6. εἰ οἷόν τ' ἐστὶν] ταύτην οἱ περὶ Μαρκελλῖνον προκατασκευὴν φασιν· ἔστι δὲ τρίτον προοίμιον. ταῦτά φησιν εἰρηκέναι Δημοσθένην, ἃ [οὐκ] ἀπαιτητέον ἐκ τοῦ λόγου τοῦ Δημοσθενικοῦ· πολλὰ γὰρ εἰκὸς εἰπεῖν αὐτὸν ἐν τῷ ἀγῶνι καὶ παραλιπεῖν ἐν τῷ λόγῳ, ἀποδοκιμάσαντα ὡς περιττά. Bi.

ἀπογνῶναι] οἷον μὴ καταψηφίσασθαι· ἀπὸ κοινοῦ δὲ τὸ οἷόν τε. i.

---

1. Scholia bernardina, ceteris in hac oratione paulo similiora, quam in prima et tertia, ante Reiskium iam H. Brooke (Δημοσθένους καὶ Αἰσχίνου οἱ περὶ τῆς παραπρεσβείας λόγοι ἀντίδικοι. Oxonii 1721) ediderat. Adnotavimus vero, quae aliter apud nos leguntur atque in reiskiana. τὰ f: ἢ ὡς τὰ ceteri. εἰρημένα add. fm 14. μαθὼν περὶ τῆς αὐτοῦ τελευτῆς καὶ τῆς ταραχῆς f: μετὰ τὴν τούτου τελευτὴν καὶ τὴν ταραχὴν ceteri. 16. παιδεύων τε f: καὶ παιδεύει μὲν οὕτω ceteri. 17. τοὺς τελειοτέρους Sauppius: τοῖς τελειοτέροις f. τοὺς νεωτέρους ceteri. 18. τὸν κατὰ Κτησιφῶντος add. f. 19. αὐτῶν fm: αὐτοῖς ceteri. 21. τοιούτῳ λόγῳ fm: τοῦτον λόγον ceteri. 27. φησι add. fm. 30. ἱστοροῦσιν et τούτων add. fm. 31. φασὶ Bekkerus (orator. gr. berol. 3 p. 247): φησὶ ceteri. ὅτι add. Bekkerus l. d. 33. οὔτε τὸ addidit Reiskius. 35. εὐχερῶς f: εὐχερὴς ceteri.

3. τὴν ἀληθῆ m: ἀσθενῆ ceteri. 4. οὔτε — οὔτε Sauppius: οὐδὲ — οὐδὲ libri 6 ὅτι fm: ὡς ceteri. 16. In libris post ἐπιφέρων adduntur ea, quae infra ad §. 11 v. τερατείαν in fi adscripta sunt. Delevit Sauppius. 24. Demosth. 18 §. 265. 25. Ulpianus ad Demosth. or. de F. L. p. 243, 355 lutet. 31. ἃ μὴ fi: μὴ ἃ ceteri. 32. τὸ fi: καὶ τὸ ceteri. 33. ταύτην οἱ περὶ i: τοῦτο οἱ περὶ τὸν ceteri. 35. οὐκ add. Sauppius 39. cf. Bekk. anecd. p. 425, 29.

ἐγὼ δ' etc.] ἡ λύσις· ἔστι δὲ τὸ σχῆμα περιτροπή. *fi.*

ἀπογνοὺς] ὁ μὴ καταψηφιζόμενος ἑαυτοῦ ἀδικίαν, ἀλλ' ἀπολύων τῷ μὴ συνειδέναι ἑαυτῷ ἀδικοῦντι. *Bi.*

§. 8. *Εὐβούλου*] δημαγωγὸς οὗτος ἔνδοξος κατὰ τοὺς περὶ Δημοσθένη γεγονὼς χρόνους· οὗ ἀποθανόντος Ὑπερείδης περὶ τῶν τιμῶν λόγον ἔγραψεν. λεγομένου δὲ τοῦ λόγου τούτου ἐπὶ τῷ τέλει ὁ Αἰσχίνης αὐτὸν συνδικεῖν αὐτῷ παρακαλεῖ. *Bmi.*

§. 9. *ὅπου τύχοι*] ἀντὶ τοῦ ἐν οἱῳδήποτε μέρει τοῦ λόγου. *fmi.*

§. 10. *ἐνεχείρησε δ'* etc.] ὅτι ἐπὶ τῶν διαιτητῶν τοῦτο εἶπε Δημοσθένης, οὐκέτι μέντοι ἐν τῷ δικαστηρίῳ διὰ τὸ ἀπίθανον. ἐξῆν γάρ τινα παραιτήσασθαι ῥήματα ῥηθέντα παρὰ τοῖς διαιτηταῖς, πλὴν τῶν ἐγγραφέντων καὶ ἐμβληθέντων τοῖς ἐχίνοις. *fi.*

ἱερείας] περὶ τὴν γραφὴν ἡμάρτηται· δεῖ γὰρ γεγράφθαι Ἱμεραίας. Τιμαῖος γὰρ ἐν τῇ ἕκτῃ ἱστορεῖ, γυναῖκά τινα τὸ γένος Ἱμεραίαν ἰδεῖν ὄναρ ἀνιοῦσαν αὐτὴν εἰς τὸν οὐρανὸν καὶ πρός τινος ἄγεσθαι θεασομένην τὰς τῶν θεῶν οἰκήσεις. ἔνθα ἰδεῖν καὶ τὸν Δία καθεζόμενον ἐπὶ θρόνου, ὑφ' ᾧ ἐδέδετο πυρρός τις ἄνθρωπος καὶ μέγας ἁλύσει καὶ κλοιῷ· ἐρέσθαι οὖν τὸν περιάγοντα ὅστις ἐστί, τὸν δὲ εἰπεῖν· *ἀλάστωρ ἐστὶ τῆς Σικελίας καὶ Ἰταλίας, καὶ ἐάν περ*
753 *ἀφεθῇ, τὰς χώρας διαφθερεῖ.* περιαναστᾶσαν δὲ χρόνῳ ὕστερον ὑπαντῆσαι Διονυσίῳ τῷ τυράννῳ μετὰ τῶν δορυφόρων καὶ ἰδοῦσαν ἀνακραγεῖν, ὡς οὗτος εἴη ὁ τότε ἀλάστωρ δειχθείς, καὶ ἅμα ταῦτα λέγουσαν περιπεσεῖν εἰς τὸ ἔδαφος ἐκλυθεῖσαν· μετὰ δὲ τρίμηνον οὐκέτι ὀφθῆναι τὴν γυναῖκα, ὑπὸ Διονυσίου διαφθαρεῖσαν λάθρα. οὗτος ἱέρειάν φησιν εἶναι τὴν γυναῖκα, μηδενὸς τοῦτο ἱστορήσαντος. *Bfmi.*

§. 11. *τερατείαν*] οἱονεὶ ψευδολογίαν, καθὸ καὶ τὰ τέρατα γινόμενα ψεύδεται τὴν φύσιν. *fi.*

ἦ δ'] δύο ἐστὶ μέρη τοῦ λόγου, σημαίνοντα· *καθ' ὃν δήποτε τρόπον.* *fi.*

§. 12. *σπονδαῖς*] οἱ καταγγελεῖς τῶν ἀγώνων καλοῦνται σπονδοφόροι καὶ ὁ χρόνος ἐκεῖνος, καθ' ὃν ἄγονται οἱ ἀγῶνες, σπονδαί, διὰ τὸ τοῖς θεοῖς τότε γίνεσθαι σπονδὰς ὑπὲρ τῆς Ἑλλάδος. τὸ οὖν *ἐν ταῖς σπονδαῖς ταῖς Ὀλυμπιακαῖς* ἐν τῷ χρόνῳ ᾧ τὰ Ὀλύμπια ἦγον. *Ἄλλως.* ἐν γὰρ ταῖς ἐπισήμοις ἑορταῖς ἐσπένδοντο οἱ Ἕλληνες πρὸς οἱονδήποτε εἶχον πόλεμον εἰς τὸν χρόνον τῆς ἑορτῆς. *Bfm.*

§. 14. *ἐπιγραψάμενοι*] ἀντὶ τοῦ προγράψαντες καὶ ὑποβαλόντες, ἵνα αὐτὸς κατηγορήσῃ. *Bfm.*

§. 15. *ἱκετηρίαν*] ἱκετηρία μέν ἐστιν ὑπέρ του γινομένη δέησις. ἱκετηρία δὲ οὕτως ἐγίνετο· ῥάβδον θαλλῷ ἐλαίας στέψας, καθῆστο κατέχων εἰς τὸν Ἐλέου βωμόν, μέχρις οὗτινος ἔτυχε τῶν δικαίων. *Bfmi.*

Ἀριστόδημον] οὗτος ἐπεκαλεῖτο μὲν Στεμφύλιος, Μεταποντῖνος δ' ἦν τὸ γένος, καὶ ἐνίκα δὶς ἐπὶ Ληναίων. — *Διὰ τὴν γνῶσιν* δὲ ἤτοι γνώμην ἢ διάνοιαν, ὡς ὄντος ἀγαθοῦ. *fi.*

§. 16. *ἀλλ' ἔφθασεν* etc.] ἡ σύνταξίς ἐστιν· *ἀλλ' ἔφθασεν αὐτὸν Ἰατροκλῆς ἐλθὼν ἐκ Μακεδονίας, ὃς αἰχμάλωτος γενόμενος ἀφείθη ὑπὸ Φιλίππου ἄνευ λύτρων.* *fi.*

§. 18. *τῶν δέκα πρέσβεων*] τῶν δέκα ῥητόρων ὁ σκάριφος· Ἰσαῖος λόγους σ', Ὑπερείδης λόγους ρο', Ἰσοκράτης λόγους ο', Ἀντιφῶν λόγους ν', Δείναρχος λόγους νε', Λυσίας λόγους Ϟ, Λυκοῦργος λόγους η', Ἀνδοκίδης λόγους μδ', Αἰσχίνης λόγους γ', Δημοσθένης λόγους οα'. *f.*

§. 19. *οἵτινες — παραιτήσονται*] ἤτοι συγγνώμην αἰτήσοντας. *fi.*

τὴν ἐκμαρτυρίαν] μαρτυρία μέν ἐστιν ὅταν τινὲς μαρτυρήσωσι παρόντι τινί, ἐκμαρτυρία δὲ ὅταν περὶ ἀπόντος τινὸς καὶ ἀποδήμου ὑπάρχοντος, λέγοντες ὅτι μαρτυροῦμεν, ὅτι, ὅτε παρῆν, ἔλεγε τόδε. καὶ λοιπόν, εἰ ἐπανελθὼν ἐκεῖνος εἶπεν, ὅτι οὐδὲν εἶπον, ἐκρίνοντο οὗτοι ὡς συκοφάνται. θέλει δὲ εἰπεῖν ὅτι ἀρραβῶνας ἦν δεξάμενος ὁ Ἀριστόδημος ἀπό τινων

---

3. *μὴ* add. i. 7. *περὶ* mi: *ὑπὲρ* ceteri. 9. *συνδικεῖν αὐτῷ παρακαλεῖ* nos: *συνδικεῖν αὐτῷ παρακαλεῖ* mi, *παρεκάλει συνδικεῖν αὐτῷ ἐν οἵῳ δήποτε μέρει* B. sed v. scholion quod sequitur. 18. Neque Fr. Goeller neque C. Müller hoc fragmentum Timaei noverunt. cf. A. Meineke analect. alexandr. p. 355 sqq. 19. *τὸ γένος Ἱμεραίαν* fmi: *Ἱμεραίαν τὸ γένος* ceteri. 20. *αὐτὴν* Bekkeri anecd. p. 266, 10: *αὐτὴν* libri. *καὶ* add. fmi. 22. *ὑφ' ᾧ* m: *ἐφ' ᾧ* fi, *ὑφ' οὗ* ceteri. Fort. *ὑφ' ὃν*, coll. Phot. lex p. 102, 25 et Bekk. anecd. l. d. Spp. 24. *τὸν δὲ* fmi: *αὐτὸν δὲ* ceteri. 25. *ἐάν περ* nos: libri *εἴπερ*. 27. *χρόνῳ ὕστερον* fmi: *χρόνοις ὑστέροις* ceteri. *Διονυσίῳ* fmi: *τῷ Διονυσίῳ* ceteri. 28. *ἀνακραγεῖν* fmi: *ἀνακραγῆναι* ceteri. 29. *ἀλάστωρ* add. fmi. 30. *περιπεσεῖν* fmi: *πεσεῖν* ceteri. *τὸ ἔδαφος* fmi: *τοὔδαφος* ceteri. 31. *ὑπὸ Διονυσίου — γυναῖκα* add. fmi. 34. cf. ad schol. §. 3.

4. *γίνεσθαι* fm: *γενέσθαι* ceteri. 6. *ἦγον* Sauppius: *ἦγεν* fm (om. B.) *γὰρ* add. fm. 7. *εἶχον* fm: *ἦχον* ceteri. 11. *μὲν ἐστιν* fmi: *ἐστὶν ἡ* ceteri. *του γινομένη δέησις* fm: *του γενομένη δέησις* i, *τοῦ νόμου δέησις γινομένη* ceteri. 12. *ἱκετηρία δὲ οὕτως ἐγίνετο* fmi: *οὕτω δὲ ἐγίνετο ἡ ἱκετηρία* ceteri. 13. *ἐλαίας* add. fmi (*ἐλαιου* i). *καθῆστο κατέχων* fmi: *ἔχων καθῆστο* ceteri. 14. *οὗτινος* fmi: *οὗ* ceteri. 17. *γνῶσιν δὲ ἤτοι γνώμην* Baiterus: libri *γνώμην δὲ ἤτοι γνῶσιν*. 24. *Ὑπερείδης* nos: liber *ὑπερίδης*. 26. *νε* F. Dubnero teste in libri f fol. 100, ubi hic index, qui huc non pertinet, repetitus est, scriptum est *Τ*, addita prius litera quadam, sed erasa. 31. *μὲν* add. fmi. 32. *παρόντι* B: *παρὰ* ceteri. conf. Thomas Mag. p. 242, 10. *ὅταν* B: *οἱ* ceteri. 33. *λέγοντες* fmi: *λέγωσιν* ceteri. 34. *ὅτε* B: *ὅταν* ceteri. 36. *ὡς* add. Sauppius. 37. *ὁ Ἀριστόδημος* add. fmi.

πόλεων πρὸς τὸ ἀγωνίσασθαι ἐν αὐταῖς. ἦν γὰρ τραγῳδός, καὶ ἔδει αὐτὸν ἢ ἀγωνίσασθαι ἢ διπλοῦν τὸν ἀρραβῶνα καταβαλεῖν. ἔδει οὖν πρέσβεων τῶν πεισόντων τὰς πόλεις, μὴ διπλοῦν τὸν ἀρραβῶνα κομίσασθαι ἀλλ' ἁπλοῦν. — Ἐκμαρτυρία ἐστὶν ὅταν μὴ εἰδὼς αὐτὸς μαρτυρῇ ἀλλὰ φάσκῃ ἀκηκοέναι. Ἄλλως. ἡ τοῦ μὴ παρόντος μαρτυρία καλεῖται ἐκμαρτυρία, οἷον τοῦ ἔξω ὄντος μαρτυρία. τῶν ἀποδημούντων γὰρ καὶ τῶν
753 μὴ δυναμένων ἐλθεῖν εἰς τὸ δικαστήριον καὶ τὰς τῶν τετελευτηκότων μαρτυρίας ἐκ γραμματείων ἀνεγίνωσκον, αἳ ἐκαλοῦντο ἐκμαρτυρίαι. *Bfmi.*

καὶ τίς ὁ τὰς δωρεὰς etc.] ὑπέσχετο γάρ, εἰ μὲν αἱ πόλεις συγχωροῖεν τὰς ζημίας Ἀριστοδήμῳ, ὀρθῶς ἔχειν, εἰ δὲ μὴ συγχωροῖεν, τὸν δῆμον πείσειν δωρεὰς αὐτῷ δοῦναι ἃ καταβάλοι ἀλλαχόθι. *Bfmi.*

§. 20. ἡ — ἔνστασις] ἀντὶ τοῦ ἡ ἀρχὴ τῆς εἰρήνης καὶ ὥσπερ κρηπίς. *i.*

§. 21. ὁλοσχοίνῳ] τὸ ὁλόσχοινον φυτόν ἐστιν, ᾧ χρῶνται ἀντὶ βελόνης. ἄβροχον δὲ εἶπεν· εἰώθασι γὰρ βρέχεσθαι ὕδατι, ἵνα μαλακὰ γινόμενα εὔθετα γίνωνται εἰς τὴν τῶν ἔργων πλοκήν. Ἄλλως. Οἱ μὲν λέγουσιν ἁπλῶς σχοίνῳ· φασὶ δέ, οἱ Ἀττικοὶ ὁλόσχοινον αὐτὸ καλοῦσιν· οἱ δέ φασιν ὅτι εἶδός ἐστι φυτοῦ ἱμαντώδους, ὡς περὶ τῶν λύγων λέγει ὁ ποιητής. ἀβρόχῳ δὲ λέγει οἱονεὶ ξηρῷ, ἵνα διὰ τῶν σιάλων τοῦ στόματος φυσηθὲν ὀξύτην δῆθεν ποιήσῃ τῷ στόματι ἐν τῷ ἐρράφθαι. *Bfmi.*

Λεωσθένην] ὁ Λεωσθένης Ἀθηναῖος ἦν. οὗτος ἐφυγαδεύθη Ἀθήνηθεν ὡς Φιλιππίζων· καὶ ἦν παρὰ Φιλίππῳ ἐς τὰ μάλιστα τιμώμενος, ἀνὴρ εἰπεῖν δυνατός. *Bm.* οὗτος στρατηγὸς Ἀθηναίων καὶ δόξας ἁμαρτεῖν εἰς τὸν περὶ Ἀμφιπόλεως πόλεμον ἐφυγάδευσεν. ὕστερον δὲ κατελθὼν ἐστρατήγησεν ἐν τῷ Λαμιακῷ καὶ ἀπέθανε τρωθείς. *fi.*

§. 22. ὡς ἔφη, προσποιούμενος, ὡς οἶμαι, τὰ τῶν ἄλλων πάντων νοήματα ἀπανθίσειν· ἢ ἵνα πάντες αὐτὸν περιμένωσι καὶ ζητῶντα καὶ ἀπειλούμενον. *fi.*

οὐδ' ἐγγενής] ἐπειδὴ διεβάλλετο ὡς πρὸς μητρὸς Σκύθης ὤν· ἀστὸς ἐξ ἀστῆς. *Bfmi.*

§. 23. οὐδὲν ἄπρατον etc.] διεβάλλετο γὰρ ὡς ἡταιρηκὼς καὶ μισθοῦ λόγους γράφων καὶ δωροδοκῶν. *Bfmi.*

§. 26. ὑπήρξατε] ἀντὶ τοῦ προκατήρξασθε τῆς πρὸς ἐκεῖνον εὐνοίας καὶ εὐεργεσίας. *Bi*

Ἀμύντᾳ] ἐκβληθέντα γάρ ποτε τὸν Ἀμύνταν ἐκ τῆς βασιλείας ὑπὸ Θετταλῶν Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι κατήνεγκαν πάλιν ἐπὶ τὴν βασιλείαν. *Bfmi.* Θετταλοῖς γὰρ πολεμήσας καὶ μέλλων ἐκπίπτειν τῆς ἀρχῆς ἐδεήθη Ἀθηναίων· καὶ τυχὼν κατέσχε πάλιν τὴν χώραν. *i.* 754

τῷ Φιλίππου πατρί] Ἀμύντᾳ τῷ Φιλίππου πατρὶ υἱοὶ ἐγένοντο τρεῖς ἐξ Εὐρυδίκης, Ἀλέξανδρος, Περδίκκας καὶ Φίλιππος, ὃς καὶ ἐβασίλευσεν. Παυσανίας δὲ συγγενὴς τῶν περὶ Φίλιππον· ἐφυγαδεύθη οὗτοσί. *Bfmi.*

Ἀλεξάνδρου] τοῦτον ἔκτανε Πτολεμαῖος. *B.*

§. 27. Παυσανίου] οὗτος ἦν τοῦ βασιλικοῦ γένους καὶ περὶ τῆς ἀρχῆς ἠμφισβήτει. *Bfmi.*

τῷ καιρῷ] ἀντὶ τοῦ τῇ εὐκαιρίᾳ θαρροῦντος, καθὸ κατὰ νέων τὴν ἡλικίαν ἐπεχείρει κατὰ τῶν περὶ Φίλιππον. *Bfmi.*

Ἀνθεμοῦντα etc.] ταῦτα Μακεδονίας χωρία ὀχυρά. *Bfmi.*

§. 29. Πτολεμαίου] οὗτος ἦν ὁ ἐπικαλούμενος Ἀλωρίτης, ὃς ἀνελὼν Ἀλέξανδρον τὸν Ἀμύντου, συλλαβομένης αὐτῷ πρὸς τοῦτο Εὐρυδίκης τῆς μητρὸς Ἀλεξάνδρου, καὶ γήμας τὴν Εὐρυδίκην καὶ ἐπιτροπεύσας Περδίκκου καὶ Φιλίππου παίδων ὄντων ἐβασίλευσεν ἔτη ε', καὶ ἀποθνήσκει ἀναιρεθείς, Περδίκκου αὐτῷ τὴν ἐπιβουλὴν συστήσαντος. *Bfmi.*

§. 30. ἀνοχάς] ἀνοχαί εἰσιν αἱ πρὸς ὀλίγον χρόνον τοῦ πολέμου ὑπερθέσεις, ἃς καλεῖ Θουκυδίδης ἀνακωχάς, παρὰ τὸ ἀνέχειν καὶ τέως ἀναβάλλεσθαι. *Bfmi.* ἀνοχὰς οὖν τὴν ἀναβολὴν τοῦ πολέμου πρὸς ὀλίγον χρόνον. *i.*

ἐκδοχήν] οἱονεὶ διαδοχήν· διεδέξατο γὰρ τὸν ἀδελφὸν εἰς τὸν πρὸς ἡμᾶς πόλεμον περὶ Ἀμφιπόλεως. *B.*

---

1. ἀγωνίσασθαι *fmi:* ἀγωνίζεσθαι celeri. 2. ἢ post αὐτὸν add. *fmi.* 5. ἐκμαρτυρία — ἀκηκοέναι add. *fmi.* 7. οἷον — μαρτυρία add. *fmi.* 8. Ante τῶν fortasse excidit τὰς μαρτυρίας. Spr. γὰρ add *fmi.* 11. αἳ — ἐκμαρτυρίαι *B:* ἃ — ἐκμαρτυρία celeri. 14. συγχωροῖεν add *fmi.* 15. ἃ Bw: ὡς celeri. καταβάλοι Sauppius: λάβοι *fmi.* λαβοίεν celeri. ἀλλαχόθι *fmi:* ἀλλαχόθεν celeri. 20. ὕδατι *fmi:* ἐν τῷ ὕδατι celeri. γινόμενα εὔθετα γίνωνται *fmi.* γενόμενα εὔθετα γένωνται celeri. 21. τὴν τῶν *mi:* τὴν *f,* τὴν ἄλλων celeri. οἱ μὲν — εἶδός ἐστι *fmi:* τοῦτό τινες λέγουσιν εἶδος εἶναί τινος celeri. 24. λύγων *fmi:* λ celeri. cf. Hom. Il. 11, 105. 25. λέγει *fmi:* εἶπεν celeri. 33. Λαμιακῷ mg. *f:* δηλιακῷ celeri. 38. ἐπειδὴ add. *fmi.* πατρὸς *B.*

2. ἑταιρεῖν — γράφειν καὶ δωροδοκεῖν *B.* 8. ἐπὶ τὴν βασιλείαν *B:* ἐν τῇ βασιλείᾳ celeri. 14. ὃς καὶ ἐβασίλευσε add. *fmi.* 15. οὗτοσί | Ἀμύντας καὶ Εὐρυδίκη. Ἀλέξανδρος. Περδίκκας. Φίλιππος. *B.* 24. ἐχυρὰ *B.* 25. Hoc scholion in libris post v. 16. additum huc transposuimus. — Ἀλωρίτης ἐπικαλούμενος *B.* 26. ὃς ἀνελὼν — καὶ γήμας *mi:* ὡς ἀνελὼν Ἀλέξανδρον τὸν Ἀμύντου καὶ γήμας *f,* ὁ γήμας celeri. 29. Περδίκκαν καὶ Φίλιππον *B.* 30. καὶ add. *fmi.* αὐτῷ τὴν ἐπιβουλὴν *fmi:* αὐτοῦ τὴν ἐπιβουλὴν αὐτῷ celeri. 32. εἰσιν add. *fmi.* 34. τέως] τέως πρὸς ὀλίγον *B.* 37. διεδέξατο Sauppius: liber διεδέξαντο.

§. 31. τὰ ψηφίσματα] ὅτι οἱ μὲν πρόγονοι αὐτοῦ ἀεὶ ἔγραφον πολεμεῖν, ἡμεῖς δ᾽ ἀντεγράψαμεν αὐτοῖς εἰρηνικά. Bfmi.

Ἐννέα ὁδῶν] ἠτύχησαν Ἀθηναῖοι ἐννάκις περὶ τὰς Ἐννέα καλουμένας ὁδούς, ὅς ἐστι τόπος τῆς Θρᾴκης, ἡ νῦν καλουμένη Χερρόνησος. ἠτύχησαν δὲ διὰ τὰς Φυλλίδος ἀράς, ἣ Δημοφῶντος ἐρασθεῖσα καὶ προσδοκῶσα αὐτὸν ἐπανήξειν ἀποτελέσοντα τὰς πρὸς αὐτὴν συνθήκας καὶ ἐννάκις ἐπὶ τὸν τόπον ἐλθοῦσα, ὡς οὐχ ἧκε, κατηράσατο τοῖς Ἀθηναίοις τοσαυτάκις ἀτυχῆσαι περὶ τὸν τόπον. τὰ δὲ ἀτυχήματα ἐγίνοντο τάδε· τὸ πρῶτον μὲν Λυσιστράτου καὶ Λυκούργου καὶ Κρατίνου στρατευόντων ἐπ᾽ Ἠιόνα τὴν ἐπὶ Στρυμόνι· διεφθάρησαν γὰρ ὑπὸ Θρᾳκῶν, εἰληφότες Ἠιόνα, ἐπὶ ἄρχοντος Ἀθήνησι Φαίδωνος· δεύτερον οἱ μετὰ Λεάγρου κληροῦχοι ἐπὶ Λυσικράτους· τρίτον οἱ μετ᾽ Εὐκλέους καὶ Θουκυδίδου· τέταρτον οἱ μετὰ Κλέωνος, ἐπὶ ἄρχοντος Ἀλκαίου· πέμπτον οἱ ἐνοικοῦντες Ἠιόνα Ἀθηναῖοι ἐξηλάθησαν· ἕκτον οἱ μετὰ Σιμμίχου στρατηγοῦντος διεφθάρησαν· ἕβδομον, ὅτε Πρωτόμαχος ἀπέτυχεν, Ἀμφιπολιτῶν αὐτοὺς παραδόντων τοῖς ὁμόροις Θρᾳξίν· ὄγδοον ἐκπεμφθεὶς ὑπὸ Τιμοθέου Ἀλκίμαχος ἀπέτυχεν, αὐτοῦ παραδόντος αὐτὸν Θρᾳξίν, ἐπὶ Τιμοκράτους Ἀθήνησιν ἄρχοντος· ἔνατον Τιμόθεος ἐπιστρατεύσας ἡττήθη ἐπὶ Καλλιμήδους ἄρχοντος. τὰς δὲ Ἐννέα ὁδοὺς Ἄγνων συνοικίσας Ἀθηναῖος ἐκάλεσεν Ἀμφίπολιν, ἐπὶ ἄρχοντος Ἀθήνησιν Εὐθυμένους. τὴν δὲ Φυλλίδα οἱ μὲν Φυλληίδα, οἱ δὲ Κίασαν ὀνομάζουσι, καὶ τὸν πατέρα αὐτῆς οἱ μὲν Φίλανδρον, οἱ δὲ Κίασσον, οἱ δὲ Θῆλον. Δημοφῶντι δὲ ἐκ Φυλλίδος Ἀμφίπολιν καὶ Ἀκάμαντα υἱὸν φασι γενέσθαι. Bfmi.

Θησέως παίδων] Θησέως παῖδες Δημοφῶν καὶ Ἀκάμας. τούτων Δημοφῶντι λέγεται δοθῆναι προῖκα τὰς Ἐννέα ὁδοὺς οὕτω καλουμένας· οὗτος δὲ παρὰ τὴν ἱστορίαν Ἀκάμαντί φησι δοθῆναι, οὐ Δημοφῶντι. Bfmi.

ἐν τοῖς ἀρχαίοις μύθοις] οὐχ ὡς μύθου ὄντος τοῦ περὶ Φυλλίδα γάμου, ἀλλ᾽ ὡς παλαιοῦ πάνυ. οὕτως εἶπεν. Bfi.

§. 32. συμμαχίας] οἱονεὶ συλλόγου καὶ κοινοῦ συνεδρίου. fi.

§. 33. ἀπέστη] παρεχώρησε. q.

§. 34. σκοτεινὸν] ἢ ἀσαφὲς ἢ οὐδεμιᾶς λαμπρό- 756
τητος ἐχόμενον καὶ οὐκ ἄξιον τῆς ἡγεμονίας τῆς πόλεως, ἀλλὰ ταπεινοῦ φρονήματος. τεθνηκὸς δὲ ἀντὶ τοῦ οὐδὲν φανερὸν ἔχον, ἀλλ᾽ ἀφανές, ἐκ μεταφορᾶς τῶν τεθνηκότων. — σκοτεινὸν μὲν ἀσαφές, τεθνηκὸς δὲ δειλίᾳ ἀντὶ τοῦ ταπεινόν. Bfmi.

μικρὸν — τῶν πραγμάτων] οὐκ ἀρξάμενος ἀπὸ τῶν κυρίων πραγμάτων. Bfmi.

§. 35. τι πεπονθέναι] οἱονεὶ συρίττειν ἢ τοιοῦτό τι πάσχειν. λεληθότως δὲ διασύρει τὴν δημοκρατίαν, ὡς ἐν αὐτῇ τὰ τοιαῦτα πολιτεύεται. Bfmi.

τῶν γεγραμμένων] οἱ γὰρ μὴ δυνάμενοι ἀπὸ μνήμης εἰπεῖν γράφουσι πολλάκις, ἃ μέλλουσι λέγειν· ἢ οὖν ὡς σκηπτόμενον αὐτὸν λέγει, ἢ ἐπειδὴ ἔγραφεν ἐν ὑπομνηστικῷ περὶ τίνος καὶ τί δεήσει λέγειν. Bfmi.

διεσφάλη] γρ. παρεσφάλη, ἐπελάθετο. B.

§. 40. ἀφορμώντων] ἀντὶ τοῦ ἀναχωρούντων. παρατηρῆσαι, ὅτι καὶ ἐπὶ τῆς κατὰ γῆν ὁδοῦ εἴρηται ἡ λέξις. Bfmi.

παραδόξως] οἱονεὶ παρὰ τὴν φύσιν τὴν ἑαυτοῦ, καθὸ ὠμός ἐστι φύσει καὶ ἀγνοεῖ τὸ φιλάνθρωπον. Bfmi.

κέρκωψ] ζῷα ἦσαν ὠμὰ καὶ πανοῦργα οἱ Κέρκωπες, οὓς δή φασι μεταβεβληκέναι εἰς πιθήκους. fi. οἱ Κέρκωπες γένος τι ὑπῆρχον λῃστῶν καὶ πανούργων περὶ τὴν Λυγίην, οὓς ἐτιμωρήσατο Ἡρακλῆς διὰ τὴν κλοπὴν τῶν βοῶν τοῦ Γηρυόνου. ἦσαν δὲ ἀδελφοὶ δύο. Bf.

παιπάλημα] παίπαλα τοὺς τραχεῖς τόπους καλοῦσιν. τὸν οὖν μὴ εὐγενῆ μηδ᾽ ἁπλοῦν οὕτω προσαγορεύουσιν. Ἄλλως. τοὺς μὴ εὐθεῖς ταῖς γνώμαις, ἀλλὰ πλαγίους καὶ ποικίλους οὕτως ἐκάλουν. μετῆκται δὲ ἀπὸ τῶν ὁδῶν· τὰς γὰρ μὴ εὐθείας, ἀλλὰ πολλὰς

---

1. ὅτι add. Bfmi. αὐτοῦ Sauppius: libri αὐτῶν. 3. εἰρηνικά Sauppius: libri ἀντειρηνικά 4. ἐννεάκις B. item v. 9. 9. αὐτὴν nos: libri αὐτήν. 10. τοσαῦτα B. 11. ἐγίνοντο τάδε· τὸ πρῶτον fmi: ἐστι ταῦτα. πρῶτον ceteri 13. στρατευσάντων B. ἐπὶ τῷ Στρυμόνι B. 14. Θρᾳκῶν B: θρηκῶν i, θρᾳκῶν ceteri. Ἠιόνα B: ἐπ᾽ ἠιόνα ceteri. 15. Λεάγρου F. H. Clinton (F. H. 2 p. 263): libri λεωγόρου. 16. Λυσιθέου Clinton l. d., Λυσιστράτου C. W. Krüger stud. hist. philol. p. 146 sqq., Λυσανίου M. Meier comment. andocideae 5 p. 105 18. Ἠιόνα Meier l. d.: libri ἐπ᾽ ἠιόνα. 19. συμμάχου B. Fort. Σιμμίχου. Spr. 21. Ἀμφιπολιτῶν — Θρᾳξίν add. fmi. 22. ὑπὸ τοῦ Τιμοθέου B. 23. παραδόντων αὐτοὺς f. 25. Καλλιμήδους Corsini F. A. 4 p. 318 cf. Clinton ad a. 360: καλλιμένος i, καλαμίωνος ceteri. 27. τὴν δὲ Φυλλίδα fmi: τὸν φυλλίδα B. 28. Φυλληίδα] φυληιδα Bi. βίασον B. 29 αὐτοῦ B. Φίλανδρον Φιλεα Lobeck. Aglaoph p. 290 sq. Κίασον] μίσισον B. 30. οἱ δὲ Θῆλον — γενέσθαι add. fmi. Φυλλίδος f. 31. υἱὸν om. f.

1. πάνυ, οὕτως εἶπεν fmi: τινος . . . ὄντος ceteri. 10. σκοτεινὸν — ταπεινόν fmi: καὶ ταπεινόν ceteri. 11. δειλίᾳ Sauppius: libri δηλία. 13. κυρίων B: κυρίως ceteri. 14. τοιοῦτό τι fmi: τι τοιοῦτον ceteri. 19. οὖν add. fmi. σκηπτόμενον — λέγει nos: σκηπτόμενος — λέγειν B, σκεπτόμενον — λέγει ceteri. 20. τίνος καὶ τί Sauppius: τινος καὶ τίνος B, τί καὶ τινος ceteri. 23. παρατηρῆσαι fmi: παρασημειωτέον ceteri. 30. Λυγίην Lobeck. Aglaoph. p. 1300: libri Λιβύην. 31. ἀδελφοὶ add. f. 33. παίπαλα — καλοῦσιν fmi: παίπαλοι οἱ τραχεῖς ceteri cf. schol. Aristoph. Nub. 260.

ἐχούσας ἐκτροπὰς παιπάλους ἐκάλουν. Ἄλλως. οἷον περίτριμμα ἀγορᾶς, τὸ λεγόμενον ἀεὶ ἐν τῇ συνηθείᾳ ὡς περὶ πανούργου τινός. κυρίως δὲ παιπάλημα λέγεται τὸ λεπτότατον τρίμμα τοῦ ἀλεύρου. Bfmi.

757 παλίμβολον] οἱονεὶ εὐμετάβλητον, παρὰ τὸ πάλιν μεταβάλλεσθαι, ὅ ἐστιν εἰς τοὐπίσω καὶ ἐξ ὑποστροφῆς, ὡς ὁ ποιητής·

παλίντονα τόξα τιταίνων.

Bfmi. Ἄλλως. τὸν σφόδρα μεταβάλλοντα ἢ καὶ μεταστρέφοντα τὰ πράγματα· ἢ τρίβωνα ἐν πράγμασι καὶ περίτριμμα. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν πάλαι κύβων καὶ ἀστραγάλων, ἀπὸ τοῦ πάλιν βάλλεσθαι. fmi.

τὰ τοιαῦτα ῥήματα] οἱονεὶ τὰ περὶ τῶν πανούργων λεγόμενα. ἐν μέρει δε, ὅ ἐστι χωρὶς τῶν ἄλλων ἕκαστον. fmi.

§. 41. ἔρανον συστήσειν] ἀντὶ τοῦ, ὥστε τρέφεσθαι ἀπὸ τῶν δημοσίων χρημάτων. Ἄλλως. ὥστε ἕκαστόν τι αὐτῷ δοῦναι πρὸς χρῆσιν ἀργύριον· πᾶν γάρ, ὃ πολλοὶ διδόασι πρὸς χρῆσιν ἀργύριον, ἔρανος καλεῖται. κἂν μὴ πρὸς χρῆσιν δε, ἀλλὰ δωρεάν. ἢ ἔρανον τὴν παρὰ τῶν φίλων συνεισφορὰν καὶ ἐπίδοσιν. Bfmi.

βοηθήσειν τοῖς ἰδίοις] ἐπανορθώσαντα τὰ ἴδια αὐτοῖς πράγματα, τὰ ἰδιωτικά. fi.

§. 42. ὁ Σίσυφος] καὶ γὰρ ὁ Σίσυφος ὁ Αἰόλου πανοῦργος ἐνομίσθη· ἐπὶ πανουργίᾳ γὰρ οὗτος διεβέβλητο. ἐπὶ τοῦ πανούργου οὖν καὶ κακοπράγμονος χρῶνται τῷ ὀνόματι. Bfmi.

§. 43. ἀναισθήτως — προορωμένων] οὐ συνιέντων οὐδ᾽ ἐννοουμένων τὴν ἐνέδραν. fmi.

συνθήκην] τὴν ὁμολογίαν, οἷον εἰς τὸ συνθέσθαι. fmi.

§. 44. θεάσασθαι etc.] τὸ γὰρ ἀφανὲς ἐκ τοῦ φανεροῦ ταχεῖαν ἔχει τὴν διόρθωσιν. Bfmi.

§. 45. ἐπὶ κεφαλαίων] ἀντὶ τοῦ συντόμως αὐτὰ τὰ κεφάλαια λέγοντες. Bfmi. ἤγουν συντόμως. q.

ἐπιστολήν] ἐπιστολήν φησι τὴν περιέχουσαν περὶ τῆς εἰρήνης καὶ ἐπαγγελλομένην πολλὰ ἀγαθὰ ποιήσειν τοῖς Ἀθηναίοις, ἐὰν γένηται. Bfmi.

καὶ τὴν Ἑστίαν ἐπώμοσε τὴν βουλαίαν] Διὸς ἦν βωμὸς ἐν τῇ βουλῇ. τὴν Ἑστίαν οὖν λέγει τὴν βουλαίαν τὸν βωμὸν αὐτοῦ, τοῦ Διός, τὸν ὄντα ἐν τῇ βουλῇ. ὤμοσε δὲ καθὸ βουλευτὴς ἦν. ἢ Ἑστίαν βουλαίαν λέγει τὴν τράπεζαν, διότι ἐστὶν ὅτε συνεδειπνοῦν ἀλλήλοις οἱ βουλευταί. Bfmi.

§. 46. οὐ ψευσαίμην] οἷον ἀποτυχεῖν ἐποίησα ὡς κακῶς περὶ ἐμοῦ δοξασάντων. fi.

§. 49. τερατευσάμενος] τερατῶδες ποιήσας σχῆμα καὶ ἀηδὲς διὰ τοῦ προσώπου καὶ σχήματος. fi.

ἐπισημαινόμενον δέ φησιν ἀντὶ τοῦ ἐπαινοῦντα. i. ἐπαινοῦντα καὶ ἀποδεχόμενον. B.

θαυμάζειν δέ φησιν ἀντὶ τοῦ καταγινώσκειν, ἐπειδὴ πρὸς γενικὴν φέρεται. fi. ἤγουν καταγινώσκειν. q.

οἱ μὲν τὸν τοῦ — συμβουλεύειν] τί δεῖ ἀποκρίνασθαι πρὸς τοὺς πρέσβεις τοὺς Φιλίππου τοὺς ἐλθόντας περὶ τῆς εἰρήνης. Bfmi.

ὑπερόριον λαλιάν] οἷον μάτην ἀναλίσκουσι τοὺς χρόνους, τὰ ἔξωθεν τοῦ πράγματος διαλεγόμενοι. τὴν πολλὴν καὶ μακράν. Ἄλλως. ὑπερόριον λαλιὰν λέγει τὴν ἔξωθεν τοῦ πράγματος ὁμιλίαν· τὰ γὰρ ἔξω 758 τῶν ὅρων πραχθέντα ἀπαγγέλλουσιν. ὁ δὲ αὐτὸν τὸν λῆρον λαλιὰν εἶπεν, ὡς φλυαρίαν. ἢ ὑπερόριον, τὰ ἐν Μακεδονίᾳ Ἀθήνησι λέγοντες. Bfmi.

§. 51. ὡς πονηρὸς] καθὸ οὐκ ἐᾷ τοὺς συμπρέσβεις τὰ καθήκοντα λέγειν. Bfmi.

τὴν τύχην] τὴν εὐτυχίαν. fi.

§. 52. ἐμοὶ δ᾽ οὐ χείρων etc.] ἢ ὡς εὐπρεποῦς ὄντος ἢ ὡς δυσειδοῦς. fi.

§. 55. θέαν] τόπον ἐν τῷ θεάτρῳ, ἐν ᾧ καθεζόμενοι θεῶνται τοὺς ἀγῶνας ἐν τοῖς Διονυσίοις. Bfmi.

§. 56. τὴν μὲν τοίνυν] πληρώσας τὴν κατάστασιν ἐνταῦθα λοιπὸν ἐπιλογίζεται. Bfmi.

τῶν μὲν γὰρ ἀπηγγελμένων] ἀρχὴ τῶν ἀγώνων. εἰσὶ δὲ τὰ σημεῖα, ἅπερ ἐστὶ τοῦ στοχασμοῦ ἰσχυρότατον κεφάλαιον, διότι καὶ αὐτοῖς ἀρκεῖται ἕως τέλους σχεδὸν εἰπεῖν. Bfmi.

§. 57. δεινῶς] ἀντὶ τοῦ μάλιστα καὶ πολὺ πλέον. fi.

§. 59. παράσχῃ] δευτέρου προσώπου ὑποτακτικοῦ. fi. δείξῃς. q.

ὄντα] πρὸς τὰ ψηφίσματα συντακτέον. fi.

§. 60. κατὰ τὸν νόμον] ἀντὶ τοῦ ὡς ὁ νόμος κελεύει καὶ εὐτάκτως. fi.

τῶν συνέδρων] συνέδρους καλεῖ τοὺς συμμάχους ἢ τοὺς παρὰ τῶν συμμάχων πεμφθέντας. B.

§. 61. παραναγνωσθῇ] οἷον παρὰ τὸ τῶν συμμάχων, ἀντὶ τοῦ εὐθὺς μετ᾽ αὐτό. fi.

τοὺς πρυτάνεις] ἐπειδὴ πρὸ τῆς ἐκκλησίας ἐγράφοντο αὐτοί, οἱ πρυτάνεις, περὶ τίνων ἡ ἐκκλησία μέλλει βουλεύεσθαι. Bfmi.

---

4. λεπτότατον fmi: λεπτὸν celeri. 6. ὅ ἐστιν fmi: οἷον celeri. 8. Homer. Iliad. 8, 266. 14. ἐν μέρει — ἕκαστον mi: χωρὶς τῶν ἄλλων f. 18. πρὸς fmi: εἰς celeri. 20. κἂν fmi: ἐὰν celeri. ἢ ἔρανον τὴν παρὰ B: καὶ ἔρανον περὶ celeri. 21. καὶ ἐπίδοσιν add. fmi. 25. ἐπὶ πανουργίᾳ fmi: περὶ πανουργίας celeri. 26. τοῦ π. οὖν fmi: οὖν τοῦ π. celeri. 29. οὐδὲ νοουμένων f. 33. διόρθωσιν fmi: διάγνωσιν celeri. 37. πολλὰ B: πολλάκις celeri. 40. Διὸς — τὸν βωμὸν αὐτοῦ fmi: τὸν βωμὸν αὐτοῦ λέγει celeri. 42. καθὸ Sauppius: libri οὐ καθὸ. 44. βουλευταὶ fmi: πρεσβευταὶ celeri.

10. τοὺς Φιλίππου f: τοῦ Φιλίππου celeri. 13. τὴν πολλὴν — 14. ὑπερόριον fmi: ὑπερόριον δὲ celeri. 17. ὑπερόριον i: ὑπερόρια celeri. 24. τόπον add. fmi. 26. κατάστασιν fmi: κατασκευὴν celeri. 27. ἐπιλογίζεται fmi: ἔτι λογίζεται celeri. 29. εἰσὶ fmi: εἰς celeri. 30. ἀρκεῖται fmi: ἀρκεῖ τὰ celeri. 43. αὐτοὶ B: αὐτὸν celeri.

τὴν ἐν Διονύσου] ἐν τῷ θεάτρῳ αὐτῷ μετὰ τὴν ἑορτὴν ἐκκλησία ἠθροίζετο, ἐν ᾗ οὐδὲν ἕτερον ἢ τὰ περὶ τῆς ἑορτῆς ἐσκοποῦντο καὶ τοὺς πλημμελήσαντας περὶ αὐτὴν ἐκόλαζον. Bfmi.

προυφαιρῶν] προαρπάζων καὶ ἐπείγων γενέσθαι, ἵνα ἐκκλείσῃ τοὺς Ἕλληνας τῆς εἰρήνης. Bfmi.

§. 62. τῶν μὲν ψηφ. ἀμφοτέρων] τῶν συμμάχων δηλονότι καὶ τοῦ Δημοσθένους. Bfmi. αὐτοῖς (§. 61.) δε, τοῖς δικασταῖς δηλονότι. Bfm.

§. 65. λόγον δὲ μὴ προτιθέναι] γεγράφει γὰρ ὁ Δημοσθένης ἐν τῷ ψηφίσματι, τῇ δευτέρᾳ ἡμέρᾳ μόνον ἐπιψηφίζειν, ὅ ἐστι κυροῦν, συμβουλεύειν δὲ
759 μηδένα. πῶς οὖν, φησίν, ἔμελλον συνηγορεῖν Φιλοκράτει, μὴ οὔσης ἀδείας διὰ τὸ ψήφισμα; Bfmi.

§. 66. πρὸς τοὺς ἐφ' ἡμέραν καιροὺς] γρ. ἐφημέρους. — Καιροὺς λέγει ἐνταῦθα τὰς χρείας. πρὸς γὰρ τὰς χρείας περιπιπτούσας, οὕτω καὶ τοὺς λόγους μεταβάλλουσιν. Bfmi.

προτεθέντων] προβληθέντων. q.

τοὺς αὐτοὺς ἀκροατὰς] τοὺς μέλλοντας καὶ ἐν τῇ ἑξῆς ἡμέρᾳ ἀκοῦσαί μου τἀναντία. fi.

§. 68. ἐπιψηφίσαι] ἀντὶ τοῦ ὑποβάλλειν τῷ δήμῳ καὶ κυροῦν τὰ ψηφισθέντα ἐν τῇ πρώτῃ ἐκκλησίᾳ. fmi.

ἐκκλήτευε] ἀντὶ τοῦ ἐκκαλοῦ ἐπὶ ὅρκον, ὅ ἐστι, τῇ σῇ φωνῇ κάλεσον αὐτόν, ὦ κῆρυξ. ἐκινδύνευε γὰρ ὁ καλούμενος καὶ μὴ ὑπακούων, ὡς καταφρονῶν τῶν νόμων. Bfmi.

§. 70. στρατηγὸν] Χάρητα. B.

εἰς τὸ συνέδριον] οἱονεὶ εἰς τὴν πόλιν τῶν Ἀθηναίων. συνέδριον δὲ αὐτὴν καλεῖ, καθὸ οἱ σύμμαχοι εἰς τὴν εἰρημένην πόλιν συνῄεσαν συνεδρεύσοντες καὶ βουλευσόμενοι. Bfmi.

καταχρήσασθε] φονεύσατε ἢ καταδικάσατε. Bfmi.

§. 71. ἐν τοῖς ἀγῶσιν etc.] οἷον ὅταν πολλάκις αὐτοῦ τινες κατηγορῶσιν. Bfmi.

ἀλαζονείας] ψευδολογίας, προσποιήματα. Bfmi.

Δηιάρην etc. οὗτοι ξενικῶν στρατευμάτων καὶ μισθοφορικῶν ἡγεμόνες. Ἄλλως. τούτους καταλέγει ἡγουμένους τῶν ξενικῶν στρατευμάτων, οὓς παρέφερον οἱ περὶ τὸν Χάρητα εἰς μαρτυρίαν, λέγοντες, ὅτι εἰς τούτους ἀνηλώσαμεν. δραπέτας δὲ οἱονεὶ πλανωμένους τινὰς καὶ μὴ ἔχοντας πατρίδας. Bf.

κατῆγον] οἱονεὶ ἐπειράτευον, ἐλῄστευον, καὶ ὡς ἑαυτοὺς λῃστρικῶς κατῆγον τοὺς πλωιζομένους. B.

§. 72. Μυοννήσου] μικρὰ νῆσος, ἣν λῃσταὶ καταλαβόντες καὶ ἐξ αὐτῆς ὁρμώμενοι τοὺς πλέοντας ἐλῄστευον. B.

Λῆμνον*etc.] αὗται νῆσοι Ἀθηναίων ὑπήκοοι. B.

συγκλήτους] σύγκλητος ἐκκλησία ἐκαλεῖτο ἡ μὴ κατὰ τὸν νόμον μηδὲ κατὰ τὸ ἔθος γινομένη, ἀλλὰ ἐκ 760 τοῦ παραχρῆμα καὶ κατὰ χρείαν τινά, οἷον εἴ τι ἐξαίφνης κατεπείξειεν· αἱ δὲ κατὰ μῆνα ὡρισμέναι ὀνομάζονται κύριαι. Bf.

§. 73. τὸν ἐπὶ τῶν ὑπηρετικῶν] τὰ λεπτὰ πλοῖα καὶ ταῖς τριήρεσιν ἐφελκόμενα πρὸς ὑπηρεσίαν καλεῖται ὑπηρετικά. — ἀρχή τις ἦν τεταγμένη ἐπὶ τῷ ἐπιμελεῖσθαι τῶν κωπῶν καὶ τῶν ἁρμένων καὶ τῶν τοιούτων, ὑπὸ τῶν ἀποστολέων οὖσα καὶ ὑποτεταγμένη. f.

§. 74. οἱ συντεταγμένοι] οἷον οἱ φατριάζοντες καθ' ἡμῶν καὶ τῆς σωτηρίας τῆς πόλεως. f.

§. 75. Τολμίδου] τοῦτον μνημονεύει Διόδωρος ὁ Σικελιώτης ἐν βίβλῳ ἑνδεκάτῃ. B. οὗτος περιπλεύσας Πελοπόννησον μετ' Ἀθηναίων ηὐδοκίμησε λαμπρῶς καὶ Βοιὰς καὶ Κύθηρα εἷλεν ἄρχοντος Ἀθήνησι Καλλίου. ἐνέπρησε δὲ ὁ Τολμίδης καὶ τὰ νεώρια Λακεδαιμονίων. f.

§. 76. Δεκελείας] Δεκέλεια δῆμος τῆς Ἀττικῆς, τῆς Ἱπποθοωντίδος φυλῆς. ταύτην ἐπετείχισαν Λακεδαιμόνιοι Ἀθηναίοις κατ' Ἀλκιβιάδου γνώμην καὶ ἐξ αὐτῆς ὁρμηθέντες κατέσχον τῆς πόλεως. f.

νομῇ χρημάτων] προήχθησαν οἱ ῥήτορες ὑπὸ τῶν δήμων διὰ τὸ τῶν πλουσίων κατηγοροῦντας ἀφαιρεῖσθαι αὐτοὺς τὰ χρήματα καὶ δημοσιεύειν, ἃ διενέμετο τῷ ὄχλῳ. f.

§. 77. ἁρμοστὴν] ἁρμοσταὶ οἱ εἰς τὰς ὑπηκόους πόλεις ὑπὸ Λακεδαιμονίων ἐκπεμπόμενοι ἄρχοντες. B. Λακεδαιμόνιοι ἐπολιτεύσαντο ἐν τοῖς Ἕλλησιν ὡς προστάται καὶ κηδεμόνες τῶν πόλεων. Ἀθήνηθεν γὰρ ἐξέβαλον τοὺς Πεισιστρατίδας, ἐκ δὲ Νάξου Λυγδάμιν τύραννον, τοὺς δὲ ἀπὸ Κλεισθένους ἐκ Σικυῶνος. ὁπότε

1. αὐτῷ B (f?): αὐτοῦ ceteri. 3. τῆς ἑορτῆς fmi: τὴν ἑορτὴν ceteri. 5. καὶ fmi: ἢ ceteri. γενέσθαι B: φαίνεσθαι ceteri. 8. καὶ fmi: ἢ ceteri. 10. γεγράφει fmi: γέγραφε ceteri. 16. τὰς χρείας f: τοὺς χρόνους ceteri. 22. ὑποβάλλειν Sauppius: ὑπόβαλλε fm, ὑπόβαλε i. cf. schol. §. 84. 23. κυροῦν Sauppius: ἀκύρου libri Bekkerus et Millerus h. sch. ad §. 68 v. 8 ἐκκλήτευε retulerunt, ad quod vocabulum a grammaticis horum codicum ipsis relatum esse docent ὑπόβαλλε et ἀκύρου. 24. ὅ ἐστι fmi: ὅλον ceteri. 33. ἢ add. fmi. 36. αὐτοῦ — κατηγορῶσιν fmi: αὐτοὺς — κατηγορήσωσιν ceteri. 37. ψευδολογίας ἢ προσπ. B. — Desinit E. Milleri apographum. In iis quae sequuntur si Reiskii scholia vel auximus vel correximus, sola Bekkeri fide nitimur. Ad quae scholia ille nihil enotavit, iis tantum notam B. addidimus. 39. Ἄλλως nos addidimus. καταλέγει Sauppius: libri καὶ λέγει.

2. πατρίδας f: πατρίδα ceteri. 12. Verba αἱ δὲ — κύριαι add. f. 22. Diodor. 11, 84 sqq. 24. μετ' Ἀθηναίων Sauppius: liber μετὰ Θηβαίων. 25. Βοιὰς Sauppius: liber εὐβοιαν. cf. Pausan. 1. 27, 6. 30. Ἀθηναίοις Sauppius: liber ἀθήνησι. 40. immo Λύγδαμιν. sed v. Zonarae lex. p. 1322.

οὖν στασιάζουσαν πόλιν ἁρμόσειαν, κατέλειπον αὐτόθι σφῶν ἄρχοντα, ὃν ἐκάλουν ἁρμοστήν, πρὸς τὸ ἁρμόζειν τὴν πόλιν καὶ μὴ ἐᾷν στασιάζειν. f.

§. 78. νομάδων Σκυθῶν] ἔθνος ἐστὶ Σκυθικόν, οἱ καλούμενοι ἁμαξικοί. Ἄλλως. ὡσανεὶ ἔλεγε· καὶ ταῦτα οὐδὲ ἀπὸ εὐγενῶν τινῶν Σκυθῶν, ἀλλὰ νομάδων καὶ βιοπλανῶν. f.

τοῦ Βουζύγου] τοῦ ὄντος ἐκ τοῦ γένους τῶν Βουζυγῶν. ἐν γὰρ ἦν καὶ τοῦτο γένος τιμώμενον παρὰ τοῖς Ἀθηναίοις, ἐξ οὗ ἐγένετο ἡ ἱέρεια τῆς Ἀθηνᾶς. Βουζύγης δὲ ἐκλήθη νεύμιτης Ἀθηναίων τῶν πάλαι, ὅστις πρῶτος ζεῦγος βοῶν ἔζευξεν. ὅθεν καὶ τὸ ἄροτρον αὐτοῦ ἀνέκειτο ἐν τῇ ἀκροπόλει πρὸς μνήμην. f.

§. 79. ἐν τοῖς μυρίοις] μύριοι Ἀρκάδων συνέδριον ἐν Μεγαλοπόλει. B.

ἐστιγμένος αὐτόμολος] ἐπειδὴ οἱ φυγάδες τῶν δούλων ἐστίζοντο τὸ μέτωπον, ὅ ἐστιν ἐπεγράφοντο· κάτεχέ με· φεύγω. ἢ ὅτι ἐστίζοντο οἱ αὐτόμολοι, ἵνα γνωρίζοιντο καὶ μὴ ἀδικοῖντο παρὰ τῶν πολεμίων. ἢ ἐπειδὴ Ξέρξης Θηβαίους αὐτομολήσαντας ἔστιξεν. f.

συνίστην] ἀντὶ τοῦ ἅμα ἐποίουν ὁμονοῆσαι κατὰ Φιλίππου. — συνίστην δὲ τότε ταὐτὰ φρονεῖν καὶ βοηθεῖν ἀλλήλοις. f.

συνεπιστρατευόντων] καθ᾽ ἡμῶν δηλονότι μετὰ Φιλίππου στρατευόντων. f.

§. 80. οὐ τοῖς — νικήσασιν] οὐ τοῖς πρέσβεσιν ἀλλὰ τοῖς στρατηγοῖς. f.

§. 81. ὁμηρεύοντα λέγει ἀντὶ τοῦ ὅμηρον ὄντα καὶ ἐνέχυρον ὄντα ὑπὲρ Κερσοβλέπτου τοῦ πατρὸς αὐτοῦ, καθὸ, φησίν, ἦν χειρωθείς. — Βυζάντιοι καὶ Πειρίνθιοι καὶ Ἀμάδοκος ὁ Θρᾷξ Κερσοβλέπτῃ τῷ βασιλεῖ μέρους Θρᾴκης ὑπὲρ ἀμφιλόγου χώρας ἐξηνέγκαντο πόλεμον, οἷς Φίλιππος συλλαμβανόμενος ἐπολέμησε Κερσοβλέπτην καὶ ἠνάγκασε τήν τε ἀμφίλογον παρεῖναι τοῖς ἐγκαλοῦσι καὶ φιλίαν αὐτῶν καταστήσας ἐβεβαιώσατο τὸν βασιλέα, ὅμηρον παρ᾽ αὐτοῦ λαβὼν τὸν υἱόν, καὶ ἀπήγαγεν εἰς Μακεδονίαν. f.

§. 82. λαγχάνει προεδρεύειν] εἷς ὢν τῶν τότε βουλευτῶν, ὡς ἀνωτέρω εἴπομεν, ἔλαχε γενέσθαι πρόεδρος. ἀπὸ γὰρ τῶν βουλευτῶν ἐγίνοντο οἱ πρυτάνεις καὶ οἱ πρόεδροι ἀπὸ κλήρου κατὰ φυλήν, ὡς ἔγνωμεν. f.

§. 83. Κριτόβουλος] ὁ Κερσοβλέπτου τοῦ Θρᾴκης βασιλέως πρεσβευτής. B.

συναναγραφῆναι — συμμάχοις] ἵνα, ὥσπερ οἱ Ἀθηναῖοι καὶ οἱ αὐτῶν σύμμαχοι ἐδίδοσαν ὅρκους τοῖς παρὰ Φιλίππου, οὕτω καὶ ὁ Κριτόβουλος δῷ ὑπὲρ Κερσοβλέπτου, ὡς ὄντος ἐκείνου ἐκ τῶν συμμάχων. B.

§. 84. ἐπιψηφιεῖν] ὁπότε ἐν τῇ ἐκκλησίᾳ ψήφισμα γραφείη, ἐπεψήφιζον αὐτὸ οἱ πρόεδροι πρότερον, εἶτα τῷ δήμῳ ἀνεγινώσκετο. ἐπιψηφίζειν δέ ἐστι τὸ ἐπί τινι ψῆφον φέρειν, ἢ ὑποβάλλειν, ὥστε κυρῶσαι τὸν δῆμον. Bf.

οὐδὲ λύσειν — εἰρήνην] ἐπεὶ ἐν ὑποψίᾳ ἦν Κερσοβλέπτης (οὐ γὰρ ἂν ὡμήρευεν ὁ παῖς αὐτοῦ), οὐ καλῶς ἔχει, φησί, διὰ τὸ τοῦτον ἐγγραφῆναι σύμμαχον λύεσθαι τὴν πρὸς Φίλιππον εἰρήνην. f.

οὐδὲ γινώσκειν — τῶν ἱερῶν] ἐπεὶ ἱερὰ γίνεται ἐν τοῖς ὅρκοις τῆς συμμαχίας καὶ εἰρήνης. οὐχ ὁρῶ, φησί, τὸν σύμμαχον, ὃς αὐτῶν μόνων τῶν ἱερῶν ἐφάπτεται, ὥσπερ οἱ σπένδοντες, ὡς οὐ παρεχομένου ἑαυτὸν τοῦ Κερσοβλέπτου εἰς τἄλλα τὰ συμμαχικὰ δίκαια. f.

ἀποδοθῆναι — ἐκκλησίαν] ἤδη γὰρ προεγεγένητο ἐκκλησία, ἐν ᾗ περὶ τῆς εἰρήνης ἐβουλεύοντο, καθ᾽ ἣν τὸν Κριτόβουλον ἀξιοῖ παραγενόμενον, τότε ἐπὶ ταύτην ἀπαντᾷν, μὴ ὅτε ἐκείνη ἐξῆκεν. Κριτόβουλος δὲ Κερσοβλέπτου τοῦ Θρᾳκὸς βασιλέως πρεσβευτής. f.

καὶ τοὺς προέδρους — καλούντων] ὅπως ἀναστάντες εἴποιεν, ὃ προῃροῖντο, πρὸς Δημοσθένην· οὗτος γὰρ ἠναντιοῦτο τῇ ἐπιψηφίσει. f.

§. 85. ἐν τῷ στρατηγίῳ] οἶκός τις δημόσιος ἦν, ἔνθα συνῄεσαν οἱ στρατηγοί, ὥσπερ τὸ ἀρχεῖον ἐκάλουν, ἐν ᾧ συνωμίλουν οἱ ἄρχοντες. B.

§. 86. ἀπὸ τῶν ἱερῶν] ἱερὰ λέγει τὰ ἱερεῖα τὰ καλούμενα τόμια, καθ᾽ ὧν ὤμνυον. ἢ ἱερῶν λέγει τῶν ἐπὶ τοῖς ὅρκοις θυομένων. Bf.

§. 87. κατ᾽ ἀνδρὸς — ὑμετέρου] κατ᾽ ἀνδρός, ὃς πολίτης ἐστὶν Ἀττικός, οὐ Σκύθης, ὡς Δημοσθένης. B.

ἐπὶ Παλλαδίῳ] δικαστήριον ἐπὶ Παλλαδίῳ ἐστὶν ἀκουσίων φόνων. τοῦτο δὲ μνημονεύει καὶ Δημοσθένης ἐν τῷ κατ᾽ Ἀριστοκράτους. B. ἐπὶ τούτῳ ἐκρίνοντο οἱ ἀκούσιοι φόνοι. οἱ δὲ ἐν τούτῳ τῷ δικαστηρίῳ δικάζοντες ἐκαλοῦντο ἐφέται, ἐδίκαζον δὲ ἀκουσίου φόνου καὶ βουλεύσεως καὶ οἰκέτην ἢ μέτοικον ἢ ξένον ἀποκτείναντι. ὠνομάσθη δὲ ἐντεῦθεν. Ἀργεῖοι τὸ Παλλάδιον ἔχοντες τὸ ἐξ Ἰλίου καὶ ἀπὸ Τροίας ἀνακομιζόμενοι ὡρμίσαντο Φαληροῖ, καὶ αὐτοὺς τῶν ἐγχωρίων τινὲς ἀκουσίως ἀναιροῦσιν. μενόντων δὲ ἐπὶ πολὺν χρόνον τῶν νεκρῶν ἀδιαφθόρων καὶ ἀψαύστων ὑπὸ θηρίων, πολυπραγμονήσαντες οἱ ἐγχώριοι ἔγνωσαν

---

5. Fort. ἁμαξοικοι. Spr. 11. νεύμιτης] Fort. Ἐπιμενίδης, coll. Hesych. s. v. Βουζύγης et Lobeck. Aglaoph. p. 209. Spr. 18. με· φεύγω Sauppius: liber με φεύγων. 31. Πειρίνθιοι f. 36. αὐτῶν Sauppius: liber ἑαυτοῦ.
4. γραφείη f: ἐγράφη, ceteri. 5. ἀνεγινώσκετο Sauppius: ἀναγινώσκεται f, ἀνεγνώσαντο ceteri. 21. μὴ Sauppius: liber ἤ. 31. ἢ ἱερῶν — θυομένων add. f. 32. ὅρκοις Sauppius: liber οἴκοις. 36. Demosth. 23 §. 71 sqq. 41. ἀποκτείναντι Sauppius: liber ἀποκτεῖναι.

παρ' Ἀκάμαντος, ὅτι Ἀργεῖοι ἦσαν, καὶ τὸ Παλλάδιον εὑρόντες ἱδρύσαντό τε παρὰ τῇ Ἀθηνᾷ τῇ Φαληροῖ, καὶ τοὺς νεκροὺς θάψαντες δικαστήριον ἐποίησαν ἐκεῖ τοῖς ἐπὶ ἀκουσίῳ φόνῳ φεύγουσιν. f.

κατέδειξαν] ἀπέδειξαν. B.

τέμνοντας] τέμνειν τὸ θύειν τὰ τόμια. f.

§. 88. ἆρ' οὖν etc.] οὐκ ἔστιν ἔμψυχον τουτὶ τὸ χωρίον οὐδ' ἀληθινόν. f.

761 §. 89. κάλλιστον γὰρ] δηλονότι τὰ δημόσια γράμματα. B.

κατευημερηκὼς] οἷον εὐδοκιμήσας ἑλεῖν τὴν ἐκκλησίαν, ὡς καλῶς πρεσβευσάμενος. f.

ταῦτα μὴ ποιεῖν] τουτέστι μὴ πολιορκεῖν Κερσοβλέπτην. B.

Ὠρεῷ] τῆς Εὐβοίας πόλις Ὠρεός. f.

προξενίας κατασκευαζόμενοι] γενόμενοι πρόξενοι. πρόξενοι δέ εἰσι πόλεων οἱ ἐν ταῖς αὐτῶν πατρίσι τῶν πόλεων ἐκείνων προϊστάμενοι, ὧν εἰσι πρόξενοι. f.

§. 90. τὸ Ἱερὸν ὄρος] γράφεται τὸ Ἡραῖον ὄρος. ἔστι δὲ κατὰ στόμα Πόντου ἐμπόριον. B. τόπος τῆς Ἀψινθίων χώρας ἐν Θρᾴκῃ. καλεῖται δὲ πληθυντικῶς Ἱερὰ ὄρη. f.

§. 93. τὴν ἐπιβολὴν] τὴν ζημίαν, τὸ ἐπιτίμιον. B.

οὐκ ἐπεξιὼν] οὐκ εἰσῆλθες εἰς τὴν ἐν Ἀρείῳ πάγῳ βουλήν. ἐγράψατο γὰρ ὁ Δημοσθένης Δημομέλην τὸν ἀνεψιὸν τραύματος ἐκ προνοίας, καὶ δωροδοκηθεὶς οὐκ εἰσῆλθεν. ἐπιβολὴν δὲ οἱονεὶ ζημίαν καὶ καταδίκην. f.

ἐπιτεμὼν — κεφαλὴν] θέλει εἰπεῖν ὅτι οὐδὲ ὁ ἀνεψιὸς αὐτοῦ ἐτραυμάτισεν αὐτόν, ἀλλ' αὐτὸς ἑαυτόν, ἵνα συκοφαντήσῃ ἐκεῖνον. διαβάλλεται γὰρ ὁ Δημοσθένης, ὡς ἐπιτεμὼν τὴν ἑαυτοῦ κεφαλὴν ἐγράψατο Δημομέλην. ἦν δὲ Δημομέλης ἀνεψιὸς αὐτοῦ. f.

τούτοις] τοῖς δικασταῖς καὶ τοῖς περιεστηκόσιν. γράφεται καὶ τοῦτο. B.

νόθος] οὐ διὰ τὸ ἐκ παλλακίδος εἶναι, ἀλλὰ τὸ ἐκ διαφόρου γένους, ὥσπερ τὸν ἡμίονον λέγομεν νόθον εἶναι. f.

§. 94. Ἀμφικτύονας] ὅτι Θηβαῖοι καὶ Θετταλοὶ καὶ Λοκροὶ συνῆσαν τῷ Φιλίππῳ Ἀμφικτύονες ὄντες. ἐκ τοῦ οὖν μερικοῦ τῷ κοινῷ ὀνόματι τῶν Ἀμφικτυόνων ἐχρήσατο. f.

ἐξομοσάμενος] σὺν ὅρκῳ ἀπωσάμενος. B. ἐξωμοσία ἐστὶ μεθ' ὅρκου ἄρνησις. ἀντωμοσία δέ ἐστιν ἐπὶ δίκης· διὰ γὰρ τὸ ὀμνύναι ἑκατέρους, τὸν μὲν ἐγκαλούμενον μὴ ἠδικηκέναι, τὸν δὲ ἐγκαλοῦντα ὅτι ἠδίκημαι ἢ ὅτι ἡ πόλις ἠδίκηται, εἴρηται ἀντωμοσία. οἱ δέ, ὅτι ἐπ' ἀδικήμασιν ἀμαρτυρήτοις καὶ ἀνεπιγράπτοις εἰς ὅρκους περιισταμένη ἡ δίκη, ἐφ' ᾗ ἴσοι κριταὶ δικάζουσιν· ἔνιοι δέ, ὅτι ἐπὶ δημοσίου ἀγῶνος τοῦ φεύγοντος σκηπτομένου κάμνειν καὶ ὀμνύοντος ὁ ἀντίδικος ἀνθυπόμνυται, φάσκων αὐτὸν προσποιεῖσθαι, καὶ περὶ τούτου διαλαμβάνουσιν οἱ δικασταί. Bf.

πρὸς δὲ τὴν βουλὴν etc.] χρεία γὰρ ἦν μετὰ τὴν χειροτονίαν τοῦ δήμου εἰσιέναι τοὺς πρέσβεις εἰς τὴν βουλήν, ἵνα ἐπικυρωθῇ αὐτοῖς ἡ ἔξοδος. f.

§. 95. ἀψευδεῖν] οὐ λέγει ἐμὲ πρὸς τοὺς Ἀθηναίους ψεύσασθαι, εἴ γε ἐψεύδετο, ἀλλὰ τοὺς Ἀθηναίους ἐμοῦ ψευσθῆναι, ἵν' ᾖ ψευσθῆναι ποιῆσαι, ὅπερ ἄμεινον. f.

§. 98. ταύτης] αὕτη ἐστὶν ἡ τρίτη πρεσβεία. B.

ἐπὶ ταύτην] τὴν δευτέραν. B.

§. 99. στρωματόδεσμα] στρωματόδεσμον ἢ στρωματόδεσμος στρωμνὴ δεδεμένη, πήρα στρατιωτικὴ καὶ ὁδοιπορική, ἣ καὶ πρὸς τὸ ἀναπαύεσθαι χρησίμη ἐστίν. B. ἃ καλοῦμεν ἐν τῇ συνηθείᾳ στρωματοδεσματόφελλα καὶ ἀβελτάρια. f.

Βάταλος] Πλούταρχος ἐν τῷ Δημοσθένους βίῳ· βάταλος μόριόν τι τοῦ σώματος παρὰ τοῖς Ἀττικοῖς αἰσχρόν, πρωκτός. B.

ἐκ παίδων δὲ ἀπαλλαττόμενος] ἑπτὰ καὶ δέκα γοῦν ἔτη γεγονὼς ἐδοκιμάσθη, κατά τι ψήφισμα ἴσως συγχωρηθέντος αὐτῷ τούτου, ἵνα δικάσηται τοῖς ἐπιτρόποις. κατὰ γὰρ τὸν νόμον ὀκτωκαιδεκαετεῖς ἐδο- 762 κιμάζοντο· εἶτα μετ' ἔτη δύο ἐλάμβανον ἀπὸ τῶν ἐπιτρόπων οἱ ὀρφανοὶ τὰς οὐσίας. Bf.

δεκαταλάντους — λαγχάνων] παρὰ γὰρ τῶν τριῶν αὐτοῦ ἐπιτρόπων τριάκοντα τάλαντα ἔλεγε χρεωστεῖσθαι καὶ δέκα παρ' ἑνὸς ἑκάστου αὐτῷ. ἀργᾶς δὲ καλεῖται ὁ ὄφις παρὰ Δωριεῦσιν· θέλει οὖν αὐτὸν ὀφιώδη τὸν τρόπον δεῖξαι καὶ οἱονεὶ θηριώδη καὶ ἀπάνθρωπον. Ἄλλως. εἶδός τι ὄφεως ἀναιρετικοῦ, ἢ ὁ ἀργῶν ἀπὸ τῶν ἄλλων, γράφων δὲ λόγους. ἢ ἀπὸ ποιητοῦ καλουμένου οὕτω πονηροῦ. f.

Ἀργᾶς] ἀργᾶς ὄφιος εἶδος. οὕτω δὴ ὠνομάσθη διὰ τὸ τῆς φύσεως πονηρὸν καὶ κακόηθες. B.

§. 103. ὅτι δὲ etc.] ἀσφαλῶς τοῦτο ἐπήγαγεν, ἵνα μή τις εἴπῃ· καὶ πόθεν αἰσθάνῃ τοῦτο, εἰ μὴ ἦσθα προδότης; ὅτι πάντες οἱ ἐχθροὶ ἡμῶν πάρεισι καὶ εἰς τοὐναντίον ἡμῖν πρεσβεύουσιν. f.

§. 104. Βοιωτῶν] οὐχ ἁπλῶς πάντων, ἀλλὰ τῶν δύο πόλεων τῶν Βοιωτικῶν ὧν κατέσκαψαν οἱ Θηβαῖοι, Θεσπιέων καὶ Πλαταιέων. f.

---

47. ἐγκαλούμενον — ἐγκαλοῦντα Sauppius: libri ἐγκαλοῦντα — ἐγκαλούμενον μὴ ἠδικηκέναι f: ὅτι ἠδίκηκας ceteri.

3. περιισταμένη f: παρεσταμένη ceteri. ἡ add. Sauppius. ἴσοι f: ὅσοι ceteri. 5. κάμνειν add. f. 7. καὶ περὶ — δικασταί add. f. 22. Plutarch. Demosth. c. 4. 26. κατά τι Sauppius: κατὰ τὸ B, εἰς f. 32. αὐτοῦ et 33. αὐτῷ nos: liber αὐτοὶ et αὐτῷ. τριάκοντα Sauppius: liber τρία. 36. Addidimus Ἄλλως.

τὴν εἰς το αφανὲς ἀναφοραν] ἵνα ἔχωσι λέγειν οἱ Ἀθηναῖοι, ἐὰν Φίλιππος μη θελήσῃ ποιῆσαι, ὅτι ἡμεῖς οὐδὲν τοιοῦτον ἐγράψαμεν, ἀλλὰ οἱ πρέσβεις ἡμῶν ἁπλῶς ἠθέλησαν εἰπεῖν· καὶ εἰς τούτους ἀναφέροντες τὴν αἰτίαν ἔμελλον ἐκφεύγειν την ἀπὸ τῆς ἀποτυχίας αἰσχύνην. f.

§. 105. εἰς τὴν προστασίαν τῆς Καδμείας] οἷον εἰς τὴν εἴσοδον καὶ προπυλῶνα τῆς ἀκροπόλεως τῶν Θηβαίων. Καδμεία γὰρ ἐκαλεῖτο ἡ ἀκρόπολις τῶν Θηβαίων ἀπὸ Κάδμου τοῦ οἰκιστοῦ. f.

§. 106. βοιωτιάζει] τὰ τῶν Θηβαίων φρονεῖ. Βοιωτοὶ γὰρ οὗτοι. f.

§. 107. ἐγκαλύπτομαι] ἀντὶ τοῦ κρύπτομαι καὶ σκέπω ἐμαυτόν· οὐδὲν γάρ μοι μέλει περὶ τούτων. ὅτι οὐκ ὀφείλει Φίλιππος ἐπὶ τὸ ἐν Δελφοῖς ἱερὸν καὶ τοὺς Φωκεῖς ἐπιβαίνειν ἐκτὸς κοινῆς γνώμης Ἀμφικτυόνων. f.

§. 109. ἐν ταχταῖς ἡμέραις] ὅ ἐστιν ἐν δυσὶν ἡμέραις, ἵνα ἐκκλείσῃ διὰ τοῦ τάχους καὶ τοὺς ἄλλους Ἕλληνας ἐλθεῖν καὶ συσπείσασθαι. τοὺς τὴν εἰρήνην δὲ ἐκκλείοντας οἷον μὴ ἐῶντας εἰρήνην γενέσθαι· οὐ τοῖς λόγοις δέ φησιν ἀλλὰ τοῖς χρόνοις, τουτέστιν οὐ ψιλοῖς ῥήμασιν, ἀλλὰ διὰ τοῦ εἰπεῖν ὡς ἐν δύο ἡμέραις δεῖ βουλεύσασθαι, ὅ ἐστι συντόμως. f.

§. 110. ἕτερον] παρατήρησαι ὅτι οἱ Ἀττικοὶ ἀδιαφόρως λέγουσι τὸ ἕτερον οὐ μόνον ἐπὶ δύο, ἀλλὰ καὶ ἐπὶ πολλῶν. μετὰ γὰρ δύο ψηφίσματα εἶπεν ἕτερον. f.

§. 111. ἐνεκαλύψαντο] τὰ πρόσωπα ἐκάλυψαν ὑπ' αἰσχύνης τῶν ὑπὸ Δημοσθένους εἰρημένων. B.

οὐ καταδὺς etc.] τοῦτο ἀπὸ Δημοσθένους ὡς εἰπόντος· καὶ ταῦτα ἔπραττον φανερῶς οὑτωσὶ μηδὲ ὑποστελλόμενος ὡς ἕτεροί τινες. f.

§. 112. γυνὴ γὰρ etc.] ἔοικεν ἀμύνεσθαι αὐτῷ διὰ τὴν γενομένην ὑπὲρ ἁγνείας διαβολήν, εἴ γε κάλλιστον εἶναι γυναῖκα καθίστη. f.

σπογγιᾶς] ὡς καὶ παρὰ τῷ ποιητῇ· σπόγγοισι πολυτρήτοισιν. εὕρηται δὲ καὶ παρὰ τῷ Ἀριστοφάνει ὁ σπογγιάς καὶ ἡ σπογγιά, ὥσπερ καὶ ἐνταῦθα. f.

ἐργολαβοῦντος] φιλοπράγμονος καὶ περιέργου. f.

§. 115. μηδεμίαν πόλιν etc.] ὅτι Βοιωτῶν Ἀμφικτυόνων ἁπάντων ὄντων πόλεις αὐτῶν ἀναστάτους ἐποίησαν Θηβαῖοι. f.

ναματιαίων] ἐνταῦθα λέγει κυρίως τῶν ποτίμων, τῶν πηγαίων. f.

αναστησειν] ου λέγει πορθήσειν, ἀλλ' ἐπὶ τῷ συμμαχῆσαι ἐπιχειρεῖν. f.

καὶ ποσὶ etc.] ἀντὶ τοῦ πάσῃ προθυμίᾳ, ἁπλῶς εἰπεῖν, καὶ πάσῃ δυνάμει. ἔστι δὲ καὶ ἀπὸ παροιμίας. f.

ἀρὰ ἰσχυρά] αὕτη ἡ ἀρά ἐστιν ἐν τῷ κατὰ Κτησιφῶντος λόγῳ. B.

§. 116. τούτων] τῶν δεδογμένων τοῖς Ἀμφικτύοσιν. f.

Δωριέας, Ἴωνας] ἵνα διὰ μὲν τοῦ κοινοῦ ὀνόματος τῶν Ἰώνων καὶ τοὺς Ἀθηναίους περιλάβῃ, διὰ δὲ τῶν Δωριέων τοὺς Λακεδαιμονίους. λέγει δὲ τὴν τετράπολιν. f.

ἰσόψηφον γενόμενον] ὡσανεὶ ἔλεγε, τὴν αὐτὴν τιμὴν ἔχουσαν ἐν τῷ ψηφίζεσθαι τὴν μικρὰν πόλιν τῇ μεγάλῃ. δύο δὲ ψήφους φησί, μίαν ἐν τῷ ψηφίζεσθαι καὶ μίαν ἐν τῷ ἀποψηφίζεσθαι. f.

ἐκ Δωρίου καὶ Κυτινίου] Δώριον καὶ Κοτύνιον (sic) καὶ Σπάρτα τρεῖς πόλεις Δωρικαί. B. τὸ δὲ Κοιτίνιον καὶ Ἐρινεὸν πολίσματα τῆς ἐν Θετταλίᾳ Δωρίδος. εἰσὶ δὲ καὶ Λακεδαιμόνιοι Δωριεῖς. συνίστησι δὲ τὸ μέγα ἔθνος πρὸς τὸ ἐλάχιστον, ἴσον δυνάμενον ἐπὶ Ἀμφικτύοσιν. f.

§. 117. τὴν μὲν οὖν ἀρχὴν etc.] ἔδοξαν γὰρ πλημμελῆσαι περὶ τὸ ἱερὸν καὶ εἰσι τιμωρητέοι. οὐκοῦν ἐπὶ τὸ τέλος τῆς πολιορκίας χωρητέον. . . . ὧν καθεζομένων παραδώσειν αὐτῷ τοὺς πλημμελήσαντας· εἰ δὲ μή, τότε πορθητέον. Ἄλλως. τὴν προαίρεσιν καὶ τὴν ἀφορμήν. ἦν γὰρ πρόφασις τὸ δίκην εἰσπράξασθαι παρὰ τῶν ἀδικησάντων περὶ τὰ τοῦ θεοῦ χρήματα. f.

ἐπεξελθών] οἷον ἐπὶ πέρας ἐλθὼν τοῦ ἔργου, οἷον πολιορκήσας· ἐπεξελθεῖν γὰρ λέγουσι τὸ ἐπὶ πέρας τινὸς ἐλθεῖν. f.

βεβαιώσεις etc.] ὅτι καὶ Θηβαῖοι ἐπλημμέλησαν περὶ Φωκέας καὶ τὸ ἱερόν. ἔμελλεν οὖν αὐτοὺς ἀπαλλάξειν τῶν ἐγκλημάτων τοὺς Φωκέας μόνους καταστρεψάμενος. ἡ δὲ ἀπαλλαγὴ τοῦ ἐγκλήματος βεβαίωσιν ἔφερε τῆς ἀδικίας ὡς ὀρθῶς πραχθείη. f.

παρ' ὧν — χάριν] ἡ σύνταξις· παρὰ τούτων οὐκ ἀπολήψῃ χάριν, οἷς βοηθεῖς. f.

Ἀθηναῖοι] Ἀθηναῖοι γάρ εἰσιν οἱ τῆς Ἀρχίου τυραννίδος αὐτοὺς ἀπαλλάξαντες καὶ τὴν Λακεδαιμονίων φρουρὰν ἐκ τῆς Καδμείας ἐκβαλόντες. f.

§. 119. τὰς Θήβας Βοιωτίαν etc.] τουτέστι τὰς

20. τὴν εἰρήνην Sauppius: liber τῆς εἰρήνης. 37. Homer. Od. 1, 111. 39. Immo ὁ σπόγγος. cf. Elmsl. ad Acharn. 462. Spp.

4. εἰπεῖν nos: liber δὲ εἰπεῖν. 7. Aeschin. 3 §. 110. 15. ἔχουσαν Sauppius: liber ἔχουσιν. 20. liber ἐρίνεον. 26. ὧν] Exciderunt quaedam. Spp. 34. in libro post ἐλθεῖν add. βεβαίως, ortum illud ex lemmate Scholii proxime sequentis. 37. τοὺς — καταστρεψάμενος Sauppius: liber καὶ — καταστρεψαμένου. 42. Ἀρχίου Sauppius: liber ἀρχίνου.

Θήβας ὅλης τῆς Βοιωτίας μέρος εἶναι καὶ μὴ τὴν ὅλην Βοιωτίαν ἐν Θήβαις εἶναι. B.

§. 120. τοὺς — μικροπολίτας] ἐπίθετόν ἐστιν, ὡς ἂν τις εἴποι, τοὺς οἰκοῦντας τὰς μικρὰς πόλεις, ὥσπερ ἂν τοὺς Χαλκιδέας. οἱονεὶ φοβούμεθα ἡμεῖς οἱ μικροπολῖται τὸ ἔγγραφον τὸ ἐν τῷ ψηφίσματι τὸ καὶ ἄλλο τι ποιῆσαι ἀγαθόν, μή πως περὶ ἡμῶν αἰνίττηται, ὥστε λαβεῖν ἡμᾶς Φίλιππον καὶ παραδοῦναι ὑμῖν ἀντὶ Ἀμφιπόλεως. f.

§. 121. διαιρούμενος] οἱονεὶ σαφῶς λέγων καὶ ἄντικρυ κατὰ διαίρεσιν καὶ φανερῶς. ἢ ὑπομερίζων καὶ διαβάλλων, ὡς Σοφοκλῆς Αἴαντι φάσκει δατούμενος· τὸ γὰρ αὐτὸ δύναται. ἢ ἐμοῦ μὲν κατηγορεῖν βουλόμενος, ἀπολογεῖσθαι δὲ ὑπὲρ ἑαυτοῦ. τοιοῦτος γὰρ ὁ Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου μάλιστα. f.

§. 123. εἶ] ἀντὶ τοῦ εἶπερ τότε. ἔστι δὲ παραγραφικὸν ἀπὸ χρόνου. f.

κἀκείνης — κατηγορεῖν] καθὸ μὲν ἐγγράφως οὐ κατηγόρησε τῆς προτέρας ὥσπερ τῆς δευτέρας, λέγει αὐτὸν μὴ κατηγορηκέναι, καθὸ δὲ εἶπεν ὅτι ἐλάνθανέ με πεπρακὼς ἑαυτὸν τέως, διὰ ῥήματος κατηγόρησεν αὐτοῦ. f.

§. 124. Λυδίαν] γραπτέον Λοιδίαν. ἔστι δὲ Λοιδίας Μακεδονίας ποταμός, ὥς φησιν Ἁρποκρατίων. B.

ὁ μὲν γὰρ Λεωσθένης etc.] εἰρωνεία. B. ἠθικῶς ἀναγνωστέον· ἔστι γὰρ κατ' εἰρωνείαν ὁ λόγος. ἐπιδεξίως δὲ ἀντὶ τοῦ αἰσίως καὶ καλῶς. f.

Καλλίστρατον] Καλλίστρατος ὁ ῥήτωρ καὶ δημαγωγός, ὃς φυγαδευθεὶς ᾤκησε τὸ Βυζάντιον. f.

§. 125. Πύθων] ῥήτωρ οὗτος, Ἰσοκράτους μαθητής. f.

§. 126. καὶ τὸν μὲν λόγον — καταλύω] ἡ σύνταξις οὕτως· καὶ τὸν μὲν λόγον καταλύω, εἰ συγχωρεῖ ταῦτα ὁ κατήγορος. ἀντὶ τοῦ καταπαύομαι τοῦ λέγειν, εἰ δοκεῖ ταῦτα πραχθῆναι, ὅ ἐστι τοὺς οἰκέτας βασανίζεσθαι. f.

πρὸς ἕνδεκα γὰρ ἀμφορέας] τοῖς περὶ τῶν μεγίστων ἀγωνιζομένοις διῃρεῖτο ἡ ἡμέρα καὶ ἐδίδοτο αὐτῆς ἥμισυ μὲν τῷ κατηγόρῳ, ἥμισυ δὲ τῷ ἀπολογουμένῳ. Bf. καὶ διεμετρεῖτο ὕδωρ, ὅσον ἐπαρκεῖν εἰς τὰς ὥρας τοῦ ἡμίσεως τῆς ἡμέρας· τοῦτο δὲ ἀπὸ μιᾶς ὥρας. B. διεμετρεῖτο τὸ ὕδωρ, ὅσον ἐπαρκεῖ εἰς τὰς ς' ὥρας, τὸ ἥμισυ τῆς ἡμέρας. φησὶν οὖν ὅτι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐν ᾗ ἠγωνίζοντο, τὸ διαμετρηθὲν ταῖς ἓξ ὥραις ὕδωρ ἦσαν ἀμφορεῖς ὕδατος ἕνδεκα. f.

Ἄλλως. μέτρον τι ὕδατος πρὸς μεμετρημένον ἡμέρας διάστημα ἔρρεεν. ἐμετρεῖτο δὲ τῷ Ποσειδεῶνι μηνί, ὡς ἐν τούτῳ ἠγωνίζοντο οἱ μέγιστοι ἀγῶνες. διενέμετο δὲ εἰς τρία μέρη τὸ ὕδωρ, τὸ μὲν τῷ διώκοντι, τὸ δὲ τῷ φεύγοντι, τὸ δὲ τοῖς δικασταῖς. B. φασὶν ὅτι τὰς ἡμέρας τοῦ Ποσειδεῶνος μηνὸς ἐπιλεξάμενοι οἱ Ἀθηναῖοι ὡς συμμέτρους καὶ δυναμένας κατασχεῖν ἕνδεκα ἀμφορέας πρὸς αὐτὰς καὶ ταῖς ἄλλαις ἡμέραις ἐσκεύαζον τὴν κλέψυδραν, μεγάλου πράγματος δηλονότι γυμναζομένου. ἀπενέμοντο δὲ οἱ ἕνδεκα ἀμφορεῖς κατὰ τὸ τρίτον τοῖς ἀντιδίκοις καὶ τοῖς δικασταῖς. Ἄλλως. ἡ πᾶσα, φησίν, ἡμέρα τῷ ἀγῶνι ἀποδίδοται. εἰ οὖν βούλει ταῦτα γίνεσθαι καὶ παύσομαι λέγων, δύναται ἐν τῷ λοιπῷ μέρει ταῦτα πράττεσθαι. f.

§. 130. Φαλαίκου] οὗτος Ὀνομακρίτου υἱός, Φωκέων τύραννος, διαδεξάμενος τὴν ἀρχὴν παρὰ Φαΰλλου. δρομοκήρυκες δὲ οἱ λεγόμενοι ἡμεροδρόμοι, ὧν γέγονεν ἐπιφανέστατος Φιλιππίδης Ἀθηναῖος. f.

§. 131. κατεμισθοφόρησαν] οἷον εἰς τὸν μισθὸν τῶν ξένων ἐδαπάνησαν ὧν ἐμεμίσθωντο. f.

§. 132. Ἄλπωνον etc.] πόλεις Λοκρικαί, ὧν η Νίκαιά ἐστι παραθαλάσσιος, ἀπέχουσα Θερμοπυλῶν σταδίους μ'. f.

§. 133. τοῖς σπονδοφόροις] τοῖς καταγγελεῦσι τῶν μυστηρίων. καθόλου πάντες οἱ τὰ μυστήρια καταγγέλλοντες σπονδοφόροι. τὰ τῶν Ἐλευσινίων λέγει, ἅπερ ἐξαιρέτως μυστήρια ἐκάλουν. τούτων οὖν ἀγομένων περιῄεσάν τινες χειροτονηθέντες σπονδὰς ποιοῦντες ἐν ταῖς πόλεσιν, ὥστε μὴ πολεμεῖν τινα τῶν Ἑλλήνων, ἀλλ' ἡσυχάζειν ἐν αὐτῷ τῷ καιρῷ. f.

οὐκ ἐσπείσαντο] οὐκ ἐδέξαντο τὰς ἐπαγγελίας. f.

§. 134. οὔπω διελέλυσθε] οὔπω, φησί, διηλλάγητε πρὸς Φίλιππον, ἀλλ' ἔτι πόλεμος ἦν. f.

§. 135. παραναγινωσκομένων] οἱονεὶ πλησίον τῶν μαρτυριῶν. f.

§. 136. οὗτος] ὁ Φάλαικος· ὡσανεὶ ἔλεγεν, ἀλλ' ἔχει τις εἰπεῖν, ὡς ὅτι αὐτὸς μόνος ὁ Φάλαικος ἠγνόει τὴν Φιλίππου γνώμην. νῦν ἄρα δὲ καὶ ὑμεῖς οὕτω διέκεισθε καὶ ἠγνοεῖτε αὐτὸν οἷός ἐστιν. f.

τῶν ἄλλων] τῶν οἰομένων ὑπὲρ Θηβαίων εἶναι τὸν πόλεμον, ἀλλ' οὐ κατὰ Θηβαίων. f.

ὑπὲρ αὐτῶν] οὐχ ὑπὲρ Θηβαίων ἀλλ' ὑπὲρ Θετταλῶν. f.

§. 137. τὰς ἐν Βοιωτοῖς πόλεις] ἃς ἦσαν Θηβαῖοι καταστρεψάμενοι. f.

κατοικιεῖ] ἀνίστησι, τειχίζει. Δημοσθένης ἐν

1. ὅλης Sauppius: liber ὅλας. 6. τὸ καὶ Sauppius: liber καὶ τό. cf. §. 104. 12. Αἴαντι] an Locrensi? 40. αὐτῆς Reiskius: libri αὐτοῖς. μὲν et δὲ add. f. 44. ς' add. Sauppius. 45. τὸ add. Sauppius.

1. sqq. cf. Harpocrat. p. 58, 6. 8. ταῖς ἄλλαις ἡμέραις Sauppius: liber τὰς ἄλλας ἡμέρας. 15. Immo Ὀνομάρχου. Spr. 30. αὐτῷ] malim τούτῳ. Spr. 38. νῦν add. Sauppius 40. sedem huius Scholii et proxime sequentis commutavimus. 46. κατοικιεῖ] codd. plerique habent κατοικεῖ. 46. Demosth. 19 §. 112.

τῇ κατηγορίᾳ· οὗτος μὲν γὰρ ἔφη [Θεσπιὰς] καὶ Πλαταιὰς αὐτὸν τειχιεῖν. B.

οὐκ ἐξεληλύθεσαν] ὡς ὑπὲρ αὐτῶν μαχούμενοι, ἀπιστοῦντες δὲ τοῖς παρὰ Φιλίππου παραγγέλμασιν. f.

§. 138. οἷς] οἱ Φωκεῖς δηλονότι. B.

§. 139. πρεσβεύοντος ἐμοῦ etc.] λύει τὸ ἀντιπῖπτον· ἐχρῆν γὰρ ἀντειπεῖν. ἀπεδήμουν, φησίν. f.

ἐχθρὸς δ' ὤν etc.] εἰ ὡς λέγεις, φησίν, ἀχειροτόνητος ἐξῆλθον, διὰ τί με οὔπω ἔκρινας παραπρεσβείας, καὶ ταῦτα ἐχθρὸς ὤν; f.

οὐ γὰρ δὴ φθονεῖς etc.] οὐχ ὥσπερ, φησί, τῶν ἄλλων μοι φθονεῖς, οὕτω καὶ τοῦ παθεῖν κακῶς. τοῦτο γὰρ κἂν εὔξαιο τοῖς θεοῖς, λαβεῖν με τιμωρίαν εἰς τὸ σῶμα. f.

τιμημάτων] οἱονεὶ τιμωριῶν. χλευάζοντος δ' ἐστὶν ὁ λόγος. ὡς γὰρ ἐπὶ ἀγαθοῦ τοῦτο εἶπεν. f.

§. 140. παρακαθημένων] Φιλίππῳ δηλονότι· πρὸς τὰ ἄνω δέ ἐστιν ὁ νοῦς. f.

763 δεομένων] βοηθείας τῆς παρ' ἡμῶν, ἢ δεομένων Φιλίππου, τὴν Βοιωτίαν πορθῆσαι. B.

διὰ σὲ] ἐπειδὴ ἐκώλυσας ἡμᾶς ἐξελθεῖν. f.

κατηλόησαν] ἐπάτησαν, ἐκάκωσαν, ἔτυψαν. B. ἀλοᾶν ἐστι τὸ τύπτειν. ὡς τῶν ὁμήρων σὺν ξύλῳ ἢ ὁπωσδήποτε κατακτανθέντων. f.

ἐλθεῖν] ἀντὶ τοῦ ἀπελθεῖν· λέγει γὰρ ἐν τῇ τρίτῃ πρεσβείᾳ. ἡ δὲ σύνταξις οὕτως ἔχει· Φαλαίκου δὲ ὑποσπόνδου ἀπελθόντος, πρὶν ἐμὲ καὶ τόνδε ἀπελθεῖν εἰς τὴν τρίτην πρεσβείαν. κάτω δέ ἐστιν ἡ ἀπόδοσις εἰς τό· τότε ἀπώλοντο αἱ πράξεις, οἷον τὰ Φωκικὰ πράγματα: f.

§. 141. ὑπολειπομένης etc.] εἰ μὴ πολεμῆσαι Φωκέας, ὑπελείπετο ἔχθρα τῷ Φιλίππῳ πρὸς Θετταλοὺς καὶ Θηβαίους. f.

§. 142. Οἰταίων] οὗτοι μετέχουσι τοῦ Ἀμφικτυονικοῦ, οἰκοῦσι δὲ ὑπὸ Οἴτῃ τῷ ὄρει, πλησίον Τρηχῖνος. τὸ δ' ὅλον τοῦτο Θετταλία καλεῖται. f.

ὠθεῖν — κρημνοῦ] οἱ πρὸς τὸ ἱερὸν τὸ ἐν Δελφοῖς ἁμαρτάνοντες κατὰ τῶν Φαιδριάδων πετρῶν ὠθοῦντο. f.

§. 143. Λίπαρε] ὡς ἐπίθετον, ὡς ἔχοντος αὐτοῦ πιμελὴν καὶ λίπος. f.

εἰ] πρὸς τὸ ἀλοίην συντακτέον, ὅ ἐστι τιμωρηθείην. f.

§. 144. ὡς ἐγὼ — περιπίπτω] τουτέστιν ὡς ἐγὼ τοῖς ἐμαυτοῦ λόγοις ἐλέγχομαι καὶ ἁλίσκομαι, ἢ ὡς τὰ ὑπ' ἐμοῦ κατὰ τοῦ ἄλλου εἰρημένα, ἤγουν κατὰ τοῦ Τιμάρχου, ταῦτα εἰς ἐμὲ πάλιν ἔρχεται καὶ κατ' ἐμοῦ ἰσχύει τῇ συκοφαντίᾳ. B.

§. 145. προβολὰς] προβολὴ κατηγορία πρὸς τὸν δῆμον ἀσεβείας ἢ συκοφαντίας. B. προβολὴ ὄνομα δίκης, μάλιστα δὲ ἐν τοῖς Διονυσίοις. τοὺς γὰρ ἁμαρτάνοντας περὶ τὴν ἑορτὴν ἐν τῷ δήμῳ ὠνόμαζον καὶ καταχειροτονοῦντος τοῦ δήμου οὕτως εἰς δίκην περιίστασαν. ἀντὶ τοῦ κατηγορίας. καταχρηστικῶς δὲ λέγεται προβολὴ κοινῶς ἡ κατηγορία, περὶ πάσης δίκης καὶ οὐ μόνον περὶ τῶν ἀσεβούντων καὶ ἁμαρτανόντων εἰς τὰ Διονύσια. f.

§. 146. ταῖς αἰτίαις ταύταις etc.] ἀντὶ τοῦ διὰ ταύτας τὰς κατηγορίας καὶ τοιοῦτόν με δεῖ γενέσθαι. ὡς εἰ ἔλεγεν, ἵνα μου Δημοσθένης κατήγορος ἀναφανῇ, καὶ τὴν φύσιν μετήλλαξα. f.

καὶ πολλοῖς — ἔνοχον] ὡσανεὶ ἔλεγεν, οὐκ ἄν τις προδότης εἴη, μὴ παραπλήσια πράξας πρότερον. οἷον δεῖξον τὸν πρότερον βίον καὶ κάλει προδότην, ἂν εὕρῃς παραπλήσιον. f.

τοῖς — πολλοῖς] ἀντὶ τοῦ τοῖς μὴ γνησίως γήμασι καὶ νόθοις καὶ ὠμοῖς τὴν φύσιν. ἀσύνοπτα δὲ ἀντὶ τοῦ μὴ ἐν φροντίδι καὶ ἐννοίᾳ, παρὰ τὸ μὴ ἐποπτεύειν. f.

ἀναβιβῶμαι] οἷον ὡς παῖδας παραστήσομαι, τοὺς νόμους μοι συνδίκους ἀναβιβάσας ἐπὶ τὸ βῆμα. f.

§. 147. τὸν πόλεμον] Πελοποννησιακόν. B. ἵνα λέγῃ τὸν Πελοποννησιακὸν καὶ τὸν Ἑλληνικόν. θέλει δὲ εἰπεῖν ὅτι ὑπὲρ εὐνοίας τῆς πόλεως τριηραρχῶν καὶ τοιαῦτα ἄλλα ποιῶν ἀνάλωσε τὴν οὐσίαν. f.

στρατεύεσθαι] ἀντὶ τοῦ μισθῶσαι ἑαυτὸν ἐκεῖσε τισὶ τῶν σατραπῶν διὰ πενίαν καὶ τὴν φυγὴν τὴν ἀπὸ τῶν λ'. f.

Ἐτεοβουτάδαις] Ἐτεοβουτάδαι οἱ Βούτου τοῦ ἱερέως ἀπόγονοι, γένος λαμπρὸν παρ' Ἀθηναίοις. τὸ δὲ ἐτεὸν τὸ ἀληθὲς δηλοῖ. B.

τῆς Πολιάδος] τῆς πολιούχου, τουτέστι τῆς τὴν πόλιν φυλαττούσης καὶ συνεχούσης. B. εἶχε δὲ τὰ γένη ἰδίους βωμοὺς ἐν ταῖς οἰκίαις ἑαυτῶν. Πολιάδος δὲ οἷον πολιούχου καὶ συνεχούσης καὶ σωζούσης τὴν πόλιν. Βούτης ἀπ' Ἐρεχθέως τὸ γένος ἔχει, καὶ ἀπ' αὐτοῦ καλεῖταί τι Ἀθήνησι γένος Ἐτεοβουτάδαι, οἱ τῷ ὄντι ἀπὸ τοῦ Βούτου. οὗτοι προΐστανται τοῦ ἱεροῦ τῆς ἐν ἀκροπόλει Ἀθηνᾶς τῆς Πολιάδος. οὐ πᾶσαι δὲ φατρίαι τῶν αὐτῶν μετέχουσιν, ἀλλ' ἔοικεν Αἰσχίνης ἀπὸ τοιαύτης ἑαυτὸν δεικνύναι, ἢ οὕτως ἐστὶν εὐγενής, ὥστε τοῖς Ἐτεοβουτάδαις κοινωνεῖν τῶν ἱερῶν τῶν τῆς Πολιάδος. τὸ δὲ κοινωνεῖν τὸ μεταλαμβάνειν τῆς οὐσίας. f.

§. 148. ἀμφισβητῶν ἀνὴρ εἶναι] ἀνδρόγυνον εἶναι δηλοῖ. ἀναγνωστέον δὲ ἀμφισβητούμενος

---

1. Θεσπιὰς addidimus cum Demosthene. 3. αὐτῶν Sauppius: liber αὐτοῦ.

3. δὲ Sauppius: liber δὲ οἱ. 15. παραπλήσια πράξας Sauppius: liber γὰρ καὶ τὰς πράξεις. 20. ἐννοίᾳ Sauppius: liber εὐνοίᾳ. 42. erat φατριαί. 43. ἢ Sauppius: liber εἰ.

ἀνὴρ εἶναι, τουτέστιν οὐχ ὁμολογούμενος ἀνὴρ εἶναι. B.

Ἀριστάρχου] τοῦτον μνημονεύει Δημοσθένης ἐν τῷ κατὰ Μειδίου καὶ ἀλλαχοῦ. τούτου δὲ μειρακίου ὄντος ἐρασθεὶς καὶ δι' αὐτὸ παροινήσας εἰς Νικόδημον ἐξέκοψεν αὐτοῦ τοὺς ὀφθαλμούς, ὥς φασί τινες. B.

ἐμβάλλεις] οὐ προσῆκον εἰσέρχῃ. B.

§. 149. ἀγεννεῖς] ἀνελευθέρους. εὐγενὲς γὰρ λέγομεν πολλάκις τὸ ἐλεύθερον. f.

ἐπὶ τὴν κοινὴν διοίκησιν] οἷον ἐπὶ τὰ δημόσια χρήματα, ἐπὶ αὐτὴν τῶν προσόδων τὴν ἀπαίτησιν. f.

764 Κνωσίωνι] λέγεται Δημοσθένης Κνωσίωνα τοῦτον μειρακίσκον ὄντα, καίτοι γυναῖκα ἔχων, ὥστε καὶ αὐτὴν ἀγανακτήσασαν συγκοιμᾶσθαι τῷ Κνωσίωνι, ἀναλαβεῖν καὶ εἰσδέξασθαι εἰς τὴν οἰκίαν. B. μειράκιον ἦν ὁ Κνωσίων ἐρώμενον Δημοσθένους. Ἄλλως. εὐτελεῖ τινι οἰκείῳ αὐτοῦ. f.

τὸ γὰρ ψευδὲς etc.] ὡσανεὶ ἔλεγεν, οὐχ ἅπτεται τῆς διανοίας τοῦ συνετοῦ διὰ τὸ καταφρονεῖν αὐτοῦ, ἀλλὰ μέχρι τοῦ ἀκουσθῆναι γίνεται. f.

§. 150. τῶν ἐμῶν κηδεστῶν] ἀντὶ τοῦ τῶν ἀδελφῶν τῆς γυναικός μου. f.

§. 151. Ἐπικράτους] τοῦτον Δημοσθένης λοιδορῶν Κυρηβίωνα ἐπονομάζει ἐν τῷ κατ' Αἰσχίνου. B. ἔοικεν οὗτος εἶναι ὁ Κυρηβίων, περὶ οὗ Δημοσθένης εἶπεν· ὃς ἐν ταῖς πομπαῖς ἄνευ προσωπείου κωμάζει. f.

εὐαγωγίαν] οἱονεὶ καλὸν βίον, ἀπὸ τοῦ εὖ καὶ καλῶς ἀχθῆναι. f.

§. 152. τοὺς πάντων — φιλτάτους] τοὺς παῖδας. B.

§. 153. ἡγεῖται] ἀντὶ τοῦ προηγεῖται. ὅ ἐστι πρὸ τοῦ εἰπεῖν εὐθὺς ὄμνυσι κατὰ τῶν ἀναισχύντων αὐτοῦ ὀφθαλμῶν. f.

ἂν δὲ εὐτυχοῦμεν etc.] εἴ γε πρὸς τούτοις, φησί, νοῦν εἶχε, δεινὰ ἂν ἐπάσχομεν. f.

ἐξερρίφη] ἐξεβλήθη. B.

τοιούτων] αἰσχρῶν. B.

§. 154. συσταθεὶς] οἱονεὶ φίλος γενόμενος. ὅθεν ἔτι καὶ νῦν λέγομεν ἐν τῇ συνηθείᾳ· συνέστησα τόνδε τῷδε, ἀντὶ τοῦ γνώριμον ἐποίησα. f.

§. 156. διομνυμένων] ἀντὶ τοῦ ὀμνυόντων. κυρίως διωμοσία λέγεται ἡ παρὰ τῶν δύο δικαζομένων. f.

ὅτι ξένους etc.] οὐ τοῦτο εἶπε Δημοσθένης ἐν τῇ κατηγορίᾳ, ἀλλ' ὅτι τὰς Ἀπολλοφάνους τοῦ Πυδναίου θυγατέρας ἐξῃτήσατο. ἐκ δὴ τούτου δῆλον, ὅτι οὐκ ἐλέχθησαν οἱ λόγοι. οὐ γὰρ ἂν ἀλλ' ἀκούσας ὁ Αἰσχίνης ἄλλα ἔλεγεν. ἀλλὰ δῆλον, ὅτι ἃ ὑπενόησεν ἐρεῖν αὐτὸν πρὸ τοῦ ἀγῶνος, ταῦτα ἐνέγραψεν. f.

§. 157. ὀξεῖαν] οἱονεὶ λεπτὴν καὶ μὴ μεγάλην. f.

τοὺς Καρίωνας καὶ Ξανθίας] ἀντὶ τοῦ δούλους· τοιαῦτα γὰρ τὰ τῶν δούλων πρόσωπα εἰσάγεται εἰς τὴν κωμῳδίαν, Ξανθίου καὶ Καρίωνος καὶ ἄλλων τινῶν. f.

ῥυτῆρα] κυρίως μὲν ἡνία, κατεχρήσατο δὲ ἐπὶ τοῦ ἱμάντος· οὐ γὰρ χαλινόν φησιν. f.

§. 158. ἐάσετε οὖν — ἀναστρέφεσθαι;] κατ' ἐρώτησιν. ἆρα, φησί, τοῦτον ἐᾶσαι δεῖ ζῶντα ἑαυτοῦ προστρόπαιον; μὴ γὰρ γένοιτο αὐτὸν γενέσθαι τῆς πόλεως. προστρόπαιός ἐστιν ὁ εἰς ἑαυτὸν ἐπισπώμενος τὰ κακά, ὅπερ ἐστὶν ἐναντίον τοῦ ἀποτρόπαιος, τοῦ ἀποτρέποντος τὰ κακά. διὸ καὶ Διὶ ἀποτροπαίῳ θύομεν, οὐκέτι μέντοι καὶ προστροπαίῳ. τὸ δὲ ἐν ὑμῖν πρὸς τὸ ἐάσατε συντακτέον. f.

προστρόπαιον] μιαρόν, κατάρατον. B.

§. 159. μετακαλεῖ] ἀντὶ τοῦ μεταλλάττει. οὐκ ἐᾷ, φησί, τὸν κρινόμενον ὀργίζεσθαι ὁ κίνδυνος. f.

§. 160. ἤ τι — ἀπαλείψας] ὁ γὰρ Δημοσθένης λέγει, ὅτι ἀπήλειψεν ἐν Μακεδονίᾳ τὸ περὶ Φωκέων γεγραμμένον ἐν τῷ ψηφίσματι. f.

§. 161. ἀργίαν] οἱονεὶ τὸν ἀργὸν καὶ μὴ ἔχοντα πόθεν ζῆσαι ἢ ἀπὸ ταραχῶν. ἡ παροιμία· εἰρήνη στρατιώτην οὐ τρέφει. f.

§. 162. συνῇδον] τουτέστι συνεπαιάνιζον Φιλίππῳ· τούτῳ γὰρ ῥήματι χρῆται Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου. B.

οὐχ ὑποσιγῶν] οὐ μετὰ πάντων σιγῶν. ἡ ὑπό ἀντὶ τῆς μετά. f.

§. 163. εἰ μὴ — προῇδον] εἰ μὴ ἄρα εἴποις ὅτι, ὥσπερ ἐν τοῖς χοροῖς ποιοῦσιν, ὅτι προᾴδουσιν, ἃ μέλλουσιν ᾄδειν, πρὸ τοῦ ἐλθεῖν ἐν τῷ θεάτρῳ, οὕτω κἀγὼ ἐποίησα, οἱονεὶ ᾖσα ἐνταῦθα παρὰ σοὶ πρῶτον, ἅπερ ἔμελλον ᾄδειν ἐκεῖσε παρὰ Φιλίππῳ. f.

μετὰ τῶν ἄλλων πρέσβεων] τῇ κοινωνίᾳ τῶν ἄλλων τὴν κοινωνίαν πορίζεται. f.

ἀνηλέητος] μηδενὸς ἐλέου ἄξιος. B.

§. 164. ἐμπληξίαν] οἷον τὸ μαίνεσθαι καὶ ποιεῖν ἐναντία ἑαυτῷ. f.

τοῖς γὰρ καιροῖς etc.] ἀντὶ τοῦ πρὸς τὸ λυσιτελοῦν καὶ πόλις καὶ ἀνὴρ μεταβάλλεται. τινὲς κοινῶς λαμβάνουσιν αὐτὸ καὶ ἀφελῶς, τινὲς δὲ πικρῶς, ἄνδρα

---

3. Demosth. 21 §. 104 sqq. 7. προσῆκον Reiskius: προσήκων B. 17. ἐρώμενον] Fort. ἐρώμενον ὑπὸ. Spp. 17. Addidimus Ἄλλως. 24. Demosth. 21 §. 287. 25. Κυρηβίωνα nos: liber vel κηρίβωνα vel κορύβωνα. 26. Κυρηβίων nos: liber κορηβίων. 34. αὐτοῦ nos: liber αὐτοῖ. 46. Demosth. 19 §. 193 sqq.

2. ἀλλ' nos: erat ἀλλ'. 10. μὲν Sauppius: liber δὲ. 14. γὰρ add. Sauppius. 16. τοῦ ἀποτρ. Sauppius: liber τῷ ἀποτρ. 30. Demosth. 19 §. 128. 40. κοινωνίαν] immo ἄδειαν. Spp.

μὲν τὸν τύραννον, πόλιν δὲ τὴν δημοκρατίαν, ὡς ἔχομεν τὸ ὅμοιον ἐν τοῖς Φιλιππικοῖς, ἐν οἷς λέγει· ἐπειδὴ γὰρ ἡμῖν πρὸς ἄνδρα καὶ οὐχὶ συνεστώσης πόλεως ἰσχὺν ὁ πόλεμος. f.

§. 165. ἔγραψας — Φορμίωνι] ἵνα εἴποι κατὰ Ἀπολλοδώρου δικαζομένου πρὸς αὐτόν. ἐκ τούτου δῆλον ὅτι καὶ οἱ περὶ τὴν οἰκίαν Ἀπολλοδώρου λόγοι οὐκ Ἀπολλοδώρου ἀλλὰ Δημοσθένους. f.

§. 166. εἰσῆλθες etc.] δηλονότι ὡς διδάσκαλος. ταύτην ἀπώλεσας διὰ τοῦ αὐτόν, τὸν Ἀρίσταρχον, ἀναπεῖσαι φονεῦσαι τὸν Νικόδημον καὶ διὰ τοῦτο φεύγειν. f.

ζηλωτής etc.] οἱονεὶ ἐραστὴς εἶναι κατὰ τὸν ψυχικὸν δῆθεν ἔρωτα, οἷον λέγων· ἐρῶ αὐτοῦ τὸν ψυχικὸν ἔρωτα. καλὴ γὰρ ἐκ τούτου παρέπεται φήμη· ταῦτα δέ, φησίν, οὐκ ἐποίεις· οὐ γὰρ δὴ τῇ ἀληθείᾳ ζηλωτὴς ἦσθα τοῦ μειρακίου. f.

§. 167. ἀνεπίφθονον] ὡς ἂν τις εἴποι, οὐδεὶς φθόνος ἔσται εἰπεῖν περὶ τούτου, ἀλλὰ λέξω. τινὲς δὲ ἀντὶ τοῦ ἀμέμπτως. f.

ποῦ γὰρ ἢ πότε] ἐν ποίᾳ ἡμέρᾳ ἢ ποίῳ καιρῷ. f.

πρὸς τίνας, οἷον πολεμίους, ἐγὼ παραλιπὼν (ἢ τοὺς στρατιώτας ἢ τὰς στρατείας) τήνδε τὴν ἡμέραν (ἀντὶ τοῦ ἐν τῇδε τῇ ἡμέρᾳ) δύναμαι μνησθῆναι; τινὲς δὲ λέγουσι· μνημονεύομαι παρὰ τῶν ἄλλων ἕως σήμερον λιπὼν τὴν τάξιν. Ἄλλως. πολεμίους, ἐν οἷς ἤμην ἀστράτευτος. f.

περίπολος] εἴρηται περίπολος παρὰ τὸ περιπολεῖν τὴν χώραν. οἱ γὰρ ἔφηβοι τὸν δεύτερον ἐνιαυτόν, ἐκκλησίας ἐν τῷ θεάτρῳ γενομένης λαβόντες ἀσπίδα καὶ δόρυ παρὰ τοῦ δήμου, περιεπόλουν, τουτέστι περιήρχοντο, τὴν χώραν καὶ διέτριβον ἐν τοῖς φυλακτηρίοις ἢ ἐν τοῖς φρουρίοις, ἐνίοτε ἔτος ἓν μόνον, ἐνίοτε δύο. ULPIAN. B. ὁ περιερχόμενος τὴν πόλιν καὶ φυλάττων.

οὗτος ἐν τοῖς φρουρίοις κοιτάζεται.

Εὔπολις. καὶ τοὺς περιπόλους ἀπιέναι εἰς τὰ φρούρια. τοῖς ἐφήβοις γὰρ προστέτακται τὴν χώραν μετὰ τῶν ὅπλων περιέρχεσθαι. f.

§. 168. πρώτην δ' etc.] ἐπειδὴ ἀπὸ ιη' ἐτῶν ἕως κ' ἐγίνοντο οἱ στρατιῶται ὡς περίπολοι φύλακες, ἀπὸ δὲ κ' λοιπὸν ἐξῄεσαν εἰς τοὺς ὑπερορίους πολέμους. f.

τὴν ἐν τοῖς μέρεσι καλουμένην] τὴν ἐκ διαδοχῆς πεμπομένην ἀπὸ τῶν φυλῶν· οὐ γὰρ ἀεὶ οἱ αὐτοὶ ἐστράτευον. τὴν αὐτὴν δὲ λέγει καὶ τὴν ἐκ διαδοχῆς τὴν ἐν τοῖς ἐπωνύμοις. Ἄλλως. ὅτε κατὰ μέρη ἐξῆλθον Ἀθηναῖοι καὶ κατ' ἐναλλαγὴν πάλιν ἀνέστρεφον. ἦν δ' ὁ πόλεμος πρὸς Λακεδαιμονίους. ἐξ ἑκάστης δὲ φυλῆς ἀνὰ μέρος ἐξήρχοντο διάδοχοι ἀντὶ τῶν πρώτων στρατευσόμενοι, ὅταν μὴ ᾖ χρεία πανδημεὶ στρατεύειν ἀλλ' ἀριθμόν τινα μερῶν. αἱ δὲ τοιαῦται ἔξοδοι ἐκαλοῦντο ἐν τοῖς μέρεσιν. f.

συμπαραπέμπων] οὐ λέγει προπέμπων, ἀλλὰ συστρατεύων. καὶ παραπομπὴν τὴν στρατείαν. f.

καὶ τῶν Ἀλκιβιάδου ξένων] οὗτοι ἐοίκασιν Ἀλκιβιάδου εἶναι ξένοι καὶ φίλοι Ἀθήνησιν. ἡ δ' ἔξοδος ἦν εἰς Φλιοῦντα. ἔστι δὲ πόλις τῆς Ἀργείας. f.

τὴν Νεμεάδα — χαράδραν] τόπος τῆς Ἀργείας. χαράδρα δὲ τόπος κοῖλος πλέως ὕδατος. f.

ἐν τοῖς ἐπωνύμοις καὶ τοῖς μέρεσιν] ἐν τοῖς ἐπωνομασμένοις ὀρθῶς, ἢ τοῖς ἀξιοχρέοις πρὸς τὴν μάχην καὶ διὰ τοῦτο ἐπωνομασμένοις μέρεσιν. f.

§. 169. Ταμύναις] χωρίον τῆς Εὐβοίας. ἔγνωμεν ἐν τοῖς κατὰ Μειδίου. ἔστι δὲ τόπος ἱερὸς Ἀπόλλωνος. f.

ἐπιλέκτοις] ἐκλεγομένοις στρατιώταις ἀριστίνδην. f.

ἐκινδύνευσα] ἀντὶ τοῦ ἀνδρείως ἐπολέμησα. f.

συμπρεσβεύσαντος] παρακαλέσαντος. τὸ δὲ σὺν πρόσκειται δηλοῦν ὅτι καὶ ἡγεμόνες ἐπῄνεσαν. f.

§. 170. μήπω συνήγορον] μέλλει γὰρ ὕστερον καὶ συνήγορον καλέσαι. τοῦτο δὲ λέγει, ἐπειδὴ ὁ μὲν μάρτυς μαρτυρῶν ὑπεύθυνος ἐγίνετο, ὁ δὲ συνήγορος, μόνον παρακαλῶν ὑπέρ τινος, οὐδὲν ἔπασχεν. f.

§. 171. τῶν παίδων τῶν ὑμετέρων] οἱονεὶ τῶν ἐξελθόντων ἀπὸ τῆς ἥβης. παίδων δὲ ὡς πρὸς σύγκρισιν τῶν ἄλλων, τελείων τὴν ἡλικίαν. f.

§. 172. πρότερον] ἀντὶ τοῦ ἐπὶ παλαιῶν χρόνων. f.

ὑπό τινων] ἵνα λέγῃ τῶν τότε πονηρῶν ῥητόρων καὶ πολεμοποιῶν. f.

προκηρυκευσαμένου] ἀντὶ τοῦ πρεσβευτοῦ πεμφθέντος. προξένου δὲ δημοσίου φίλου. f.

§. 173. προσκατεσκευασάμεθα] καταχρηστικῶς, ὡς καὶ ἐν τοῖς Φιλιππικοῖς στρατιώτας κατασκευασθῆναί φησιν ὁ Δημοσθένης. Σκύθας δὲ οἱονεὶ τοξότας· τοξόται γὰρ οἱ Σκύθαι καὶ οἱ Κρῆτες. f.

---

3. Demosth. 9 §. 72. 13. τὸν ψυχικὸν ἔρωτα Sauppius: liber τοῦ ψυχικοῦ ἔρωτος. 16. οὐκ add. Sauppius. 22. πολεμίους Sauppius: liber πολεμίων. 26. Ἄλλως addidimus. 29. cf. Harpocrat. p. 151, 26. 34. Admonitionem hanc de Ulpiano tam in editione Brook. quam in Apogr. Goens. reperi. Reiskius. 37. Eupolidi Meinekius (com. gr. 2 p. 566) ea quae sequuntur tribuit καὶ τοὺς — φρούρια. malim quae praecedunt οὗτος [γάρ] ἐν τοῖς φρουρίοις κοιτάζεται comici verba haberi, ea vero quae sequuntur ex plebiscito aliquo desumta putari. Sep. 41. ὡς περίπολοι Bekkerus: liber ὥσπερ οἱ πολλοί. 42. ὑπερορίους Baiterus: liber περιορίοις.

4. ἀνεστρ. Sauppius: liber ἀντέστρεφον. 8. μερῶν Sauppius: libri ἡμερῶν. 17. Schol. legit quod est in cod. e: ἐν τοῖς ἐπωνύμοις μέρεσιν. 21. Demosth. 21 §. 162. 27. ἐπῄνεσαν Sauppius: liber ἐπηγεσαν. 35. ἐπὶ Sauppius: liber ἀπό. 42. Demosth. 1 §. 20.

ἐπριάμεθα] τουτέστι ἐμισθωσάμεθα. B.

§. 175. καὶ πάλιν etc.] μετῆκται τὰ πλεῖστα ἐκ τῶν Ἀνδοκίδου, ἐστὶ δὲ ψευδῆ. ἡ μὲν γὰρ Νικίου εἰρήνη ἐπὶ ἄρχοντος Ἀρίστωνος ἐγένετο τῷ τετάρτῳ ἔτει τῆς ὀγδοηκοστῆς ἐνάτης ὀλυμπιάδος· ἐν δὲ ταύτῃ οὐχ ὅτι ἐνναχισχίλια τάλαντα εἰς ἀκρόπολιν ἀνήγαγον, ἀλλὰ καὶ τα προανενηνεγμένα ἐκ Δήλου μύρια πεντακισχίλια προσανάλωσαν. περὶ τῶν ἀποικιῶν δὲ ψεύδεται· οὐ γὰρ ἐπὶ τῆς Νικίου εἰρήνης ἐγένετο, ἀλλὰ πολλοῖς χρόνοις πρότερον. f.

φόρος] ὅτι τὸ ἄνω πρὸς τὸ ἀποθησαυρίσασθαι ἀναγαγεῖν εἴρηται, τοῦτο δὲ ὅπερ κατ' ἐνιαυτὸν εἶχον εἶπε φόρον. f.

αποικίας] ὅπερ ἐστὶ σημεῖον ἰσχυόντων ἀνθρώπων· χρῄζουσι γὰρ δυνάμεως οἱ ἀποικίζοντες κατὰ τῶν κωλυόντων αὐτοὺς κτίσαι τὴν ἀποικιζομένην πόλιν. f.

§. 176. ἀψιμαχίας] ἀπὸ τοῦ ἀεὶ φιλεῖν ἅπτεσθαι τοῦ πολέμου. f.

τοὺς τετρακοσίους] οἱ περὶ Πείσανδρον τὸν Ἀχαρνέα δημαγωγὸν ἔπεισαν τὸν δῆμον, ἐπεὶ δεῖται τὰ πράγματα σπουδῆς καὶ ἐπινοίας ταχείας, ποιήσασθαι κυρίους ἁπάντων ἄνδρας τετρακοσίους. οὗτοι ἦσαν οἱ πρῶτοι τὸν δῆμον καταλύσαντες. οὗτοι δὲ κατέστησαν ὑπὸ τὰ ἔσχατα τοῦ πολέμου πρὸ τῆς τῶν Λακεδαιμονίων ἐπικρατείας. ἐκεῖνοι γὰρ λ' τυράννους κρατήσαντες κατέστησαν, αὐτοὺς πολίτας Ἀθηναίων. f.

ὅθεν σοφωτάτην etc.] καθὸ οὐχ εἵλετο ἐπὶ πολὺ στασιάζειν πρὸς ἑαυτήν, ἀλλ' εἰρήνην εἶχεν. f.

§. 177. ἀναφθέντος] ἀναφύντος, ἀναζωπυρηθέντος. B. οἱονεὶ ὥσπερ ἀναβλαστήσαντος καὶ ἀναζήσαντος. f.

τὸ νοσοῦν τῆς πόλεως] νόσημα πόλεως πολῖται κακουργοι. τοῦτο οὖν τὸ ἔθνος προσποιούμενοι καὶ ἐπιτειχίζοντες τῇ πόλει ἀνατρέπουσι τὰ πράγματα. f.

ἐν μὲν εἰρήνῃ] οἷον ἐν εἰρήνῃ ἐπιδεικνύμενοι δῆθεν το ἀνδρεῖον αὐτῶν ἐπιτάττουσι προφυλάξασθαι αυτους καὶ παρασκευάσασθαι. f.

ἐξετασταὶ] ἐξαριθμηταὶ τῶν πραγματευομένων. ουτοι καὶ τοὺς ἀστρατεύτους ἐξελέγχουσι, καὶ ὅλον τὸ ἔργον καλεῖται ἐξέτασις. ἀποστολεῖς δὲ οἱ ἐπὶ τῶν αποστόλων, ὥστε ἐκπεμφθῆναι τοὺς πλέοντας στρατιωτας· περὶ τῶν ἀποστολέων ἔγνωμεν ἐν τῷ ὑπὲρ τοῦ στεφάνου, ὅτι ἀρχὴ ἦν ἐπὶ τὸ ἐπείγειν τὸν στόλον ταχέως ἐκπλεῦσαι τεταγμένη. ἐξετασταὶ δὲ τίνες εἰσίν, ἐν τῷ κατὰ Τιμάρχου ἔγνωμεν. f.

οὐ τοῖς ἤθεσιν etc.] ἵνα λέγῃ ὅτι οὐκ ἀληθῶς κατὰ φύσιν εἰσὶ φιλοπόλιδες ἀλλ' ὑποκρίνονται. f.

§. 178. συστραφέντες] οἱονεὶ συνελθόντες καὶ οἱονεὶ φατριάσαντες. f.

καὶ φασὶ μὲν etc.] πάλιν ἡ μετάθεσις τῆς αἰτίας, ὡς ἠπάτησέ με Φίλιππος. f.

§. 179. γυναικείῳ — τὴν ὀργὴν] ἀντὶ τοῦ ὠμῷ καὶ ἀνηλεεῖ, ἐπειδὴ δοκοῦσιν αἱ γυναῖκες πικραὶ σφόδρα εἶναι περὶ τὸ ὀργίζεσθαι. διὸ καὶ ὁ Μένανδρός φησι·

..φιλόνεικος δ' ἐστὶ κἀγρία γυνή
εἰς μῆνιν. f.

§. 180. λογογράφῳ] οἷον φιλοδίκῳ καὶ κακοπράγμονι. f.

ἀναμνησθέντες etc.] ὅτι προετρεψάμην ἐκείνους σωφρονεῖν διὰ τοῦ κατηγορῆσαι τοῦ Τιμάρχου ἀσελγείας καὶ ὀφείλετέ μοι χάριν ὑπὲρ τούτων. f.

§. 181. τὴν μὲν τύχην] οὐ τὴν τύχην δηλονότι, ἀλλὰ τὸν τρόπον, ὅ ἐστιν, οὐ πανοῦργος ὢν ὡς Δημοσθένης. f.

φοβερά] προσθετέον ἔξωθεν· τοῖς σώφροσιν. f.

§. 182. οὐδ' ὑπεύθυνος etc.] καθὸ μετὰ τὴν ἀρχὴν οἱοσδήποτε παρεῖχεν εὐθύνας πῶς ἦρξεν. f.

§. 183. τῆς ὑμετέρας ἀδείας] τοῦ μὴ φοβεῖσθαι τὸν πόλεμον. f.

§. 184. πολιτικῶν] οἱονεὶ δημαγωγῶν καὶ μεταχειριζομένων τὰ κοινὰ πράγματα. f.

κέχρημαι] ἀντὶ τοῦ φίλος εἰμί. καὶ ἀλλαχοῦ· καὶ τούτῳ πάνυ ἐκεχρήμην. f.

III. IN CTESIPHONTEAM.

§. 1. Τὴν μὲν παρασκευὴν] τὴν τῶν παρακεκλημένων σπουδήν. παρασκευὴν δὲ εἶπεν ὡς καθ' ἑαυτοῦ γινομένην, δέησιν δὲ ὡς πρὸς τοὺς δικαστάς. φησὶ γάρ· ἐμοὶ μὲν ἀπειλοῦσιν, ὑμῶν δὲ δέονται. f.

τὴν παράταξιν] ἀντὶ τοῦ σύνταξιν καὶ παρακλήτων καὶ συναγωνιστῶν σπουδήν. δοκεῖ δὲ τραγικωτέρᾳ κεχρῆσθαι εὐθὺς ἐν ἀρχῇ τῇ μεταφορᾷ, πολιτικώτερον δὲ ὑπὸ Δημοσθένους εἰρῆσθαι τὸ αὐτὸ νόημα ἐν τῷ τῆς παραπρεσβείας, εὐθὺς ἐν ἀρχῇ, ἔχον οὕτως· ὅση

---

3. Andocid. 3 §. 8 sq. 4. τετάρτῳ (h. e. δ') Sauppius: liber τεσσαρεσκαιδεκάτῳ. 5. ἐνάτης Sauppius: liber πέμπτης. 6. immo ἑπτακισχίλια. Spr. 12. ἀναγαγεῖν Sauppius: liber συναγαγεῖν. 12. ὅπερ Sauppius: liber ἅπερ. εἶχον εἶπε φόρον. ἀποικίας] ὅπερ Sauppius: liber εἶχεν εἰς φόρον ἀποικίας, ὅπερ. 29. εἶχεν Sauppius: liber εἶδεν. 30. codd. multi ἀναφθέντος habent pro eo quod est ἀναφύντος. 43. Demosth. 18 §. 107.

8. Aeschin. 1 §. 113. 11. Menandri frg. 499. Mein. 12. κἀγρία Sauppius: liber καὶ μία. 19. Schol. videtur ψυχὴν legisse, quod est in dekl. 30. Demosth. 19 §. 225. 31. Scholiorum in Ctesiphonteam parvam dumtaxat partem ediderat Reiskius (B); cetera (f) uni debentur Im. Bekkero (in Edit. Aeschinis et Demosthenis oratt. de corona. Halis Sax. 1815.)

μέν, ὦ ἄνδρες Ἀθηναῖοι, σπουδὴ καὶ παραγγελία γέγονε κ. τ. ἑ. f.

τὰ μέτρια καὶ τὰ συνήθη] μέτρια τὰ προσήκοντα, τὰ καθήκοντα· συνήθη δὲ τὸ ἐξ ἴσου ἀκροᾶσθαι καὶ μηδὲν παρὰ τὸ δίκαιόν τινι χαρίζεσθαι. Ἄλλως. ἀντὶ τοῦ τὰ δίκαια. συνήθη δὲ τὰ εἰθισμένα τῇ δημοκρατίᾳ, ὅ ἐστι τὰ ἴσα. f.

§. 2. τὴν βουλὴν τοὺς πεντακοσίους] πρὸς διαστολὴν τῆς Ἀρειοπαγιτικῆς βουλῆς, ἥτις ἦν ἀδιάδοχος. Bf.

τῷ πρεσβυτάτῳ] τῷ ὑπὲρ πεντήκοντα ἔτη. Bf.

§. 3. οὐκ ἐκ τοῦ δικαιοτάτου] ἑκάστη φυλὴ κατὰ μῆνα ἐπρυτάνευε, καὶ ταύτης τινὲς ἦσαν πρόεδροι, καὶ τούτων πρῶτος ὁ ἐπιστάτης, ὃς πρῶτος ἐπεψήφιζεν. ἦσαν δὲ οὗτοι κληρωτοί. φησὶν οὖν ὅτι οὐ κληρωτοὶ ἦσαν οἱ ἐπιψηφίσαντες οὐδὲ νομίμως εἰληχότες προεδρεύειν, ἀλλὰ κατασκευαστοὶ καὶ ἐγκάθετοι σπουδασταί. εἰκὸς δὲ πανουργεῖσθαι περὶ τὰς διακληρώσεις τινάς, καὶ ὑπωνεῖσθαι τοὺς κλήρους, καὶ ἄλλως πως πραγματεύεσθαι πρὸς τὸ δοκεῖν εἰληχέναι. ἐγίνοντο γάρ τινες, ὡς εἴπομεν, κληρωτοὶ ἐξ ὅλου τοῦ δήμου πρόεδροι. οὗτοι δὲ μετὰ τῆς προεδρευούσης φυλῆς ἐκάθηντο, καὶ ἐπεψήφιζον τὰ δοκοῦντα τῇ ὅλῃ βουλῇ. f.

ὄντως] οἱονεὶ ἀληθῶς καὶ οὐ κεκακουργημένως. λάχῃ δὲ κληρούμενος ἀντὶ τοῦ ἀπὸ κλήρου σχῇ τὴν ἐξουσίαν τοῦ προεδρεύειν. f.

§. 4. τὸ κάλλιστον] τοῦτο δὲ ὡς δημοτικὸν ἐπαινεῖ. ἔστι δὲ προσαγωγὸν τῶν δικαστῶν, εἰ μὴ τοὺς πλουσίους καλεῖ, ἀλλὰ τὸν βουλόμενον. f.

765 οἱ πρόεδροι] πρόεδροι ἐλέγοντο οἱ δέκα ἄνδρες οἱ καθ' ἑκάστην πρυτανείαν τὰ τῆς ἐκκλησίας διοικοῦντες. οὕτω δὲ ἐκαλοῦντο, ὅτι τῶν ἄλλων ἁπάντων προήδρευον. ἦσαν δὲ πρυτανεῖαι δέκα, ὅσαι καὶ Ἀθηναίων φυλαί, εἶχε δὲ ἑκάστη φυλὴ πρυτάνεις πεντήκοντα, οἳ τὰ ὅλα διῴκουν ἡμέρας τριάκοντα πέντε. οὗτοι δὲ διῃροῦντο εἰς δεκαδαρχίας πέντε τῶν προέδρων λεγομένων, οἳ ἡμέρας ἑπτὰ διῴκουν τὰ πολιτικά, καὶ προήδρευον κατὰ μέρος. καὶ οὕτω τρεῖς ἦσαν τῆς διοικήσεως ἄμοιροι. ὁ δὲ μίαν ἡμέραν τὰ ὅλα διοικῶν ἄρχων ἐφήμερος καὶ ἐπιστάτης ἐκαλεῖτο. Bf. Ἄλλως. ἔγνωμεν καὶ τοῦτο ἐν τοῖς Δημοσθενικοῖς, ὅτι ἑκάστη τῶν δέκα φυλῶν τριάκοντα ἓξ ἡμέρας διῴκει τὴν πόλιν, καὶ αὐτὴ εἶχε τὴν προεδρίαν τῶν ἄλλων. πάλιν δὲ αὐτῆς τῆς προεδρευούσης φυλῆς ἦσάν τινες τιμιώτεροι, οἱ πρόεδροι, οἵτινες δι' ἑαυτῶν διῴκουν αὐταῖς ταῖς ἡμέραις πάντα τὰ καθήκοντα τῇ ἑαυτῶν φυλῇ. f.

τὸ δέκατον μέρος] δέκα γὰρ ἦσαν φυλαὶ καθεσταμέναι Ἀθήνησιν ἀπὸ τῆς Κλεισθένους πολιτείας, εἰς ἃς ἅπαντες ἦσαν Ἀθηναίων διανενεμημένοι. ἔοικε δὲ ἡ βουλὴ πόλις εἶναι μικρά· ἔστι γὰρ ἐκ τῶν δέκα φυλῶν καὶ ὅλη ἡ πόλις. τὸ γὰρ δέκατον μέρος ταύτης δέκατον μέρος ἐστὶ τῆς πόλεως. f.

§. 5. τοιούτων, ὁποίους] τὸ ἐπαχθὲς ἔφυγεν, ἵνα μὴ λυπήσῃ. f.

§. 6. τυραννίς] τυράννους ἔλεγον καὶ τοὺς βασιλεῖς. f.

ὀλιγαρχία] ταύτην τινὲς ἀριστοκρατίαν λέγουσιν. f.

§. 9. εὐθύναις] εὔθυναι αἱ τῶν δικαιωμάτων ἐξετάσεις. f.

τῶν ἀρχόντων] τῶν λογιστῶν. λογισταὶ δὲ ὄνομα ἀρχῆς. δέκα δὲ τὸν ἀριθμὸν ἄνδρες ἦσαν, παρ' οἷς οἱ πρεσβεύσαντες ἤ τι δημόσιον διοικήσαντες ἤ τινα ἀρχὴν ἄρξαντες ἐδίδοσαν τὰς εὐθύνας. εὔθυναι δὲ αἱ τῶν διῳκημένων ἐν ταῖς ἀρχαῖς δοκιμασίαι καὶ ἐξετάσεις καὶ ἀπολογισμοί. Bf.

§. 10. τὰς εὐθύνας ὠφληκώς] ὥσπερ λέγομεν εὐθύνας δέδωκεν, ἐὰν ἄμεμπτος εὑρεθῇ, οὕτω καὶ ὠφληκώς, ἐὰν ἀδικήσας ὀφθῇ. f.

§. 11. τοὺς ὑπευθύνους] τοὺς μήπω λόγον τῶν διῳκημένων ἀποδεδωκότας. f.

προβάλλονται] προκάλυμμα ποιοῦνται τῆς αἰσχύνης. f.

λόγον] ἀντὶ τοῦ ἀπολογίαν. καὶ γὰρ ἐν τοῖς Φιλιππικοῖς ὁ Δημοσθένης· οὐδὲ γὰρ λόγος οὐδὲ σκῆψις. f.

§. 12. Κτησιφῶν δέ] εἰπὼν οἱ μὲν μέτριοί εἰσιν, ἔδει ἐπενεγκεῖν οἱ δὲ ἀναιδεῖς, ὧν ἐστι Κτησιφῶν. ὁ δὲ οὐχ οὕτως ἐποίησεν, ἀλλ' οἱ μὲν φύσει μέτριοι, ὁ δὲ Κτησιφῶν ὑπερπηδήσας τὸν νόμον κ. ἑ. f.

ὑπερπηδήσας] ὑπερβάς. Bf.

μεταξὺ Δημοσθένην ἄρχοντα] ἀντὶ τοῦ ἐν αὐτῷ τῷ καιρῷ τῆς ἀρχῆς. ἢ μεταξὺ τοῦ χρόνου τοῦ εἶναι αὐτὸν ὑπεύθυνον. Ἄλλως. οἷον κατὰ μέσον ἄρχοντα, μεσοῦντα τῆς ἀρχῆς. f.

§. 13. ἕτερον] οὐδένα προεῖπε τῶν ἀντιδικούντων λόγον. πῶς φησι δὲ καὶ ἕτερον; f.

ἀρχάς] τρεῖς ἦσαν Ἀθήνησιν ἀρχαί, αἵ τε κληρωταί, καὶ ἃς ὁ δῆμος ἐν ἀρχαιρεσίαις χειροτονεῖ, αἵ τε κατὰ καιροὺς φυλακαί, τειχῶν ἐπισκευῆς καὶ ὅσα τοιαῦτα. αἱροῦνται δὲ ταύτας καὶ φυλαὶ καὶ δῆμοι. τὸν γὰρ Δημοσθένην καὶ τειχοποιὸν εἵλετο ἡ Πανδιονὶς φυλή. τούτων δὴ τῶν τριῶν τὰς τελευταίας ἴσως φησὶ καλοῦσιν ἐπιστασίας καὶ πραγματείας, ὧν μίαν

26. σχῇ Baiterus: liber σχοίη.
10 ὀλιγαρχία addidit Baiterus. 28. or. 1 §. 6.

ὁ Δημοσθένης ἔπραττε. δείκνυσιν οὖν κατὰ τοὺς νόμους ἀρχὰς λεγομένας καὶ συμπάσας τὰς ὑπὲρ μῆνα ἐπιστασίας. *f.*

ἀποκληροῦσιν] ἀντὶ τοῦ διὰ κλήρου αὐτοῖς παρέχουσι τὴν ἀρχὴν ἐν τῷ Θησείῳ, ἴσως τῶν θεσμοθετῶν ἐκεῖ ἀεὶ χειροτονούντων εὐτελεῖς τινας διοικήσεις, ὡς πρὸς τιμὴν τοῦ Θησέως τοῦ οἰκιστοῦ, οὗ τινος τὰ ὀστᾶ ἐκεῖ ἔκειτο. νόμος δ' ἦν τοὺς ἀποφυγόντας τῶν οἰκετῶν εἰς τὸ τοῦ Θησέως τέμενος ἀτιμωρήτους εἶναι. οἱ δὲ θεσμοθέται τῶν ἐννέα ἀρχόντων εἰσί, τὸν ἀριθμὸν ὄντες ἕξ. διαλλάσσουσι δ' αὐτῶν οἱ καλούμενοι νομοφύλακες. — Δύο Θησεῖα ἐν τῇ πόλει..... αὐτοῦ ἐπιτάφιον ποιήσαντες καὶ ἔξω τῆς πόλεως, ὃ ἔκτισεν αὐτῷ ἱερόν, ὅτε κατήνεγκεν αὐτοῦ ἐκ Σκύρου τὰ ὀστᾶ. ἔφυγε δὲ διὰ τὸν Ἱππολύτου θάνατον, ὑπὸ Λύκου κατηγορηθείς. *f.*

§. 14. ἐν ᾧ] ὑπερβὰς τὰς χειροτονητάς φησιν ἀρχὰς καὶ τοὺς ἐπιστάτας καὶ τούσδε καὶ τούσδε καὶ τούσδε οὐ διακονεῖν ἀλλ' ἄρχειν δοκιμασθέντας. *f.*

ἡγεμονίας δικαστηρίων] οἷον ἐξουσίαν τοῦ καταδικάζειν τοὺς ὑπεναντίους. — ἄρχοντες ἕκαστοι εἰσῆγόν τινας δίκας εἰς τὸ δικαστήριον. ἐκαλεῖτο δὲ τοῦτο ἡγεμονία δικαστηρίου. — ὑπάρχει τις βασιλεύς, θεσμοθέτης, τειχοποιός, λογιστής. οὗτοι τοὺς ὑφ' αὐτοὺς ἐκκληροῦντες δικαστήριον εἰσάγουσιν εἰς τοῦτο, οἷον λογιστὴς τοὺς ἄρχοντας κληρώσας δικαστήριον, οὗ προέστη τε καὶ εἰσάγει· καὶ πάλιν ὁ θεσμοθέτης. διὸ καὶ παρ' Ἀριστοφάνει δικαστής φησιν·

ὁ θεσμοθέτης. ποῦ 'σθ' οὗτος; ἀμίδα μοι δότω. *f.*

§. 15. οὐ διακονεῖν] οὐχ ὅτι ἐν τῷ νόμῳ γέγραπται μὴ διακονεῖν, ἀλλὰ τοῦ νόμου λέγοντος τούσδε καὶ τούσδε ἄρχειν δοκιμασθέντας ὑπολαβών φησιν οὐ διακονεῖν, ἀλλ' ἄρχειν δοκιμασθέντας. *f.*

ἐπειδή] ὃ λέγει, τοιοῦτόν ἐστιν. ἐπειδὴ οἱ ἀπὸ κλήρου γινόμενοι δοκιμάζονται, οὐκοῦν πλεῖον δεῖ δοκιμάζειν καὶ τοὺς ἄρχοντας. *f.*

τὸν γραμματέα] γραμματέα λέγει τὸν εἰωθότα ἐν τῷ κοινῷ τὰ τοῦ δήμου γράμματα ἀναγινώσκειν. *Bf.*

τοὺς λογιστάς] λογιστὴς ἑκάστης φυλῆς εἷς. γραμματέα δὲ ἕκαστοι εἶχον. λέγει οὖν νῦν τὸν τῶν λογιστῶν. *f.*

§. 17. Πρὸς δέ] Δημοσθενικῶς προδιαβάλλει τὴν ἀντίθεσιν, μετὰ ἤθους δέ. ἔστι δὲ κατὰ ῥητὸν καὶ διάνοιαν. φησὶ γὰρ ὁ Αἰσχίνης ὅτι ὑπεύθυνος εἶ· τειχοποιὸς γὰρ εἶ. ὁ δὲ Δημοσθένης τειχοποιὸς εἶναι συντρέχει, τὸ δὲ τὰ γὰρ ἴδια ἀνάλωσα διάνοια τοῦ ῥητοῦ ἐστι, καὶ ἀμφισβητεῖται, ποῖα ἀνάλωσε, τὰ ἴδια ἢ τὰ κοινά. *f.*

τηλικαύτῃ] ἐν γὰρ τῇ μεγάλῃ ἐνδέχεται καὶ λαθεῖν. *f.*

ὁπωσοῦν] δι' ἥν τινα πρόφασιν, ὁποία ποτ' ἂν ᾖ. *f.*

§. 18. παραδόξων] τῶν παρὰ τὴν δόξαν, περὶ ὧν τις οὐκ ἂν προσδοκήσειεν οὐδ' ὑπολάβοι. *f.*

γένη] γένη οὐ τὰς συγγενείας καλεῖ, ἀλλὰ ταῦτα ὧν οἱ μετέχοντες γεννῆται καὶ ὁμογάλακτες καλοῦνται. εἰσὶ δὲ ὥσπερ πατριαί τινες, ἱερῶν κοινωνίας ἔχουσαι. *f.*

Εὐμολπίδας] Εὐμόλπου ἀπογόνους. ἐγένετο δὲ Εὔμολπος Μουσαίου υἱὸς ἢ μαθητής, τοῦ τὰ μυστήρια εὑρηκότος. *Bf.* Οἱ Εὐμολπίδαι γένος εἰσὶν ἀπὸ Εὐμόλπου. οὗτοί εἰσιν οἱ μυοῦντες· ἐκ τούτων γίνεται δᾳδοῦχος, ἱεροφάντης. οἱ δὲ Κήρυκες καὶ αὐτοί εἰσι τῶν περὶ τὰ μυστήρια. καὶ τοῦτο δὲ τὸ γένος ἀπό τινος ὀνομαστικῶς λεχθέντος Κήρυκος. — Γένη καὶ πατριαί τινες διάσημοι.... Ἀθήνησιν· ἱεροφάνται μὲν τῆς Δήμητρος ἀπὸ Εὐμολπιδῶν, δᾳδοῦχοι δ' ἀπὸ Κηρύκων. *f.*

§. 24. ἐκκλησίᾳ] τρεῖς γὰρ ἐκκλησίαι κατὰ μῆνα ἐγίνοντο. *f.*

§. 25. Πρότερον μέν] τοῦτο ὡς ἀντιπῖπτον βούλεται λῦσαι. ἵνα γὰρ μὴ εἴπῃ ὁ Δημοσθένης, ὅτι οὕτως εὔνους ἤμην τῇ πόλει, πολλάς μοι ἀρχὰς ἐπίστευσε, λύει λέγων ὅτι οὐ διὰ τὴν εὔνοιαν τὴν σήν, ἀλλ' ἐπειδὴ ἦθος τοῦτο ἐγένετο ἀπὸ Εὐβούλου. οὗτος γὰρ πολιτευόμενος ἦρχε τῶν θεωρικῶν, καὶ διὰ τὴν εὔνοιαν αὐτοῦ καὶ ἄλλας διοικήσεις ἐπίστευσεν αὐτῷ καὶ τὴν τοῦ ἀντιγραφέως ἀρχήν. ἐκ τούτου λοιπὸν καὶ εἰς τοὺς ἀναξίους ἔδραμε τὸ ἔθος. *f.*

πρυτανείαν] ἢ ἡν ἡμερῶν τριάκοντα πέντε, ὡς ἄνω εἴπομεν. *Bf.*

ἀποδεκτῶν] ἀποδέκται ἦσαν οἱ δεχόμενοι τὰ χρήματα τῶν καταβολῶν, εἴ τις ἐχρεώστει τῷ δημοσίῳ ἐκ καταδίκης. ὁδοποιοὶ δὲ οἱ ἐπιμελούμενοι τῆς καθαρότητος τῶν ὁδῶν τῆς πόλεως. *f.*

§. 27. ἐπιβολάς] οἷον ζημίας καὶ καταδίκας τοὺς ὑπ' αὐτόν, ὅπερ ἐστὶν ἔργον τῆς ἀρχῆς. *f.*

ἱσταμένου] καλῶς τὸ ἱσταμένου μηνός, ἐπειδή ἐστι καὶ δευτέρα φθίνοντος. *f.*

§. 28. ἀντιδιαπλέκει] οἷον ἄλλο ἀντ' ἄλλου εἰσάγει. μὴ δυνάμενος γὰρ δεῖξαι, ὅτι οὐκ ἦν ὑπεύθυνος, λέγει ὅτι ἀλλ' οὐχ ὑπὸ τῆς πόλεως ἐχειροτονήθην, ἀλλ' ὑπὸ τῆς φυλῆς μου. *f.*

§. 30. τριττύες] ὅ ἐστι τρίτον μέρος τῆς φυλῆς. πολλάκις γὰρ καὶ ἡ πᾶσα φυλὴ ἑαυτῆς ἕνα προεβάλλετο· πολλάκις δὲ καὶ ἓν ἕκαστον μέρος τῶν τριῶν μερῶν τῆς φυλῆς ἕνα ὑπὲρ ἑκάστου μέρους. καὶ οἱ

---

11. *αὐτῶν* **Sauppius**: liber *αὐτοῖς*. 14. *ἱερόν* immo *Κίμων*. **Spp.** 26. *ἐκκληροῦντες* **Baiterus**: liber *ἐκκληροῦντας*. 29. **Vesp. 935.** 33. *ὑπολαβών* **Baiterus**: liber *ἀλλ' ὑπολαβών*.

16. **Post** *μυστήρια* **addiderim**: *ἐκ τούτων γίνεται δᾳδοῦχος*, **deleto v.** *δᾳδοῦχος* **quod v. 15. legitur. Spp.**

δῆμοι οἱ μερικοί, οἷον ὥσπερ αἱ κῶμαι. τοῦτο δὲ εἶπεν, ὡς ὅτι οἱ δῆμοι ἐξ αὐτῶν αἱροῦνταί τινα, ἵνα ὑπὲρ τοῦ δήμου αὐτοῦ τοῦ μερικοῦ φροντίζῃ. f.

§. 31. ὁ δὲ ῥήτωρ] κατ' εἰρωνείαν εἴρηται, μᾶλλον δὲ κατ' ἀλήθειαν. βούλεται γὰρ αὐτὸν εἶναι ῥήτορα διὰ τὸ χρήσιμον αὐτοῦ, ἐπειδὴ λέγει, διὰ τί μὴ αὐτὸς ἀπολογεῖται ὑπὲρ ἑαυτοῦ, ἀλλὰ τὸν Δημοσθένην εἰς συνηγορίαν ἐκάλει; f.

τοὺς ἀντιδίκους] διὰ τὸ μὴ ἔχειν αὐτοὺς ἀντιλέγειν πρὸς τὰ προειρημένα. f.

§. 32. διαρρήδην] φανερῶς, διωρισμένως. Bf.

§. 33. οὗτος] ἐπὶ τὸ δεύτερον νόμιμον μεταβαίνει. f.

ἐργολαβεῖν] ἵνα διὰ τοῦ ἐν τῷ θεάτρῳ στεφανοῦσθαι ἔχῃ ἑαυτῷ τοὺς παρέχοντας τὰ χρήματα, ὡς δυνατῶν καὶ τιμώμενος ἐν τῇ πόλει. f.

§. 34. Πυκνὶ] Πνὺξ τόπου ὄνομα, ἐν ᾧ ὁ δῆμος ἐκκλησιάζων συνήγετο. Bf.

§. 35. νόμον] θέλει εἰπεῖν τὸν περὶ τῶν ξένων, ὅτι κελεύει ὁ νόμος τὸν ξενικὸν στέφανον ἐν τῷ θεάτρῳ ἀναγορεύεσθαι. τοῦτον γὰρ καλεῖ Διονυσιακόν. ὁ δὲ Δημοσθένης διακόψας τὸ ἥμισυ τοῦ νόμου τοῦ πολιτικοῦ παρενέβαλε τῷ τῶν ξένων, ὡς ἔγνωμεν ἐκεῖσε ἐν τῷ ὑπὲρ τοῦ στεφάνου. διὸ ἐπάγει μέρει τινὶ λέγων. f.

§. 39. ἐπιγράψαντας] οἱονεὶ ὑποβαλόντας. f.

§. 40. ἀποδόντων] δηλονότι τὸ κρίνειν. f.

§. 41. οἱ νόμοι] πάλιν πληθυντικῶς εἶπεν ἀντὶ ἑνικοῦ. f.

ὑποκηρυξάμενοι] Ἀττικῶς ἀντὶ τοῦ κηρύξαντες. χαίρουσι γὰρ ὡς ἐπὶ τὸ πλεῖστον τοῖς παθητικοῖς. f.

§. 42. ὃ δ' ἦν ἐπιφθονώτατον] λείπει· τοῦτο προσθήσω. f.

εὑρημένοι] ἀντὶ τοῦ ποιούμενοι. τοῦτό φησι· τινὲς ἐνταῦθα ἑαυτοῖς κατεσκεύαζον, προσποιούμενοι εἶναι πόλεών τινων, ἵνα αὗται αἱ πόλεις πέμπωσιν αὐτοῖς στεφάνους. f.

ἕνεκ' ἀρετῆς] εἰρωνείας καὶ ἤθους μεστὸς ὁ λόγος. f.

καταθέμενοι] ἀντὶ τοῦ ὁμολογήσαντες. f.

§. 45. ἐρανίζων] ἀντὶ τοῦ συλλέγων. f.

ὅταν δὲ] ἐνταῦθα ἡ ἀπόδοσις ἐν σχήματι ἐπαναλήψεως, ἐπειδὴ διὰ πολλῶν ἦν ἠρτημένη ἄνωθεν ἀπὸ τοῦ ὅταν οὖν ἀποδείξῃ. f.

§. 48. ὑποβάλλειν] ἀποκρίνασθαι, ἀπαντᾶν λόγοις. f.

§. 50. ἁπλοῦς] τριχῶς λέγεται τὸ ἁπλοῦν, ἢ ἐπὶ τοῦ ἀπανουργήτου, ἢ ἐπὶ τοῦ ἐρήμου, ἢ ἐπὶ τοῦ συντόμου. ἐνταῦθα οὖν ἁπλοῦν λέγει το σύντομον, ὥσπερ Εὐριπίδης·

ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ.

ἐντεῦθεν δὲ μετέρχεται ἐπὶ τὸν τρίτον νόμον, τὸν περὶ τῶν ψευδῶν γραμμάτων, οἷον ὅτι οὐ δεῖ ψευδῆ γράμματα ἐγκεῖσθαι ἐν τῷ Μητρῴῳ· τοιοῦτοι δὲ οἱ περὶ Δημοσθένους ἔπαινοι. f.

τοὐναντίον] οὐκ ἔστι τοῦτο πρὸς τὸ πρὸ αὐτοῦ, ἀλλὰ πρὸς τὸ ἔτι ἀνώτερον. οὐ γὰρ λέγει ὅτι δεικτέον αὐτῷ, εἰ ἔξεστι ψευδῆ γράμματα ἐνθέσθαι, ἀλλ' εἰ ἀληθεῖς οἱ περὶ αὐτοῦ, τοῦ Δημοσθένους, ἔπαινοι. f.

§. 51. τί γὰρ etc.] τῷ κατὰ παράλειψιν σχήματι κέχρηται. f.

Κηφισοδότου] οὗτος πολιορκήσας Ἀλωπεκόννησον, εἰσαγγελθεὶς διὰ τὴν συνθήκην τὴν πρὸς Χαρίδημον γενομένην καὶ καταψηφισθείς, πέντε ταλάντοις ἐζημιώθη. εἰσαγγελία δέ ἐστι κατηγορία διὰ τὰ ἀδίκως ἢ κακῶς πεπραγμένα. Bf.

§. 52. περιάγων] δοκεῖ γὰρ τοῦτο ὥσπερ τιμή τις εἶναι τοῦ τριηράρχου ἐκείνου, οὗ ἂν ὁ στρατηγὸς ἐπιβῇ τῆς νεώς, καθὸ δοκεῖ τῶν ἄλλων τριηράρχων προκρίνειν τὴν ἐκείνου τριήρη ὡς καλῶς κατεσκευασμένην. οὐκ ἐμνήσθη δὲ τούτου ὁ Δημοσθένης ἐν τοῖς κατ' Ἀριστοκράτους, ἐπειδὴ μάλιστα μὲν οὐ δι' ἑαυτοῦ λέγει ἐκεῖνον τὸν λόγον, ἀλλ' Εὐθυκλῆς ἐστιν ὁ ἐκεῖσε λέγων, λαβὼν τὸν λόγον παρὰ Δημοσθένους· εἶτα οὐκ ἀναγκαῖον ἦν. f.

τὴν — καταχειροτονίαν] ἵνα λέγῃ περὶ τῆς προβολῆς ἐκείνης. f.

§. 53. προδιδοὺς ὑμᾶς] λείπει· τούτῳ τῷ Δημοσθένει. f.

ἀρχαῖα δὲ καὶ λίαν ὁμολογούμενα] πῶς τὰ αὐτὰ ἀρχαῖα καὶ ὁμολογούμενα; ὀφείλει γὰρ λήθην παθεῖν ὑπὸ τῆς παλαιότητος τοῦ χρόνου. ὅτι οὕτω φησὶ μεγάλα ἐστίν, ὅτι οὐδὲ ὁ χρόνος τὴν μνήμην αὐτῶν ἠδυνήθη ἀφελέσθαι. f.

ὦ Κτησιφῶν] τὸ σχῆμα ἀποστροφή. f.

ὅτῳ] ἀντὶ τοῦ ᾧ τινι, τῷ Δημοσθένει. f.

§. 45. Περὶ δὲ] μετέρχεται ἐπὶ τὸ δίκαιον κεφάλαιον ἐντεῦθεν, πληρώσας τὸ νομικόν. μερίζει δὲ τὸ δίκαιον εἰς τέσσαρας καιρούς, ὡς πολλάκις ἔγνωμεν. f.

τοῦτον δ' ἀφορίζεται] οἱονεὶ εἰς ἕνα χρόνον συνάπτει. f.

τῇ γενομένῃ εἰρήνῃ] ἀντὶ τοῦ μέχρι τῆς γενομένης εἰρήνης, συλλαμβάνων καὶ αὐτὴν τὴν εἰρήνην. f.

§. 55. ἐγκαλύπτωμαι] τὸ πρόσωπον καλύπτω 766 ὑπ' αἰσχύνης. Bf. Ἄλλως. ἀντὶ τοῦ σκέπω ἐμαυτόν, ὡς ἀπορῶν δῆθεν. ἐκκαλύψειν δὲ ἀντὶ τοῦ γυμνώσειν με σκεπόμενον. f.

---

36. προσποιούμενοι] immo προξένοις. Spp. 45. οὖν nos: liber δὲ. cf. §. 45 v. 1.
9. Eurip. Phoen. 469. 6. γραμμάτων — — γράμματα Baiterus: liber γραμματίων — — γραμμάτια. 12. παράλειψιν Sauppius: liber παράληψιν. 46. ἐκκαλύψειν — — γυμνώσειν Baiterus: liber ἐκκαλύψει — — γυμνώσει.

§. 58. ἐπὶ Φίλιππον] ἀντὶ τοῦ κατὰ Φιλίππου. f.

συστάντες] ἀντὶ τοῦ φατριάσαντες ἐπὶ τὰ δημόσια ὑμῶν πράγματα. f.

§. 59. ἐπὶ τοὺς λογισμούς] ἐπὶ τὸ ἀπαιτῆσαι λόγον τῶν ἀναλωθέντων χρημάτων. f.

συγκεφαλαιωθῇ] ἀντὶ τοῦ πλήρης ἀποδειχθῇ. f.

αἱρῇ] ἐλέγχῃ. Bf. Ἀντὶ τοῦ καταλάβῃ. f.

§. 62. ἐπιλαχών] ἐλάγχανον οἱ ἄρχοντες καὶ σὺν αὐτοῖς ἄλλοι ὥσπερ δεύτεροι αὐτῶν, ἵνα εἰς αὐτῶν εἰ ἀπέθανεν ἐν τῷ μεταξὺ τῆς ἀρχῆς ἢ ἠρρώστησεν, ὁ ἀντ' αὐτοῦ ἐγίνετο ἄρχων. Ἐκ παρασκευῆς δὲ πριάμενος, οἷον ὑποφθείρας χρήμασι τοὺς προέδρους τῆς βουλῆς, ὥστε αὐτὸν βουλευτὴν ποιῆσαι. Ἵνα εἰς ὑποδοχὴν ἅπαντα καὶ λέγοι καὶ πράττοι, οἷον τὰ ἀρέσκοντα αὐτῷ. f.

§. 64. ἐκ μεταβολῆς] ἐν γὰρ τῇ πρώτῃ φησὶ πρεσβείᾳ ἐπῄνει αὐτούς, ὕστερον δὲ ἐν τῇ δευτέρᾳ διέβαλλεν ὡς προδότας. f.

§. 66. ἀνεμέσητον] ἄμεμπτον. Bf.

κατακοινωνήσαντες] οἱονεὶ κοινωνήσαντες ἀλλήλοις κατὰ τῶν πραγμάτων τῆς πόλεως. f.

τοὺς καιρούς] οἱονεὶ τὰς εὐκαιρίας καὶ τὸ δύνασθαι διὰ τοῦ ἀναμεῖναι τοὺς Ἕλληνας ἐλθεῖν καὶ κοινωνῆσαι τῆς εἰρήνης. f.

§ 68. νικᾷ] ἀντὶ τοῦ γράφει μηδενὸς αὐτῷ ἐναντιουμένου. f.

§. 70. τῆς τριμήνου] προθεσμίας ὑπακουστέον. Bf.

§. 72. τὸ ῥῆμα] ῥῆμα ἐνταῦθα καλεῖ οἷον τὴν ῥῆσιν αὐτὴν καὶ τὸ κῶλον, ὄνομα δὲ τὴν λέξιν, οἷον τὸ ἀπορρῆξαι. f.

ἐρήσεται] ἐρωτήσει, ἐρωτᾶν μέλλει. Bf.

§. 74. παρεγγράψας] οἱονεὶ ὑποβαλών. f.

§. 75. αὐτομολοῦσιν] οἱονεὶ τὰ τῶν πολεμίων φρονοῦσι καὶ μεταβάλλουσιν ἑαυτούς. f.

ἐπέδωκε] αὐτά φησι τὰ δημόσια γράμματα ἐπέδωκε τῷ δήμῳ. f.

§. 76. ἐνιαυτόν] ἐπειδὴ οἱ βουλευταὶ οἱ πεντακόσιοι ἐνιαύσιοι ἦσαν. f.

φοινικίδας] οἱονεὶ πυρρὰ πάλλια. f.

§. 77. ἑβδόμην δ' ἡμέραν] οὕτως οἱ Ἀττικοὶ λέγουσι, δέον εἰπεῖν πρὸ ἑπτὰ ἡμερῶν. f.

ἐβουθύτει] ὡς χάριν ὁμολογῶν τοῖς θεοῖς ὑπὲρ τῆς πόλεως, ὅτι ἐτελεύτησεν ὁ Φίλιππος. f.

§. 81. ὑπὲρ τῆς δωροδοκίας ζηλοτυπίας] οἱονεὶ ὑπὲρ τοῦ λαβεῖν αὐτοὺς χρήματα παρὰ Φιλίππου, καὶ φιλονεικεῖν ἑκατέρους περὶ τοῦ πλείονος πρὸς ἀλλήλους. f.

§. 85. τοῦ Καλλίου] οὗτός ἐστιν ὁ Καλλίας ὁ ποιήσας τὴν Εὔβοιαν γενέσθαι πάλιν ὑπὸ Ἀθηναίους, μετὰ τὸ ἐξελασθῆναι ἐξ αὐτῆς τοὺς περὶ τὸν Φιλιστίδην καὶ τὸν Κλείταρχον, ἐν τῷ χρόνῳ τοῦ δεκάτου λόγου τῶν Φιλιππικῶν. διὸ καὶ κακῶς αὐτοῦ μέμνηται ὁ Αἰσχίνης. f.

Ἀθηναίους εἶναι] καὶ γὰρ τῇ ἀληθείᾳ πολίτας αὐτοὺς ἐποιήσαντο οἱ Ἀθηναῖοι διὰ τὸ τὴν Εὔβοιαν ποιήσασθαι ὑφ' αὐτούς. f.

ἀπέδοτε] τοῖς Εὐβοεῦσιν. Bf.

§. 86. Ταμύνας] χωρίον Εὐβοίας. f.

παρήλθομεν] ἀντὶ τοῦ παρηρχόμεθα. f.

§. 87. τοὺς Φωκικοὺς ξένους διαβιβάσας] οἱονεὶ συνάγων τινὰς Φωκέων τῶν ἔτι σωζομένων, κατατυραννῆσαι τοὺς Εὐβοίας· τοῦτο δὲ ἔξωθεν ἔλαβε πρὸς διαβολήν. διαβιβάσας δὲ οὐ λέγει τοὺς Φωκέας, ἀλλὰ τὸ στρατόπεδον ὃ συνήγειρεν. f.

§. 88. ἐκ παρατάξεως] ἀντὶ τοῦ φανερῶς καὶ οὐ λάθρα. f.

§. 89. συνάγων] ἵνα δῆθεν εἰς ἓν συνέρχηται ἡ πᾶσα Εὔβοια καὶ ἐπακούῃ τοῖς Ἀθηναίοις. f.

ἐφ' ὑμᾶς] ἀντὶ τοῦ καθ' ὑμῶν. f.

§. 90. τοῦ Εὐρίπου] θέλει δὲ . . . . . διὰ τούτου δηλῶσαι ὅτι ἐμιμήσατο διὰ τοῦ τρόπου τὸ εὐμετάβλητον τοῦ Εὐρίπου, ὡς πλησίον αὐτοῦ οἰκῶν. ἔστι δὲ τὸ κῶλον χαριεντισμός· ἐπαινοῦσι δὲ τοῦτο τὸ κῶλον οἱ κριτικοί, λέγοντες σωφρόνως αὐτὸ πεφράσθαι καὶ οὐ κούφως. f.

§. 91. τὸν δολιχοδρομήσαντα] εἶδός ἐστι δρόμου ὁ δόλιχος, ὡς ἐκ τῶν Πινδαρικῶν ἔστιν ἰδεῖν, ἴσως ἓν στάδιον ἐκτεταμένον δραμεῖν. f.

οὐδὲν γάρ] ἡ σύνταξις τοῦ κώλου ἐν ὑπερβατῷ οὕτως· οὐδὲν γὰρ ἦν ἐν μέσῳ, ἀλλ ὑπῆρχεν αὐτῷ ἢ φεύγειν ἢ τεθνάναι, εἰ μνησθεὶς ὁ δῆμος τῶν ἀδικημάτων αὐτοῦ μὴ προσδέξοιτο τὴν συμμαχίαν. f.

§. 92. ἔγραψε δ' ἐν] ἡ πᾶσα διάνοια τοιαύτη ἐστίν· ἔγραψε ψήφισμα βοηθεῖν ἡμᾶς τοῖς Χαλκιδεῦσιν. εἶτα ἵνα μὴ δόξῃ ἄτοπον λέγειν τὸ μόνον ἡμᾶς ἐκείνοις βοηθεῖν, μὴ μέντοι καὶ αὐτοὺς ἡμῖν, προσέθηκε δῆθεν εὐφημίας χάριν, ὥστε καὶ αὐτοὺς βοηθεῖν ἡμῖν κινδυνεύουσι, καὶ ἀντικατήλλαξε ῥῆμα ἔργῳ. f.

§. 93. αἰσχίστας πράξεις] οἷον τὸ παραχωρῆσαι τοῖς Χαλκιδεῦσι τὸ συνεδρεύειν καὶ τοὺς φόρους. f.

§. 94. ἀνέστησαν] ἀντὶ τοῦ μετέστησαν. f.

§. 95. σύνταγμα] οἱονεὶ πλῆθος χρημάτων. λέγεται δὲ καὶ ἀλλαχοῦ τὸ σύνταγμα καὶ ἐπὶ τοῦ τάγματος τῶν στρατιωτῶν. ὅθεν καὶ παρὰ Μενάνδρῳ

---

21. κατὰ Sauppius: liber καί. 36. γράμματα Sauppius: liber πράγματα.
29. δόλιχος Baiterus: liber δολιχός. 49. Μενάνδρῳ] Meineke Com. fragm. 4 p. 330. 498.

ἐγνωμεν τὸ σύνταγμα τῆς ἀρχῆς. τὸ δὲ λεγόμενον περὶ βιβλίου παρά τινων οὐ λέγεται σύνταγμα τοῦδε τοῦ ἀρχαίου, ἀλλὰ μᾶλλον σύγγραμμα. f.

§. 99. ἀριθμῶν] ἀντὶ τοῦ ἀπατῶν ὑμᾶς διὰ τῶν πιθανῶν τούτων λόγων ἐν τῷ καὶ ὁρίζειν τὴν ἡμέραν καὶ ἄλλα τοιαῦτα. f.

§. 100. οἵτινες δεήσονται] τὸ ἀκόλουθον εἰπεῖν ἦν, ὥστε συμμαχῆσαι αὐτοῖς ἡμῖν. ὁ δὲ ἐπάγει παρ' ὑπόνοιαν κατ' εἰρωνείαν· ναί, ἵνα αὐτοὺς παρακαλέσωσι μὴ φέρειν ἔτι τοὺς φόρους ἡμῖν, ἀλλὰ τῷ Καλλίᾳ. f.

§. 103. δημοκρατουμένων] ἐδημοκρατεῖτο, καὶ φανερῶς ἔλαβε τὰ χρήματα ὁ Δημοσθένης. ἡ γὰρ Ἐρέτρια καὶ ἡ Χαλκίς, ὡς τυραννούμεναι, λάθρα αὐτῷ παρέσχον. f.

§. 104. ὑπέθεσαν] οὐχ ἵνα λάβῃ αὐτὰς καὶ ἀναλώσῃ, ἀλλ' ἵνα σχῇ αὐτὰς ὑποθήκην, ἕως οὗ λάβῃ τὸ τάλαντον. f.

§. 106. ἀπώλεσε] διότι ἐν αὐτῷ ἡττήθησαν ἐν Χαιρωνείᾳ. f.

οὐδαμῶς ἴσην] διότι οὐκ ἐποίησε Θηβαίους ἐξ ἴσου τῶν Ἀθηναίων ἀναλῶσαι, ἀλλὰ τοὺς μὲν Ἀθηναίους τὸ δίμοιρον, τὸ δὲ ἄλλο τρίτον τοὺς Θηβαίους, ὡς ἔγνωμεν ἐν τῷ ὑπὲρ τοῦ στεφάνου. f.

§. 108. ἀναθεῖναι] ἀνιερῶσαι. λέγει δὲ τὴν γῆν αὐτῶν· πρὸς γὰρ τοῦτο ὑπήντησεν, ἀλλ' οὐχὶ πρὸς τοὺς ἄνδρας. f.

§. 110. ἀρὰν] οἱονεὶ κατάραν, ἐκ τοῦ εἰς αὐτὸν καταρᾶσθαι τὸν ὀμνύοντα τραπῆναι τὴν ἐπιορκίαν, εἰ μὴ τόδε ποιήσει, ὅπερ ὤμοσε. καὶ περὶ τούτου δὲ ἤδη ἔγνωμεν ἐν οἷς ἔλεγε τὸν προστρόπαιον. f.

§. 113. συνῴκισαν] ἀντὶ τοῦ οἰκισθῆναι ἐποίησαν. f.

ἐξέλεγον] ἀντὶ τοῦ ἀπῄτουν. ὡς καὶ ἐν τῷ κατὰ Τιμοκράτους· τούτους ἐκλέγοντας τὰ τέλη. f.

§. 114. ὅτου ἂν προσάψηται] οὗου δ' ἂν ἅψηται πράγματος, ὡς δυσοιώνιστος ἀπόλλυσιν αὐτό. ἅψηται δὲ λέγει ἀντὶ τοῦ ἐθελήσῃ αὐτοῦ προστῆναι καὶ ὑπὲρ αὐτοῦ εἰπεῖν. f.

§. 115. Μειδίαν] τὸν δόντα Δημοσθένει τοὺς κονδύλους. f.

§. 116. πρὸς τὸν καινὸν νεὼν] οὐ λέγει ὅτι δύο ἦσαν ναοὶ ἐν Δελφοῖς, ἀλλὰ τὸν αὐτὸν λέγει. καλεῖ δὲ αὐτὸν καινόν, καθὸ τὸν παλαιὸν πρησθέντα ἀνῳκοδόμησαν οἱ Ἀμφικτύονες. πρὶν δὲ ἐξεργάσασθαί φησιν ἀντὶ τοῦ τελειωθῆναι τὸ ἔργον πᾶν τῆς οἰκοδομίας. λέγουσι δ' ὅτι ἔμεινεν ἐπὶ πολὺν χρόνον ἀτελής, ἕως οὗ ὕστερον Νέρων, ὁ βασιλεὺς Ῥωμαίων, ἐπλήρωσεν αὐτόν, ἐκεῖσε παραγενόμενος. f.

ἐξειργάσθαι] γρ. ἐξαρᾶσθαι, τουτέστι πρὶν τὰς ἀρὰς ἐπιτελέσαι, ἃς ἐν ταῖς ἱδρύσεσι τῶν νεῶν εἰώθεσαν ποιήσασθαι. Bf.

§. 117. μεθεστηκότων] οἱονεὶ ἐκστάντων τοῦ δημηγορεῖν. f.

§. 119. κεραμεῖα] εἰς τὴν $\overline{\mu\epsilon\iota}$ ὁ τόνος ἐστίν. ἔστι γὰρ κτητικόν, οἷον οἰκίαι τινές, ἔνθα κεραμεῖς εἰργάζοντο κεράμους. f.

τέλη πεπραχότας] ἀντὶ τοῦ μισθώσαντας τὰ τέλη τοῦ λιμένος. f.

§. 120. ἀφοσιῶ] οἱονεὶ καθαρὸν ποιῶ καὶ ἄμεμπτον διὰ τὸν ὅρκον τὸν περιέχοντα, ὥστε μὴ περιιδεῖν τοὺς ἐργαζομένους αὐτήν, τὴν ἱερὰν γῆν. f.

τὰ κανᾶ] ἑορτὴ παρ' Ἀθηναίοις, ἐν ᾗ αἱ παρθένοι ἱερά τινα Δήμητρος ἐν κανοῖς ἤγουν ἐν κανισκίοις ἐβάσταζον ἐπὶ κεφαλῆς· ὅθεν κανηφόροι κέκληνται. Bf. Οἱονεὶ εὐτρεπῆ ἤδη εἰσὶ τὰ κανίσκια τὰ πρὸς θυσίας. f.

§. 122. ἐπὶ διετὲς ἡβῶσι] ἐπὶ διετὲς ἡβῆσαι Δίδυμος λέγει τοὺς ἑκκαίδεκα ἔτη γενομένους. τὸ γὰρ ἡβῆσαι μέχρι τεσσαρωνκαίδεκα ἐτῶν ἐστιν. ἔφηβοι δὲ παρ' Ἀθηναίοις ὀκτωκαιδεκαετεῖς γίνονται, καὶ μένουσιν ἐν τοῖς ἐφήβοις ἔτη δύο. Bf. Πολλάκις ἔγνωμεν ὅτι ἀπὸ ὀκτωκαίδεκα ἐτῶν ἐνεγράφοντο εἰς τὸ ληξιαρχικὸν οἱ Ἀθηναῖοι, καὶ ἐφύλαττον δύο ἔτη τὰ πλησίον τῆς πόλεως, καὶ ἀπὸ εἴκοσιν ἐτῶν ἐξήρχοντο εἰς τοὺς ὑπερορίους πολέμους. οὐκοῦν τοὺς ἀπὸ ὀκτωκαίδεκα ἕως εἴκοσιν ἐτῶν ἡβῶντας λέγει, κοινὸν ποιῶν τὸν λόγον ἐπὶ πάντων Ἑλλήνων. f.

§. 124. χρωμένους] οἱονεὶ ὑπηρετοῦντας. f.

πρὸ τῆς ἐπιούσης Πυλαίας] οἷον πρὸ μηνὸς τῆς Πυλαίας τῆς ἑξῆς. ἔγνωμεν γὰρ ἐν τοῖς Δημοσθενικοῖς, ὅτι δὶς συνῄεσαν, ἅπαξ ἐν τῷ ἔαρι καὶ ἅπαξ ἐν τῷ φθινοπώρῳ. f.

τὸ ψήφισμα] οἷον τῶν Πυλαγόρων. ἔστι δὲ παραγραφικὸν ἐκ χρόνου· καὶ πῶς, εἴπερ διετάραξα τότε τὰ Ἑλληνικά, συμβουλεύσας περὶ τῶν Λοκρῶν, μηδεὶς τῶν πολιτῶν μοι ἀντεῖπε τότε; f.

§. 125. ὑπὲρ τοῦ μεσεγγυήματος] ἕνεκεν τῶν χρημάτων, ὧν ὑπέσχοντο αὐτῷ παρασχεῖν, ἐὰν σώσῃ αὐτοὺς δι' Ἀθηναίων. καὶ ἐν μέσῳ δεδώκασι ταῦτα τὰ χρήματα, ἵνα, ἐὰν ποιήσῃ, λάβῃ αὐτά. f.

§. 126. προσλαβὼν] οἱονεὶ πείσας τινὰ εὐήθη βουλευτὴν γράψαι τοῦτο τὸ ψήφισμα. f.

ἐπαναστάσης] οἱονεὶ διαλυθέντων καὶ ἀναχωρησάντων, ὡς καὶ Δημοσθένης φησί· τῆς βουλῆς δὲ ἀφειμένης· ἐν τῷ κατὰ Τιμοκράτους. f.

§. 127. μετέχειν] δοκεῖ σολοικοφανὲς εἶναι. οὐδεὶς γὰρ λέγει πρὸς δοτικὴν μετέχω σοι, εἰ μὴ πρὸς

2. Fort. σύνταγμα παρὰ τοῖς ἀρχαίοις. Srr. 31. or. 2 §. 158. 36. or. 24 §. 40. 76. or. 24 §. 28: ἀφειμένης τῆς βουλῆς.

τὴν ἀντίλεξιν νοήσομεν τὸ κῶλον, οἷον πρὸς τὸ κοινωνεῖν. f.

§. 128. μιᾶς πόλεως] Θήβης, ἣν ἤδη κατέσκαψεν Ἀλέξανδρος. Bf.

§. 129. ἐν ῥητῷ χρόνῳ] ὡς ἂν εἰ ἔλεγεν· οὐκ εὐθύς, ἀλλὰ προθεσμίαν τινὰ αὐτοῖς δόντες, ὅπερ ἦν πάλιν φιλανθρώπως αὐτοῖς χρήσασθαι. f.

§. 130. τοῖς μυστηρίοις] μυστήρια δεῖ νοεῖν τὰ Κόρης καὶ Δήμητρος. ἡ δὲ τῶν μυστῶν τελευτὴ ἐπεξήγησίς ἐστι τοῦ προειρημένου. λέγει δὲ ἐκεῖνο τὸ τέρας, ὅτε κατελθόντων τῶν μυστῶν ἐπὶ τὴν θάλασσαν ἐπὶ τὸ καθαρθῆναι, ἥρπασεν ἕνα αὐτῶν τὸ κῆτος. πληθυντικῶς δὲ εἶπε, δέον ἑνικῶς. οἱ δὲ λέγουσιν ὅτι δύο κατέφαγεν. f.

§. 131. ἀθύτων καὶ ἀκαλλιερήτων] ἐκ παραλλήλου. f.

§. 133. μεθ' ἡμέραν] ἀντὶ τοῦ ἐν ἡμέρᾳ. f.

§. 134. ἡ δ' ἡμετέρα] οἷον ὅτι οἱ Ἀθηναῖοι, τοσαῦτα διαπραξάμενοι καὶ πρὸς τὸν Πέρσην καὶ ἄλλους πολλούς, ὑπὸ Φιλίππου οὕτως ἡττήθησαν, ὥστε μὴ δυνηθῆναι ἀναλαβεῖν ἑαυτοὺς λοιπὸν ἔτι καὶ ἀνανῆξαι. f.

§. 137. Φρυνώνδας] οὗτος ἐπὶ πονηρίᾳ διαβεβοημένος ὑπῆρξεν. ὅθεν Ἀριστοφάνης πού φησιν·

ὦ μιαρὲ καὶ Φρυνῶνδα καὶ πονηρέ.

Bf. Ὁ μὲν Εὐρύβατος Λυδός, ὁ δὲ Φρυνώνδας Ἀθηναῖος. ἑκάτερος δὲ ἐπὶ πονηρίᾳ διεβέβλητο. f. Εὐρύβατοι δύο ἐγένοντο, ἄμφω πονηροί] ἄπιστοι, πανοῦργοι. Bf.

§. 139. ὁ Ἀζηνιεύς] Ἀζηνία δῆμος φυλῆς Ἱπποθοωντίδος. Bf.

ὁ Ἀναφλύστιος] ἐκ φυλῆς Ἀντιοχίδος. Bf.

ἔτι καὶ νῦν] ἐκ παραλλήλου. f.

τὸ δ' αἴτιον] θέλει εἰπεῖν, ἐπειδὴ ἀεὶ μηδίζουσιν ἢ φιλιππίζουσιν. f.

§. 141. ἀπεκρύψατο] ἰστέον ὅτι ἄλλως τοῦτο εἰρηκότος τοῦ Δημοσθένους ὁ Αἰσχίνης ἐπὶ τὸ βιαιότερον ἐξήγαγεν. ὁ γὰρ Δημοσθένης εἶπε λάθρα ὑμῶν πρεσβεύων, ἵνα μὴ μαθὼν Φίλιππος πέμψῃ καὶ αὐτὸς πρέσβεις τοὺς ἀπατήσοντας ἐκείνους. f.

§. 142. κλέπτων] κρύπτων. Bf.

ὡς τοὺς Βοιωτούς] σχῆμά ἐστι κατ' ἀντίπτωσιν, οὕτως· ὡς τῶν Βοιωτῶν, τῶν ἐν τοῖς ἔργοις ἀδικουμένων, ἀγαπησόντων τῶν ὀνομάτων τὴν σύνθεσιν, καὶ οὐχὶ γινωσκόντων ὅτι πανούργως ἔγραψεν, ὥστε ἀδικηθῆναι αὐτούς. οὐδὲ γὰρ εἶπε Βοιωτοῖς μόνον, τῷ κοινῷ γένει, ἀλλὰ Βοιωτοῖς τοῖς ἐν Θήβαις. f.

§. 144. εἰ χρὴ] πάλιν ῥητορικὸν τὸ σχῆμα, ἀντὶ τοῦ ὥσπερ χρή. οὐ γὰρ ὡς ἀμφίβολον λέγει. f.

§. 145. Δεύτερον] δεῖ νοῆσαι τὸ δεύτερον ἐνταῦθα ἀντὶ τοῦ μετὰ ταῦτα, οἱονεὶ μετὰ τὸ γενέσθαι τὰ τρία τὰ προειρημένα. μετήνεγκε δὲ εἰς Θήβας φησί, καθὸ αὐτοῖς παρέδωκε τὴν ἡγεμονίαν, ὡς εἶπεν ἀνωτέρω. f.

§. 146. διαδικασίαν] κυρίως μὲν ἡ δίκη ἡ περὶ χρημάτων ἢ περὶ κτημάτων λέγεται διαδικασία. καταχρηστικῶς δὲ ἐνταῦθα δηλοῖ τὴν δοκιμασίαν. γράφειν δὲ ἀντὶ τοῦ ποιεῖσθαι. f.

μισθοφορῶν] μισθὸν δεχόμενος ἐκ τῆς πόλεως ὑπὲρ τοῦ μισθώσασθαι ξένους καὶ διαδοῦναι αὐτοῖς χρήματα. f.

καὶ τοὺς μυρίους] τὸ ἀκόλουθον οὕτως· καὶ τοὺς μυρίους ξένους ἐκμισθώσας Ἀμφισσεῦσι προσέμιξε φέρων τῇ πόλει ἀπαρασκευάστῳ κίνδυνον. εἶτα ἡ αἰτία ἐν μέσῳ· ἀναρπασθέντων τῶν ξένων, περὶ ὧν λόγος, δι' αὐτὸν ἐκ τῆς πόλεως, προσχωρησάντων τοῖς Ἀμφισσεῦσιν. f.

§. 150. ἀνέστρεψαν] ἀντὶ τοῦ ὑποστρέψαι ἐποίησαν. f.

§. 152. μνήμη] τὸ μεμνῆσθαι ὡς ὅτι τοσούτων συμφορῶν αἴτιος ἐγένετο. f.

§. 153. μετὰ ταῦτα] δοκεῖ ἐνταῦθα δηλοῦν ὅτι ὁ στεφανούμενος πρὸ τοῦ ἀγωνίσασθαι τοὺς τραγῳδοὺς ἐστεφανοῦτο. f.

§. 154. ἐκεῖνό γε] Ἀττικῶς εἶπε, δέον εἰπεῖν ἀναμνησθεὶς ἐκείνου, ὡς καὶ παρὰ τῷ ποιητῇ κεῖται ἐκεῖνο·

μέμνημαι τόδε ἔργον ἐγὼ πάλαι, οὔ τι νέον γε. f.

εἰς προεδρίαν] δηλονότι ἐν αὐτῇ τῇ ἡμέρᾳ, ἵνα θεωρήσωσιν ἔν τινι τόπῳ τιμίῳ ἐν τῷ θεάτρῳ τοὺς τραγῳδοὺς καὶ τὰ ἄλλα. ἀντιστρόφως δὲ νοητέον, καλεῖ εἰς προεδρίαν καὶ οἴκαδε κελεύει οὕτως ἀναχωρεῖν. f.

§. 156. ἀφ' ὑμῶν] οἷον ὡς ὅτι περιεγίνετο ὑμῶν ὁ Δημοσθένης. f.

αἱρεῖτε] ἀντὶ τοῦ χειρωθῆναι ποιεῖτε, ὡς καὶ παρὰ τῷ ποιητῇ·

φῆ γὰρ ὅγ' αἱρήσειν.

τὸ βασιλικὸν χρυσίον] ὃ δέδωκε Δαρεῖος ὁ νεώτερος Δημοσθένει ὑπὲρ τοῦ πεῖσαι Θηβαίους, ἀνελόντας τὴν φρουράν, ἣν κατέλειψε κατ' αὐτῶν ὁ Φίλιππος, ἀποστῆναι Ἀλεξάνδρου, ἵνα δῆθεν ὀργισθεὶς ἐπιστρατεύσῃ κατ' αὐτῶν, καὶ μετενέγκῃ ἑαυτὸν ἀπὸ τοῦ πρὸς αὐτὸν πολέμου ἐπὶ Θηβαίους. f.

§. 157. νομίσατε] ὑποτύπωσις, δι' ἧς οἰκτρὸν θέαμα ἁλισκομένης πόλεως πρὸ ὀφθαλμῶν παρίστησιν. ταὐτὸ ποιεῖ Ὅμηρος Ἰλιάδος ι. Bf.

§. 159. καταγαγούσης] ὡς ἂν εἰ ἔλεγε· κατελθὼν δὲ ὕστερον ἀπροσδοκήτως. οὐδὲ γὰρ προσεδόκα

---

10. δὲ Sauppius: liber δὲ δι'. 21. ἀνανῆξαι Sauppius: liber ἀνανῆψαι. 24. Aristoph. fragm. Amphiarai 10 Ddf. 42. ἀγαπησόντων Sauppius: liber ἀγαπησάντων.

15. ἀπαρασκευάστῳ Baiterus: liber ἀπαρασκεύαστον. 28. Hom. Iliad. ι, 527. 38. Hom. Iliad. β, 37.

ζῆν τοιαῦτα εἰργασμένος εἰς τὴν πόλιν, ἀλλ' ἀπολέσθαι παρ' ὑμῖν, ἐρεθίσας ὑμᾶς ἐπὶ ἀκαίρους πολέμους. f.

τοὺς μὲν πρώτους χρόνους] μετὰ τὴν φυγὴν τὴν ἐν Χαιρωνείᾳ καὶ κάθοδον. f.

§. 160. εἰς αἰτίαν] οἱονεὶ κατηγορίας, ἐπειδὴ ἡ βουλή, ἀναπεισθεῖσα παρ' αὐτοῦ, ἔθυσε θεοῖς, χάριν ὁμολογοῦσα ὑπὲρ τοῦ Φιλίππου θανάτου. ἕνεκα τούτου Ἀθηναίοις ὕστερον ἐπιστέλλων Ἀλέξανδρος οὕτως ἔγραψεν· Ἀλέξανδρος τῷ μὲν δήμῳ χαίρειν, τῇ δὲ βουλῇ οὐδέν. f.

Μαργίτην] τουτέστιν ἠλίθιον. Πλάτων Ἀλκιβιάδῃ
767 περὶ Μαργίτου·
ὃς μὲν ἐπίστατο πολλά, κακῶς δ' ἠπίστατο πάντα. Bf.
Ἀντὶ τοῦ μαινόμενον. f.

τὰ σπλάγχνα φυλάττοντα] ἀντὶ τοῦ ἀγαπῶντα ἐὰν ζήσῃ· παρὰ τὸ ἐν τοῖς σπλάγχνοις εἶναι ὥσπερ τὴν ζωὴν τοῦ ἀνθρώπου. f.

§. 161. τοῦ Κιθαιρῶνος] ὄρος Βοιωτίας. Bf.

οὔτ' ἐν εἰρήνῃ] Ὅμηρος·
οὔτε ἐνὶ πτολέμῳ ἐναρίθμιος οὔτ' ἐνὶ βουλῇ. Bf.

§. 162. οἱ Πάραλοι] οἱ τὴν παραλίαν οἰκοῦντες τῶν Ἀθηναίων, καὶ κατασκευάζοντες τὴν ναῦν τὴν Πάραλον, καὶ ἐν αὐτῇ πλέοντες. f.

ὑποτρέχει] κολακευτικῶς μετέρχεται. Bf.

§. 164. χρυσόκερων] εἰώθασιν οἱ ταῦρον προσάγοντες πρὸς θυσίαν ἢ ἔλαφον ἤ τι τῶν κερατοφόρων χρυσοῦν τὰ κέρατα καὶ στέφειν τὴν κεφαλήν, ὃ λέγει ὁ ποιητὴς χρυσὸν κέρασιν περιχεύας. τὸ οὖν παρεπόμενον τοῖς μέλλουσι σφάττεσθαι, οἷον τὸ δειλιᾶν καὶ ἀγωνιᾶν, περὶ Αἰσχίνου ἔταξεν ὁ Δημοσθένης, διὰ τὴν ἀθυμίαν δῆθεν τὴν περὶ Ἀλεξάνδρου. f.

§. 165. ἐπίδοξος] προσδόκιμος. f.

§. 166. φορμορραφούμεθα] ἀντὶ τοῦ συρράπτουσί τινες καθ' ἡμῶν πράγματα, ἐκ τοῦ φορμοῦ. φορμὸς γὰρ λέγεται τὸ ψιαθῶδες πλέγμα, ὡς καὶ ὁ Θουκυδίδης φορμηδὸν λέγει. f.

ἐπὶ τὰ στενά] ἐπὶ τὰ δυσχερῆ. f.

§. 167. θαύματα] οἱονεὶ παραδοξολογήματα τερατώδη. f.

§. 168. δημοτικός] χαίρων τῇ δημοκρατίᾳ. f.

§. 171. ἐκ Κεραμέων] δῆμός ἐστι φυλῆς τῆς Ἀκαμαντίδος. Bf.

Νύμφαιον] ναὸν Νυμφῶν. Bf.

τὴν κρίσιν] οἷον τὴν τιμωρίαν. ἐξῆν γὰρ φυγεῖν μετὰ τὴν πρώτην κρίσιν, εἰ καὶ θάνατός τινος κατεγνώσθη. ἔγνωμεν ἐν τῷ κατὰ Τιμοκράτους. f.

§. 172. Σκύθιν] ὡς ἐ . . . . εἴρηται τοῦτο μᾶλλον βαρυτόνου· κακῶς δε. τὰ γὰρ τοιαῦτα ἐθνικὰ ὀξύνεσθαι θέλει, ὡς Κολχίς, Περσίς, Σκυθίς. οὐκοῦν Σκυθίδα καὶ οὐ Σκύθιν, ὡς τὸ Κολχίδα. Περσίδα· τινὰ δὲ τῶν βιβλίων ἔχει κτητικῶς Σκυθικήν. f.

§. 173. ἐπικέκλυκε] οὕτω πολύ ἐστι. λέγει δὲ ὅπερ ἔπεμψεν αὐτῷ Δαρεῖος. f.

πονηροῦ] ἀντὶ τοῦ ἀσώτου. f.

τὸ κεφάλαιον] οἱονεὶ τὸ μέγιστον ἀδίκημα. f.

§. 176. ὁ μὲν τοίνυν] ὅτι ἐκ τοῦ παρακολουθοῦντος τοῖς ἀτίμοις ἠθέλησε σημᾶναι, ὡς καὶ τούτους δεῖ εἶναι ἀτίμους. οἱ γὰρ ἄτιμοι ἐξείργονται ἱερῶν, ἐκκλησίας, τοῦ δημηγορεῖν καὶ τῶν τοιούτων. περιρραντήρια δέ ἐστιν οἷον τὰ ὕδατα πρὸ τῶν ἱερῶν, ἐν οἷς περιρραίνονται οἱ μέλλοντες εἰσιέναι τοῖς ἱεροῖς πρὸ τοῦ εὔξασθαι. τὰ δὲ τῆς ἐκκλησίας περιρραντήρια ἦν τὰ καθάρσια τὰ ἐκ τοῦ περιστιαρχου γινόμενα. f.

τοῖς τραγῳδοῖς] πάλιν ἀντὶ τοῦ τραγῳδῶν ἀγωνιζομένων. f.

§. 177. τὰς ἀφθόνους] τὰς ἁπλῶς καὶ χύδην διδομένας, ὅ ἐστι τὰς πολλάς. ὡς ἔχομεν καὶ παρὰ Ἡροδότῳ καὶ ἀλλαχοῦ ἄφθονον ὕδωρ ἀντὶ τοῦ πολύ. f.

ἐμβαλεῖτε] διότι ὁρῶσιν ἑαυτοὺς ἐξ ἴσου τοῖς πολλοῖς τιμωμένους. f.

§. 178. καταπέπλυται] καταπλύνειν λοιδορεῖν, ὑβρίζειν, καταφρονεῖν, ἀτιμάζειν. τὸ αὐτὸ ἰσχύει πλυνὸν ποιεῖν. Bf.

§. 179. τὰ Ὀλύμπια] ἕνα λέγει τῶν τεσσάρων. f.

τῶν στεφανιτῶν] στεφανῖται ἀγῶνες, ὧν ἆθλα ἦσαν οἱ στέφανοι. Bf. ἐπειδὴ καὶ ἄλλοι εἰσὶν ἀγῶνες, ἔνθα οὐ στέφανοι παρέχονται εἰς τιμήν, ἀλλ' ἄλλα τινά, οἷον ἄργυρος, χλανίδες ἤ τι τοιοῦτον, ὡς ἔγνωμεν ἐν τοῖς Πινδαρικοῖς. f.

τῷ διαπραξαμένῳ] οἷον τῷ σπουδάσαντι ἑαυτῷ ὥστε στεφανωθῆναι, διὰ τοῦ διαφθεῖραι χρήμασι τοὺς Ἑλλανοδίκας ἤ τι τοιοῦτον ποιῆσαι. τινὲς δέ φασι τῷ ἁπλῶς ἀθλεύσαντι, ἀλλὰ μὴ νικήσαντι. f.

§. 180. παρακαταθέμενοι] οἱονεὶ ἐμπιστεύσαντες τοῖς πόνοις. f.

§. 181. Φυλῆς] Φυλὴ χωρίον τῆς Ἀττικῆς ὀχυρὸν σφόδρα, ἀπέχον τῆς πόλεως στάδια ἑκατόν, ὥστε πολλὰς ἀφορμὰς αὐτοῖς παρέχεσθαι εἰς ἐφόδια. ποιεῖται δὲ ὁ Θρασύβουλος καὶ οἱ σὺν αὐτῷ, τὴν Φυλὴν καταλαβόντες ἐπὶ τῷ τὸν δῆμον φυγόντα καταγαγεῖν καὶ τὴν τῶν τριάκοντα ἀρχὴν καταλύειν. Bf.

§. 183. Ἑρμᾶς] οἱονεὶ προσωπεῖα Ἑρμοῦ καὶ κάτω ἐν τῇ βάσει ἦν τὰ ἐπιγράμματα. f.

§. 184. ἦν] ἀντὶ τοῦ ἦσαν. f.

ἐπ' Ἠιόνι] Ἠιὼν πόλις Θρᾴκης, ἣ ὕστερον Ἀμφίπολις ὠνομάσθη. Bf.

11. Ἀλκιβιάδῃ] δευτέρῳ 147. C. 20. Iliad. β, 202. 28. Hom. Iliad. κ, 294. 34. τοῦ Sauppius: liber τῆς. 36. Thucyd. IV. 48.
26. liber πλέιον.

αἴθωνα] ἀντὶ τοῦ διάπυρον καὶ μέγαν. f.

δυσμενέων εὗρον ἀμηχανίην] ἀντὶ τοῦ ἀμηχανίαν ἐνέβαλον τοῖς πολεμίοις. f.

§. 187. Μητρῴῳ] ἔγνωμεν καὶ ἐν τοῖς Φιλιππικοῖς, ὅτι μέρος τοῦ βουλευτηρίου ἐποίησαν οἱ Ἀθηναῖοι τὸ Μητρῷον, ὅ ἐστιν ἱερὸν τῆς Ῥέας διὰ τὴν αἰτίαν ἐκείνου τοῦ Φρυγός· συντακτέον δὲ τοῦτο πρὸς τὸ ἰδεῖν. f.

§. 189. Παταικίωνος] οὗτος ἦν κλέπτης. Bf.

ἐφικόμενος] τουτέστι γενόμενος ἀνὴρ ἀγαθός, κρατήσας τῆς ἀρετῆς, ἐγκρατὴς ὢν τῆς ἀνδραγαθίας. Bf.

§. 190. ἦρξαν] ἤρξαντο. Bf.

§. 191. ἔναυλον] οἷον ἐν τοῖς ὠσὶ τὸν τῶν αὐλῶν ἦχον καταλιπόν, τουτέστιν οὔπω ἐκ τῆς μνήμης ἀποκεχωρηκός, ἤγουν ἔτι ἐν μνήμῃ διαμένον. Bf. Οἱονεὶ πρόσφατον καὶ ἐγγύς, ἐκ τοῦ ἐγγὺς εἶναι καὶ ἐντὸς τῆς ἐπαύλεως τὰ πρόβατα. f.

γραφὴν] γραφὴν οὐ λέγει ἐνταῦθα τὴν κατηγορίαν, ἀλλ' αὐτὰ τὰ γράμματα τὰ τοῦ ψηφίσματος τοῦ παρανόμου. οὕτω φησίν· οὐχ ἧττον ἐμίσουν τοῦ πράττοντος παράνομα ἐν ἔργοις αὐτὸν τὸν γράφοντα παράνομα. f.

§. 192. ἀνεπόδιζον] πάλιν λέγειν ἐκέλευον, ὡς ὕστερον αὐτὸς ὁ Αἰσχίνης μνημονεύει. Bf.

§. 194. Κέφαλος] Λυσίας κατ' Ἐρατοσθένους τοῦ γενομένου τῶν τριάκοντα. Bf.

§. 195. ἐκ Κοίλης] ἀπὸ δήμου. Bf.

§. 197. συνηγόρῳ] οἱονεὶ τοῖς συνηγόροις τοῦ φεύγοντος. f.

768 τὸ μὲν πρῶτον] τὸ λέγειν πρὸς κλεψύδραν ἐνταῦθα αἰνίττεται. κλεψύδρα γὰρ ἀγγεῖον ἦν μικροτάτην ὀπὴν ἔχον περὶ τὸν πυθμένα, ὅπερ ἐν τῷ δικαστηρίῳ μεστὸν ὕδατος ἐτίθετο, καὶ πρὸς τοῦτο ἔλεγον οἱ ῥήτορες. Bf.

λυθῇ] ἀντὶ τοῦ γνωσθῇ. f.

§. 198. τὴν ψῆφον] οἷον ἵνα ψηφίσησθε καὶ αὐτῷ μᾶλλον προσθῆτε. f.

παραιτεῖται] οἱονεὶ συγγνώμην αἰτεῖ. ὡς ἔχομεν ἐν τῷ κατὰ Μειδίου τὴν ὁμοίαν χρῆσιν, ἐν οἷς λέγει τῷ δὲ φεύγοντι καὶ παραιτεῖσθαι. f.

§. 201. τὸ συντεταγμένον] ἀντὶ τοῦ μηδεμιᾶς ἀληθείας ἐχόμενον. προοίμιον δὲ εἶπεν, ἐπειδὴ ὁ προβαλλόμενος ἄλλον τινὰ εἰπεῖν ὑπὲρ αὐτοῦ, ἀνάγκην εἶχεν αὐτὸς εἰπεῖν τι προοίμιον τοῦ λόγου, καὶ οὕτω καλέσαι τὸν συνήγορον. f.

§. 205. πάλαισμα] οἷον δι' οὗ βούλεται καταγωνίσασθαι ὑμᾶς. f.

§. 206. περιίστασθαι] ἀντὶ τοῦ ἐξίστασθαι καὶ καταφεύγειν. f.

εἰσελαύνετε] εἰσελαυνετέ φησιν ἐκ μεταφορᾶς ἀγωνιστῶν ἐκτρεπομένων ἐκτὸς τοῦ ἀγῶνος. ὡς καὶ ἐν τῷ παραπρεσβείας εἶπε τοῦτο τὸ ἐπιχείρημα. f.

§. 207. βαλαντιοτόμον] ἀντὶ τοῦ τὸν λῃστήν. ἐκ μεταφορᾶς τῶν λῃστῶν τῶν τεμνόντων τὰ βαλάντια κάτωθεν τῶν βασταζόντων, ἵνα ἐκπέσῃ τὰ ἐν αὐτοῖς. f.

διηριθμημένους] ἠναγκασμένους. f.

§. 208. ἑλκοποιεῖς] πλάττεις λόγους συγκρουστικούς. f.

τῶν αὐθημερὸν] οἱονεὶ τῶν ψευδῶν καὶ τῆς προσπιπτούσης χρείας ἕνεκεν γινομένων. f.

τοὺς θεοὺς καινοὺς] Εὐριπίδης Μηδείᾳ·

ὅρκων δὲ φρούδη πίστις, οὐδ' ἔχω μαθεῖν,
εἰ θεοὺς νομίζω τοὺς τότ' οὐκ ἄρχειν ἔτι,
ἢ καινὰ κεῖσθαι θέσμι' ἀνθρώποις τὰ νῦν·
ἐπεὶ σύνοισθά γ' εἰς ἔμ' οὐκ εὔορκος ὤν. Bf.

§. 209. περιγράψατε] ἀντὶ τοῦ ἐκβάλετε. f.

ἐξορμεῖς] ἐξέρχῃ. Bf. Ὡς ἂν εἰ ἔλεγε· σχεδὸν εἰπεῖν ἐν αὐτῷ τῷ πελάγει εἴσω οἰκεῖς, ἵνα εὐχερῶς φύγῃς, ὅταν χρεία σοι γένηται. f.

§. 211. ἐκείρατο] οἱ Ἕλληνες ἐν ταῖς εὐπραγίαις τὴν κόμην ἔτρεφον, ἐν δὲ ταῖς δυστυχίαις καὶ τῷ πένθει ἐκείροντο. Ὅμηρος αὐτοὺς πανταχοῦ καρηκομόωντας καλεῖ. ἀνάπαλιν δὲ Ἐπαμεινώνδας·

ἡμετέραις βουλαῖς Σπάρτα μὲν ἐκείρατο δόξαν.

Λυσίας ἐν ἐπιταφίῳ τοῖς Κορινθίων βοηθοῖς· ὥστε ἄξιον ἦν ἐπὶ τῷδε τῷ τάφῳ τότε κείρασθαι τῇ Ἑλλάδι καὶ πενθῆσαι τοὺς ἐνθάδε κειμένους. Bf.

ζηλοτυποῦν] τὴν ἀρετὴν δόξης ἕνεκα ζηλοῦν, εἴδωλον ἀρετῆς διῶκον, ἤγουν τὴν ἀρετὴν μισοῦν, ἢ τῇ ἀρετῇ φθονοῦν. Bf.

§. 217. τὸ μὲν κεφάλαιον] ἀντὶ τοῦ καθολικῶς. f.

§. 219. ἀπηνέχθη] ἔστι παραγραφικὸν ἀπὸ χρόνου. f.

οὕτω σοῦ] χαριεντισμός. f.

§. 220. τὴν ἀξίωσιν] τὸ νομίζειν ἄξιον εἶναι, δεῖν ἐξ ἀνάγκης λέγειν, καὶ οὕτω πολιτεύεσθαι, οἷον ὡς ὢν ἐν τυραννίδι καὶ οὐ δημοκρατίᾳ. f.

ἐργαζομένου] πολυπραγμονοῦντος. f.

§. 222. ἁρπάγματα] κλέμματα. f.

ἐν Νάξῳ] στρατηγοῦντος Χαβρίου. Bf.

Πόλλιν] στρατηγὸς Λακεδαιμονίων, περὶ οὗ καὶ ὁ Ἀριστείδης λέγει ἐν τῷ ὑπὲρ τῶν τεσσάρων, ὅτι οὗτος ἐπώλησε τὸν Πλάτωνα. f.

§. 223. οὐ τὸ τελευταῖον etc.] κατ' ἐρώτησιν. f.

40. κατὰ Μειδίου § 5. 44. αὐτοῦ nos: liber αὐτοῖ.
1. ἐξίστασθαι Sauppius: liber ἐνίστασθαι. 14. Μηδείᾳ] v. 492 sqq. 27. Pausan. 9. 15, 6. 28. ἐπιταφίῳ § 60 46. Aristid. 2 p. 305 Ddf.

τὰ ἀγοράσματα] οἷον μύρα καὶ τὰ τοιαῦτα, λυσιτελοῦντα πρὸς γυναικεῖον κόσμον. f.

§. 224. τοὺς τῆς πόλεως ἅλας] ὁ αὐτὸς Αἰσχίνης ἐπάνω ἐν τῷ περὶ παραπρεσβείας· τοὺς γὰρ τῆς πόλεως ἅλας καὶ τὴν δημοσίαν τράπεζαν περὶ πλείστου δή φησι ποιεῖσθαι, οὐκ ὢν ἐπιχώριος — εἰρήσεται γάρ — οὐδ᾽ ἐγγενὴς ἡμῖν. καὶ Δημοσθένης περὶ παραπρεσβείας· ποῦ δὲ ἅλες; ποῦ τράπεζαι; f.

§. 225. τὰ ἔνατα] τὰ νομιζόμενα τῷ νεκρῷ, τῇ ἐννάτῃ ἡμέρᾳ γινόμενα. Bf.

§. 229. ἐζηλωκότος] ἀντὶ τοῦ μακαρίζοντος. ὡς ἐπὶ τὸ πλεῖστον γὰρ τὸ τοῦ ζήλου εἴωθεν ἀεὶ ἐπὶ καλοῦ τάττεσθαι, τὸ δὲ τῆς ζηλοτυπίας ἐπὶ φθόνου. ἀντιδίκων δέ φησι τῶν ῥητόρων, καθὸ οἱ μὲν στρατηγοὶ τοῖς ἔργοις κέχρηνται, οἱ δὲ ῥήτορες τοῖς λόγοις, καὶ ἀεὶ φθονοῦσιν ἀλλήλοις ἑκάτεροι. κατὰ κοινοῦ δὲ τὴν εὐπορίαν τῶν λόγων. f.

ἐξ ὀνομάτων] οἷον ἐκ λέξεων πανούργων. f.

οὐ] δυνατὸν καὶ μὴ δασύνοντας τὴν οὐ, ἀλλ᾽ ἀρνητικῶς καὶ κατ᾽ ἐρώτησιν ἀναγινώσκοντας τὴν περίοδον, καλῶς ἀποσώζειν τὸ νόημα. f.

769 §. 231. ἐπεισαγόντων] δηλονότι τὰ ἑαυτῶν δράματα. Bf.

§. 232. τοὺς κυκλίους] ἐν οἷς εἰσι στροφαί, ἀντιστροφαὶ καὶ ἐπῳδαί. Bf. Τοὺς τῶν χορηγῶν, καθὸ ἐν κύκλῳ ἱστάμενοι ᾖδον ᾄσματα τῷ Διονύσῳ. f.

τῷ διαπραξαμένῳ] τῷ ὠνησαμένῳ. Bf.

§. 233. ὁ τοιοῦτος κριτής] ἀντὶ τοῦ ὁ δικαστὴς ὁ κρίνας τὸν Δημοσθένην ἄξιον εἶναι τοῦ στεφάνου. καταχρηστικῶς δὲ εἶπεν ἐνταῦθα κριτὴν τὸν δικαστήν. κριτὴς γὰρ ὁ κρίνων τραγῳδοὺς καὶ τοὺς ἄλλους τοὺς ἐπὶ σκηνῆς. f.

ἰδιώτης] οἱονεὶ ὁ δικαστής, καθὸ ἰδιῶται καὶ πένητες ἦσαν, γενόμενοι δικασταὶ διὰ τὸ τριώβολον. f.

ἡ δὲ χάρις] ἐκείνῳ, ᾧ ἐχαρίζετο, ἄδηλος γέγονεν. Bf.

§. 234. ὅτι δὲ] ἀντὶ τοῦ καθὸ δέ. f.

τὸ δημόσιον] ἡ πόλις. f.

οὐχ οὓς ἐφοβεῖτο] οὐκ ἐχθροί, οὓς ἐφοβεῖτο ὁ δῆμος, ἀλλ᾽ οἱ δημαγωγοί, οἷς ἑαυτὸν ἐνεχείριζε, τὸν δῆμον κατέλυσαν. Bf.

§. 235. οὐχ ὑφ᾽ ὑμῖν] κατ᾽ ἐρώτησιν. Bf.

§. 236. εἰ μὲν γὰρ] περιτροπὴ τὸ σχῆμα. f.

§. 239. τὰ δ᾽ ἑβδομήκοντα] ἃ ὑφείλετο Δημοσθένης ἐκ τῶν τριακοσίων ταλάντων, λέγων τοῖς ἀπαιτοῦσι δούλοις τοῦ Δαρείου, ὅτι ταῦτα ἐμοὶ ἔπεμψεν ὑπὲρ τοῦ συμβουλεῦσαι· εἰ δὲ οὐκ ἐπείσθησαν οἱ Ἀθηναῖοι, οὐδὲν πρὸς ἐμέ. f.

προλαβών] ἁρπάξας, ἐκ μεταφορᾶς τῶν προλαμβανόντων λῃστῶν. f.

§. 243. πυθοῦ] περισπῶσιν Ἀττικοὶ τοῦτο, καὶ τὸ λαβοῦ καὶ ἐροῦ καὶ τὰ ὅμοια. ἔστι δὲ δεύτερος μέσος ἀόριστος. f.

§. 244. ἀγνώμονα] οἱονεὶ μὴ ἔχοντα λογισμόν, ὡς καὶ ἐν τοῖς Φιλιππικοῖς· εἶθ᾽ οὕτως ἀγνωμόνως ἔχετε. f.

ἐάν τινα] ἐὰν ἐκεῖνα τὰ ἄφωνα καὶ ἀγνώμονα ἐμπεσόντα ἀποκτείνῃ ἄνθρωπόν τινα. Bf.

§. 248. τὰ κοινὰ] οἷον τὸ λέγειν ὅτι φιλόπολίς εἰμι καὶ τὰ τοιαῦτα. f.

ἀπίστους] τουτέστιν ἀπιθάνους ὄντας τοῖς ἤθεσιν, ἤγουν οὐ δυναμένους ὑμᾶς πεῖσαι τοῖς ἤθεσιν, ὅτι εἰσὶν εὔνοι καὶ φιλάνθρωποι καὶ κοινοί. ἢ οὕτως. τοὺς πονηροὺς ὄντας τὰ ἤθη, καὶ διὰ τοῦτο οὐκ ἀξίους ὄντας πιστεύεσθαι ὑφ᾽ ὑμῶν, ὅτι εἰσὶν εὔνοι εἰς τὴν πόλιν καὶ φιλάνθρωποι. κοινὰ δὲ καλεῖ τὰ ἐλευθέρια καὶ φιλόδωρα καὶ εὐεργετικά. Bf.

§. 251. παρανοίας] ὅ ἐστι μωρίας, ἵν᾽ ᾖ τὸ μὲν προειρημένον τοῦ γήρως, τοῦτο δὲ τοῦ τρόπου. f.

§. 252. ἕτερος δὲ] τὸν Λεωκράτην νοεῖ, οὗ κατηγόρησε Λυκοῦργος. διαμένει δὲ καὶ ὁ λόγος ἐνταῦθα κείμενος. Bf.

§. 253. ἐπ᾽ ὀνομάτων] οἱονεὶ διὰ τοῦ περιτιθέναι ἑαυτῷ φιλάνθρωπα ὀνόματα. f.

§. 256. Πειθώ] οἷον αὐτὴν τὴν θεὸν τὴν Πειθώ, καθὸ λέγει ὁ Δημοσθένης πάντας πείθεσθαι τοῖς αὐτοῦ λόγοις. Bf.

§. 258. Ἀριστείδην δὲ] ὁ αὐτὸς ἐν τῷ περὶ παραπρεσβείας· ὁ δὲ οὐδὲν ἄπρακτον ἔχων μέρος τοῦ σώματος, οὐδ᾽ ὅθεν τὴν φωνὴν προΐεται, ὡς ὢν Ἀριστείδης, ὁ τοὺς φόρους τάξας τοῖς Ἕλλησι, δυσχεραίνει καὶ καταπτύει τὰς δωροδοκίας. Bf.

Ἄρθμιον] τούτου μνημονεύει Δείναρχος ἐν τῷ κατ᾽ Ἀριστογείτονος, καὶ Ἀριστείδης ὁ σοφιστὴς ἐν τῷ Παναθηναϊκῷ, καὶ Πλούταρχος ἐν τῷ Θεμιστοκλεῖ. Bf.

4. παραπρεσβείας] §. 22. 8. παραπρεσβείας] §. 189.
11. Demosth. or. 2 §. 26. 33. παραπρεσβείας] §. 23. 42 κατ᾽ Ἀριστογείτονος] §. 24. 43. Παναθ. p. 310 Ddf. Θεμιστοκλ. c. 6.

SCHOLIA IN DEMOSTHENEM.

I. IN OLYNTHIACAM PRIMAM.

9 §. 1. *Ἀντὶ πολλῶν* etc.] ἐκ πλαγίου ἔπαινος τῶν ἀκροατῶν, χρηστοῦ ὑποκειμένου πράγματος· καὶ ἔστι πρῶτος τόπος τῶν ἐξ ὑπολήψεως. — ἠθικὸν καὶ πραγματικὸν ὁ προοίμιον· τὸ μὲν γὰρ ἐν τῇ λέξει μέτριον καὶ ἐπιεικές, ἦθος ἔχον, εὔνουν ποιεῖ τὸν ἀκροατήν, ἡ δὲ λύσις τῶν ἀντιπιπτόντων καὶ ἡ σπερματικὴ τῶν κεφαλαίων ἐπαγωγὴ πραγματικὸν ποιεῖ τὸ προοίμιον. ἴδιον γὰρ τοῦ ῥήτορος, μὴ μόνον ἀπὸ τῶν συναγωνιζομένων αὐτῷ κεφαλαίων ποιεῖσθαι τὰ προοίμια, ἀλλὰ καὶ τὰ ἐφορμοῦντα εὐθὺς ἐν ἀρχῇ θεραπεύειν. b.

σύντομον τὸ προοίμιον διὰ τὴν τῶν πραγμάτων χρείαν. b.

σημείωσαι ὅτι τὸ προοίμιον πλέκεται ἀπὸ τοῦ συμφέροντος κεφαλαίου καὶ τοῦ δυνατοῦ· καὶ γὰρ ὁ σύμπας λόγος ἀπὸ τῶν αὐτῶν προῆκται. λυποῦν δὲ ἦν αὐτὸν τὸ κατὰ τὰ θεωρικὰ χρήματα· διὸ καὶ ἐν ἀρχῇ λεληθότως κατασκευάζει τοὺς ἀκροατὰς καταφρονεῖν χρημάτων. μεθ' ὑπερβολῆς δὲ ἐχρήσατο τῷ νοήματι, οὐχ ἁπλῶς *χρημάτων* εἰπών, ἀλλὰ *πολλῶν*· εἰ γὰρ πολλῶν, πολλῷ μᾶλλον ὀλίγων. *νομίζω* δὲ εἶπε καὶ οὐ πέπεισμαι, ὅτι τὸ μέν, ἠθικὸν ὄν, εἰς συγκατάθεσιν ἄγει τὸν ἀκροατήν, τὸ δέ, ἀπόφασιν

10 ἔχον, φιλόνεικον αὐτὸν μᾶλλον καθίστησιν. *Ἄλλως.* ὅτι τὸ νομίζω καὶ τὸ δοκεῖν, ὡς ἤδη ἐν τοῖς συγκριτικοῖς εἴρηται, καὶ τὰ τοιαῦτα οὐ πάντως ἐπὶ ἀμφιβόλου τάττουσιν οἱ παλαιοί, ἀλλὰ πολλάκις καὶ ἐπὶ τοῦ ἀληθεύειν. οὕτως οὖν καὶ ἐνταῦθα τὸ νομίζω ἀντὶ τοῦ κρίνω καὶ πιστεύω. τὸ δὲ *ὑμᾶς* πολλὴν ἔμφασιν ἔχει, ὡσανεὶ ἔλεγεν· ὑμᾶς οὓς οὐχ εἷλε πλοῦτος ὁ Περσικός, οὐ Λακεδαιμόνιοι μεγάλα ὑπισχνούμενοι. b.

ὅτε τοίνυν etc.] συμπέρασμα, ᾧ παρεισφέρει τὴν τοῦ προοιμίου κατασκευὴν ὡμολογημένην. b.

τῶν βουλομένων συμβουλεύειν] πάντας προτρέπει λέγειν, ἵνα διὰ τούτου καὶ τὸν φθόνον φύγῃ, ὡς μὴ βουλόμενος λέγειν μόνος, καὶ ἵνα, εἰ τὴν αὐτοῦ συμβουλὴν προέλοιντο, κρείττων ἁπάντων τῶν συμβούλων ἀποδειχθῇ. b.

λάβοιτε] ὁριστικῶς δεῖ ἐκλαβεῖν τὸ λάβοιτε· ἵν' ᾖ, ὅτι οὐκ ὀφείλετε λαμβάνειν τὰ ἀπὸ ἐσκεμμένου συμβουλεύοντος, ἀλλὰ καὶ ἀπὸ τοῦ αὐτοσχεδιάζοντος· ἐπέρχεται γὰρ καὶ τούτῳ πολλὰ τῶν δεόντων εἰπεῖν παρὰ τῆς ὑμετέρας εὐτυχίας. b.

τῶν δεόντων] ὅτι δέοντα καλοῦμεν οὐ τὰ συμφέροντα μόνον, ἀλλὰ καὶ τὰ πρέποντα. b.

§. 2. *ὁ μὲν οὖν* etc.] δεύτερον προοίμιον. σύντομον καὶ τοῦτο ὁμοίως τῷ πρώτῳ, διὰ τὴν χρείαν τοῦ καιροῦ τοῦ κατεπείγοντος πρὸς βοήθειαν. — ἀκόλουθον τῷ προτέρῳ προοιμίῳ τὸ δεύτερον· ἐκεῖ γὰρ προκαλεσάμενος τοὺς βουλομένους συμβουλεύειν, νῦν ἐκ περιουσίας τὸν καιρὸν σύμβουλον ἐπήγαγεν, ὥσπερ ἐνδεικνύμενος· ὅ τι μὲν ἐροῦσιν οἱ ῥήτορες ἄδηλον, ὁ μέντοι καιρὸς τήνδε τὴν γνώμην ἀποφαίνεται. καὶ ἔστιν ὥσπερ ἐκ προσωποποιίας ὁ λόγος, διενήνοχε δὲ τῆς παρὰ τοῖς ποιηταῖς, ὅτι ἐκεῖνοι μὲν αὐτὸν τὸν

Scholia demosthenica damus ea, quae codices monacenses duo, bavaricus alter alter augustanus primus, habent. Quanquam enim non multo honorificentius de iis iudicamus quam Reiskius, tamen ea, quae hic ipse (Demosthenis vol. 2, praef. schol. p. 5) de cura a se in iis exscribendis collocata dixit, id nobis officium imponere videbantur, ut codices denuo accurate excuteremus. Hoc ego Monaci diebus XIV – XXVI mensis Aprilis anni MDCCCXLIII perfeci. Labor satis habebat taedii et molestiae, sed quod illi dies mihi festi erant, cum marmorum, tabularum pictarum, vasorum fictilium splendidis thesauris, tum Fr. Thierschii eximiae comitati et laribus hospitalissimis debeo. — Notis his usi sumus: *b* = bavaricus, *a* = augustanus, *r* = reiskiana, *m* = moreliana editio Demosthenis (Lutet. 1570). Constat enim partem aliquam scholiorum, quae *ab* habent, in ea quoque commentariorum congerie contineri, quam inde ab A. Manutio, qui primus a. 1504 edidit, Ulpiano cuidam tribuunt. Apud Reiskium scholia bavarici leguntur p. 9 – 116, augustani p. 117 – 191: nos utraque coniunximus. Si quid codicum *ab* fide mutavimus, in notis nihil nisi lectio reiskiana adscripta est. Sauppius.

1. *ἔπαινος* **m:** *ἐπαίνου* **br.** 4. *πραγματικὸν ποιεῖ τὸ προοίμιον* **r.** 9. *αὐτῷ* **Sauppius:** *αὐτοῖς* **br.** 24. *αὐτὸν* **r.** 25. *συγκριτικοῖς* **Sauppius:** *συγκριτικοῖς ἢ σωκρατικοῖς* **br.**

6. *ὅτε τοίνυν — ὡμολογημένην* **om. r.** 10. *εἰ τὴν* **m:** *τὴν* **br.** *αὐτοῦ* **bmr.** 14. *ὠφείλετε* **b.** 17. *παρὰ* **m:** *περὶ* **br.** 18. *ὅτι* **om. r.** 20. *δεύτερον — βοήθειαν* **om. r.** 29. *τῆς* **m:** *τοῖς* **br.**

καιρὸν ποιοῦσι φθεγγόμενον ἤ τι ἕτερον, φωνῆς οἷς οὐ μέτεστιν, ὁ μέντοι ῥήτωρ τὴν ἐκείνου φωνὴν ὑποκρίνεται, τὸ πιθανὸν τῷ λόγῳ κατασκευάζων. b.

ἡμεῖς δ' οὐκ οἶδ' ὅν τινα] τὸ σχῆμα ὑποσιώπησις. συμπέρασμα τοῦ προοιμίου. — τοῦτο τὸ σχῆμα λέγεται ὑποσιώπησις, ὅταν μέλλῃ τις ἐπιφέρειν τραχύ τι καὶ λοιδορίας ἐχόμενον, μὴ βούληται δὲ διὰ τὸ ἐπαχθὲς αὐτὸ λέγειν, ἀλλὰ δι' αἰνιγμάτων σημήνῃ. καὶ γὰρ ἐνταῦθα βουλόμενος λέγειν, ὅτι ὁ μὲν καιρὸς πάντα ποιεῖ παροξύνων ἡμᾶς ἐπὶ τὴν σωτηρίαν τῶν πραγμάτων, ἡμεῖς δὲ ῥᾳθυμοῦμεν καὶ οὐ προσέχομεν αὐτοῖς ἀλλὰ θέαις τε καὶ τρυφαῖς σχολάζομεν, ὑπεσιώπησε μὲν τοῦτο
11 διὰ τὸ δυσχερές, ἐπήγαγε δὲ οὐκ οἶδ' ὅντινά μοι δοκοῦμεν τρόπον ἔχειν πρὸς αὐτά. διαφέρει δὲ τῆς ἀποσιωπήσεως· ὅτι ἐκείνη μὲν παντελῶς ἀποσιωπᾷ τὸ πρᾶγμα, ὡς τό· οὐ βούλομαι δὲ δυσχερὲς οὐδὲν εἰπεῖν. ἡ δὲ ὑποσιώπησις αἰνίττεταί τι, ὡς ἐνταῦθα. εἴη ἂν τοῦτο τὸ κῶλον συμπέρασμα τοῦ προοιμίου, κατασκευῆς οὔσης τῆς· εἴπερ ὑπὲρ σωτηρίας· τὸ ἐπαχθὲς δὲ βουλόμενος εἰπεῖν καὶ ἑαυτὸν ἐγκατέμιξε τῷ ἐγκλήματι, ἡμεῖς εἰπὼν καὶ οὐχ ὑμεῖς. b.

ἔστι δή etc.] ἐνταῦθα τὸ συμφέρον. ἀρχὴ τῶν κεφαλαίων. — γνώμης ἀπόφασις. ἔστι δὲ ἐντεῦθεν ἀρχὴ καὶ εἰσβολὴ τοῦ συμφέροντος. b.

τὴν ταχίστην] ἀντὶ τοῦ ταχέως. τὸ δὲ ἐνθένδε ἀντὶ τοῦ· πολιτικῇ δυνάμει.

§. 3. τρέψηται καὶ παρασπάσηταί τι] τὸ βέβαιον τῶν Ὀλυνθίων ἐδήλωσεν, ὅτι καὶ μὴ βουλομένους αὐτοὺς τρέψεται καὶ παρασπάσεται. εἴληπται δὲ ἡ λέξις ἀπὸ τῶν καταφευγόντων εἰς τοὺς βωμοὺς καὶ βίᾳ ἀποσπωμένων, ἢ ὡς ἐπὶ μέλους τινὸς σώματος, ἵνα δείξῃ τὴν ἑνότητα τῶν Ὀλυνθίων. b.

§. 4. οὐ μὴν ἀλλ' ἐπιεικῶς] τὸ σχῆμα παρὰ προσδοκίαν· τὸ δὲ ἐπιεικῶς ἀντὶ τοῦ πάνυ. b.

§. 5. δῆλον γάρ ἐστιν etc.] ἀντιστροφή· εἶτα ἐπάγει τὴν αἰτίαν. b.

καὶ ἴσασιν] μή τις εἴπῃ· εἰκὸς μὲν τοὺς Ὀλυνθίους μὴ πιστεύειν αὐτῷ μηδὲ βούλεσθαι προέσθαι ἑαυτοὺς αὐτῷ. τί οὖν; ὅτι εἰσί τινες προδόται παρὰ τοῖς Ὀλυνθίοις, οἵτινες βουλήσονται προδοῦναι τὴν πόλιν. ἐπάγει, ὡς οὐδὲ τούτοις ἐνδέχεται τοῦτο ποιῆσαι· ἴσασι γὰρ ὅσα ἐποίησεν εἰς τοὺς προδότας τῶν Ἀμφιπολιτῶν, τοὺς ἀνοίξαντας αὐτῷ τὰς πύλας. ἐκείνους γὰρ αὐτοὺς πρώτους ἐφόνευσε, λέγων· εἰ τῶν ἰδίων πολιτῶν οὐκ ἐφείσασθε, πόσῳ γε πλέον οὐ μέλλετε περὶ ἐμὲ ὕστερον τοιοῦτοι γενήσεσθαι; b.

καὶ Πυδναίων etc.] Πύδνα τὸ νῦν Κύτρος. — 12
Πύδνα, πόλις Μακεδονίας. αὕτη ἀπειθὴ τοῦ ὑπακούειν Φιλίππῳ, καὶ ἐστράτευσε κατ' αὐτῆς, καὶ περὶ ταύτην τοιοῦτόν τι συνέβη· κἀκεῖσε τινες προδεδώκασιν, εἶθ' ὕστερον γνόντες ὅτι οὐκ ἂν αὐτῶν φείσοιτο, ἔφυγον ἐπὶ τὸ Ἀμύντιον ἱερὸν τοῦ πατρὸς αὐτοῦ· κολακεύοντες γὰρ αὐτοὶ τὸν πατέρα οἱ Πυδναῖοι ἱερὸν αὐτοῦ ἐποίησαν· ὅμως οὐδ' ἐκεῖσε καταφυγόντων ἐφείσατο, ἀλλ' ἀναστήσας αὐτοὺς ὅρκοις ἐπὶ τῷ μηδὲν ποιῆσαι ἐξελθόντας ἀνεῖλεν. b.

καὶ ὅλως etc.] εἰπὼν τὰ μερικὰ παραδείγματα τῷ καθολικῷ τῆς γνώμης ταῦτα ἐπισφραγίζεται. b.

§. 6. ταῦτ' οὖν] κατασκευὴ τοῦ δευτέρου προοιμίου. b.

τἄλλ'] ὥσπερ ἂν εἰ ἔλεγε τὰ τῶν προγόνων διηγήματα, ὅτι ἔθος εἶχον ἐκεῖνοι σώζειν τοὺς κινδυνεύοντας. b.

μηδὲν ἐλλείποντας] σφόδρα τεχνικῶς, ἵνα, εἰ συμβῇ ἡττηθῆναι αὐτούς, ἔχῃ ἀπολογίαν τὸ ἐλλεῖψαί τινα ὧν συνεβούλευσεν. b.

οὐδὲ γὰρ λόγος οὐδὲ σκῆψις] λόγος ἡ ἀπολογία, σκῆψις δὲ ἡ πρόφασις. b.

§. 7. νυνὶ γὰρ ὃ πάντες ἐθρύλουν] πρῶτον μὲν τῷ περιληπτικῷ πάντας εἰς συγκατάθεσιν ἤγαγεν, ὧν αὐτὸς βούλεται· δεύτερον ἐθρύλουν εἰπὼν τὴν τῆς μετανοίας ἀνῄρηκε πρόφασιν. οὐ γὰρ κρύφα οὐδὲ ἐν ἀπορρήτῳ περὶ τούτων ἐλέγομεν, ἀλλὰ σὺν βοῇ καὶ θορύβῳ τὸ ἐκπολεμῶσαι τοὺς Ὀλυνθίους τῷ Φιλίππῳ. τοῦτο γὰρ τὸ ἐθρύλουν δύναται. b.

§. 8. οὐ δὴ δεῖ τοιοῦτον] συστήσας τὴν γνώμην τῶν Ὀλυνθίων καὶ βεβαίους συμμάχους ἀποδείξας, ἕρμαιον ποιεῖται τῶν Ἀθηναίων τὸ πρᾶγμα καὶ καιροῦ τινος εὐτυχίαν καλεῖ. τὸ γὰρ παραπεπτωκότα τῶν 13
τυχαίων ἐστὶ καὶ ἀπ' ἀπροσδοκήτων γινομένων. b.

εἰ γὰρ ὅθ' ἥκομεν] παροξύνει βουλόμενος ἀναμιμνήσκει τῶν προτέρων, ὧν ἐζημιώθησαν δι' ἀργίαν Θηβαῖοι πολεμοῦντες Λακεδαιμονίοις ἐν Λεύκτροις τῆς Βοιωτίας ἐνίκησαν αὐτοὺς κατὰ κράτος· ὅθεν εὐθὺς διέβησαν ἐπὶ τῆς Εὐβοίας, ὡς δῆθεν βουλόμενοι ταύτην χειρώσασθαι, τὸ δὲ ἀληθές, ἵνα ταύτην λαβόντες καὶ κατὰ τῶν Ἀθηναίων χωρήσωσιν. οἱ δὲ Ἀθη-

---

4. 5. τὸ σχῆμα — προοιμίου om r. 12. ὑπεσιώπησε m: καὶ ὑπεσιώπησε br. 23. ἐνταῦθα — κεφαλαίων om r. 26. τὸ δὲ — δυνάμει om. r. 30. τρέψεται — παρασπάσεται m: τρέψηται — παρασπάσηται br. 31. τοὺς βωμοὺς m: διαλόγους br. 38. μή τις εἴπῃ· εἰκὸς μὲν om. r. 39 βούλεσθαι m: βουλεύεσθαι br. 41. βουλήσονται· ἔσονται r.

3. τοιοῦτοι om. r. 6. ὅτι ὥστε r. 10. ἱερὸν αὐτῷ r. 12. τῷ Reiskius: τὸ b. 14. παραδείγματα m: παραδείγμασι br. 15. γνώμης m: γνώσεως br. 18 ἔλεγε m: ἔλαβε ar. 22. αὐτοὺς Sauppius: αὐτὸν br. ἔχῃ m: ἔχει br. 27 τῷ περιληπτικῷ m: περὶ τοῦ παραληπτικοῦ br. 31 ἐκπολεμοῦν r. 33. δεῖ δὴ r. 39. ἐζημιώθησαν m: ἐζημιώθη br. 44 χωρήσωσι et p. 51. 3. 4. ἀναχωρήσωσιν m: χωρήσουσιν et ἀναχωρήσουσιν br.

ναῖοι ἐξῆλθον Εὐβοεῦσι συμμαχήσοντες, καὶ συμβαλόντες ἐνίκησαν τούτους, ὥστε καὶ σπονδαῖς αὐτοῖς διατεθῆναι ὑπὲρ τῶν πεπτωκότων, ἵνα λαβόντες τούτους ἀναχωρήσωσιν. ἐπανελθόντες δὲ ἐκ τῆς μάχης εὗρον ἐν ταῖς Ἀθήναις δύο πρέσβεις τῶν Ἀμφιπολιτῶν, Ἱέρακα καὶ Στρατοκλέα, παρακαλοῦντας ὥστε ἐξελθεῖν καὶ καταλαβεῖν τὴν Ἀμφίπολιν, πολεμουμένην ὑπὸ Φιλίππου. b.

κελεύοντες] προτρεπόμενοι. b.

εἴχετ' ἂν Ἀμφίπολιν] σχετλιάζοντος ὥσπερ καὶ ὀδυρομένου τὸ ῥῆμα, ὅτι διὰ ῥαθυμίαν μόνην τὴν Ἀμφίπολιν ἀπώλεσαν. b.

§. 9. καὶ πάλιν ἡνίκα Πύδνα, Ποτίδαια] ἐν τάχει καὶ ἄνευ συνδέσμου κατέλεξε τὰ χωρία, δεδιὼς μὴ μέγαν καταστῆσαι Φίλιππον. τὰ δὲ λοιπὰ παρῃτήσατο διὰ τὸ μὴ φοβῆσαι τὸν δῆμον. b.

Πύδνα] τὸ νῦν Κίτρος. b.

Ποτίδαια] ἡ νῦν Βέρροια. b.

ἐνὶ τῷ πρώτῳ] ὥσπερ ἀντιπῖπτον λύει. ἵνα μὴ εἴπῃ ὁ Ἀθηναῖος· καὶ πῶς ἠδυνάμην τοσούτοις ἐν τῷ αὐτῷ βοηθῆσαι; ἐπάγει ὡς ὅτι εἰ ἐνὶ τῷ πρώτῳ προθύμως ἐβοηθήσατε, οὐκ ἂν τοῦ δευτέρου ἥψατο. b.

ἐχρώμεθα] τοῦτο σημαντικόν ἐστι τῆς Φιλίππου ταπεινότητος· καθ' ὧν γὰρ ἐξουσίαν ἔχομεν ὅ τι βουλόμεθα πράττειν, κατὰ τούτων τὸ χρῆσθαι λέγομεν. διὸ καὶ τοῖς φίλοις χρῆσθαι λέγομεν, ὅτι τὰ δοκοῦντα ἡμῖν ὑπουργοῦσιν. b.

14 τὰ δὲ μέλλοντα] ὑπογράφει καὶ χαρακτηρίζει ἡμῖν ἐνταῦθα τῶν ἀργῶν τε καὶ ῥαθύμων τὴν φύσιν. τὸ δὲ σχῆμα ὑποσιώπησις. b.

ηὐξήσαμεν] βούλεται διὰ τούτου δεῖξαι, ὅτι ἐν αὐτοῖς ἐστι καὶ νῦν αὐτὸν καθελεῖν διὰ τῆς σπουδῆς, ὥσπερ καὶ ἐν αὐτοῖς ἐγένετο τὸ ποιῆσαι αὐτὸν μέγαν διὰ ῥαθυμίας. b.

τίς οὗτος ὁ τῶν Ὀλυνθίων] τινὲς τὸ τίς κατ' ἐρώτησιν, τὸ δὲ οὗτος κατὰ ἀπόκρισιν, ἄλλοι δὲ τὸ τις ἐγκλιτικῶς λαμβάνουσιν. b. τινὲς τοῦτο τριχῶς ἐξηγοῦνται. οἱ μὲν ὅλον ὁμοῦ τὸ κῶλον ὡς ἀπὸ τοῦ Δημοσθένους λεγόμενον, οἱ δὲ κατὰ πεῦσιν καὶ ἀπόκρισιν. καὶ τοῦτο διχῶς λέγουσιν. οἱ μὲν γὰρ τὴν πεῦσιν λέγουσιν ὡς ἀπὸ τῶν Ἀθηναίων πρὸς Δημοσθένην. τινὶ δὲ καιρὸς ἥκει τίς; κατὰ πεῦσιν ἀνταποκρινομένων οὗτος ὁ τῶν Ὀλυνθίων. a (folium antiquum ad finem codicis alligatum).

ἐκείνων] τῶν ἤδη ἀπολωλότων. ὅρα δὲ πῶς ἀθυμίας αὐτοὺς πληρώσας διὰ τοῦ καταλόγου τῶν ἀπολωλότων χωρίων πάλιν παρεμυθήσατο διὰ τοῦ εἰπεῖν, ὅτι πάλιν ἥκει καιρὸς οὐ χείρων ἐκείνου. b.

§. 10. λογιστὴς] κριτής. b.

τῆς ἡμετέρας ἀμελείας] παρίσωσις κατ' ἐπεμβολήν. b.

ἀντίρροπον] τὸ ἀντίρροπον πρὸς γενικήν, τὸ ἰσόρροπον πρὸς δοτικήν. b.

§. 11. ἀλλ' οἶμαι] παραβολή. b.

ἂν δ' ἀναλώσας] ἀντιστροφή. b.

κρίνεται] ὡς τὰ πολλά. b.

ἀποτριψώμεθα] ἐξαλείψωμεν. οἱονεὶ ἐκκαθάρωμεν καὶ ἀποπλύνωμεν. ba. 117

§. 12. φρασάτω τις ἐμοὶ] τὸ ἀξιόπιστον φρόνημα τηρῶν εἶπεν ἐμοί, οἷον τῷ φιλοπόλιδι. τὸ δὲ ὅποι βούλεται εὐφήμως εἶπε τὰς Ἀθήνας, τῇ ὑποσιωπήσει καὶ πάλιν χρησάμενος. b et suppl. a.

τὸ πρῶτον Ἀμφίπολιν λαβὼν etc.] τὸ μετὰ ταῦτα καὶ εἶτα καὶ αὖθις καὶ πάλιν καὶ τὰ τοιαῦτα μόρια βραδυτῆτα δεικνυσι· μιμεῖται γὰρ ἀεὶ τῶν πραγμάτων τὴν φύσιν καὶ διὰ τῆς λέξεως ὁ ῥήτωρ, καὶ βουληθεὶς ὑπτιότητα δεῖξαι καὶ ἀσθένειαν οὖσαν ἐν τοῖς Φιλίππου πράγμασιν ὕπτιον καὶ τὸν λόγον ἐποίησε τῇ τῶν μορίων προσθήκῃ. τοῦ μὲν γὰρ αὔξοντος τὴν Φιλίππου δύναμιν ἦν τὸ προάγειν· Ἀμφίπολιν, Πύδναν, Ποτίδαιαν, Μεθώνην, Ἰλλυριούς. 15 ἡ γὰρ συνέχεια τῶν ὀνομάτων ἀκμὴν ἔχουσα τὴν ὑπερβολὴν τῆς δυνάμεως δείκνυσιν, ὥσπερ οὐκ ἀρκοῦντος τοῦ χρόνου πρὸς τὰς τῶν πόλεων ἁλώσεις. τοῦ δὲ ὑπτιάζοντος τὸ προαγαγεῖν ὡς ἐν ἱστορίᾳ τὸν λόγον, ὥστε καὶ ἡ δοκοῦσα λόγου κακία χρείαν τινὰ κατορθοῦται καὶ θαυμαστὸν τὸν ῥήτορα δείκνυσι. τέχνης γάρ ἐστιν ἀκρίβεια τὸ ἐπιγνῶναι τὸν καιρὸν ἐν ᾧ τοῦτο προσήκει ποιεῖν. b et suppl. a.

Θετταλίας ἐπέβη] τὸ ἐπέβη καὶ ἐπιβαίνω πρὸς γενικήν, τὸ δὲ ἐπεμβαίνω καὶ ἐμβατεύω πρὸς δοτικήν. b.

§. 13. ᾤχετ'] ἐπέστρεψεν. b.

ῥαΐσας] οὐ τὸ ὑγιάνας, ἀλλ' ὥσπερ κουφότερον ἔχων τοῦ νοσήματος, ἵνα τὴν φιλοπονίαν δείξῃ τοῦ Μακεδόνος καὶ τὸ μηδένα καιρὸν ἐθέλειν ἡσυχάζειν. b.

Ἰλλυριούς] ἔθνη βάρβαρα Ἰλλυριοὶ περὶ Μακεδονίαν· ἵνα δείξῃ, ὅτι οὐδὲ βαρβάρων φείδεται βάρβαρος ὤν. ὁ δὲ Ἀρύμβας βασιλεὺς ἦν Μολοσσῶν, Ὀλυμπιάδος δὲ τῆς τοῦ Φιλίππου γυναικὸς θεῖος. φησὶ δὲ ὅτι οὐδὲ συγγενῶν φείδεται Φίλιππος, διὰ τὸ βούλεσθαι πάντων κρατεῖν. b.

παραλείπω] τὸ σχῆμα κατὰ παράλειψιν. b.

τί οὖν τις ἂν εἴποι] τὸ σχῆμα ἀνθυποφορά· διαφέρει δὲ ἀνθυποφορὰ καὶ ἀντίθεσις καὶ ἀντιπῖπτον. ἀντιπῖπτον μὲν γάρ ἐστιν, ὅταν οἶδεν ὡς ὅτι μέλλει

---

7. ἐξελέσθαι καὶ παραλαβεῖν r. 14. τὰ χωρία m: τῶν χωρίων br. 21. ὡς ὅτι m: ὥστε br. 24. ἡμῖν r. γε r. 37. ἐγκλιτικῶς m: ἐγκληματικῶς br. 37. τινὲς τοῦτο — ὁ τῶν Ὀλυνθίων om. r.

9. ἐξαλείψωμεν om b. 16. καὶ τὰ m: τὰ bar. 20. ἐν add ma. 24. Ἰλλυριούς, Θρᾴκην. ἡ γὰρ r. 36. πάλιν ῥαΐσας r. 41. ἦν m: ὢν br. 45. παραλείπω — παράλειψιν om. r.

αὐτῷ τι ἀντιπεσεῖν ὡς ἄτοπόν τι λέγοντι καὶ ἐπανορθώσηται αὐτὸ ἀπροσποιήτως καὶ ὥσπερ λεληθότως. ἀνθυποφορὰ δέ, ὅταν μέρος μὲν ὥσπερ καταδέχηται τοῦ λεγομένου ὁ ἀκροατής, ἀμφιβάλλῃ δὲ περὶ τὸ λοιπόν, ὡς ἐνταῦθα. ὥσπερ τινὸς λέγοντος ὅτι „καλῶς μὲν
16 ταῦτα λέγεις περὶ Φιλίππου, ἀκαίρως δέ· οὐ γὰρ εἰσῆλθες καταλέγειν ἡμῖν τὰ Φιλίππου, ἀλλὰ τί δεῖ περὶ Ὀλυνθίων ποιῆσαι.“ ἐπάγει, ὅτι καὶ ταῦτα χρήσιμα πρὸς τὴν παροῦσαν ὑπόθεσιν. ἀντίθεσις δέ, ὅταν ἀπό τινος κεφαλαίου ὁρμᾶται, ἵνα δὲ μὴ προσκορῆ τὸν λόγον ἐργάζηται ἀποτάδην λέγων, ἐπάγει τινὰ ἡδονὴν διὰ τῆς πλάσεως τοῦ προσώπου τοῦ ἀντιλέγοντος καὶ ἵν' ὥσπερ ἀπαιτούμενος παρ' ἄλλου καὶ ἀναγκαζόμενος, οὐκ ἀφ' ἑαυτοῦ ἐπιφέρειν δοκῇ τὴν ἐπιτίμησιν. τινὲς δὲ εἰς τὸ τί οὖν ἄν τις εἴπῃ στίζοντες ἐπιφέρουσι ταῦτα λέγεις ἡμῖν. b.

φιλοπραγμοσύνην] σπουδὴν καὶ πλεονεξίαν. suppl. a.

§. 15. πόλεμον] ἀντὶ προσώπου πρᾶγμα ἔλαβεν. οὐ γὰρ εἶπεν, ἐλεύσονται οἱ πολέμιοι καθ' ἡμῶν, ἀλλ' ὁ πόλεμος. σύνηθες δὲ τοῦτο καὶ Θουκυδίδῃ ποιεῖν καὶ μεταλαμβάνειν ἀντὶ προσώπων πράγματα, ἢ πρόσωπα πάλιν ἀντὶ πραγμάτων. αἱ γὰρ τοιαῦται τῶν λέξεων ἐναλλαγαὶ καινοπρέπειαν τῷ λόγῳ παρέχουσιν. τεχνικῶς δὲ τοῦτο ἠρώτησεν, ἵνα ἕκαστος φεύγων τὸ καταψηφίσασθαι αὐτοῦ ἄνοιαν συνομολογήσῃ τῷ ῥήτορι ὡς ἀληθῆ λέγοντι. b.

τῶν ἀρχαίων] τῶν ἐνεχύρων· ἀρχαῖα γὰρ τὰ ἐνέχυρα καὶ τὰς ὑποθήκας πολλάκις ὁ Δημοσθένης φησίν. τινὲς δέ φασι τὸ δανειζόμενοι ἐπὶ τῶν δανειζόντων, παθητικὸν ἀντὶ τοῦ ἐνεργητικοῦ, ὡς νοεῖσθαι ἀρχαῖα τὰ κεφάλαια. προσαπολλύουσι γὰρ οὗτοι διὰ τοὺς τόκους καὶ τὰ κεφάλαια πολλάκις. b.

ἐρραθυμηκότες] οὐχ ἁπλῶς ἠμεληκότες· οὐ γὰρ τοῦτο σημαίνει ἡ λέξις, ἀλλὰ μᾶλλον τὴν ἄνεσιν καὶ τὴν ἐν ἡδονῇ διαγωγήν. b et suppl. a. ἐπὶ πολλῷ δὲ ἀντὶ τοῦ ἐπὶ πολλῷ τόκῳ. b.

εἰς ἀνάγκην ἔλθωμεν] σύνηθες τῷ ῥήτορι τῶν μὲν λυπηρῶν καὶ αὐτὸν μετέχοντα δεικνύναι, τῶν δὲ ἀγαθῶν τὴν πεῖραν ὁλόκληρον ἀπονέμειν τῷ δήμῳ. καὶ δύναται τοῦτο πολλὴν αὐτῷ παρὰ τῶν ἀκροατῶν τὴν εὔνοιαν. b et suppl. a.

17 §. 16. τὸ μὲν οὖν ἐπιτιμᾶν] σημείωσαι· ἀντίθεσις ἀπὸ τοῦ δικαίου. b et suppl. a. μικτὸν τὸ προοίμιον ἔκ τε τοῦ δυνατοῦ καὶ τοῦ συμφέροντος. μετιὼν γὰρ ἐφ' ἕτερον κεφάλαιον, οὐ παντελῶς ἰδιάζον τὸ προοίμιον ἔλαβεν, ἵνα μὴ καθάπερ ἐσχισμένος ὁ λόγος φαίνηται, τὴν μὲν ἀρχὴν ποιησάμενος ἐξ οὗ λέγων ἐπαύσατο, λέγω δὴ τοῦ συμφέροντος, τὸ δὲ ἐνθύμημα καὶ τὴν ἐπαγωγὴν ἐκ τοῦ δυνατοῦ. διὸ καὶ τὸ προοίμιον ἔλαβε· διαφέρει δὲ τὰ τῶν κεφαλαίων προοίμια τῶν ἐν αὐταῖς ταῖς ἀρχαῖς, ὅτι ἐκεῖνα μὲν τῷ παντὶ λόγῳ χώραν δίδωσι καὶ σπερματικὴν ἔχει τὴν δύναμιν τῶν διόλου λέγεσθαι μελλόντων, τὰ δὲ τῶν κεφαλαίων αὐτὰ μόνα θεραπεύει τὰ λυποῦντα τὸ κεφάλαιον. τὸ δὲ ὥσπερ ἐξ ἀντιθέσεως εἰλῆφθαι τὸ προοίμιον οὐ παράδοξον· τὸ γὰρ ἐν μέσῳ λόγῳ κεῖσθαι πεποίηκέ τι καὶ ἐναγώνιον ἔχειν. ἰστέον δέ, ὅτι ἡ ἐπιτίμησις τῷ συμφέροντι προσήκει. ἐπιτίμησιν δὲ αὐτὸ εἶπεν, ἀλλ' οὐ λοιδορίαν· τὸ μὲν γὰρ ὑβρίζειν παντὶ ῥᾴδιον, τὸ δὲ ἐπιτιμᾶν ὅ πέρ ἐστι νουθετοῦντος καὶ ἐπὶ λυσιτελοῦντι καὶ τιμῇ τῶν ἀκουόντων λέγοντος, οὐ παντός ἐστιν, ἀλλὰ μόνου τοῦ σκοποῦντος τὸ λυσιτελὲς τῶν ἀκουόντων. Ἄλλως. τὸ μὲν οὖν ἐπιτιμᾶν ἀντίθεσις ἀπὸ τοῦ δικαίου, οἷον· ἀλλ' οὐ δίκαια ποιεῖς, ὦ Δημόσθενες, μόνον ἐπιτιμῶν ἡμῖν, ὅ περ παντὸς ἀνθρώπου ἐστίν, οὐ μέντοι συμβουλεύων, ὅ πέρ ἐστι ῥήτορος. ἰστέον δέ· οὐκ εὐθὺς ἐπήγαγε τὴν λύσιν, ἀλλ' ὕστερον, ἐν μέσῳ θεὶς καὶ εἰπὼν ὅπερ ἐβούλετο, ἵνα διὰ τούτου ὥσπερ προδιορθώσηται τὴν μέλλουσαν συμβουλήν. b.

§. 17. φημὶ δὴ διχῇ] τὸν τρόπον τῆς βοηθείας εἰσηγεῖται. ἔστι δὲ οὗτος τοῦ δυνατοῦ κεφαλαίου. πᾶσα γὰρ καιρῶν καὶ τρόπων ἐξέτασις ἐπὶ τὸ δυνατὸν ἔχει τὴν ἀναφοράν· [ἐν τούτῳ γὰρ δείκνυται, πῶς ἔνεστι κρα]τῆσαι τῶν ἐναντίων. b et suppl. a. ἐπεὶ δὲ οἶδε τοὺς Ἀθηναίους πολλῇ δεδουλωμένους ῥᾳθυμίᾳ, προτείνει δύο ῥᾳθυμίας μᾶλλον δὲ βοηθείας, ἵνα κἂν τὴν μίαν ποιήσωσιν. b. τὸ δὲ ὑπομείνας οἰκείως εἶπεν. ὑπομεῖναι γὰρ λέγεται ἐπὶ τοῦ καρτερεῖν, ὅταν ἴδωμεν τὰ οἰκεῖα πάσχοντα. b et suppl. a.

ὀκνῶ] φοβοῦμαι. b. 18

μάταιος] ἀττικὸν μάταιος ἡ στρατιά. b.

§. 18. παραστήσεται] χειρώσεται. b.

περιέσται τῷ χρόνῳ] ὅρα πῶς ἐπὶ τῶν ἄνω πόλεων εἰπὼν ὅτι εὐχερῶς αὐτὰς ἔλαβεν, ἐνταῦθα τὸ δυσχερές φησι, διὰ τὸν χρόνον περιέσται, τὸ δυνατὸν Ὀλυνθίοις πραγματευόμενος. b.

§. 19. περὶ δὲ χρημάτων πόρου] μετέρχεται ἐπὶ τὸ δυνατὸν κεφάλαιον. μερίζει δὲ τοῦτο εἰς δύο.

---

2. αὐτῷ r. καὶ ὥσπερ m: ωσπερ καὶ br. 4. ἀμφιβάλλῃ mr· ἀμφιβάλλει b. 11. ἀποτάδην m: ὑποτάδην br. 12. διὰ m: καὶ διὰ br. 17. φιλοπραγμ. — πλεονεξίαν om. r. 26. αὐτοῦ r. 31. παθητικὸν ἀντὶ τοῦ ἐνεργητικοῦ Sauppius: πενεται ἀντι τοῦ ενεργεῖται br. cf. scholion Ulpiani. 43. τὸ om. r.

16. ἐπὶ om. r. λυσιτελοῦντι Sauppius: λυσιτελοῦντος br. 23. οὐχ] ὅτι οὐχ r. 27. δὴ] διχῇ r. 30. ἐν τούτῳ γὰρ δείκνυται, πῶς ἔνεστι κρατῆσαι suppl. a: . . . . στῆσαι b, στῆσαι r. 35. λέγεται mg. m: λέγει bar. τοῦ m: το br. 36. πάσχοντα m: πάσχοντας br. 41. ἔνθα r. 43. δυνατὸν om. r. Ὀλυνθίοις m: Ὀλύνθιον br.

εἴς τε χρημάτων εὐπορίαν καὶ ἀνδρῶν δύναμιν. τὸ δὲ ἀποδώσετε καλῶς εἶπε καὶ οὐχὶ δώσετε. δείκνυσι καὶ διὰ τούτου ὅτι οὐκ ἔστιν αὐτῶν, ἀλλὰ τῶν στρατιωτῶν. b.

οὕτως — λαμβάνετε] τὸ σχῆμα ὑποσιώπησις. b. ἀντὶ τοῦ εἰς τὰς θέας αὐτὰ λαμβάνετε. ὑποσιωπήσει ἐχρήσατο. suppl. a.

ἐνδεῖ] ἐνδεῖσθαι μέν ἐστι τὸ παντελῶς μὴ ἔχειν, προσδεῖσθαι δὲ τὸ ἔχειν μὲν μέρος, ἔτι δὲ δεῖσθαι. φησὶν οὖν ὅτι, εἰ μὲν ἀποδῶτε τὰ χρήματα, οὐ μέλλετε προσδεῖσθαι, εἰ δὲ μή, προσδεῖσθε. εἶτα ἐπειδὴ ἔμφασιν παρεῖχεν, ὅτι ἐστὶ καὶ ἄλλα ἐκτὸς τῶν θεωρικῶν, ἃ λαβόντες ὀλίγων προσδέονται, φησὶ μᾶλλον δὲ παντὸς ἐνδεῖ τοῦ πόρου· ὡς εἰ μὴ ἀποδῶμεν τὰ θεωρικά, παντελῶς ἀπορήσομεν. b.

§. 20. σύνταξιν] σύνταξίς ἐστι δύο πραγμάτων ὥσπερ ἕνωσις. εἰώθασι δὲ οἱ παλαιοί, ἐπειδάν τι ἀσαφὲς νομίζωσι λέγειν, διὰ τῆς ἐπαγωγῆς αὐτὸ λύειν, ὥσπερ καὶ ὁ ποιητής· εἰπὼν γὰρ κύμβαχος ἐπήγαγεν ἐπὶ βρεχμόν τε καὶ ὤμους· καὶ πάλιν εἰπὼν ἐντροπαλιζόμενος ἔφη γόνυ γουνὸς ἀμείβων. οὕτω καὶ ὁ ῥήτωρ εἰπὼν σύνταξις ἐπήγαγε τὸ λαμβάνειν καὶ ποιεῖν τὰ δέοντα. b.

ἔστι δὲ λοιπὸν] οὐχ ὁρίζει τὴν ποσότητα, ἵνα μὴ λυπηρὸς δόξῃ τοῖς Ἀθηναίοις, ἀλλὰ τὸν καιρὸν καὶ τὴν ἀνάγκην ἐποίησεν ὁρίζοντας. b.

19 δεῖ δὲ χρημάτων] τοῦτο πρὸς τὸ παρακείμενον εἶπεν· ἀεὶ δὲ χρημάτων δεῖται ὁ πόλεμος.

§. 21. ἄξιον δὲ ἐνθυμηθῆναι] πληρώσας τὸ ἓν μέρος τοῦ δυνατοῦ, τουτέστι τὸ τῆς πόλεως, ἐπὶ τὸ ἕτερον μέρος ἐλήλυθε, τὸ τοῦ Μακεδόνος. μὴ ἔχων γὰρ δεῖξαι τοὺς Ἀθηναίους δυνατούς, καθὸ πολλὰ ἀπώλεσαν, τεχνικῶς ἐκ τοῦ ἐναντίου πειρᾶται κατασκευάσαι, ὅτι δύνανται τοῦ Φιλίππου δύναμιν καθαιρεῖν. b.

τὰ τῶν Θετταλῶν] πράγματι ἀντὶ προσώπου ἐχρήσατο. b.

κομιδῇ] τὸ κομιδῇ αὔξησίς ἐστιν ἐπὶ Φιλίππου. b.

§. 22. ἀλλὰ καὶ Παγασὰς] ἡ ἱστορία οὕτω· Ἀλεύας, ἀπόγονός τις τοῦ Ἡρακλέους, ἐτυράννησε Θετταλῶν· εἶτα καὶ οἱ τούτου παῖδες. μὴ φέροντες οὖν τὴν τυραννίδα, ἀποροῦντες τί δεῖ ποιεῖν, μετεπέμψαντο πρὸς συμμαχίαν τὸν Φίλιππον. εἶτα ἐλθὼν ἐκεῖνος, ἐξέβαλε τοὺς Ἀλευάδας τῆς τυραννίδος· καὶ ὑπὲρ τούτου χάριν αὐτῷ ὁμολογοῦντες οἱ Θετταλοὶ δεδώκασιν αὐτῷ νέμεσθαι Παγασὰς καὶ τὰ χρήματα τὰ ἐκ τῶν λιμένων καὶ τὰς ἀγοράς. ἄπιστοι δὲ Θετταλοὶ ἐνομίσθησαν, ἢ διὰ τὸ τὸν Ἰάσονα, Θετταλὸν ὄντα, ἄπιστον ὀφθῆναι περὶ τὴν Μήδειαν, ἢ ὅτι ἐν τῷ Πελοποννησιακῷ πολέμῳ ἐν αὐτῇ τῇ παρατάξει ἀπὸ Ἀθηναίων πρὸς Λακεδαιμονίους μετετάξαντο, ὥς φησι Θουκυδίδης. ἡ δὲ Μαγνησία χώρα τις ἦν πλησίον Θετταλίας, ὑπείκουσα αὐτοῖς. ἔστι δὲ καὶ πόλις ὁμώνυμος αὐτῇ· χαριζόμενος ὁ Φίλιππος τοῖς Θετταλοῖς κατεδουλώσατο ἀποστᾶσαν αὐτῶν· μετὰ ταῦτα φρούριον ᾠκοδόμησεν ἐν αὐτῇ τῇ πόλει τῶν Μαγνήτων, ἵνα μὴ καὶ δεύτερον ἀποστῶσιν· τὸ δὲ ἀληθὲς κατ' αὐτῶν Θετταλῶν. οἱ δὲ γνόντες τοῦτο ἐκώλυσαν αὐτὸν τειχίζειν. b.

τινων] οὐκ εἶπε τινος, ἀλλὰ τινων, τῷ πλήθει τῶν μαρτύρων λόγον πιστούμενος. b.

20 §. 23. ἀλλὰ μὴν τόν γε Παίονα] δείξας αὐτοῦ τὸ ἀσθενὲς ἀπὸ τῶν Ἑλλήνων, βούλεται καὶ ἀπὸ τῶν βαρβάρων τοῦτο ἐργάσασθαι, καὶ δι' αὐτῆς δὲ τῆς λέξεως εὐτέλισε τὴν δύναμιν· οὐ γὰρ εἶπε πληθυντικῶς, ἀλλ' ἑνικῶς Παίονα καὶ Ἰλλυριόν. b.

τοῦ κατακούειν] δεῖ προσέχειν τῷ κατακούειν· οὐ γάρ τοι ἁπλῶς ἀκούειν εἶπεν ἀλλὰ κατακούειν, ὅ ἐστι πάνυ ἀκούειν, ὡς καὶ δούλους νομίζεσθαι. b.

τὸ γὰρ εὖ πράττειν] ἐπειδή, φησίν, οἱ παρ' ἀξίαν εὐτυχοῦντες οὐ δύνανται φυλάξαι τὴν εὐτυχίαν διὰ τὸ πονηρὸν τῆς γνώμης, δεδώκασιν ἀφορμὴν τοῦ λέγειν ἄλλοις, ὅτι δυσχερές ἐστι τὸ φυλάξαι ἤπερ κτήσασθαι· ὅπερ οὐκ ἔστιν. b.

§. 24. δεῖ τοίνυν ὑμᾶς] πληρώσας τὴν ἐξέτασιν τοῦ δυνατοῦ καὶ σαθρὸν πανταχόθεν ἀποδείξας τὸν Φίλιππον, εἰς προτροπὴν μετῆλθεν. διενήνοχε προτροπὴ συμβουλῆς, ὅτι ἐν μὲν ταῖς συμβουλαῖς καὶ τὸ ἀγαθόν, ὑπὲρ οὗ συμβουλεύομεν, ἀμφισβήτησιν ἔχει καὶ ὁ τρόπος, δι' οὗ ἂν περιγενοίμεθα τῶν χρησίμων, ἀντίρρησιν ἐπιδέχεται. ἐν δὲ ταῖς προτροπαῖς καὶ τὸ ἀγαθὸν πρόδηλον καὶ ὁ τρόπος. δεῖ δὲ γινώσκειν ὅτι ἐπιπλέκεται τοῖς εἴδεσι τούτοις τὰ ἀλλήλων, καὶ συμβουλευτικὰ ἐν προτροπαῖς καὶ τοὐναντίον ἐν συμβουλαῖς προτρεπτικά. ἐκ δὲ τοῦ πλεονάζοντος ἐν τῇ ὑποθέσει χρὴ τὸ εἶδος τοῦ λόγου χαρακτηρίζειν. b.

συνάρασθαι] ἔδει εἰπεῖν συνάρασθαι τοῖς πράγμασιν, ὁ δὲ Ἀττικῶς εἶπεν. ἡ δὲ σὺν πρόθεσις, ὡς εἰ ἔλεγε σὺν τῇ τύχῃ ἀγωνίζεσθαι ἐφ' ἃ δεῖ. b. συνάρασθαι τὰ πράγματα ἀττικὸν ἀντὶ τοῦ τοῖς πράγμασιν. suppl. a.

πρεσβευομένους] πρεσβεύεσθαί φησιν ἐπὶ τῶν ἀγνοούντων τὸν Φίλιππον, ἵνα διδάξωσιν αὐτοὺς μὴ

---

5. οὕτως — ὑποσιώπησις om. r. 19. κύμβαχος Reiskius: κύμβαλος br. 20. βρεγμὸν r. Homer. Il. 5, 586 et 11, 547. 27. δεῖ δὲ — ὁ πόλεμος unde Reiskius addiderit nescimus, nam in ab non sunt. 34. καθαιρεῖν m: καθαιρῶν br.

5. Thucyd. 1, 107. 9. Μαγνητῶν br. 11. αὐτὸν m: αὐτοὺς br. 20. τοι om. r. 33. περιγενοίμεθα m: παραγενώμεθα br. 46. διδάξωσιν m: δείξωσιν a.

πιστεύειν αὐτῷ· ἐπὶ δὲ τῶν εἰδότων μὲν φοβουμένων δὲ τὸ ἀγγέλλεσθαι, ὑμεῖς ὅτι στρατεύεσθε, ἵνα παροξυνθῶσιν εἰς τὸ μηκέτι δεδιέναι αὐτόν. suppl. a.

εἶτ' οὐκ αἰσχύνεσθε] τὸ σχῆμα ἐπιτίμησις. — ἀσαφὲς εἶναι δοκεῖ τὸ χωρίον· ἄδηλον γὰρ τίνι χρὴ προσνεῖμαι τὸ ταῦτα ποιῆσαι, πότερον τοῖς Ἀθηναίοις ἢ τῷ Φιλίππῳ· δοκεῖ γὰρ ἐφ' ἑκατέρων ἁρμόζειν. χρὴ οὖν ἐπὶ τῶν τοιούτων ἀσαφῶν καὶ ἐπαμφοτερίζειν
21 δοκούντων ἐκ τοῦ τέλους ἐπὶ τὴν ἀρχὴν ἰέναι· λυθήσεται γὰρ οὕτως ἡ ἀπορία. οἷον ἐπὶ τοῦ παρόντος κάτωθεν εὐθὺς ἀρξάμενος λέγε· οὐ τολμήσετε καιρὸν ἔχοντες ταῦτα ποιῆσαι ἃ πάθοιτ' ἂν εἰ δύναιτο ἐκεῖνος; τὸ γὰρ πρότερον ἐπ' ἀμφοτέρων λέγεσθαι δοκοῦν νῦν ἐφάνη περὶ μόνων τῶν Ἀθηναίων εἰρημένον. b.

εἰ μηδ' ἃ πάθοιτ' ἂν] μονόκωλος σχοινοτενὴς περίοδος ἐν ὑπερβατῷ σχηματισθεῖσα. b.

§. 25. ἔτι τοίνυν] μετάβασις ἐπὶ τὸ ἀναγκαῖον. — αὐτὸ τὸ δυνατὸν ἁπλῶς καὶ τὸ ῥᾴδιον εἴληφεν· ὅπερ ἐν τούτῳ τῷ χωρίῳ νῦν ἐξετάζεσθαί φαμεν. δίδωσι γὰρ τοῖς Ἀθηναίοις αἵρεσιν, ποῦ χρὴ πολεμεῖν, καὶ τὸν μὲν ἐν Μακεδονίᾳ πόλεμον εὔκολον δείκνυσι, τὸν δὲ ἐπὶ τῆς Ἀττικῆς χαλεπὸν καὶ φοβερόν. b.

§. 26. Θηβαῖοι] πολὺ τῆς γοργότητος διὰ τὸ ταῖς ἀπαντήσεσι ταχείαις χρῆσθαι καὶ βραχείαις. b.

ἀλλ' ὦ τᾶν] ἀνθυποφορὰ στοχαστική, ἣν λύει ἐκ τεκμηρίων. b et suppl. a. τὸ δὲ ὦ τᾶν δύο μέρη λόγου εἰσίν, ὦ καὶ ἐτᾶν, ὅ ἐστιν ὦ ἑταῖρε. b.

εἰ ἃ νῦν etc.] ἤτοι ὅτι ἔρχομαι ἐπὶ τὴν Ἀττικήν. ἆρα εἰ δυνηθῇ ταῦτα ποιῆσαι οὐ πράξει; ζητεῖται, πῶς ἐν τοῖς ἄνω δεινὸν αὐτὸν καλέσας καὶ εἰδότα πράγματα ἐνταῦθα μωρὸν ἀποκαλεῖ. λέγομεν, ὅτι ἀπὸ πολλῆς ἐπιθυμίας τοῦ βούλεσθαι αὐτὸν ἐπὶ τὴν Ἀττικὴν ἐλθεῖν ποιεῖ αὐτὸν μὴ δυνάμενον ἑαυτὸν κατασχεῖν, ἀλλὰ τὴν ἐπιθυμίαν ἐκλέγοντα τελειοῦν. b.

ἐγκαλεῖ (sic b pro v. ἐκλαλεῖ)] ἀντὶ τοῦ ἀπειλεῖ. b.

§. 27. ἀλλὰ μὴν etc.] δύο κακῶν προκειμένων (κακὸν γὰρ ὁ πόλεμος) αἱρεῖται τὸ ἧττον. b.

εἰ γὰρ ὑμᾶς etc.] ἐπίλογος. b.

ἔξω γενέσθαι] οὐχ ἁπλῶς λέγει ἔξω τῆς πόλεως, ἀλλ' ἔξω τῆς χώρας. b.

τοὺς γεωργοῦντας] οὐχ ἁπλῶς τοὺς σκάπτοντας, ἀλλὰ τοὺς ἀγροὺς κεκτημένους. b.

22 τὸν πρὸ τοῦ πόλεμον] τὸν δι' Ἀμφίπολιν λέγει, εἰς ὃν χίλια διακόσια τάλαντα ἀνηλώθη. b.

σωφρονοῦσι] τοῖς συνετοῖς καὶ σῴζουσι τὰς φρένας. b.

πάντα δὴ ταῦτα] ἐντεῦθεν ὁ ἐπίλογος. — ἐκ τοῦ συμφέροντος κεφαλαίου τοὺς ἐπιλόγους εἴληφε· δεῖ γὰρ ἐκ τῶν ἰσχυρῶν ἀεὶ καὶ τῶν συνεκτικῶν τὰς ἀνακεφαλαιώσεις καὶ τοὺς ἐπιλόγους λαμβάνειν. b (et a, verbis fere iisdem).

ἐν ἡλικίᾳ] τοὺς νεωτέρους φησίν· ἐν ταύτῃ γὰρ τῇ ἡλικίᾳ πάντα πράττειν δυνάμεθα. b.

τοὺς δὲ λέγοντας] τοὺς ῥήτορας. b.

χρηστὰ δὲ εἴη] εὐχὴν προστίθησι τῇ συμβουλῇ. b.

εἵνεκα] οὐ κυρίως τὸ εἵνεκα σὺν τῷ ī, ποιητικὸν γάρ. b.

II. IN OLYNTHIACAM SECUNDAM.

§. 1. Ἐπὶ πολλῶν μὲν ἄν τις etc.] ἡ μὲν ὑπόθεσις τοῦδε τοῦ λόγου καὶ τὰ κεφάλαια παραπλήσια τοῦ πρώτου. διενήνοχε δὲ καί, ὅτι ἐν μὲν τῷ πρώτῳ ζητεῖται, εἰ χρὴ βοηθεῖν τοῖς Ὀλυνθίοις, ἐν δὲ τούτῳ τὸ μὲν βοηθεῖν ἤδη δέδεικται, τὴν δὲ ῥώμην ὀκνοῦσι τοῦ Μακεδόνος καὶ τὴν ἰσχύν· δι' ἣν μάλιστα καὶ τὴν δημηγορίαν ταύτην ὁ ῥήτωρ πεποίηται, ὥστε πλεονάζον εἶναι κεφάλαιον τὸ δυνατόν. τῶν δὲ κεφαλαίων τὰ μὲν ἐξ αὐτῆς ἀνακύπτει τῆς τάξεως, οὐκ ὄντα πρῶτον γνώριμα τοῖς ἀκροαταῖς οὐδὲ ἐπιζητούμενα παρ' αὐτῶν ἐξ ἀρχῆς· ἔνια δὲ εὐθὺς καὶ πρὸ τῆς εἰσόδου ζητεῖται παρὰ τῶν ἀκροατῶν. πρὸς ἃ δεῖ τὸν ῥήτορα τὴν ἀπάντησιν εὐθὺς ἐκ προοιμίων αἱρεῖσθαι. ὃ δὴ κἀνταῦθα γέγονε· τῆς γὰρ δυνάμεως τοῦ Μακεδόνος φοβούσης τοὺς Ἀθηναίους, ἐκ τῆς πρώτης ἐπιβολῆς ἀναιρεῖν πειρᾶται τὸν φόβον, ἀντιτάσσων τῇ Φιλίππου ῥώμῃ τὴν τῶν θεῶν συμμαχίαν· δεῖ γὰρ τοῖς ἰσχυροῖς τῶν ἀντιπάλων ἰσχυρότερα τὰ παρ' ἡμῶν ἀντιτιθέναι. 23
δείκνυται δὲ ὢν δεύτερος οὗτος ὁ λόγος ἐκ τῶνδε· ἐν γὰρ τῷ πρώτῳ περὶ τῆς τῶν θεῶν εὐνοίας ἀπόδειξιν παρασχών, ἐνταῦθα ὡς ὁμολογούμενον ἔλαβεν. ἰστέον δὲ ὅτι φησὶν ὁ Φιλόχορος, ὅτι τρεῖς βοήθειαι ἐπέμφθησαν, καθ' ἕκαστον λόγον μιᾶς πεμπομένης, ὡς τῆς πρώτης μὴ ἐξαρκούσης. κεφάλαια δὲ ἐν μὲν τῷ πρώτῳ ἐπὶ πολὺ τὸ συμφέρον (ἐπ' ὀλίγον δὲ τὸ δυνατόν)· ἐνταῦθα δὲ τὸ ἐναντίον πολὺ μὲν τὸ δυνατόν, ὀλίγον
δὲ τὸ συμφέρον. b. δεύτερος τόπος τῶν ἐξ ὑποδιαιρέσεως προοιμίων, τὸ δὲ σχῆμα τοῦ λόγου ἐξ ἀορίστου προλήψεως· εἰρηκὼς γὰρ τὸ ἐπὶ πολλῶν ἀόριστον ἐπήγαγεν ὡρισμένον τὸ περὶ τῶν Ὀλυνθίων. ὅμοιον τούτῳ τὸ εἰς τὸν ἅγιον Βασίλειον τοῦ Θεολόγου προοίμιον. b et suppl. a. τοῖς γὰρ προσώποις καὶ πρὸ τῶν 118

31. τοῖς m: ταῖς br.

2 συμφέροντος am: συμβεβηκότος br. 17. παραπλήσια m: παραπλήσιος br. 18. καὶ om. r. 37 φιλόχωρος b. 40 ἐπ' ὀλίγον δὲ τὸ δυνατόν add. m et vaticanus 68 (in I. Th. Voemel. notitia codd. demosth. VI. p. 8). 42. τόπος a cf. ad or. 1 §. 1. 45. περὶ a: παρὰ br. 46. cf. Hermog. 3 §. 74, 10 sq.

πραγμάτων ἴδιαι παρακολουθοῦσιν ὑπολήψεις. ἐκ περιχαρείας εἴληπται τὸ παρὸν προοίμιον. suppl. a. ὅρα ὅπως ἀπὸ θεῶν ἀρξάμενος δευτέραν ἔταξε τὴν τῶν Ὀλυνθίων συμμαχίαν. b.

ἐπὶ πολλῶν] πραγμάτων. Urb. 113.

τὸ γὰρ τοὺς πολεμήσαντας etc.] κατασκευὴ τοῦ προοιμίου. b et urb.

δύναμίν τινα] σύμμετρον ἢ μεγάλην. — ἐμπερίβολον τὸ χωρίον, κατ' ἔννοιαν ἔχον οὐκ ὀλίγα τὰ παρακολουθοῦντα. b.

δαιμονίᾳ τινὶ καὶ θείᾳ] ὁ μὲν διαλεκτικὸς φιλονεικεῖ πρὸς τὸν ἀντιλέγοντα· διὸ καὶ τῷ συμπεράσματι χρῆται, καθάπερ δεικνύς, ὅτι φανερῶς ἐξήλεγξεν. ῥήτωρ δὲ εἰ συλλογίζοιτο, φιλονεικότερον καθίστησι τὸν ἀκροατὴν καὶ οὐκ εὐάγωγον πρὸς πειθώ· διὸ καὶ τοῖς λεγομένοις ἐνθυμήμασι χρώμεθα, ἐν οἷς τὰς δύο προτάσεις εἰπόντες τὸ συμπέρασμα σιωπῶμεν, ἐκείνῳ καταλιπόντες αὐτὸ προσενθυμεῖσθαι· βούλεται γάρ τι καὶ οἴκοθεν εἰς τὴν τῶν πραγμάτων εὕρεσιν ὁ ἀκροατὴς συμβάλλεσθαι. νῦν δὲ ἀναγκαίως ὁ ῥήτωρ ἐχρήσατο τῷ συμπεράσματι. πρῶτον μὲν γὰρ ἡ κατασκευὴ τῆς προτάσεως διὰ πολλῶν γενομένη ἀνάγκην ἐνεποίησεν, αὐτοῦ τοῦ προτεθέντος εἰς ἀπόδειξιν διὰ τοῦ συμπεράσματος ἀναμνῆσαι· δεύτερον δέ, ὅτι ἐν μὲν τοῖς ἀγῶσιν εἰκότως τὸ συμπέρασμα σιωπῶμεν· πολλῶν γὰρ ἤδη καὶ προειρημένων καὶ μελλόντων λέγεσθαι ῥᾳδίως ὁ ἀκροατὴς εὑρίσκει τὸ σιωπηθὲν ὑπὸ τοῦ ῥήτορος· ἐν δὲ προοιμίῳ μηδενὸς ἔτι ῥηθέντος οὐκ ἔχει πόθεν αὐτῷ προσνοῆσαι τὸ λεῖπον. οὐδὲν δὲ διαφέρει τὸ δαιμόνιον τοῦ θείου παρὰ τοῖς ῥήτορσιν, ἀλλ' ἐκ παραλλήλου τὸ αὐτό. b.

24 §. 2. δεῖ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι] τοῦτό ἐστι τὸ συμπέρασμα τοῦ προοιμίου· δείξας γὰρ τοὺς θεοὺς εὔνους καὶ τοὺς συμμάχους βεβαίους καὶ τὸ δυνατὸν τῶν Ἀθηναίων αὐξήσας καιρὸν ἔσχεν ἐπιτιμήσει χρήσασθαι, καί φησιν ὅτι· μὴ προδόται γενώμεθα τῶν ὑπαρχόντων καὶ δεδωρημένων ἡμῖν παρὰ τῶν θεῶν καὶ δόξωμεν αὐτοὶ καθ' αὑτῶν τὰ χείριστα βουλεύεσθαι. b. συμπέρασμα. suppl. a.

ὅπως μὴ χείρους] μὴ ἀνάξιοι φανῶμεν τῶν δεδομένων παρὰ τῶν θεῶν καὶ τῶν ὑπαρχόντων πραγμάτων. suppl. a.

ὡς ἐστι — αἰσχίστων] ἐνδιάθετον τὸ σχῆμα. b.

προϊεμένους] προδιδόντας. b et urb.

§. 3. τὸ μὲν οὖν, ὦ ἄνδρες, δεύτερον προοίμιον ἀπὸ τοῦ δυνατοῦ. b.

τὸ μὲν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι] Ἰωάννου Ἀθηναίου· τοῦτο σχῆμά ἐστι τὸ κατὰ παράλειψιν. οὐκ ἠβούλετο μὲν γὰρ τῇ ἀληθείᾳ τὴν δύναμιν ἐξετάσαι τοῦ Μακεδόνος· ἡ δὲ αἰτία, ἵνα μὴ φοβήσῃ μᾶλλον τοὺς Ἀθηναίους ἀποσχέσθαι τοῦ πρὸς αὐτὸν πολέμου. οὐκ ἐβούλετο δὲ πάλιν τελέως ταύτην ἀμνημόνευτον ἐᾶσαι, ἵνα μὴ αὐτὸ τοῦτο δόξῃ φοβούμενος ταύτην καταλιπεῖν. τί οὖν ποιεῖ; καὶ μνημονεύει κατὰ παράλειψιν, καὶ τὴν αἰτίαν οὐ τὴν οὖσαν λέγει, ὅτι ἵνα μὴ φοβήσω ὑμᾶς, ἀλλ' ἑτέραν, ἵνα μὴ δόξω, φησίν, ὑμᾶς αἰσχύνειν καὶ ὀνειδίζειν. Ἄλλως. τὸ μὲν πρῶτον προοίμιον ἀπὸ τοῦ ἐπιχειρήματος τοῦ δυνατοῦ ληφθὲν σκοπὸν εἶχεν ἀπὸ τῆς προνοίας τῶν θεῶν τὸ δυνατὸν τῶν Ἀθηναίων αὐξῆσαι· τὸ δὲ δεύτερον περὶ τοῦ δυνατοῦ τοῦ Φιλίππου τὴν ἐξέτασιν ἔχει. καθαίρεσιν ἔχον τῆς δυνάμεως, ὅσην ἔξεστιν ἐν προοιμίοις ἐργάσασθαι. b.

διὰ τί;] κατασκευὴ τοῦ δευτέρου προοιμίου. b.

ὁ μὲν γὰρ] σημείωσαι· χιαζομένη περίοδος τετράκωλος, ἔχουσα δύο προτάσεις καὶ δύο ἀποδόσεις. b.

§. 4. καὶ γὰρ εἰ] συμπέρασμα τοῦ δευτέρου. b.

ὧν οὖν ἐκεῖνος μὲν ὀφείλει] τρίκωλος, ἔχουσα μίαν πρότασιν δίκωλον καὶ μίαν ἀπόδοσιν. b.

ἃ δὲ καὶ] ἔχει μίαν πρότασιν τρίκωλον καὶ ἀπόδοσιν μονόκωλον. τέτταρα γὰρ κῶλα ἔχει. b.

§. 5. τὸ μὲν οὖν ἐπίορκον] τρίτον προοίμιον. 25
b. — τρίτον τοῦτο προοίμιον, οὐ μὴν τὴν αὐτὴν δύναμιν ἔχον τοῖς προειρημένοις. ἐκεῖνα μὲν γὰρ ὅλης ἐστὶ τῆς ὑποθέσεως· τὸ [μὲν γὰρ πρῶτον περὶ τοῦ δυνατοῦ τῶν Ἀθηναίων, τὸ δὲ δεύτερον περὶ τοῦ δυνατοῦ τοῦ Φιλίππου, τὸ δὲ δυνατὸν κεφάλαιον] ὅλον συνέχει τὸν λόγον· τοῦτο δὲ μερικόν ἐστι προοίμιον, κατασκευὴν ἔχον τῶν ἔγγιστα· ἐπειδὴ γὰρ μέλλει τὴν ἀδικίαν καὶ τὴν ἀπιστίαν ἐξετάζειν τοῦ Μακεδόνος, αἰτίαν ἀποδίδωσιν ἐν τῷ προοιμίῳ, δι' ἣν τοῦτο μέλλει ποιεῖν. Ἄλλως. Ἰστέον ὅτι τὸ δεύτερον καὶ τρίτον προοίμιον εἰς καθαίρεσιν Φιλίππου ἔλαβεν, ἀλλ' ἐν μὲν τῷ δευτέρῳ ἀπὸ τῆς ῥώμης αὐτὸν καθεῖλεν, ἐν δὲ τῷ τρίτῳ ἀπὸ τῆς γνώμης καὶ τοῦ κρείττονας ἔχειν πολεμίους· ἐκ δὲ τοῦ αὐτοῦ ἐπιχειρήματος, ἤτοι τοῦ δυνατοῦ, ἀμφότερα, ἐπειδὴ φοβερὸς ὁ Φίλιππος δοκῶν καὶ δυνατὸς ἐφόβει τοὺς Ἀθηναίους. καὶ ἡ πᾶσα σύστασις τοῦ λόγου ἐπὶ τὸ δυνατὸν κεφάλαιον ἀνάγεται. b. τρίτον προοίμιον. ἔστι δὲ καὶ αὐτὸ ἐκ τοῦ δυνατοῦ εἰλημμένον. suppl. a.

ἐπίορκον] σημείωσαι· διὰ τοῦ εἰπεῖν ἐπίορκον

---

2. ὅρα ὅπως — συμμαχίαν om. r. 5. Addidimus scholia, quae in cod. urbinate 113 ad h. orationem adscripta sunt. Enotavit Th. Heysius in Voemelii notitia cod. dem. l. d. 8. ἢ] καὶ r. ἐμπερίβολον — παρακολουθοῦντα om. r. 25. ἀγῶσιν m: ἀνιῶσιν br. 29. προσνοῆσαι H. Wolfius (ad. Ulp.): προνοῆσαι br.

1. ἰω ά b. Reiskio iure videtur nomen scholiastae esse. 29. [μὲν γὰρ — κεφάλαιον] add. m. In b est lacuna duorum versuum quinorum fere vocabulorum. πρῶτον Sauppius: πρότερον m.

θεοῖς ἐχθρὸν αὐτὸν ἀπέφηνεν, διὰ δὲ τοῦ ἄπιστον τῶν ἀνθρώπων πολέμιον κατέστησεν. καὶ ἵνα μὴ δόξῃ πρὸς χάριν Ἀθηναίων διαβάλλειν τὸν Φίλιππον, τοῖς πράγμασι πιστοῦται τὰ ῥήματα. b.

τὸ δὲ πάνθ' ὅσα πώποτε] πρότασίς ἐστι καὶ αὕτη καὶ ἡ ἄλλη ἄνευ κατασκευῆς. ὡς γὰρ ὁμολογούμενα ἔλαβεν, ἵνα μὴ ἀμφιβάλλωμεν, ὅτι τοιοῦτος, οἷον καὶ ὁ λόγος ἀποδείκνυσιν. suppl. a.

καὶ βραχέος λόγου] ἐπειδὴ πάντα, ὅσα εἶπε καὶ ἔπραξε Φίλιππος, ὑπέσχετο εἰπεῖν, τοῦτο δὲ μακρολογία, παρεμυθήσατο τὸν λόγον εὐθύς. b.

ὅπερ καὶ ἀληθὲς ὑπάρχει] ὑπερβατὸν κατὰ παρένθεσιν, ὃ λέγεται ἐξ ἐπιβολῶν. urb.

φαῦλον] εὐτελές. urb.

ὅτι πάντα διεξελήλυθεν] εἰ γὰρ οὐκέτι προσθήκην αὐτῷ λαμβάνει τὰ πράγματα, μένειν δὲ ἐπὶ τῶν αὐτῶν οὐχ οἷόν τε τὰ ἀνθρώπινα, πρὸς καθαίρεσιν ἥκει λοιπὸν αὐτῷ τῆς δυνάμεως. b.

§. 6. ἐγὼ γὰρ] ἀρχὴ τῶν κεφαλαίων· τὸ δυνατόν. — Ἐντεῦθεν εἰς αὐτὸ τὸ κεφάλαιον ἐνέβαλε, τὸ δυνατόν, ἀπὸ λύσεως ἀρξάμενος· ἡ γὰρ ἀντίθεσίς ἐστιν· ἀλλὰ φοβερὸς ὁ Φίλιππος, ἥν τινα φανερῶς μὴ θεὶς λύει. ὅταν μὲν γὰρ τὸν ἀντίδικον ἔχωμεν ἀναγκαίως μέλλοντα χρῆσθαι ταῖς ἀντιθέσεσι, κἂν ἡμεῖς μὴ λέγωμεν, τότε δεῖ φανερῶς αὐτὰς τιθέναι, ὅταν δὲ αὐτὸς καθέζηται παρ' ἑαυτῷ τὴν ἀντίθεσιν ἔχων ὁ ἀκροατής, τότε χρὴ λύειν καὶ μὴ τιθέντα. ὅπερ καὶ νῦν
26 γέγονεν. εἰσεληλύθε γὰρ αὐτὸς ὁ δῆμος πεφοβημένος τὸν Φίλιππον, ὥστε περιττὸν τιθέναι ταύτην, δι' ἣν σκεψόμενοι συνῆλθον. b. ἀρχή ἐστι τοῦ δυνατοῦ κεφαλαίου. suppl. a.

τὴν μὲν ἡμετέραν εὐήθειαν] οὐκ εἶπεν ὑμετέραν, διὰ τὸ ἐπαχθὲς καὶ ἑαυτὸν συνάπτων τῷ ἐγκλήματι. φασὶ δέ τινες σημαίνειν τὴν εὐήθειαν οὐ πάντοτε μωρίαν, ἀλλ' ἔστιν ὅτε πραότητα καὶ ἐπιείκειαν καὶ τὸ ἁπλοῦν· ὅπερ καὶ νῦν βούλεται σημαίνειν. b et urb. ὅρα δὲ ὅτι ἐπὶ μὲν Ἀθηναίοις εὐήθειαν εἶπεν, ἐπὶ δὲ Ὀλυνθίοις φιλίαν. b.

ἀπήλαυνόν τινες] δέον εἰπεῖν ἀπηλάσατε ὑμεῖς· ἡ γὰρ πόλις πᾶσα ἦν ἡ τοῦτο ποιήσασα. ὁ δὲ εἰς τοὺς ῥήτορας ἀπωθεῖται τὸ ἔγκλημα. ἐμφαντικὸν δὲ εἶπεν ἐνθένδε, οἷον ἐκ τῶν Ἀθηναίων, ἐκ τοῦ δευτέρου μετὰ τοῦ Ἐλέου, ἔνθεν Ἡρακλεῖδαι ἐσώθησαν. b.

θρυλούμενον] ἠπάτα γὰρ ὑμᾶς λέγων τὸ θρυλούμενον παρ' ὑμῖν κατορθοῦν ἐν ἀπορρήτῳ· ἐθρύλλουν γὰρ πάνυ αὐτὸ ποθοῦντες. ὁ δὲ νοῦς αὐτοῦ, ὅτι ὃ πάνυ ἐβούλεσθε, τοῦτο ποιῆσαι ἔλεγε σιγῇ, ἵνα μὴ μαθόντες οἱ ἐναντίοι κωλύσωσιν. ἔστι δὲ τοῦτο ὁ Ὠρωπός. ἵν' οὖν, φησί, μὴ ἐναντιωθῶσι Θηβαῖοι, λάθρα αὐτὸ κατορθοῖ. ἦν γὰρ μεταξὺ τῆς Βοιωτίας καὶ τῶν Ἀθηναίων ὁ Ὠρωπός. suppl. a et urb.

§. 7. Θετταλοὺς δὲ νῦν] εἰκότως τοὺς Θετταλοὺς τελευταίους ἠπάτησεν, εὐχερεῖς ὄντας καὶ μὴ δυνηθέντας ἀπὸ τῆς Ὀλυνθίων καὶ Ἀθηναίων ἀπάτης σωφρονισθῆναι. b.

ὅλως] καθόλου. b.

ὅν τινα οὐ πεφενάκικεν] ἐπεὶ στρατηγικὸν εἶναι δοκεῖ τὸ φενακίζειν τοὺς πολεμίους, διὰ τοῦτο ἐνήλλαξεν εἰπὼν τῶν αὐτῷ χρησαμένων, ὅτι Φίλιππος οὐ τοὺς πολεμίους, ἀλλὰ τοὺς φίλους ἀπατᾷ· τοῦτο δὲ ἀπιστίας τεκμήριον. εἴρηται δὲ ἡ λέξις ἀπὸ τῆς φενάκης τῆς προσθετῆς κόμης, ἥ τις ἕνεκεν ἀπάτης γίνεται· προσποιεῖται γὰρ περιτιθέναι κόσμον, ὅν περ οὐ κέκτηται. b.

§. 8. ὥσπερ οὖν διὰ τούτων] σημείωσαι· ἐνθύμημα, ὃ καλεῖται ἀκολουθία. b et urb.

καιροῦ] ἀντὶ τοῦ ἀτυχίας. b.

παρελθών] τὸ σχῆμα πρόκλησις. urb.

μᾶλλον δὲ ὑμῖν δειξάτω] τοῦτο λέγεται ἐπανόρθωσις. εἰ ἐμὲ γάρ, φησίν, ἀνάξιον νομίζει τοῦ μαθεῖν, ὑμῖν δειξάτω. b. ὅρα δέ, πῶς τὸ μὲν ἀμφίβολον ἔφυγε, τὸ δὲ ὁμολογούμενον ἔλαβεν. ἀμφίβολον μὲν γὰρ τὸ λεγέτω μοι ὅτι οὐκ ἀσθενής· τὸ δὲ ὁμολογούμενον, ὅτι οἱ ἐξηπατημένοι οὐ πιστεύσουσιν. b et suppl. a.

§. 9. καὶ μὴν εἴ τις ὑμῶν] τὸ σχῆμα ἀνθυποφορά. — καὶ τοῦτο ἀντίθεσίς ἐστι τοῦ δυνατοῦ, δύναμιν ἀνθυποφορᾶς ἔχουσα. ἡ γὰρ ἀνθυποφορὰ οὐχ 27
ὁλόκληρός ἐστιν ἀντίθεσις, ἀλλὰ μέρος ἀντιθέσεως, τὸ μὲν δεχομένη, τῷ δὲ ἐνισταμένη, οἷόν ἐστι καὶ τὸ νῦν. τῆς γὰρ πρώτης ἀντιθέσεως οὔσης, ὅτι φοβερὸς ὁ Φίλιππος, καὶ τῷ δικαίῳ λελυμένης, ἡ ἀνθυποφορὰ πρὸς μὲν τὸ δίκαιον οὐκ ἐνίσταται, μέρος δὲ ἔχει τοῦ δυνατοῦ. ὅτι εἰ καὶ Φίλιππος ἄδικος καὶ ἐπίορκος, ἀλλ' ὅμως βίᾳ καθέξει τὸ πᾶν. b.

ὅταν μὲν γὰρ ὑπ' εὐνοίας] ἀπὸ τοῦ δικαίου πάλιν ἐποιήσατο τὴν λύσιν· ἡ γὰρ ἐκ πλεονεξίας ἰσχὺς οὐκ εὔνους ἔχει τοὺς ἀδικηθέντας. b.

ἡ πρώτη πρόφασις] ἀντιπῖπτον ἔλυσεν „οὐκοῦν

4. τὰ ῥήματα Sauppius: τῷ ῥήματι br. 5. πώποτε om. r. 6. αὐτὴ r. 7. ὅτι] ὅτι καὶ r. 8. καὶ om. r. 10. εἰπεῖν Sauppius: εἰπὼν br. cf. Ulpian. 14. εὐτελὲς Sauppius: liber ἀτελές. 16. λαμβάνῃ r. 21. γὰρ H. Wolfius: γὰρ πρὸς mbr. 30. δυνατοῦ] τῶν δυνατῶν r. 34. οὐ add. H. Wolfius. 42. ἐκ τοῦ δευτέρου μετὰ, Fort. ἐκ τοῦ βωμοῦ δῆτα, coll. p. 50. a. 31. Spp. 45. ἐξηπάτα r.

1. παρ'] γὰρ παρ' r. 2. αὐτοῦ urb.: αὐτὸς ar. 4. ὠροπὸς a et urb., ὀρωπὸς r. 5. ἵν' οὖν κ. τ. λ. om. urb. ἐντιωθῶσι r. 6. τῆς et τῶν om. r. 7. ὠροπὸς a, ὀρωπὸς r. 15. αὐτῷ ar. 24. προύκλησις liber. 30. πιστεύουσιν r. — In suppl. a verba paululum differunt, sensus idem est. 38. λελυμένης m: λελησμένος br.

δεήσει μάχης καὶ κινδύνων, ἵνα κρατήσωμεν" [ὁ δὲ ἡ πρώτη πρόφασις] καὶ μικρὸν πταῖσμα εἰπὼν τὸ ῥᾴδιον τῆς καθαιρέσεως ἔδειξεν. τοῦτο γὰρ μάλιστα τοῦ δυνατοῦ κεφαλαίου τιμιώτατον μέρος. b.

ἀνεχαίτισε] εἰς τοὐπίσω ἤγαγε. **suppl.** *a. ἀνέτρεψεν· ἀπὸ μεταφορᾶς τῶν ὑποζυγίων, ἃ διὰ τὸ μὴ ἐπὶ πολὺ δύνασθαι φέρειν τὸν ζυγὸν πολλάκις ἀνατρέπει αὐτόν. πάνυ δὲ ὁ λόγος ἁρμόζει καὶ ἐπὶ τῶν ὑπὸ Φιλίππου δεδουλωμένων, εἴ γε καὶ ἡ δουλεία ἔοικε ζυγῷ, τῇ δὲ συνεχείᾳ τῶν ὀνομάτων δείκνυσιν αὐτὸν καὶ θεοῖς καὶ ἀνθρώποις πολέμιον, ἵν' ᾖ τὸ μὲν ἄδικον ἐπὶ ἀνθρώπων, τὸ δὲ ἐπίορκον ἐπὶ τῶν θεῶν, τὸ δὲ ψευδὲς ἐπ' ἀμφοτέρων.* b et urb.

σφόδρα] τὸ ὀλιγοχρόνιον παρέστησεν. b.

§. 10. *καὶ σφόδρα γε ἤνθησεν] ἀντὶ τοῦ πρόσκαιρον καὶ ἀβέβαιον ἔδειξε τὴν δύναμιν τοῦ Μακεδόνος· καὶ γὰρ τὰ ἄνθη πρόσκαιρα καὶ ὀλιγοχρόνια.* b.

ἀντέχει] ἰσχύει. **suppl.** *a.*

φωρᾶται] ἤγουν ἐλέγχεται, ἀπὸ μεταφορᾶς τοῦ λῃστοῦ, ὃς λέγεται φώρ. b et urb. *ἐλέγχεται δὲ τὰ τοιαῦτα τῷ χρόνῳ.* **suppl.** *a.*

καταρρεῖ] συμπίπτει. **suppl.** *a. διαφθείρεται· ἀπὸ μεταφορᾶς τοίχου τινὸς παλαιοῦ, ὅταν ὑπὸ τῆς παλαιότητος αὐτὸς ὑφ' ἑαυτοῦ διαβιβρώσκηται καὶ ἀναλίσκηται.* b.

τῶν ἄλλων τῶν τοιούτων] ἱερῶν, λουτρῶν. b.

τὰ κάτωθεν ἰσχυρότατα εἶναι δεῖ] τινὲς λαμβάνονται τοῦ ῥήτορος ἐνταῦθα, λέγοντες ὅτι κάτω
28 *ἔδει εἰπεῖν καὶ οὐ κάτωθεν. ἀλλ' ἠγνόησαν τὸ ἀκόλουθον. κάτωθεν γὰρ εἶπεν, ἐπειδὴ κάτωθεν ἀπὸ θεμελίων οἰκοδομεῖται οἶκος, ὁμοίως καὶ ναῦς ἀπὸ τῆς τρόπιδος.* b.

§. 11. *φημὶ δὲ δεῖν ὑμᾶς] ἐγχείρημα συμβουλευτικὸν ἀποφαντικῶς. πεπλήρωκε δὲ ἄχρις νῦν τὸν περὶ τοῦ δικαίου λόγον· καὶ δείξας Φιλίππῳ μὲν δυσμενεῖς τοὺς θεούς, εὐμενεῖς δὲ τῷ δήμῳ, πάλιν ἐπὶ τὴν προτροπὴν ἀνεχώρησεν.* b.

§. 12. *ἐπὶ τοῖς πράγμασιν] τὸν πόλεμον καλεῖ.* b et urb.

τὰ πράγματα] ἔργα. b.

ὅσῳ γὰρ] τὸ σχῆμα ἀπὸ αὐξήσεως. b.

§. 13. *τὴν μετάστασιν] τὸ ἀπὸ Ἀθηνῶν ἀπελθεῖν εἰς Ὄλυνθον συμμάχοις· μεταβολὴ δὲ τὸ τὴν ῥᾳθυμίαν εἰς προθυμίαν μεταβαλεῖν.* b.

§. 14. *ὅλως] καθόλου.* b.

τυραννικὴν οἰκίαν] τὸ γένος λέγει τῶν Ἀλευαδῶν. **suppl.** *a.*

ὅποι τις ἂν κἂν etc.] ἐπειδὴ διὰ τῶν ἀνωτέρω ἔδοξεν ὥσπερ τινὰ ὑποψίαν δυνάμεως παρέχειν τοῖς Μακεδόσι, βούλεται κοινὸν αὐτὸ δεῖξαι καὶ διὰ τοῦ καθολικοῦ ἐλαττῶσαι. ὁ δὲ κἂν σημαίνει ἐνταῦθα αἵρεσιν τοῦ ἐλάττονος ἐν ἀποτυχίᾳ τοῦ μείζονος· οὐ γάρ εἰσι δύο μέρη, ἀλλ' ἕν. b.

κἂν] τὸ κἂν ἐνταῦθα κεῖται τὸ παραφερόμενον καὶ δοκοῦν μὴ λέγεσθαι· οὐ γὰρ δυνάμεθα αὐτὸ διαλῦσαι εἰς τὸ καὶ ἐάν. κεῖται γὰρ ἄλλος σύνδεσμος, ὁ ἄν. b.

§. 15. *ἔτ' ἐπισφαλεστέραν] ζητεῖται πῶς ἀσθενεστέραν ἀλλ' οὐ μᾶλλον ἰσχυροτέραν ποιεῖ διὰ τοῦ γυμνάζεσθαι καὶ συνεχῶς μανθάνειν τὰ πολέμια. καί φαμεν ὅτι ἀσθενεστέραν οὐ λέγει τοῖς σώμασιν, ἀλλὰ τῇ γνώμῃ, διότι μισοῦσιν αὐτὸν δι' ἅπερ αὐτοῖς ποιεῖ, ὡς ἐπιφέρει. ἢ ὅτι τῇ συνεχεῖ τριβῇ κατακοπτόμενοι ἀσθενέστεροι γίνονται.* b.

μὴ γὰρ οἴεσθε] ἐπειδὴ δειλίαν οὐκ ἔσχε κατηγορῆσαι Φιλίππου, τὴν γνώμην αὐτοῦ ἐξετάζει καὶ τὴν σχέσιν τῶν Μακεδόνων, καὶ τὰς προαιρέσεις αὐτῶν ἐναντίας ἀποφήνας οὐχ ὁμονοοῦντας ἀλλήλοις δεικνύουσιν. b.

καὶ προῄρηται πράττων] ἡ σύνταξις οὕτως· καὶ προῄρηται πράττων καὶ κινδυνεύων παθεῖν ὅ τι ἂν συμβῇ. εἶτα στίξαντας ἐπενεγκεῖν· προῃρημένος ἀντὶ τοῦ ζῆν ἀσφαλῶς δόξαν κτήσασθαι τοῦ ταῦτα διαπράξασθαι, ἃ μηδεὶς ἄλλος Μακεδόνων. b.

§. 16. *τὴν τοῦ διαπράξασθαι ταῦτα] ὑπερβατὸν καθ' ὑπέρθεσιν.* b. *τὸ σχῆμα ὑπερβατόν.* **suppl.** *a.*

κοπτομένης] συντριβομένης καὶ ἀπολλυμένης. (sic) **suppl.** *a.*

διαθέσθαι] πωλῆσαι· ἡ λέξις καὶ παρ' Ἰσοκράτει ἐν τῷ Βουσίριδι. b. *πωλῆσαι.* **suppl.** *a.*

§. 17. *οἱ δὴ περὶ αὐτὸν ὄντες ξένοι] ὅρα πῶς κατὰ μικρὸν τὸ ἀσθενὲς ἀποδείκνυσι τοῦ Φιλίππου. πρῶτον εἰπὼν ὅτι μισοῦσιν αὐτὸν οἱ σύμμαχοι, εἶτα καὶ αὐτοὶ οἱ Μακεδόνες. εἶτα, ἵνα μή τις εἴπῃ, ἀλλ' οὖν ξενικά τινα ἔχει στρατεύματα, διαβάλλει καὶ ταῦτα.* b.

πεζέταιροι] πολλαὶ περὶ τούτου φέρονται ἐξη-

---

1. *ὁ δὲ ἡ πρώτη πρόφασις* **addidimus cum** *m.* 10. **Post** *ζυγῷ* **in urb. pariter atque in** *m* **haec addita sunt:** *καὶ τὸ βούλεσθαι τοὺς δούλους ἀποστῆναι διὰ τὸ μηκέτι φέρειν ἐπὶ πολὺ ἀδικοῦντα καὶ ἐπιορκοῦντα.* 31. *ἰδὲν] ἐνταῦθα r.*

1. *καθόλου* **Sauppius:** *καὶ καθόλου br.* 2. *ἀλευάδων a.* 5. *ἔδοξεν — παρέχειν m: ἔδειξεν — παρέχωσι br.* 10. *παραφερόμενον* **Sauppius:** *περιφερόμενον br.* 11. *λέγεσθαι* **Sauppius:** *λέγειν br.* **cf. Schol. Isocr. 3 §. 34.** 15. *οὐ* **Sauppius:** *καὶ br.* **cf. Ulp.** 27. *πράττων] πράττων τι br.* 34. **In mg. inf.** *a* **adscripti sunt vv.:**

εἴ περ ἴσην γνώμῃ ῥώμην, Δημόσθενες, εἶχες,
οὔποτ' ἂν Ἑλλήνων ἦρξεν Ἄρης Μακεδών.

41. *περὶ m: παρὰ br.*

γήσεις. οἱ μὲν γὰρ αὐτὸ λέγουσιν ὄνομα στρατεύματος οὕτω καλουμένου, οἱ δὲ ὅτι τινὲς ἦσαν παρ' αὐτῷ στρατιῶται, τὸν ἕτερον πόδα γυμνὸν ἔχοντες, τὸν δὲ ἕτερον πόδα ὡπλισμένον· διό φασι καὶ πεζαιτέρους αὐτοὺς καλεῖσθαι, διὰ τὸ τὸν ἕτερον πόδα γυμνὸν ἔχειν· πέζα γὰρ τὸ κάτω τοῦ ποδός· ὅθεν καὶ πεζεύειν τὸ χαμαὶ περιπατεῖν. οἱ δέ φασι τοὺς ἀπὸ τοῦ πλήθους τῶν πεζῶν ὧν εἶχε ξένων οἱονεί τινας ἐκλελεγμένους διὰ τὸ ἀνδρεῖον, ἵνα φυλάττωσιν αὐτόν· ἡ δὲ γραφὴ διάφορος πρὸς τὴν διάφορον ἐξήγησιν. b. Θεόπομπός
119 φησιν ὅτι ἐκ πάντων τῶν Μακεδόνων ἐπίλεκτοι οἱ μέγιστοι καὶ ἰσχυρότατοι ἐδορυφόρουν τὸν βασιλέα καὶ ἐκαλοῦντο πεζέταιροι. a (folium antiquum ad finem cod. alligatum) et suppl. a.

συγκεκροτημένοι] κατὰ τέχνην στρατευόμενοι. urb.

τῶν ἐν αὐτῇ τῇ χώρᾳ γεγενημένων] οὐχ ἁπλῶς παροδευσάντων, ἀλλ' οἰκησάντων, διὰ τὸ ἀξιόπιστον. b.

οὐδένων] φασὶν οἱ τεχνικοὶ τῆς γραμματικῆς ὅτι οὐ κυρίως κέκλιται, εἴ γε ἡ εὐθεῖα ὁ οὐδείς, τοῦ οὐδενός. b et urb.

§. 18. φιλοτιμίᾳ] φιλοτιμία, ἡ ἀσύμμετρος δηλονότι, ἣ καὶ εἰς κενοδοξίαν ἐκπίπτει· ἑκάστῃ γὰρ ἀρετῇ δύο κακίαι παρέπονται, κατὰ ἔνδειαν καὶ πλεονασμόν. ἀκρασία δὲ ἀκοσμία, ἀταξία, παρὰ τὸ μὴ κεκαλύφθαι. διὰ δὲ τοῦ καθ' ἡμέραν διέβαλεν αὐτὸν ὡς μεθυστὴν καὶ τοῦτο βίον ἔχοντα. b.

εἰ δέ τις etc.] τὸ σπάνιον τοῦτο δηλοῖ. b.

ἄλλως] φύσει. καὶ Ὅμηρος·

ὁ δ' ἀγήνωρ ἐστὶ καὶ ἄλλως.

σημαίνει καὶ τὸ κατ' ἄλλον τρόπον καὶ τὸ μάτην. b.

30 κορδακισμοὺς] ὀρχήσεις. Ἄλλως. ἰστέον, ὅτι κοινὸν μὲν ἦν τῆς τραγικῆς ὀρχήσεως εἶδος ἡ προσαγορευομένη ἐμμέλεια, τῆς δὲ σατυρικῆς ἡ σίκιννις, τῆς δὲ κωμικῆς ὁ κόρδαξ, τῆς δὲ πολεμικῆς ἡ πυρρίχη. b. Τὰς μετὰ μέθης ὀρχήσεις. suppl. a.

παρεῶσθαι] καταφρονεῖσθαι. b.

§. 19. λῃστὰς] [οἱονεὶ ἅρπαγάς τινας στρατιώτας·] ἐπειδὴ δὲ ἔμφασιν ἔχει ἡ λέξις, εἴ γε τοὺς πολεμίους λῃστεύουσι, διὰ τοῦ κόλακας ἐταπείνωσεν αὐτό· ταπεινοὶ γὰρ οὗτοι τὸ φρόνημα. b.

ὀκνῶ] διὰ τὴν αἰσχρότητα. b.

θαυματοποιῶν] θαυμαστὸν ἐργαζομένων. suppl. a.

Καλλίαν ἐκεῖνον τὸν δημόσιον] πληθυντικῶς εἰπὼν ἕνα ἐπήγαγεν, ἐφ' ἑνὸς τὸ πλῆθος τῆς μαρτυρίας δειξάμενος. b. ὁ Ἀθηναίων δῆμος ἔθος εἶχεν, ὠνεῖσθαι οἰκέτας γράμματα ἐπισταμένους· τοὺς δὲ εὐνοϊκῶς δουλεύοντας ἠλευθέρουν. ὁ δὲ Καλλίας, εἷς ὢν τῶν οἰκετῶν καὶ καταγνωσθείς, ἔφυγεν εἰς Μακεδονίαν καὶ διέτριβε παρὰ Φιλίππῳ. suppl. a.

μίμους γελοίων] ἀναγκαῖον τὸ τῆς προσθήκης· οὐ γὰρ ἅπασα μίμησις γελοία τυγχάνει, ἀλλ' ἔστι καὶ σπουδαία, οἷα ἡ τῶν τραγῳδῶν ἢ τῶν κωμικῶν. διὰ τοῦτο προσέθηκε καὶ ἐπὶ τοῦ ᾀσμάτων τὸ αἰσχρῶν· εἰσὶ γὰρ καὶ ἀγαθῶν ᾀσμάτων ποιηταί. b.

§. 20. καὶ κακοδαιμονίας] ἵνα μή τις εἴπῃ· καὶ τί ταῦτα αὐτῷ λυμαίνεται; ἐπάγει, ὅτι δεῖγμά ἐστιν αὐτοῦ τῆς κακοδαιμονίας· εἰκὸς γὰρ αὐτοὺς κόλακας ὄντας καὶ εἰς τοὺς θεοὺς ἀποσκώπτειν. b.

τοῖς εὖ φρονοῦσιν] σωφροσύνης Ἀθηναίων ἔμφασιν ἔχει ἡ λέξις. b.

ἐπισκοτεῖ] ἐπισκοτεῖν τὸ ἐπικεῖσθαί τινι καὶ τειχίζειν τὸ φῶς· σὺν τῇ δοτικῇ. b.

συγκρύψαι] ἀντὶ τοῦ συσκιάσαι. b.

ἐξετασθήσεται] ἐξελεγχθήσεται. urb.

δείξειν] ἔλεγχον δώσειν. urb.

§. 21. τέως] ἐν ὅσῳ. urb.

ῥῆγμα] νεύρου διάτασις. b.

στρέμμα] ὀστέου παράβασις. b.

κἂν ῥῆγμα κἂν στρέμμα] ῥῆγμα μὲν οἱ ἰατροί φασιν φλεβὸς ἢ ἀρτηρίας ῥῆξιν, στρέμμα δὲ ἄρθρου παράβασιν· τινὲς δὲ ῥῆγμα μὲν νεύρου διάτασιν, στρέμμα δὲ ὀστέου παράβασιν. urb. ῥῆγμα λέγεται ἡ τοῦ νεύρου διάτασις, στρέμμα δὲ ὀστέου μετάστασις. suppl. a.

§. 22. εἰ δέ τις ὑμῶν] ἀνθυποφορά. πληρώσας τὰ πρότερα μέρη τοῦ δυνατοῦ μεταβέβηκεν ἐπὶ τὸ τρίτον [τὸ τῆς τύχης. ἔστι γὰρ ἡ μὲν πρώτη καὶ καθολική· φοβερὸς Φίλιππος· ἔδειξεν οὖν ὅτι οὐ φοβερός, ἐξ ἀδικίας ηὐξημένος.] ἡ δὲ δευτέρα μερική, ὅτι βίᾳ καθέξει τὰ πράγματα· ἔδειξεν ὅτι οὐ καθέξει, μισούντων αὐτὸν καὶ ὑπηκόων καὶ συμμάχων 31
καὶ ξένων, ἄλλως τε καὶ αὐτὸς ὢν μεθυστὴς καὶ ἀσελ-

2. καλουμένου Sauppius: καλούμενον br, λεγομένου m. 6. πέζα m: πεζοὶ br. πεζεύειν m: πεζωμα br. 10. θεόπεμπτος r cum suppl. a. 11. τῶν om. r. 12. ἰσχυρότατοι Sauppius: ἰσχυρότεροι ar. τὸν βασιλέα a: τοῦ βασιλέως suppl. a, τοὺς βασιλέας r. 13. πεζαίτεροι r cum suppl. a. — In urb. ea adscripta sunt, quae habet Harpocrat. p. 16—21. 30. Homer. Il. 9, 699. 32. ἄλλον Sauppius: ἄλλον τὸν br. cf. Ulpian. 39. οἱονεὶ — στρατιώτας add. ex Ulpiani scholio. 41. ταπεινὸν r.

5. δειξάμενος H. Wolfius: δεξάμενος br. 6. δ' r. 9. παρὰ Reiskius: περὶ a. 10. ἀναγκαῖον m: ἀναγκαίως br. 12. οἷα r. τραγῳδῶν] τε ἀγαθῶν r. 16. τί addidimus cum m. 19. σωφροσύνην r. 22. τῇ om. r. 27. διάτασις Sauppius: διάστασις br. cf. Schol. codd. a et urb. 36. τοῦ δυνατοῦ m: τῆς δυνάμεως br. 37. τὸ τρίτον H. Wolfius: τρίτον m, τὰ δεύτερα br. [τὸ τῆς τύχης — ηὐξημένος] addidimus cum m: in b est lacuna quatuor versuum quaternorum fere vocabulorum. τὸ τῆς Sauppius: ἐπὶ m. 41. αὐτὸν m: αὐτῶν br.

γής. ἡ δὲ τρίτη καὶ τελευταία· ἀλλ' εὐτυχὴς ὁ Φίλιππος. ὥστε εἶναι τὰς δύο τὰς τελευταίας μέρη τῆς πρώτης καὶ καθολικῆς. b.

ταύτῃ] κατὰ τοῦτο. urb.

σώφρονος μὲν ἀνθρώπου] ἐμήκυνε τὴν ἀντίθεσιν καὶ τὸν προσκομίσαντα αὐτὴν ἐπῄνεσε· τίς οὖν ἡ πρόφασις; εἴωθεν ὁ Δημοσθένης, ἔνθα ἂν ἀπορῇ λύσεως πρὸς ἀντίθεσιν, μὴ ψιλὴν αὐτὴν τιθέναι, ἀλλὰ κατ' ὀλίγον πλατύνειν, ἕως ἂν λάθῃ τοιοῦτόν τι προσθείς, ἐξ οὗ λήψεται τὴν ἀφορμὴν τῆς λύσεως· ὃ δὴ κἀνταῦθα πεποίηκεν. ἦν γὰρ ἡ μὲν ἀντίθεσις· εὐτυχὴς ὁ Φίλιππος· οὐκ ἔχων δὲ λῦσαι ταύτην, κατ' ὀλίγον πλατύνων ἀπὸ τῆς Φιλίππου τύχης αὐτοὺς ἐπὶ τὴν κοινὴν τῶν ἀνθρώπων μετέστησεν, ὅτι Πλάτων φησὶ τὰς ἀρετὰς ἀλλήλαις ἕπεσθαι, ὥστε τὸν ὄντα σώφρονα καὶ δίκαιον εἶναι καὶ φρόνιμον καὶ ἀνδρεῖον· ὁ δὲ αὐτός φησι καὶ ταῖς ἀρεταῖς τὰ τῆς τύχης ἀκολουθεῖν. b.

ἡ τύχη] τὸ σχῆμα τοῦτο παρεμβολὴ ἐξ ὀνόματος. b.

παρὰ πάντ'] ἀντὶ τοῦ κατὰ πάντα. b.

ἀφορμάς] αἰτίας. καὶ δεικνυσιν· ὅτι ἐσμὲν εὐσεβεῖς, καὶ δείκνυσι παρὰ τῶν θεῶν. τὸ δὲ οἶμαι παρέλκον. b.

§. 23. οὐκ ἔνι δ'] ἐπιχείρημα ἐκ τοῦ ἐλάττονος. urb.

τοὐναντίον γὰρ ἦν θαυμαστόν] σημείωσαι σχῆμα ἐναντίον, ὅ ἐστι δριμύτης νοήματος ἀπὸ τῆς ἐργασίας λαμβανομένη. b.

§. 24. εἰ Λακεδαιμονίοις μέν ποτε] ἐν τῷ Πελοποννησιακῷ πολέμῳ ὁρῶντες οἱ Λακεδαιμόνιοι τοὺς Ἕλληνας ἀδικουμένους ὑπὸ τῆς ἀρχῆς τῶν Ἀθηναίων, ὑπέσχοντο αὐτοῖς ἐλευθερίαν, καὶ τούτῳ τῷ λόγῳ χρησάμενοι ἠδυνήθησαν κατὰ μικρὸν μεταστῆσαι πρὸς αὐτοὺς τοὺς Ἕλληνας· ὡς δὲ κατώρθωσαν τὸν Πελοποννησιακὸν πόλεμον, ὕστερον καὶ αὐτοί, χειρόνως ἤπερ οἱ Ἀθηναῖοι, ἠδίκουν τοὺς Ἕλληνας· εἶτα ἀγανακτήσαντες ἐκ τούτου Ἀθηναῖοι ἐξήνεγκαν ὑπὲρ τῶν ἀδικουμένων πόλεμον πρὸς Λακεδαιμονίους·
32 καὶ ἐκ τούτου τῆς προσηγορίας ἔτυχεν ὑπὲρ τῶν Ἑλληνικῶν δικαίων. b.

ἰδίᾳ πλεονεκτῆσαι] κατὰ μόνας κερδῆσαι. b.

πλεονεκτῆσαι] κρατῆσαι. urb.

§. 25. ἴστε γὰρ δήπου τοῦθ'] ὥσπερ ὑπομιμνήσκει τούτους τοῦ χρόνου, ὡς δὴ καὶ τούτου λήθην παθόντας διὰ τὴν πολλὴν ῥαθυμίαν. b.

ἑτέρους τινάς] Χάρητα καὶ Χαρίδημον λέγει. b.

κρινόντων] τοῦτο εἰς Χάρητα. ἵνα δὲ μὴ δοκῇ ἀπολογεῖσθαι ὑπὲρ αὐτοῦ, τῷ κοινῷ καλύπτει τὴν ὑποψίαν. μεταπεμπόμενοι γὰρ τοὺς στρατηγοὺς εἰς κρίσιν καθίστων. b.

§. 26. εἶθ' οὕτως] τραχύτητος τὸ σχῆμα μᾶλλον ἢ ἀκμῆς ἡ ἔννοια· μακρὰ γὰρ τὰ κῶλα. b.

ἀγνωμόνως] ἀνοήτως. urb.

ἀγνωμόνως ἔχετε] ἀγνώμονας, τοὺς ἀνοήτους, κατὰ στέρησιν τῆς γνώμης, οὐχ ὡς νῦν τοὺς ἀχαρίστους. b.

νυνὶ δὲ ὅτι μὲν φυλάξομεν] ἀντιπῖπτον ἔλυσεν, ὅτι ξενικοῖς χρησόμεθα στρατοπέδοις. ὁ δὲ τί φησιν; εἰ μὲν εἴχομέν τι φυλάξαι, καλῶς τοὺς ξένους ἐπέμπομεν· ἐπὶ τοῦτο γὰρ ἀπέστελλον τοὺς ξένους· εἰ δὲ κτήσασθαι δεῖ, πρόδηλον ὅτι δῆμον εἶναι δεῖ τὸν στρατευόμενον. b.

§. 27. φημὶ δὴ δεῖν] ἐντεῦθεν ἐπὶ τοὺς ἐπιλόγους μετελήλυθεν, ἐν σχήματι ἀνακεφαλαιώσεως τὴν εἰσβολὴν ποιησάμενος. τινὲς δέ φασιν, ὅτι ἕως ὧδε ἐπλήρωσε τὸ δυνατὸν κεφάλαιον, εἶτα ἐπὶ τὸ συμφέρον ἔρχεται. b.

τὰς προφάσεις] οἱ γὰρ στρατηγοὶ προφάσεις ἐποιοῦντο τῆς ἀπολογίας τὸ μὴ λαμβάνειν χρήματα. ὀλίγα γάρ φησιν εἰς μισθὸν διδόντες τοῖς στρατιώταις, τὰ λοιπὰ εἰς τὰ θεωρικὰ κατέχετε. b.

πικρῶς] ἤγουν δικαίως. b.

τὸν πόλεμον] πρὸς Φίλιππον. urb.

§. 28. ἰδίους] οὓς ἐκτὸς τῆς πόλεως ἐποίουν. αἰνίττεται δὲ ἴσως εἰς Χάρητα. b.

§. 29. διεστάναι] διχονοεῖν. b. διαχωρισθῆναι. urb.

ῥήτωρ ἡγεμών] δεῖ μὴ χωρίζειν τὸ ῥήτωρ ἡγεμὼν ἑκατέρων. b.

οἱ δ' ἄλλοι προσνενέμησθε] συμπέρασμα τοῦ συμφέροντος. b.

§. 30. δεῖ δὴ ταῦτα] ἐντεῦθεν οἱ ἐπίλογοι. b et urb.

ἐπανέντας] ἐάσαντας, ἐγχαλάσαντας. b. 33

ὑμῶν αὐτῶν — γενομένους] ὡς ἐπὶ νοσούντων εἶπε τὸ ὑμῶν αὐτῶν γενομένους. b.

εἰ δὲ τοῖς μὲν] πρὸς τὸν Εὔβουλον ἀποτείνεται. b.

τοῖς δ' ἀναγκάζεσθαι] προλαβὼν ὑπὲρ αὐτῶν ποιεῖται τὸν λόγον ὅτι· μέχρι πότε οἱ πλούσιοι τριηραρχήσουσι καὶ πάντα δαπανήσουσιν; ἐὰν γὰρ αὐτοῖς παρακύψῃ ἀπὸ τῶν πλουσίων, ἐλπίδα μηδεμίαν ἔχοντες μηδ' ἄλλως εὐπορίαν ἀποστήσονται τῶν θεωρικῶν. καὶ ὅλως σύνηθες τῷ Δημοσθένει τοῖς πλουσίοις συνίστασθαι· γινώσκει γὰρ ὅτι νεῦρα τῆς πόλεώς εἰσιν οἱ πλούσιοι. b.

---

3. καὶ add. Sauppius, cf. p. 59. b. 37. 19. Hoc scholium cum m huc transtulimus, cum in b ad verba οὐ δὴ θαυμαστόν ἐστιν adscriptum sit. 22. δείκνυσι] Fort. εὔνοιά ἐστι. Spp. 36. ἤπερ Reiskius: εἶπαν b. 38. ὑπὲρ m: ἐκ br. 39. ἔτυχον r. 44. τούτους Reiskius: τούτοις b.

2. μεταπεμπόμενοι m: μὴ πεμπόμενοι br. 5. ἀκμῆς] ἀσφαλὴς r. 14. δὲ add. cum m. 44. ἔχοντες m: ἔχοντας br. ἄλλως Sauppius: ἄλλοις br.

τοῖς δὲ ψηφίζεσθαι] τοῖς ῥήτορσι συμπονεῖν. b.

§. 31. *λέγω δὴ κεφάλαιον*] ἐπίλογος. — δια τούτου δευτέρας ἐδεήθη ἀνακεφαλαιώσεως, εἰπὼν ὅτι *χρὴ πάντας εἰσφέρειν*, ἵνα τῆς ἀνάγκης αὐτοὺς περιστάσης ἐκστήσωνται τῶν θεωρικῶν. b.

τὸ ἴσον] κατὰ τὴν ἑκάστου οὐσίαν. b.

κατὰ μέρος] κατὰ διαδοχήν. b.

ὁ δεῖνα ἢ ὁ δεῖνα] τὸν Εὔβουλον λέγει, πρὸς χάριν δημηγοροῦντα. b.

ἀλλὰ καὶ ὑμᾶς αὐτοὺς] διὰ τὸ πεισθῆναι τοῖς καλῶς βουλεύσασιν. b.

III. IN OLYNTHIACAM TERTIAM.

§. 1. *Οὐχὶ ταὐτὰ παρίσταταί μοι*] τὸ προοίμιον ἐξ ἐπιτιμήσεως. — τὸ προοίμιον προσοχὴν διὰ τοῦ παροξυσμοῦ ἀπεργάζεται. b et suppl. a. ὡς τῶν πραγμάτων χαλεπῶν ὄντων ἐξ ἐπιτιμήσεως εἴληπται τὸ προοίμιον, ἢ ἐκ τοῦ παραδόξου· παράδοξον γὰρ γίνεται, ὅταν τοῖς λόγοις οὐκ ἐντρέχῃ τὰ πράγματα· ἢ ἀπὸ συγκρίσεως· συγκρίνων γὰρ δείκνυσι τοὺς λόγους ἐναντίως ἔχοντας τοῖς πράγμασιν. b. παθητικὸν τὸ προοίμιον καὶ μεστὸν ἀξιώματος· ἐν ᾧ γὰρ ἐπηρμένον τὸν δῆμον καὶ φρονοῦντα τῇ νίκῃ συστέλλει καὶ πρὸς φόβον καθίστησιν, ἀφ᾽ ἑτέρου πάθους εἰς ἕτερον ἄγει τὸν ἀκροατήν· ἐν ᾧ δὲ ἀλλάττει τὴν γνώμην τῶν Ἀθηναίων, τὸ τοῦ Περικλέους ἀξίωμα διὰ τῶν ἔργων δείκνυσιν. b et suppl. a. καὶ γαρ ἐκεῖνος ἀθυ-
34 μοῦντα μὲν τὸν δῆμον ἱκανὸς ἦν ἀναγαγεῖν καὶ μεστὸν ἐλπίδων ἀποφῆναι, θαρροῦντα δὲ αὖθις εἰς φόβον περιαγαγεῖν. b.

τοὺς μὲν γὰρ λόγους] κατασκευὴ τοῦ προοιμίου. b.

τιμωρήσασθαι Φίλιππον] τουτέστιν εἰς Μακεδονίαν μεταβιβάζειν τὴν δύναμιν. suppl. a.

εἰς τοῦτο προήκοντα] οὐκ εἶπεν *οὕτως ἔχοντα*, ἀλλὰ *προήκοντα*, διὰ τῆς ἐν τῇ λέξει παρατάσεως, τὸν χρόνον δεικνὺς ὄντα αἴτιον τῶν κακῶν. b. εἰς τοῦτο κακίας ἐλθόντα. suppl. a.

ὥστε ὅπως μὴ πεισόμεθα] μεγάλῳ θάρσει μέγαν φόβον ἀντέθηκε σφόδρα τεχνικῶς· τὰ γὰρ μεγάλα πάθη μεγάλοις πάθεσι προσῆκον λύειν. b.

οὐδὲν οὖν ἄλλο μοι δοκοῦσιν] ὥσπερ αἰνιττόμενος· *ἀλλὰ νῦν μὲν οὐκ ἔχω Φιλιππισμὸν αὐτοῖς ὀνειδίζειν*. b.

τὴν ὑπόθεσιν] σφόδρα βιαίως τὸν δῆμον κοινωνὸν τῆς ἑαυτοῦ γνώμης ἐποίησεν· ὑπὲρ ὧν αὐτὸς μέλλει συμβουλεύειν, περὶ τούτων εἰσεληλυθέναι φήσας βουλεύσασθαι τὸν δῆμον. b.

οὐχὶ τὴν οὖσαν παριστάντες] τριμερὴς ὁ λόγος· τὸ μὲν γὰρ πρῶτόν ἐστι τὸ δοκοῦν μάλιστα συνέχειν καὶ περὶ οὗ πρόκειται νῦν ἡ σκέψις, ὃ προηγούμενον κέκληται, εἰ χρὴ μεταστῆσαι τὴν δύναμιν εἰς Μακεδονίαν ἢ κατὰ χώραν ἐᾶσαι μένειν τοῖς Ὀλυνθίοις βοηθήσουσαν· τὸ δὲ β΄ εἰ χρὴ λύειν τοὺς νόμους τοὺς θεωρικούς· τὸ δὲ γ΄ ἐπιλογικὸν ὂν καταδρομὴν ἔχει τῶν πολιτῶν τῶν νῦν δημαγωγούντων. τούτων δὲ τῶν μερῶν ἕκαστον ὑποπέπτωκεν οἰκείοις κεφαλαίοις. τὸ μὲν γὰρ α΄ τοῦ συμφέροντος εἶναι δοκεῖ, τὸ δὲ β΄ ἐστὶ τοῦ νομίμου, εἴληπται δὲ ἐκ κατασκευῆς τοῦ δυνατοῦ· καὶ γὰρ κεφάλαιον κεφαλαίῳ ἀποδείκνυται. τὸ δὲ γ΄ ἐστὶ τοῦ δικαίου, λέγω δὲ τὸ τῆς καταδρομῆς τῶν πολιτευομένων καὶ τῆς εὐφημίας τῆς ἐπὶ τῶν πρότερον πολιτευσαμένων. πᾶσα γὰρ συμβουλὴ περὶ ποιότητος προσώπων γινομένη, ἔπαινον ἢ ψόγον δηλοῦσα, εἰς τὸ δίκαιον ἔχει τὴν καταφοράν. καὶ τὸ συμφέρον διχῶς τέτμηται, εἴς τε τὸ ἀναγκαῖον· ἐλεύσεται γὰρ Φίλιππος εἰς τὴν Ἀττικὴν διαφθαρέντων τῶν Ὀλυνθίων· καὶ εἰς τὸ ἄδοξον· πάντες γὰρ ἴσασιν Ἕλληνες, ὅτι τοῖς Ὀλυνθίοις ἐπαγγειλάμενοί εἰσι βοηθήσειν, εἰ ἐκπολεμήσονται πρὸς Φίλιππον, καὶ τὸ ψευδεῖς φανῆναι τῶν ἀδόξων. suppl. a.

§. 2. *ἐγὼ δὲ ὅτι μέν ποτε*] λύσις τοῦ ἀντιπίπτοντος. b.

ἐπ᾽ ἐμοῦ γὰρ] ὑπερβατὸν καθ᾽ ὑπέρθεσιν. b.

προλαβεῖν] ὡς ἐπὶ δρομέων εἶπε τὴν λέξιν. b.

ἐὰν γὰρ τοῦτο βεβαίως] τὸ μὲν λέγειν ὡς οὐκ ἔσωσαν Ὀλυνθίους, ἀναίσχυντον· καθεῖλε δὲ αὐτὸ φήσας *οὐ βεβαίως*. ὥστε ἀνάγκη μένειν κατὰ χώραν τὴν δύναμιν. b.

πρὶν δὲ τὴν ἀρχὴν] ἀκόλουθον τῇ ἐξ ἀρχῆς προτάσει τὸ συμπέρασμα· τότε γὰρ τοὺς ῥήτορας μεμφόμενος, ὅτι ἕτερα ἀνθ᾽ ἑτέρων συμβουλεύουσι, νῦν φησι μάταιον εἶναι περὶ τοῦ τέλους σκοπεῖν, ἀρχὴν μὲν τὴν τῶν συμμάχων σωτηρίαν, τέλος δὲ τὴν Φιλίππου καταστροφὴν εἶναι διδάσκων. τὸ δὲ συμπέρασμα γνωμικὸν ὂν σεμνὴν τὴν βάσιν τοῦ προοιμίου πεποίηκε. δεῖ γὰρ ἐν μὲν [ταῖς ἀρχαῖς τῶν προοιμίων τὰ γνωμικὰ φυλάττεσθαι· καὶ γὰρ ἄγονον καὶ ἀρχαιότροπον τὸν λόγον δεικνύει· τῷ δὲ ἐπὶ τέλει γνωμικῷ ἐπισφραγίζεσθαι τοὺς ἐν μέρει λογισμοὺς τῇ καθόλου προσθήκῃ.] b.

---

8. τὸν] εἰς τὸν r. 36. εἰς] εἰς τὴν r. 40. ὄντα] τὸν r. 42. θάρσει m: θάμβει br.
ϑ

7. ὃ m: καὶ a, καὶ τὸ r. 8. κέκληται om. r. χρὴ] δεῖ r. 9. Ὀλυνθίοις mr: α a. 14. α΄ add. Sauppius (πρότερον m). 15. νομίμου m: νόμοι a. 17. τὸ add. m. 19. συμβουλὴ m: συμβολὴ a. 26. εἰσι et εἰ add. Sauppius. 43. [ταῖς ἀρχαῖς — προσθήκῃ] add. ex m.

§. 3. ὁ μὲν οὖν παρὼν καιρὸς] δεύτερον προοίμιον ἐκ τοῦ ἀναγκαίου. λαμβάνεται δὲ ἐξ ὑπολήψεως τῶν πραγμάτων φαύλων ὄντων. b et suppl. a. ἀκατάσκευον τὸ δεύτερον προοίμιον εἶπεν, ἵνα ὡς ὁμολογούμενον λάβῃ τὸ ὅτι πολλῆς φροντίδος δεῖται τὰ πράγματα. b.

35 ἀλλ' ἐκεῖν' ἀπορῶ] τὴν λύσιν τῶν κακῶν εἰδὼς ὀκνεῖ ἀποφήνασθαι. τὸ δὲ τίνα τρόπον· φανερῶς ἢ ἐξ ἀπάτης, μετὰ παρρησίας ἢ ὑφειμένως. b.

πέπεισμαι γὰρ] δίδωσι καὶ τῶν ἄλλων ῥητόρων ἐνίοις λέγειν τὰ χρήσιμά ποτε, ἵνα μὴ πάντα εἰς ἑαυτὸν ἀνάγων φορτικὸς εἶναι δοκῇ. — τὸ σχῆμα προδιόρθωσις. b.

μὴ συνιέναι] σημείωσαι, ὅτι διενήνοχε σύνεσις φρονήσεως· ὅτι ἡ μὲν φρόνησις ἕξις ἐστὶ γεννητικὴ τῶν οἴκοθεν λογισμῶν, ἡ δὲ σύνεσις ἕξις δεκτικὴ τοῦ ἔξωθεν λογισμοῦ. b.

ἀξιῶ δὲ ὑμᾶς] ἐν τῇ ἀξιώσει κέχρηται τῇ προδιορθώσει. — ἀντὶ τοῦ ἄξιον νομίζω· σπανίως γὰρ εὑρίσκεται παρὰ τοῖς Ἀττικοῖς τὸ ἀξιῶ ἀντὶ τοῦ παρακαλῶ. b.

ὁρᾶτε γὰρ] προσεμβολὴ τοῦ συμφέροντος κεφαλαίου. — Ἐντεῦθεν αὐτῷ γεννᾶται τὸ τρίτον μέρος τῆς ἐπιτιμήσεως τῶν νῦν πολιτευομένων. b.

ἐνίους] τοὺς προδότας. b.

§. 4. ἀναγκαῖον δ' ὑπολαμβάνω] μετελήλυθεν ἐνταῦθα ἐπ' αὐτὰ τὰ κεφάλαια. καί ἐστιν αὐτῶν τὸ συμφέρον ἐξεταζόμενον καὶ τὸ προηγούμενον μέρος. suppl. a.

μεμνησθε] διηγηματικόν. — Ἐντεῦθεν οἱ ἀγῶνες· τὸ δὲ κεφάλαιον διηγηματικὸν τοῦ συμφέροντος. b. πεῖσαι βουλόμενος τοὺς Ἀθηναίους ἐᾶσαι μένειν κατὰ χώραν τὴν δύναμιν παραδειγματικῇ πίστει κέ-
120 χρηται· πιθανωτέρα δέ ἐστι πασῶν τῶν πίστεων. τοῦτό τινες ἁμαρτάνοντες ὑπενόησαν εἶναι διήγησιν, ἀγνοήσαντες, ὡς ἐν συμβουλευτικῷ λόγῳ διηγεῖσθαι οὐκ ἔξεστι. suppl. a.

τρίτον ἢ τέταρτον ἔτος] πρὸ τριῶν ἢ τεσσάρων ἐτῶν. b.

Ἡραῖον τεῖχος] πολίχνιον Θρᾳκικόν. b.

μαιμακτηριὼν] Αὔγουστος. b. κατ' ἔμφασιν μείζονα τῆς σπουδῆς κεῖται τὸ ὄνομα τοῦ μηνός. θέλει γὰρ εἰπεῖν, ὅτι καὶ χειμῶνος ὄντος τὰς ναῦς καθέλκειν ἐψηφίσασθε. καὶ γὰρ χειμερινὸς ὁ μήν. suppl. a.

μέχρι πέντε καὶ τετταράκοντα ἐτῶν] ὡς παράδοξον τοῦτο εἶπεν, ἵνα ἐμφήνῃ αὐτῶν τὴν πολλὴν σπουδήν, ὅτι νόμου κελεύοντος παρ' Ἀθηναίοις μέχρι τεσσαράκοντα ἐτῶν στρατεύεσθαι, ἀρξαμένους ἀπὸ ι' καὶ η' ἐτῶν μέχρι κ', τέως παιδία ὄντας, περιπολεῖν τὰ περὶ τὴν πόλιν φρούρια, εἰς ὑπερορίους δὲ πολέμους ἀπὸ εἴκοσιν, αὐτοὶ τότε βουλόμενοι πολλὴν σπουδὴν ἐνδείξασθαι, καὶ οὓς οὐκ ἐκέλευσεν ὁ νόμος στρατεύεσθαι, πολεμεῖν ἐψηφίσαντο. b.

§. 5. ἑκατομβαιὼν] Ἀπρίλλιος. b.

μεταγειτνιὼν] Μάϊος. b.

βοηδρομιὼν] Ἰούνιος. b.

τούτου τοῦ μηνὸς] ἀττικὴ ἡ σύνταξις ἀντὶ δοτικῆς. b.

μετὰ τὰ μυστήρια] τὰ Κόρης καὶ Δήμητρος. b.

δέκα ναῦς ἀπεστείλατε] ἀπόστολος πᾶσα πεμπομένη δύναμις, εἴτε τοξοτῶν εἴτε ὁπλιτῶν εἴτε ἱππέων. ἐξαιρέτως δ' ἐκάλουν τὴν ναυτικὴν δύναμιν ἀπόστολον οἱ Ἀθηναῖοι. b.

κενὰς] πολιτικῆς βοηθείας. b. Ἀθηναίων ἐπιβα- 36
τῶν. suppl. a.

ὡς γὰρ ἠγγέλθη ὁ Φίλιππος ἀσθενῶν] τὴν αἰτίαν λέγει, δι' ἣν ἐρρᾳθύμησαν, ἐξ ἀρχῆς σπουδάσαντες. b.

ἦν δ' οὗτος ὁ καιρὸς αὐτὸς] ἀντὶ τοῦ· ἦν δὲ τότε εὔκαιρον ἐπιθέσθαι τῷ Φιλίππῳ, ὅτε ἠρρώστει. b.

§. 6. παντὶ σθένει] ναυτικῇ καὶ ὁπλιτικῇ δυνάμει. b.

§. 7. ἐθάρρει] ἢ σχῆμά ἐστι κατὰ ἀντίπτωσιν, ἀντὶ τοῦ ἐθάρρει τούτοις, ἢ λείπει τῷ νοήματι τὸ ἀδικεῖν· οἷον οὐκ ἐθάρρει τούτους ἀδικεῖν· καὶ τὸ ἑξῆς δὲ αὐτοῦ οὕτω δεῖ λαβεῖν. b.

ἐθρύλουν] ηὔχοντο. b.

ὁπωσδήποτε] τυχηρῶς. b.

§. 8. τί οὖν ὑπόλοιπον] ὑπερβατὸν καθ' ὑπέρθεσιν. b.

ἐχόντων μὲν ὡς ἔχουσι Θηβαίων] ἤγουν ἐχθρῶς. b.

§. 9. ἀλλὰ μὴν etc.] ἐνταῦθα τὸ μέρος τοῦ συμφέροντος τὸ ἀναγκαῖον, πληρωθέντος ἤδη τοῦ χρησίμου. b.

§. 10. ἀλλ' ὅτι μὲν δὴ δεῖ βοηθεῖν] ἀνθυποφορά. τὸ δυνατὸν κεφάλαιον. b.

μὴ τοίνυν] ἐπειδὴ τοῦ ἀκροατοῦ προσδοκῶντος περὶ πολέμου ἀκούειν αὐτὸς περὶ νομοθετῶν μέλλει λέγειν, διὰ τοῦτο τῇ προθεραπείᾳ χρῆται. νομοθέτας δὲ λέγει τοὺς κρίνοντας τοὺς νόμους καὶ τιθέντας νόμους καινούς. b.

---

1. hoc scholion, om. v. δεύτερον, in suppl. a. legitur supra post v. δεικνύουσιν p. 60 a. 30. 28. το om. r 34. πιθανώτερον r. τοῦτό τινες] τινὲς δὲ r. 36. διηγήσασθαι r. 45. χειμ. ἦν ὁ r.

2. τεσσαράκοντα m: πέντε καὶ τεσσαράκοντα br. 11. ἀντὶ] ἀντὶ τῆς r. 37. 40. Sedem horum scholiorum cum cod. transmutavimus. Lemma priori in cod. non adscriptum est.

§. 11. *περὶ τῶν θεωρικῶν*] χρήματά τινα ἦν ἐν τῷ κοινῷ, ἀπὸ τῶν τῆς πόλεως προσόδων συναγόμενα, ἃ πρότερον μὲν εἰς τὰς τοῦ πολέμου χρείας ἐφυλάττετο καὶ ἐκαλεῖτο στρατηγικά, ὕστερον δὲ κατετίθετο εἴς τε τὰς δημοσίας κατασκευὰς καὶ διανομὰς τῶν πολιτῶν. ἦν δὲ τὸ μὲν πρότερον νομισθὲν δραχμὴ τῆς θέας· ὅθεν καὶ θεωρικὰ ἐκλήθη. Φιλῖνος δέ φησιν, ὅτι διὰ τοῦτο ἐκλήθη θεωρικά, διότι τῶν Διονυσίων ὑπογυίων ὄντων διένειμεν Εὔβουλος εἰς τὴν θυσίαν, ἵνα πάντες ἑορτάζωσι καὶ μηδεὶς ἀπολείπηται δι' ἔνδειαν ἀναλωμάτων. ἄλλοτε δὲ ἄλλως ὡρίζετο τὸ διδόμενον εἴς τε τὰς θέας καὶ τὰς θυσίας καὶ τὰς ἑορτάς. οὐκ ἐξῆν δὲ τοῖς ἀποδημοῦσι θεωρικὸν λαμβάνειν. ἦν δὲ καὶ ἀρχή τις ἐπὶ τοῦ θεωρικοῦ, ὡς Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος δηλοῖ. b. Εἰ μὲν γὰρ τὰ θεωρικὰ τῇ θεωρίᾳ ἐδίδοσαν, οἰστὸν ἂν ἦν· νῦν δὲ τὰ τῶν στρατιωτῶν τοῖς θεωροῦσι νέμουσιν. ἑνὸς δὲ ὄντος νόμου, πῶς πολλοὺς αὐτοὺς λέγει; φαμὲν οὖν διοικήσεις πολλὰς καὶ ψηφίσματα γεγενῆσθαι περὶ τῶν χρημάτων. δι' ὃ καὶ πολλοὺς νόμους λέγει, ἵνα λυθῶσιν ἐν τοῖς νομοθέταις, ἢ ἵνα μὴ δόξῃ μόνῳ τῷ Εὐβούλῳ ἐναντιοῦσθαι ὡς ἐχθρός. suppl. a.

37 §. 12. *ἄλλως τε καὶ τούτου μόνου*] ἀντίπτον λύει· ἵνα μή τις εἴπῃ ὅτι „πῶς αὐτὸς ὀκνεῖς ὁ φιλόπολις τὸν ὑπὲρ τῆς πόλεως θάνατον, ὡς Κόδρος, ὁ βασιλεὺς Ἀθηναίων, καὶ τοῦ Λεὼ θυγατέρες;" ἐπάγει, ὅτι εἰ κἀκεῖνοι ἔπιπτον ὑπὲρ τῆς πατρίδος, ἀλλ' εἶχον παραμυθίαν τοῦ θανάτου τὸ χρησιμεύειν τοῖς πράγμασιν· ἐγὼ δέ, ἐὰν ἀποθάνω νῦν, οὐ μόνον οὐκ ὠφελήσω, ἀλλὰ καὶ βλάψω τοῖς πράγμασι μᾶλλον, φοβερώτερον καταστήσας τὸ βῆμα τοῖς βουλομένοις παρρησιάζεσθαι. b.

§. 13. *καὶ λύειν γε*] ἐντεῦθεν ἐκ τοῦ δικαίου ἐπιχειρεῖ. suppl. a.

§. 14. *εἰ γὰρ αὐτάρκη*] καθ' ὑπόθεσιν τὸ σχῆμα. b.

§. 15. *ἀλλ' οὐχ οὕτω ταῦτ' ἔχει*] ἐπίκρισις. b.

τὸ γὰρ πράττειν] γνώμη ἐνθυμηματική. b.

ὀξύτατοι] ἐκ τούτου ἔστι μαθεῖν, ὅτι εἰ καὶ βάναυσοί τινες ἦσαν τὴν τέχνην καὶ κάπηλοι καὶ ἄλλοι τοιοῦτοι ἀκροαταὶ παρὰ τοῖς Ἀθηναίοις καὶ δικασταί, ἀλλ' οὖν γε Ἀθηναῖοι ὄντες καὶ σοφοὶ τὴν φύσιν ἐνόουν τὰ παρὰ τῶν ῥητόρων λεγόμενα. b.

§. 16. *τίνα γὰρ χρόνον ἢ τίνα καιρὸν*] ἀνακεφαλαίωσις κατὰ ἀναποδισμόν· τὸ δὲ *χρόνον* ἢ *καιρὸν* ἐκ παραλλήλου τὸ αὐτό. ἢ *χρόνον* μὲν λέγει πάντα, ὃν πολεμοῦσι Φιλίππῳ, *καιρὸν* δὲ τὸν νῦν, εἰς ὃν πολεμοῦσιν αὐτῷ διὰ τοὺς Ὀλυνθίους. b. καὶ τοῦτο τοῦ δυνατοῦ μέρους ἐστί. πᾶσα γὰρ περὶ καιρὸν καὶ χρόνον ἐξέτασις εἰς τὸ δυνατὸν ἔχει τὴν ἀναφοράν. suppl. a.

οὐκ ἐχθρός; κ. τ. λ.] σφοδρὰ καὶ κατ' ἔννοιαν καὶ κατὰ σχῆμα τὰ κῶλα, ἢ μᾶλλον τὰ κόμματα. b.

οὐ βάρβαρος;] ὑβρίσαι τοῦτον βουλόμενος καλεῖ αὐτὸν βάρβαρον. ἐπεὶ τὸ ἀληθὲς σκοπήσει, εὑρήσει αὐτὸν Ἕλληνα Ἀργεῖον καὶ ἀπὸ Ἡρακλέους τὸ γένος καταγόμενον, ὡς πάντες οἱ ἱστορικοὶ μαρτυροῦσιν· ἀμέλει καὶ τὸν υἱὸν αὐτοῦ, Ἀλέξανδρον, μικρὸν κομιδῇ ὄντα, ἀναγαγὼν εἰς τὸ Ἄργος μιᾷ φυλῇ τῶν ἐν τῷ Ἄργει ἐνέγραψεν. b.

§. 17. *πάντων μᾶλλον*] ἤπερ ἑαυτοῦ. b.

§. 18. *καὶ νῦν οὐ λέγει τις*] εἰς ἑαυτὸν ἀποτείνεται ὁ ῥήτωρ. b.

ἀγαθῇ τύχῃ] ἡδομένου ὥσπερ καὶ συνευχομένου αὐτοῖς τὰ κάλλιστα τὸ ῥῆμα, ἵνα δείξῃ, ὅτι οὐ διαφωνεῖται τοῖς ἄλλοις ῥήτορσιν. b.

πλὴν εἰ δέον εὔξασθαι] εἴπερ δεον εὔξασθαι οὐκ εὔχομαι. εἰ μὴ ἄρα ἐν τούτῳ ἀδικῶ, ὅτι οὐκ εὔχομαι γενέσθαι ὑμῖν τὰ ἡδέα καὶ τὰ ὠφέλιμα. suppl. a.

ἑλέσθαι δὲ ὅταν] ὅτε δὲ χρεία βουλεύεσθαι, οὐκέτι ἃ βούλεταί τις σκοπεῖ καὶ αἱρεῖται, ὥσπερ ἐν τῷ εὔχεσθαι, ἀλλ' ὡς ἀπαιτεῖ τὰ πράγματα. suppl. a.

§. 19. *ἂν τὰ παρόντα ἀναλώσῃ* etc.] σημείωσαι· παρίσωσις κατὰ τὸ τέλος. b. 38

τὰ δὲ πράγματα πολλάκις] καλῶς ὁ προσδιορισμός· ἔστι γὰρ ἐνίοτε καὶ οὕτως ἡμῖν ἐκβαίνειν τὰ πράγματα, ὡς καὶ νομίζομεν εἶναι. b.

§. 20. *σωφρόνων*] συνετῶν· τὸ δὲ *γενναίων* οὐκ ἰσχυρῶν λέγει, ἀλλ' ἐλευθέρων καὶ εὐγενῶν. b.

οὔ τοι σωφρόνων] τραχεῖα μὲν ἡ ἔννοια, ἐν δὲ τῷ καθόλου λεχθεῖσα λειοτέρως πως γίνεται. μελετᾷ δὲ τὸ δυνατὸν κεφάλαιον· λέγει γάρ, ὅτι οὐ δίκαιόν ἐστιν, ἐπὶ μὲν Ἕλληνας στρατεύεσθαι, ἐπὶ δὲ Φίλιππον, βάρβαρον ὄντα, μή· καὶ ὅτι δίκαιόν ἐστιν ἐμμένειν οἷς ἐψηφισάμεθα, τουτέστι τὸ βοηθεῖν τοῖς Ὀλυνθίοις. b.

ἐπὶ μὲν Κορινθίους καὶ Μεγαρέας] Ἕλληνας ὄντας. a.

ἐπὶ μὲν Κορινθίους] παράδειγμα πρόσφορον εἰσήγαγεν αὐτοῖς. πολέμων γὰρ μέμνηται καὶ κατορθωμάτων αὐτοῖς ἄνευ καμάτων καὶ πόνων, ἵνα ταὐτὰ νομίσωσι καὶ ἐπὶ τοῦ παρόντος. Κορίνθιοι, λελυπημένοι κατ' Ἀθηναίων, καλοῦντες πάντας Ἕλληνας εἰς

---

4. Fort. στρατιωτικά Spe. 9. ὑπογυίων Sauppius: ὑπογείων br. 13. τὰ θεωρικὰ r. 14. Aeschines 3 §. 24. 16. ἂν om. r.

11. αὐτοῦ br. 22. ὑμῖν om. r. 31. σωφρόνων add Sauppius. In br hoc scholion coaluit cum eo quod praecedit. 36. Ἕλληνας Baiterus: ἕλλησι br. 37. μὴ καὶ br. 44. αὐτοῖς b (dubitabat Reiskius). 46. κατ' Ἀθηναίων Reiskius: καὶ ἀθηναῖοι b.

τὰ Ἴσθμια (κοινὴ γὰρ ἦν ἡ πανήγυρις) τοὺς Ἀθηναίους παρῆκαν. οὗτοι, ὡς θεοσεβεῖς ὄντες, ἔπεμψαν τὰς θυσίας μετὰ ὁπλιτῶν, ἵν', εἰ δέξωνται αὐτούς, ὑπόσπονδοι ὑποστρέψωσιν· οὐ γὰρ ἐπὶ πόλεμον ἐξεληλύθεισαν. ὃ δὴ καὶ γεγένηται· ἑωρακότες γὰρ τὴν παρασκευὴν οἱ Κορίνθιοι ἐδέξαντο. ἄνευ οὖν πόνων συνέβη κατορθῶσαι αὐτοὺς τοῦτο τὸ πρᾶγμα. suppl. a.

121 Μεγαρέας] τὴν ἱερὰν γῆν ὡς ὀργάδα καὶ ἄνετον ἐγεώργουν οἱ Μεγαρεῖς. πάλιν ὡς εὐσεβεῖς οἱ Ἀθηναῖοι ἐξελθόντες ἔπαυσαν αὐτοὺς μόνῃ τῇ θέᾳ νικήσαντες. suppl. a.

§. 21. οὐχ ἵν' ἀπέχθωμαι] ἐπιδιόρθωσις. b.

ἀλλὰ δικαίου πολίτου] ἐντεῦθεν μεταβέβηκεν ἐπὶ τὸ τρίτον μέρος, ἐπιλογικὸν μὲν εἶναι δοκοῦν, ἔχον δὲ καταδρομὴν τοῦ νόμου καὶ τοῦ θέντος. suppl. a.

ἀκούω ὥσπερ ἴσως καὶ ὑμεῖς] ἐπὶ μὲν αὐτῶν τέθεικε τὸ ἴσως, ἐπὶ δὲ ἑαυτοῦ τὸ ἀκούω, ὡς ἀκριβεστέρου αὐτῶν καὶ πλέον περιεργαζομένου τὰ τῶν προγόνων, οἷα δὴ καὶ τὰ ἐκείνων ζηλοῦντος. τινὲς δὲ ἐξηγοῦνται τὸ ἴσως πρὸς τὴν ἀκοήν, ὅτι καί τινες ἦσαν ἴσως μὴ μόνον ἀκοῇ εἰδότες τὰ τῶν προγόνων, ἀλλὰ καὶ τῇ θέᾳ, διὰ τὸ μακρόβιον ἑαυτῶν. b.

τὸν Περικλέα] διὰ τί μὴ τὸν Περικλέα δεύτερον τέθεικε πρεσβύτερον ὄντα τοῦ τε Νικίου καὶ τοῦ Δημοσθένους; ὅτι τοὺς ἄκρους κατ' ἀρετὴν ἐν ἄκροις ἔταξε, τοὺς δὲ μέσους ἐν μέσοις. διὰ τί δὲ μὴ καὶ Θεμιστοκλέους καὶ Μιλτιάδου ἐμνήσθη; ἐπειδὴ ἐκεῖνοι μὲν κατὰ βαρβάρων εὐδοκίμησαν, οὗτοι δὲ κατὰ τὴν πολιτείαν. b.

§. 22. διερωτῶντες] ἀντὶ τοῦ· διόλου ἐρωτῶντες. b.

προπέποται] ἀντὶ τοῦ· τῷ λόγῳ τῶν ἡδέων ἀντιδεδώρηται τῆς πόλεως ἡ ἀπώλεια. ἀπὸ μεταφορᾶς τοῦ προπίνειν ἐν τοῖς συμποσίοις, ὅταν τις χάριν ὁμολογῶν τινι δεξιωσάμενος αὐτὸν τῷ πόματι μετὰ τοῦ ποτοῦ χαρίσηται αὐτῷ καὶ τὸ ποτήριον, ἀργυροῦν ὂν ἢ χρυσοῦν. b.

39 §. 24. οἷς οὐκ ἐχαρίζονθ' etc.] τί οὖν; οἱ πρόγονοι ἐμίσουν αὐτοὺς καὶ οὐκ ἐφίλουν; ἐπάγει εὐθὺς ὅτι ἐφίλουν, ἀλλ' οὐχ ὡς οὗτοι οἱ προδόται· οὗτοι γὰρ φιλοῦσι τῷ δοκεῖν καὶ χαρίζονται ἐπὶ τὸ ἀπολέσαι τὰ πράγματα. b.

πέντε μὲν etc.] πῶς μ' καὶ ε' νῦν εἰπών, ἐν ἑτέρῳ λόγῳ τρία καὶ ἑβδομήκοντα ἄρξαι τῶν Ἑλλήνων φησί; δεῖ γὰρ εἶναι ἐγγὺς τὸν ἀριθμόν· οἷον, ὁ παῖς οὗτος, οὐδαμῶς ἄν τις εἴποι, ὅτι τριῶν ἐτῶν ἐστιν ἢ εἴκοσιν, ἀλλὰ τριῶν ἢ τεσσάρων ἢ πέντε· ἐγγὺς γὰρ ὁ ἀριθμός. λέγομεν οὖν, ὅτι προσέθηκεν ἐνταῦθα τὸ ἑκόντων· τὰ γὰρ ἄλλα ὀκτὼ καὶ εἴκοσιν ἔτη ἀκόντων αὐτῶν ἦρξαν, διὰ τὸ ἐπαχθῶς φέρεσθαι τοῖς Ἕλλησι τοὺς Ἀθηναίους. b.

τῶν Ἑλλήνων] μνημονεύει τούτων Θουκυδίδης ἐν τῇ δευτέρᾳ ἱστορίᾳ. b.

ὑπήκουε] καὶ μέντοι καὶ φόρους ἤνεγκεν αὐτοῖς Περδίκκας, ὁ ἀδελφὸς Φιλίππου, θεῖος Ἀμύντου, τοῦ πατρὸς Φιλίππου, ὥς φησι Διόδωρος· Ἀλεξάνδρου γάρ, τοῦ Φιλέλληνος, τοῦ γενομένου ἐπὶ τῶν Μηδικῶν, δύο παῖδες, Περδίκκας καὶ Φίλιππος. ἐπολέμησαν οὖν πρὸς αὐτὸν Ἀθηναῖοι. b.

ταύτην τὴν χώραν] τὴν Μακεδονίαν. b.

κρείττω] διὰ τὸ ὑπερβάλλον τῶν πράξεων· οἱ γὰρ φθονοῦντες ἢ τοῖς ἴσοις φθονοῦσιν ἢ τοῖς μικρῷ μείζοσιν, οὐ μὴν τοῖς πάνυ ὑπερβάλλουσιν. b.

§. 25. ὁποῖοι] ὅ ἐστι, πῶς διέκειντο κοινῶς πάντα πράττοντες εἰς τὰ δημόσια αὐτῶν. εἶτα καὶ ἐχρήσατο, πῶς ἕκαστος ἰδίᾳ ἐβίου. b.

ἀναθημάτων] ταῦτα πάντα ἐποίησαν καὶ ἀνέθεσαν ἀπὸ τῶν λαφύρων τῶν Περσικῶν, τὸν δίφρον τὸν ἀργυρόποδα τοῦ Ξέρξου, καὶ τὸν ἀκινάκην τὸν Μαρδονίου, καὶ τὰ προπύλαια τῆς ἀκροπόλεως κατεσκεύασαν, καὶ τὴν χαλκῆν Ἀθηνᾶν, καὶ τὴν ἐκ χρυσοῦ καὶ ἐλέφαντος. b.

§. 27. ὑπὸ τῶν χρηστῶν] ἐμπερίβολον τὸ χωρίον διὰ τὸν πλαγιασμόν. b.

Λακεδαιμονίων μὲν ἀπολωλότων] Φοιβίδας στρατηγὸς Λακεδαιμονίων κατέσχε τὴν Καδμείαν· ἐξέωσαν δὲ αὐτὸν οἱ Θηβαῖοι. ὁ δὲ παρώξυνε τοὺς Λακεδαιμονίους στρατεύεσθαι ἐπὶ Θηβαίους· ἐστράτευσαν καὶ ἡγεῖτο αὐτῶν Κλεόμβροτος, εἷς τῶν βασιλέων, Θηβαίων δὲ Ἐπαμινώνδας. καὶ ἐγένετο μάχη ἐν Λεύκτροις ἐπὶ Κηφισῷ· ἐν ᾗ ἔπεσον χίλιοι Σπαρτιατῶν καὶ Κλεόμβροτος καὶ τῶν ἐκ περιοικίδος πολὺς ἀριθμός. ἀπέστησαν αὐτῶν οἱ σύμμαχοι, καὶ ἐταπεινώθησαν οἱ Λακεδαιμόνιοι. suppl. a.

ἀσχόλων ὄντων] διὰ τὸν Φωκικὸν πόλεμον. b. 40

§. 28. οὓς δ' ἐν τῷ πολέμῳ] πρὸ τοῦ Φιλίππου Τιμόθεος ἔξω τυγχάνων ἐν τῇ Θρᾴκῃ ἐκτήσατο χωρία, ἅπερ νῦν εἴληφε Φίλιππος, Πύδναν καὶ Ποτίδαιαν καὶ τὰς ἄλλας. ἄγαν γὰρ εὐτυχὴς ὁ Τιμόθεος, ὥστε προσ-

---

4. ἀναστρέψωσιν r. ἐπὶ] ἐπὶ τὸν r. ἐξεληλύθεσαν r. 5. ὁρῶντες r. 9. ὡς] δὲ ὡς r. 42. τῷ] τὸ r. τὸ] τῷ r.

2. ἂν add. Sauppius. 11. ἀδελφὸς Φιλίππου, θεῖος Ἀμύντου Sauppius: θεῖος Ἀμύντου, ἀδελφὸς Φιλίππου br. cf. schol. Thucyd. 2, 95. 12. Διόδ.] librone decimo, an 12, 50? 23. ἀνέθησαν r. 26. προπύλαια m: προπύλαια br. 32. Καδμείαν r. 33. δ' r. 37. Κιφισῷ a, Κηφίσῳ r. 39. αὐτῶν est in a, quod negabat Reiskius. 43. Τιμόθεος] Τιμόθεος ἦν r et suppl. a.

εἶναι τὰς πόλεις αὐτῷ καὶ τοὺς ζωγράφους κοιμώμενον γράφειν αὐτὸν καὶ Τύχας αὐτῷ τὰς πόλεις προσφερούσας. a reliquiae et suppl.

τηλικοῦτον] φοβήσας αὐτοὺς διὰ τὸ εἰπεῖν τηλικοῦτον πάλιν ἐπάγει τὴν θεραπείαν διὰ τοῦ εἰπεῖν ὅτι ἡμεῖς αὐτὸν ἠσκήσαμεν. εἰ δὲ αὐτοὶ αὐτὸν ἤσκησαν, οὐκοῦν καὶ καθελεῖν δυνήσονται. b.

§. 29. *ταῦτα] τὰ ἐκ τῆς πόλεως.* b.

λήρους] λήρους λέγει εὐτελῆ τινα, ἀπὸ τοῦ λήρου, τοῦ φλυάρου καὶ περιττοῦ. b. *ταῦτα δὲ ἐπειδήπερ Εὔβουλος πεποίηκε, τούτου χάριν διασύρει.* a reliquiae et suppl.

§. 31. *ὑμεῖς δ' ο] ἐμφαντικὸν τὸ ὑμεῖς, ὡς ἂν εἰ ἔλεγεν· οἱ αὐτόχθονες ὑμεῖς καὶ πάλαι τῆς Ἑλλάδος ἡγεμόνες νῦν δοῦλοι τῶν ῥητόρων γεγένησθε. τὸ δὲ ἐκνενευρισμένοι τῶν νεύρων ἀφῃρημένοι· νεῦρα δὲ καὶ δύναμιν τῆς πόλεως καλεῖ τοὺς συμμάχους. τὸ δὲ περιῃρημένοι ἀπὸ μεταφορᾶς μέρους σώματος εἶπε τὴν λέξιν, ἐμμένων τῇ τροπῇ τοῦ ἐκνενευρισμένοι.* b.

βοΐδια] τοῦτο εἰς Χάρητα. διαβὰς γὰρ εἰς τὴν 122 *Ἀσίαν πρὸς Ἀρτάβαζον, τοῖς ξενικοῖς στρατεύμασι πορθήσας Λάμψακον καὶ Σίγειον, ἔπεμψεν Ἀθηναίοις βοῦς, ἃς διείλοντο κατὰ φυλάς.* a reliquiae et suppl.

καθείρξαντες] οἷον συγκλείσαντες καὶ μὴ ἐῶντες πολεμεῖν· εἶπε δὲ ὡς ἐπὶ δεσμουμένων θηρίων τὴν λέξιν. διὸ ἐπάγει τὸ καὶ τιθασεύουσι καὶ τὸ χειροήθεις. ταῦτα γὰρ πάντα ἐπὶ θηρίων εἰώθαμεν ποιεῖν, ἡμεροῦντες αὐτά. καὶ τὸ ἐπάγουσι δὲ ὡς ἐπὶ θηρίων εἶπεν· εἰώθασι γὰρ καὶ τὰ θηρία οὕτως ἐξημεροῦν, διὰ τοῦ τὴν χεῖρα τοῖς σώμασιν αὐτῶν ἐπάγειν, οἱονεὶ κολακεύοντες αὐτὰ διὰ τοῦ χειροτριβεῖν. b.

§. 32. *μὰ τὴν Δήμητρα] ὅτι κατὰ τῆς Δήμητρος ὄμνυσιν, εἰκὸς ἦν. ἐπειδὴ ᾔσθετο αὐτοὺς ὀργίλους γενομένους διὰ τὸ πολλὰ αὐτοῖς ἐπιτιμῆσαι, τὴν Δήμητραν ἀποκαλεῖται, ἡμέρους αὐτοὺς ἀπεργάσασθαι, τὴν καὶ τῶν ἡμέρων σιτίων αἰτίαν γενομένην αὐτοῖς.* b. *ὡς ἐπιπλήξας θεραπεύει πάλιν, διὰ τὸ τραχὺ δὲ τὴν Δήμητρα ὄμνυσι, τυγχάνουσαν θεὸν ἥμερον, πρὸς τὸ ἡμέρους αὐτοὺς ποιῆσαι. ὥσπερ γὰρ ἐκείνη διὰ τῶν καρπῶν ἡμέρους τοὺς ἀνθρώπους ἐποίησεν, οὕτως καὶ αὐτὸς διὰ τοῦ ὅρκου βούλεται ἡμεροῦν αὐτῶν τὴν ἀγριότητα τὴν γενομένην ἐκ τῆς ἐπιτιμήσεως.* a reliquiae et suppl.

§. 33. *ἴσως ἄν, ἴσως] τεχνικὸς ὁ διπλασιασμός. οὔτε γὰρ φανερῶς ἀπεφήνατο· ἀλαζονικὸν γὰρ τοῦτο καὶ ἐπισφαλές· οὔτε μόνῳ τούτῳ ἠρκέσθη, ἀλλὰ διπλασιασμῷ κέχρηται πρὸς βεβαίωσιν καὶ ἀκρίβειαν· οὐδεὶς γὰρ συμβούλου πείθεται διστάζοντος. τινὲς δὲ χαριέντως αὐτὸ ἀναγινώσκοντες ἐξηγοῦνται οὕτως, τὸ δεύτερον ἴσως ἐπανορθωτικῶς λαμβάνοντες τοῦ προτέρου, ὡς ἂν εἰ ἔλεγεν ἐπιτιμῶν ἑαυτῷ εἰπόντι ἴσως·* 41 *μᾶλλον δ' ἂν ἀκριβῶς τέλειόν τι καὶ μέγα κτήσαισθε.* b.

§. 34. *οὐκοῦν σὺ μισθοφορὰν λέγεις;] ἀνθυποφορὰ τὸ σχῆμα· οἷον ἵν' ὡς δοῦλοι λάβωμεν μισθὸν καὶ οὕτως πολεμῶμεν· τοῦτο γὰρ ἠνίξατο εὐτάκτως, ὅτι δεῖ λαβεῖν τὰ θεωρικὰ εἰς μισθὸν πολέμου. εἶτα ἐπειδὴ ἐδόκει ἐφύβριστον εἶναι τὸ ὄνομα τῆς μισθοφορίας, μεταβάλλει καὶ σύνταξιν αὐτὴν καλεῖ· τῷ δὲ ἔργῳ καὶ τῷ ἀληθεῖ τὴν αὐτὴν καλεῖ καὶ σύνταξιν καὶ μισθοφορίαν. καὶ γὰρ καὶ ἐν τῇ συντάξει μισθός ἐστιν ὁ παρεχόμενος. ὡσανεὶ ἔλεγε· μισθοφορὰν καλῶ οὐχ ἣν ὑμεῖς νομίζετε, παρεχομένην τοῖς δούλοις, ἀλλὰ τὴν παρεχομένην τοῖς ἐλευθέροις ὑπὲρ τοῦ λαμβάνειν καὶ ποιεῖν τὰ δέοντα. τὸ δὲ ἁπάντων ἀντὶ τοῦ ὑπὲρ ἁπάντων τῶν πραγμάτων, καὶ ἐν πολέμῳ καὶ ἐν εἰρήνῃ. βούλεται γάρ, ἐπειδὴ ὁρᾷ αὐτοὺς μὴ βουλομένους λῦσαι τὰ θεωρικά, λαμβάνειν αὐτὰ ἐν εἰρήνῃ καὶ ἐν πολέμῳ ἀρκεῖσθαι καὶ μὴ ζητεῖν πλεῖον αὐτὰ ἐν πολέμῳ. κοινῶν δέ φησι τῶν δημοσίων.* b. *ἀνθυποφορά· ἥτις μέση τυγχάνει ἀντιπίπτοντος καὶ ἀντιθέσεως, μεῖζον μὲν ἀντιπίπτοντος, ἧττον δὲ ἀντιθέσεως. ἀλλὰ λέξει τις· μισθοφορεῖν ἡμῖν συμβουλεύεις; τοῦτο δ' ἦν Ἀθηναίοις εὐδοξοῦσιν ἐπαχθές τε καὶ βαρύτερον.* a reliquiae et suppl.

τὰ νῦν] ἀντὶ τοῦ πόλεμον· ὅρα δὲ πῶς τὸ ὄνομα τοῦ πολέμου ἀποκρύπτεται. b.

ἔστι τις ἔξω τῆς ἡλικίας ἡμῶν;] καὶ τίς ἐστιν ἔξω τῆς καθολικῆς, οἷον νέων, ἀνδρῶν, γερόντων, εἰ μὴ ἄρα οἱ τελευτήσαντες; λέγομεν οὖν, ὅτι ἡλικίαν ἐκάλουν ἐξαιρέτως τὴν τῶν δυναμένων πονεῖν. ὁ τοίνυν ταύτης ὢν ἔξω τῆς ἡλικίας γέρων ἂν ὑπάρχοι. b.

οὔτ' ἀφελὼν] τῶν θεωρικῶν δηλονότι. b.

ἀπορεῖν] ἀπορεῖν καλεῖ τὸ λαμβάνειν τοὺς δύο ὀβολούς, ἐξὸν πλουτεῖν ἀπὸ τοῦ πολέμου. b.

τοῦ δεῖνος] τοῦ Χάρητος. b.

§. 36. *οὐχὶ μέμφομαι] ἐπειδὴ διεβάλλετο τὸ*

---

2. *τύχας* ar. 21. *τὴν* om. r. 22. *πρὸς] καὶ ὡς* suppl. a, *καὶ τὸν* r. 23. *ἔπεμψαν ἀθηναίοι* suppl. a. 35. *ὅτι* Sauppius: *ἐπειδὴ* br. *ἐπειδὴ ᾔσθετο* Sauppius: *ᾔσθετο* br. 40. *πάλιν* om. r. 41. *πρὸς* a reliquiae: *διὰ* r cum suppl. 43. *οὕτω* r. 45. *τὴν γενομ.] τὴν* om. r.

7. *ἴσως] ἴσως ὡς* r. 9. *δ' ἂν* Sauppius: *γὰρ* br. 10. *κτήσαισθε* Sauppius: *κτήσασθε* m, *κτήσασθαι* br. 13. *πολεμῶμεν* m: *πολεμοῦμεν* br. 26. *αὐτὰ* Sauppius: *τὰ* br. 32. *δ' ἦν Ἀθηναίοις εὐδοξοῦσιν* r cum suppl., alia videntur reliquiae habuisse, sed legi non possunt. 44. *ἐξὸν] καὶ ἐξὸν* r.

ξενικὸν ἄνω· ξενικῷ γὰρ ἐκέχρητο ὁ Χάρης. ὡσανεὶ εἰ ἔλεγεν· ἐπαινῶ τὸν Χάρητα πονοῦντα ἀεὶ καὶ μετὰ ξένων, ἀλλ' οὖν γε προκρίνω τοὺς ἐκ τῆς πόλεως στρατιώτας. b.

τῆς ἀρετῆς] ἡ ἀρετὴ τῆς τάξεως τὸ ἡγεμονεύειν τῆς Ἑλλάδος, καὶ τὸ δι' ἑαυτῶν εἰς τοὺς πολέμους ἐξιέναι. b.

IV. IN PHILIPPICAM PRIMAM.

42 §. 1. *Τὸ προοίμιον οὐκ ἀπὸ τοῦ πράγματος, ἀλλ' ἀπὸ τοῦ προσώπου· ἀναστάντος γὰρ αὐτοῦ πρὸ τῶν πρεσβυτέρων ἐδυσχέραινόν τινες· ὃ δὴ καὶ θεραπεύει. τὸ δὲ σχῆμα οἱ μὲν καλοῦσι διπλοῦν μερισμόν, οἱ δὲ μερισμόν τε καὶ ὑπομερισμόν. εἰρηκὼς γὰρ πρότερον δύο μὲν ἐπήγαγε δύο δέ, ἐπιφέρουσι δὲ αὐτοὺς πολλάκις οὐ κατὰ τάξιν, ἀλλὰ πρὸς τὸ πρῶτον τὸ τελευταῖον. — Ὅτι ἐν τῷ περὶ τῆς περιβολῆς λέγει Ἑρμογένης, τῆς ἰδέας τὴν κατασκευὴν προτέραν εἶναι τῆς προτάσεως. τὸ γὰρ εἰ μὲν περὶ καινοῦ τινος πράγματος προὐτίθετο λέγειν κ. τ. λ. ἐστὶν ἡ κατασκευή, τὸ δὲ ἐπειδὴ περὶ ὧν πολλάκις κ. τ. λ. ἐστὶν ἡ πρότασις. πρότασις γάρ ἐστιν, ὅτι δεῖ καὶ νεωτέρου ὄντος πρώτου λέγοντος ἀνέχεσθαι· αἱ δὲ ταύτης κατασκευαί, ὅτι μηδὲν τῶν δεόντων οἱ εἰωθότες, ἤτοι οἱ πρεσβύτεροι, εἰρήκασιν. ὁ δὲ σοφιστὴς Ἀσκληπιὸς κατασκευὴν εἶναι λέγει ἄνευ προτάσεως. ὁ δὲ Ἰσοκράτης ἐν τῷ τοῦ Ἀρχιδάμου τὴν πρότασιν πρώτην ποιήσας, ἐπήνεγκε τὴν κατασκευήν· οἷον· ἴσως τινὲς ὑμῶν θαυμάζουσιν ὅτι τὸν ἄλλον χρόνον ἐμμεμενηκὼς τοῖς τῆς πόλεως νομίμοις, ὡς οὐκ οἶδ' εἴ τις τῶν ἡλικιωτῶν, τοσαύτην πεποίημαι τὴν μεταβολήν, καὶ τὰ ἑξῆς τούτου· εἶτα ἡ κατασκευή· ἐγὼ δέ, εἰ μέν τις τῶν εἰθισμένων ἐν ὑμῖν ἀγορεύειν ἀξίως ἦν τῆς πόλεως εἰρηκώς, πολλὴν ἂν ἡσυχίαν ἦγον. — ἀπολογεῖται ἐν τῷ προοιμίῳ περὶ τοῦ προαρπάσαι τὴν τάξιν· τῶν γὰρ γερόντων ἦν τὸ βουλεύεσθαι. κατασκευάζει δὲ ἐνταῦθα· εἰ μὲν ἦν καινόν, ἔλεγον ἂν οἱ γέροντες, ἤγουν ἡ βουλή· νῦν δὲ οὐ περὶ καινοῦ, περὶ γὰρ Φιλίππου βουλευόμεθα, ὥστε ἤδη πολλάκις εἰπόντων τῶν γερόντων περὶ τούτου οὐ παραχαράττω τὸν νόμον. καὶ οὗτος μὲν οὕτως συνελογίσατο, ἡ δὲ ἀλήθεια ἔχει, ὡς εἴτε παλαιὸν ἦν τὸ πρᾶγμα εἴτε καινόν, ἔδει τοὺς γέροντας λέγειν πρώτους. ἐπειδὴ δὲ νῦν τεθορύβηνται οἱ Ἀθηναῖοι ἐπὶ τῇ ἀπωλείᾳ τῶν τριάκοντα δύο πόλεων τῶν Χαλκιδικῶν καὶ ἐπὶ τῇ πολλῇ αὐξήσει τοῦ Φιλίππου, διὰ τοῦτο προαρπάσαι τὴν τάξιν ἐπεχείρησεν. τὸ δὲ προὐτίθετο τινὲς μὲν ἀντὶ τοῦ προεβάλλετο, τινὲς δὲ ἀντὶ τοῦ προεγράφετο· ἐπειδήπερ σανίδας τινὰς ἐνέγραφον, ἐχούσας τὸ πρᾶγμα, περὶ οὗ ἡ σκέψις καὶ περὶ οὗ συνεληλύθασι, καὶ προετίθουν τῇ ἐκκλησίᾳ. εἰς δὲ τὸ λέγειν ὑποστικτέον. ἰστέον δὲ ὅτι τῷ Ἰσοκρατικῷ προοιμίῳ ἐχρήσατο τῷ ἐν τῷ Ἀρχιδάμῳ· κἀκεῖ γὰρ ἐπιχείρημά ἐστιν, ὅτι νέος ὢν προλαμβάνει τοὺς γέροντας. τὸ δὲ εἰωθότων θέλει εἰπεῖν τῶν γερόντων. ὅρα δὲ πῶς λεληθότως αὐτοὺς διέβαλε διὰ τὸ εἰπεῖν εἰωθότων, ἵνα δηλώσῃ, ὅτι μόνον ἔθος ἔχουσι πρῶτοι λέγειν, οὐ μὴν καὶ χρήσιμόν τι συμβουλεύσουσι λέγοντες, ὥσπερ καὶ εὐφυῶς πάλιν διαβάλλει ἐν τῷ εἰπεῖν ὑπὲρ ὧν πολλάκις· ὑποφαίνει γάρ, ὅτι πολλάκις μὲν εἰρήκασιν, οὐδὲν δὲ ἤνυσαν.* b. *Τὸ προοίμιον ἄνευ προτάσεως· ἄρχεται γὰρ ἐκ τῆς κατασκευῆς. τὴν γὰρ πρότασιν ἐν τῷ νῷ ἔλαβε τὴν ἐκ τῶν γερόντων μέλλουσαν αὐτῷ προτείνεσθαι. ἐξ ἀντιπίπτοντος τὸ προοίμιον. ἀντέπιπτε γὰρ αὐτῷ· πῶς παρὰ τὴν ἡλικίαν λέγει; λύει οὖν διὰ τοῦ λέγειν, ὅτι περὶ παλαιῶν πραγμάτων ἡ σκέψις, περὶ ὧν εἶπον καὶ οἱ πρῶτοι.* a reliquias et suppl. 43

§. 2. *πρῶτον μὲν οὖν] ἀπὸ θεραπείας ἡ εἰσβολὴ τῶν ἀγώνων.* b.

ὃ γάρ ἐστι χείριστον] τὸ σχῆμα παρὰ προσδοκίαν. οἱ δὲ λέγοντες, δεύτερον εἶναι προοίμιον, τοῦτο λέγουσιν εἶναι κατασκευὴν αὐτοῦ. b.

τί οὖν ἐστι τοῦτο] τὸ ἐνθύμημα ἐκ τοῦ παραδόξου. b.

§. 3. *ἐνθυμητέον] καλῶς ἐπήγαγε τοῦτο τὸ παράδειγμα· εἰώθασι γὰρ οἱ ἄνθρωποι διὰ τῶν ὁμοίων παθημάτων ἐπελαφρύνεσθαι. μερίζει δὲ τὸν λόγον εἰς δύο, εἴς τε νεωτέρους, μὴ εἰδότας τὰ παλαιὰ καὶ ὀφείλοντας αὐτὰ παρὰ τῶν πρεσβυτέρων μανθάνειν, καὶ εἰς γέροντας, εἰδότας μὲν τὰ παλαιὰ χρῄζοντας δὲ ὅμως καὶ ἀναμνήσεως.* b.

οὔτε φυλαττομένοις] λείπει τὴν ῥᾳθυμίαν· ἐὰν φυλάττησθε, φησί, καὶ ἐκφεύγητε αὐτήν, οὐδὲν ὑμῖν φοβερὸν ἔσται· σημεῖον δὲ τούτου ἡ Λακεδαιμονίων δύναμις, ἧς ἐκρατεῖτε ἐκ τοῦ προσέχειν τοῖς πράγμασι τὸν νοῦν. a suppl.

τῇ νῦν ὕβρει] εὐτελίζει πάλιν τὸν Φίλιππον, διὰ τοῦ ὕβριν μόνον καλέσαι αὐτοῦ τὸ πρᾶγμα, ἀλλ' οὐχὶ πόλεμον, καὶ ἅμα τοὺς Ἀθηναίους πρὸς πόλεμον διηρέθισεν, οἷς οὐδὲν ἐπαχθέστερον τῆς ὕβρεως. b.

---

2. *πονοῦντα] πονοῦντα πονοῦντα* br. 15. *ὃ] ἃ* r. 20. Hermog. 3 p. 205 Walz. 35. Isocrat. 6 §. 1 sq. 35. *πεποίημαι* m: *πεποίηκε* br. *καὶ* add. m.
1. *νῦν* om. r. 3. *τούτου* r. 19. *ἐκ] ἀπὸ* r cum suppl. 22. *παρὰ τὴν] παρ'* r. 41. *ἔσεται* r. 44. *ἐντελίζει* r.

§. 4. εἰ δέ τις ὑμῶν] εἰσβολὴ κατὰ τὸ κεφάλαιον τὸ δυνατόν. a suppl.

λογισάσθω μέντοι τοῦθ' ὅτι] συντρέχει τοῖς ὁμολογουμένοις τὸ σπουδαζόμενον ἀνίσειν. a suppl.

§. 5. εἰ τοίνυν] καθ' ὑπόθεσιν το σχῆμα. b.

ἀλλ' εἶδεν] τοῦτο οὐκ ἔστι τοσοῦτον ἐπαινοῦντος τὸν Φίλιππον, ὅσον ἐπιτιμῶντος τοῖς Ἀθηναίοις, ὅτι ἅπαντα, ἃ ἔδει αὐτοὺς ποιῆσαι, Φίλιππος προλαμβάνει ποιῶν. b. Οὐκ ἔπαινον ἔχει τοῦ Φιλίππου μόνον,
123 ὡς καλῶς τι ποιήσαντος, ἀλλὰ καὶ προτροπὴν τῶν Ἀθηναίων. μιμήσασθε γάρ, φησί, καὶ ὑμεῖς τὰ καλῶς πραχθέντα. a suppl.

καὶ τοῖς ἐθέλουσι etc.] τὰ τῶν ἀμελούντων τῶν πονούντων ἐστίν. a suppl.

14 §. 6. τούτοις ἐθέλουσιν] ἐπειδὴ ἀνωτέρω ἐφόβησεν αὐτούς, εἰπὼν αὐτὸν τὸν Φίλιππον ἰσχυρὸν διὰ τὸ ἔχειν συμμάχους, ἐπήγαγε τοῦτο παραμυθούμενος, ὡς ὅτι ἐὰν καὶ αὐτοὶ τὰ αὐτὰ ἐθέλωσι πρᾶξαι, εὐχερῶς αὐτὸν καθαιρήσουσιν. ἄξιον δὲ ζητῆσαι, πῶς ἀλλαχοῦ καθελὼν αὐτοῦ τὴν δύναμιν διὰ τοῦ εἰπεῖν, ὅτι οἱ πολλοὶ αὐτοῦ ἀφίστανται, νῦν λέγει ὅτι πολλοὺς ἔχει συμμάχους. λέγομεν οὖν, ὅτι τὸν τρόπον διέξεισι τῶν ὑπηκόων· εἰ γὰρ καὶ μισοῦσι καὶ φοβοῦνται τοὺς δυνατούς, ἀλλ' ἐν ὅσῳ μὴ πράττουσί τι οἱ ἀγαθοὶ διὰ τὴν ῥαθυμίαν, ἀνάγκη προστρέχουσι τοῖς δυνατοῖς, ἵνα μὴ μετὰ τῶν ῥαθύμων ὄντες πάθωσι μετ' αὐτῶν· εἰ δέ ποτε οἱ ἀγαθοὶ σπουδάσουσι καὶ τὴν ῥαθυμίαν ἀποθέσθαι θελήσουσιν, εὐθέως πρὸς αὐτοὺς ἀποστήσονται. b.

§. 7. πᾶσαν ἀφεὶς τὴν εἰρωνείαν] εἰρωνεία ἐστὶν ἐναντίον τῆς ἀλαζονείας. ἀλαζονεύεσθαι μὲν γὰρ τὸ πλείονα ἐπαγγέλλεσθαι δύνασθαι ποιεῖν, ἤπερ δύναιντο· εἰρωνεία δὲ τὸ ἐλάττονα λέγειν δύνασθαι ποιεῖν, ἤ τις δεδύνηται. b.

§. 8. μισεῖ τις etc.] μισεῖ μὲν ὁ ἤδη πεπονθὼς κακῶς, δέδιε δὲ ὁ μηδέπω μὲν ὑπομείνας προσδοκῶν δέ, φθονεῖ δὲ ὁ ὁρῶν οὕτως τὰς πόλεις καταστρεφομένας. b. τὸ μεῖζον ἐν μέσῳ θεὶς ἀπέκρυψε τοῖς ἄκροις τὸ ἰσχυρόν. a suppl.

κατέπτηχε] ταπεινοῦται. οὔτε γὰρ ὁ μισῶν βλάπτει, διὰ τὸ ὑμᾶς ῥαθυμεῖν· οὔτε ὁ δεδιὼς ἕτερόν τι φρονῆσαι δύναται· ἐπισφαλὲς γάρ· οὔτε ὁ βασκαίνων ἀντιστῆναι· ἀδύνατον γάρ. ἀντιπῖπτον δὲ λύει. ἵνα γὰρ μή τις εἴπῃ, πῶς οὖν εἰ μισοῦσιν αὐτὸν οὐκ ἀφίστανται αὐτοῦ, ἐπάγει ὅτι ἄκοντες καὶ φοβούμενοι εἰσὶ μετ' ἐκείνου, διὰ τὸ μὴ εὑρίσκειν τινὰ καταφυγὴν πρὸς ἡμᾶς ῥαθυμίᾳ κατεχομένους. καὶ μὴν ἤδη ἐπείσθησαν αὐτῷ καὶ ἔπεμψαν βοήθειαν εἰς Ὀλυνθίους. πῶς οὖν ῥαθύμους αὐτοὺς καλεῖ; καθὸ μηδὲν ἑκόντες ποιοῦσιν, εἰ μή τις αὐτοῖς ἐπιτιμήσει διὰ τοῦ συμβουλεύειν καὶ πείθειν ποιεῖν. b.

§. 9. ὁρᾶτε γάρ] τοῦτο τοῦ συμφέροντος. καταμέμικται δὲ τοῦ δυνατοῦ. a suppl.

ἀσελγείας] ἀσέλγεια κοινῶς καλεῖται πᾶσα ὕβρις. 45
οὐχ ἡ περὶ τὰ ἀφροδίσια μόνον. b.

τοῦ πράττειν] οὐκ εἶπεν ἁπλῶς πολεμεῖν, ἀλλὰ κοινοτέρῳ ὀνόματι ἐχρήσατο τοῦ πράττειν, οἷον τοῦ ψηφίζεσθαι, τοῦ δικάζειν, τοῦ γεωργεῖν, καὶ τῶν λοιπῶν. b.

περιστοιχίζεται] ἐκ μεταφορᾶς τῶν κυνηγετῶν· κατὰ γὰρ τὰς ἐκδρομὰς τῶν θηρίων ὀρθὰ ξύλα ἱστᾶσιν, ἃ καλοῦσι στοίχους ἢ στόχους, καταπεταννύντες αὐτῶν δίκτυα, ἵνα ἐὰν αὐτοὺς ἐκφύγῃ τὰ θηρία, εἰς τὰ δίκτυα ἐμπέσῃ. ἔνια δὲ τῶν ἀντιγράφων περισχοινίζεται ἔχει. b. ἡ μεταφορὰ τῶν κυνηγετῶν.

§. 10. ἐγὼ μὲν γὰρ οἴομαι] εἰπὼν τὸν μὲν οὐκ ἐπήγαγε τὸν δέ, ἐπειδὴ ἔμελλεν ἐπιφέρειν· ὑμεῖς δὲ αὐτὴν οὐχ ἡγεῖσθε αἰσχύνην· ὅπερ ἦν ὑβριστικόν. καὶ διὰ τοῦτο τὸ μὲν ἀποσιωπᾷ, ἄλλο δὲ ἐπιφέρει τούτοι ὅμοιον. b. εἰ μὲν δούλων ἀνάγκην ζητεῖς, ἐκδέχου πληγάς· εἰ δὲ ἐλευθέρων, ἡ τῶν πραγμάτων αἰσχύνη μεγίστη ἀνάγκη καθέστηκεν. ἔστι δὲ τοῦ συμφέροντος. a suppl.

ἢ] ἀντὶ τοῦ ἆρα ἀπορρηματικοῦ. a suppl.

εἰπέ μοι, δέον εἰπεῖν· εἴπατέ μοι, πρὸς τὸ βούλεσθε, εἶπε μοι εἶπεν Ἀττικῶς. b.

πυνθάνεσθαι] κατὰ τὴν ἀγοράν. b.

γένοιτο γὰρ ἄν τι καινότερον] τοιοῦτοι γὰρ οἱ ἄνθρωποι· ἀεὶ τῶν καινοτέρων ὀρέγονται. b.

§. 11. τοσοῦτον ἐπηύξηται] καλῶς ἠσφαλίσατο διὰ τὸ πιθανόν· οὐ γὰρ πάντως πάντα διὰ τῆς ῥαθυμίας Ἀθηναίων, ἀλλὰ καί τινα διὰ τῆς αὐτοῦ ῥώμης κατώρθου. b.

§. 12. ἀπηρτημένοι] ἀντὶ τοῦ κεχωρισμένοι. a suppl.

§. 13. πεπεισμένων] ἀντὶ τοῦ πεισθέντων. τοιοῦτος δὲ ὁ Δημοσθένης, τὰ ἀμφιβαλλόμενα λαμβάνων ὡς ὁμολογούμενα. b.

τὸν δὲ τρόπον τῆς παρασκευῆς] τὸ δυνατὸν κεφάλαιον. b.

§. 14. τῇ νυνὶ βοηθείᾳ] ἄλλο πανταχοῦ βοήθεια καλεῖ καὶ ἄλλο παρασκευή· βοήθειαν μὲν

---

2. τοῦ δυνατοῦ r. 7. ἐπιτιμῶντος Sauppius: ἐπιτιμῶντα br. 8. ἅπαντα ἃ Sauppius: ἅπαν br. 10. τῶν om. r. 13. καὶ τοῖς ἐθέλουσι — πονούντων ἐστίν om. r. 18. τὰ αὐτὰ om. r. 21. νῦν Sauppius: καὶ νῦν br. 34. ἤ Sauppius: ἂν br. 45. αὐτοῦ] αὐτοὶ αὐτοῦ r. εἰσὶ μετ' Sauppius: εἰσὶν ἀπ' br.

2. τις] sic b. 5. πείθειν m: πείσει br. 7. τῷ δυνατῷ r. 28. ἄρα ἀπορηματικῶς r 36. αὐτοῦ — κατώρθου m: αὐτῶν — κατώρθουν br.

τὴν πεμπομένην μετὰ πράγματος, παρασκευὴν δὲ τὴν ἀποστελλομένην ἐξ ἀρχῆς, πρὸς τὸ φυλάξαι τὰς πόλεις. b.

§. 15. *τίς πορισθεῖσα παρασκευὴ καὶ πόση*] *ξενικὴ ἢ πολιτική. πάλιν πόσους δεῖ εἶναι στρατιώτας, καὶ πόθεν μέλλουσιν ἔχειν τὰς τροφάς; b.*

46 *ἡ μὲν οὖν ὑπόσχεσις*] *ἢ ὅτι διαλυσόμεθα, ἢ περιγενησόμεθα τῶν ἐχθρῶν. b.*

§. 17. *εἰς Ἁλίαρτον*] *ὅτι τὸ ἐν Ἁλιάρτῳ πρὸ ἓξ ἐτῶν ἐγένετο, τὸ δὲ ἐν Εὐβοίᾳ πρὸ τριῶν, ὅτε καὶ ὁ ῥήτωρ ἐτριηράρχει· ἢ ὅτι πρὸ πολλῶν ἐτῶν γέγονεν ἡ ἐν Ἁλιάρτῳ μάχη· ὅθεν εἶπε καὶ τὰ τελευταῖα. τελευταῖα μέν, ὡς πρὸς ταύτας τὰς στρατείας, πρῴην δὲ ὡς πρὸς τὸν χρόνον, καθ' ὃν ἐλέγετο ὁ λόγος. τὸ δὲ Ἁλίαρτος ἀρσενικῶς, ὡς καὶ Ὅμηρος·*

καὶ ποιήενθ' Ἁλίαρτον. b.

πόλις τῆς Βοιωτίας. ἐκεῖ ἐξελθόντες οἱ Ἀθηναῖοι Θηβαίοις ἄγαν ταλαιπωροῦσιν ἐβοήθησαν, καὶ μέλλοντας ὑπὸ Λακεδαιμονίων πανωλεθρίᾳ διαφθείρεσθαι κεκωλύκασιν. a **suppl.**

§. 19. *μή μοι μυρίους*] *τὸ σχῆμα ἀποτρεπτικὸν πνεύματος.* b. *βασιλέως τοῦ Περσῶν ἐπιστείλαντος τοῖς ἐπὶ θαλάσσης σατράπαις διαλῦσαι τὰ μισθοφορικὰ στρατεύματα διὰ τὸ πολλὰ χρήματα καταναλῶσασθαι, ἀφῆκαν οἱ σατράπαι τοὺς στρατιώτας. οὗτοι περὶ μυρίους ὄντες ἥκουσι πρὸς Χάρητα στρατηγὸν Ἀθηναίων ἔχοντα ξενικὴν δύναμιν, καὶ ἐποίησαν αὐτὸν ἡγεμόνα. Ἀρτάβαζος δὲ Πέρσης ἀνήρ, ἀποστὰς βασιλέως καὶ πολεμῶν πρὸς αὐτόν, ἔπεμψε πρὸς Χάρητα, παρακαλῶν αὐτὸν διαβιβάσαι τὸν στρατὸν εἰς τὴν βασιλέως χώραν. τῶν οὖν στρατιωτῶν ἢ χορηγῆσαι αὐτοῖς ἀναγκαζόντων τὸν Χάρητα, ἢ ἀπελεύσεσθαι πρὸς τὸν διδόντα, διεβίβασεν ἀναγκασθεὶς τὸν στρατόν, καὶ ἐνίκησε συμβαλὼν δισμυρίους Περσῶν καὶ πλεῖστον αὐτῶν ἱππικὸν ὑπὸ Τιθραύστου στρατηγούμενον. ὃς καὶ ἔγραψε τοῖς Ἀθηναίοις περὶ τῶν μυρίων, ὅτι νενίκηκε μάχην ἀδελφὴν τῆς ἐν Μαραθῶνι. οἱ δὲ δι' ἐπιστολῶν καὶ ἑτέρους ἐκέλευον μισθώσασθαι Χάρητα.* 124 *λέγει οὖν ὁ ῥήτωρ ὅτι· μὴ δι' ἐπιστολῆς τοῖς στρατηγοῖς ἐπιτάττωμεν μισθώσασθαι ξένους μυρίους ἢ δισμυρίους.* a **suppl.**

§. 22. *εἶεν*] *ἀνάπαυσις τῶν λεχθέντων. ὅτε γὰρ βουλόμεθα παύσασθαι τῶν λεγομένων καὶ ἐφ' ἕτερα μετελθεῖν, τῷ εἶεν χρώμεθα. λῆξις γὰρ τῶν πρώτων, ἀρχὴ δὲ τῶν μελλόντων.* a **suppl.**

§. 23. *ξενικὸν*] *οἱ ξενικοὶ μισθοφόροι τὸ παράπαν εἰώθασι χρησιμεύειν ἐν πολέμοις, ὅτι οἱ Ἀθηναῖοι μὴ βουλόμενοι δι' ἑαυτῶν πολεμεῖν πρὸς Κορινθίους, διὰ τὸν κίνδυνον, μισθούμενοι ξένους εἰς τὸν πόλεμον, ἔτρεφον αὐτούς. τοῦτο δὲ ἐν πολλοῖς τῶν πολέμων διεπράττοντο, ὅπερ ξενικὸν ἐκάλουν. b.*

§. 26. *ταξιάρχους*] *ταξίαρχος λέγεται ὁ τῆς πεζικῆς ἄρχων, ἵππαρχος δὲ ὁ τοῦ ἱππικοῦ παντὸς στρατοῦ, ἱεροποιοὶ δὲ οἱ τὰ θύματα ἄγοντες εἰς τὴν πανήγυριν ἀπὸ τόπου εἰς τόπον.* a **suppl.**

ὥσπερ γὰρ οἱ πλάττοντες **etc.**] *καθάπερ γὰρ οἱ τὰ πήλινα προτιθέντες εἰς τὴν ἀγορὰν τοῦ ὁρᾶσθαι μόνον ἕνεκα ταῦτα πλάττουσιν, οὕτως καὶ ὑμεῖς ἐπὶ θέαν ψιλὴν χειροτονεῖτε τοὺς στρατηγούς, οὐ τῶν εἰς τὸν πόλεμον ἔργων ἕνεκα.* a **suppl.**

§. 30. *ἃ μὲν ἡμεῖς*] *ἐντεῦθεν Διονύσιος ὁ Ἁλικαρνασεὺς ἑτέρου λόγου εἶναι ἀρχήν. προοίμιον δέ, φησίν, οὐκ ἔχει, ἐπειδὴ δευτερολογία ἐστίν, ἐν αἷς ὡς ἐπὶ τὸ πλεῖστον οὐκ εἰσὶ προοίμια. b.*

§. 31. *φυλάξας τοὺς ἐτησίας*] *ἐτησίαι οἱ ἄνεμοι οἱ κατ' ἔτος πνέοντες. πνέουσι δὲ ἐν ἀκμῇ τοῦ θέρους, διότι ὁ ἥλιος μετεωρότερος καὶ ἀπὸ τῶν μεσημβρινῶν τόπων ἀρκτικώτερος γινόμενος λύει τὰ ὑγρὰ τὰ ἐν τοῖς ἄρκτοις· λυόμενα δὲ ταῦτα ἐξαεροῦται καὶ πνευματοῦται, καὶ ἐκ τούτων γίνονται οἱ ἐτησίαι, καὶ ἀπὸ τῶν ἀρκτῴων τόπων φέρονται ἐπὶ τὴν μεσημβρίαν· ἃ προσπίπτει τοῖς ὑψηλοτέροις ὄρεσι τῆς Αἰθιοπίας, καὶ πολλὰ καὶ ἀθρόα γινόμενα ἀπεργάζονται ὑετούς, καὶ ἐκ τῶν ὑετῶν τούτων πληθωρεῖται ὁ Νεῖλος τοῦ θέρους, ἀπὸ τῶν μεσημβρινῶν καὶ ξηρῶν τόπων ῥέων. — ἐτήσιος ὁ κατ' ἔτος. b.*

§. 35. *εἰς ἕνα τῶν ἀποστόλων*] *ἀπόστολος ὁ μετὰ στρατιᾶς καὶ παρασκευῆς ἀποστελλόμενος εἰς πόλεμον· καὶ ἀποστελλόμενοι οὐ μόνον οἱ πεμ-* 47 *πόμενοι ἐκ προσταγμάτων τῶν ἀποστολέων, ἀλλὰ καὶ οἱ ἀποδημεῖν μέλλοντες ἀποστελλόμενοι ἐλέχθησαν. καὶ ἀποστολεῖς οἱ ἐπὶ τῆς ἐκπομπῆς τῶν τριή-*

---

16. Homer. Il. β, 503. 16. *ποιήενθ'* Homerus: *ποιῆεν* br. 17. *οἱ* om. r. 20. *ἐκώλυσαν* r. 28. *ἀποστὰς* Reiskius: *καταστὰς* a. 31. *χορηγῆσαι* Sauppius: *χορηγήσειν* ar. 32. *αὐτοῖς* ar. *τὸν χάρητα* om. r. 34. *συμβάλλων* r. *Περσῶν* Sauppius: *προσιὼν* ar. 35. *πλεῖστον* a (dubitabat Reiskius). *τιθράυστου* r. 40. *ἐπιτάττωμεν* Sauppius: *ἐπιτάττομεν* ar. *μισθώσασθαι* om. r.

14. Quod sequitur in r scholion (p. 124 v. 10 — 14), sunt verba Demosthenis ipsius (§. 26), a scriba primum omissa, deinde in mg. addita. 19. Explicit cod. a supplementum. — Deinde ad §. 28 in cod. adscriptum est a manu valde recenti scholion de re numaria, quod legi non potest. 24 sqq. cf. Suidas 1 p. 1475. A. Gaisf. 36 sqq. Suidas 1 p. 514. C. Bekker anecd. p. 217, 26. — *στρατιᾶς καὶ παρασκευῆς* Bekk. anecd.: *στρατιᾶς* br. 38. *πόλεμον* Bekk. anecd.: *πόλεμον παρασκευῆς* br. *καὶ ἀποστ.*] Bekk. anecd. p. 216, 32. 39. *ἀποστολέων* Sauppius: *ἀπολυόντων* br. cf. Hesych. et Phavor. v. *ἀποστολεύς*. 40. *οἱ* Sauppius: *οἱ πεμπόμενοι* br. 41. Harpocrat. p. 30, 7.

ρων ἀποδεδειγμένοι. ἀπόστολοι δὲ αἱ τῶν νεῶν ἐκπομπαί. ἀποστολαὶ δὲ αἱ ἀποπέμψεις, τὰ δῶρα· οὕτω γὰρ ἐν τῷ ὑπὲρ Κτησιφῶντος· τῶν δὲ πλοίων τὰ μὲν συντριβόμενα ταῖς ἀποστολαῖς, τουτέστι ταῖς ἀποπέμψεσιν. b.

§. 37. ἐπιστολάς] ὁ σκοπὸς τῆς ἐπιστολῆς ἐστιν οὗτος· ὁ Φίλιππος ἐπέστειλεν Εὐβοεῦσι συμβουλεύων μὴ δεῖν ἐλπίζειν εἰς τὴν Ἀθηναίων συμμαχίαν, οἳ οὐδὲ αὐτοὺς δύνανται σώζειν. a.

§. 43. θαυμάζω etc.] τὴν μὲν Ἀμφίπολιν λέγει πολέμου ἀρχὴν γεγενῆσθαι . . . ἐπεῖδε αὐτοὺς τῇ πολλῇ μεταβολῇ. ἡ μὲν ἀρχὴ περὶ τιμωρίας ἐγένετο, τὸ δὲ τέλος περὶ τοῦ μὴ παθεῖν κακῶς. a.

ἀλλὰ μὴν] ἐκ τοῦ ἀναγκαίου. a.

κενὰς] πολιτικῆς δυνάμεως. b.

§. 44. ποῖ οὖν] ἀνθυποφορά, ἣν λύει στοχασμῷ. a.

§. 45. κενὸν] τὸ λόγοις μόνον γινόμενον, ἄνευ πραγμάτων. b.

§. 46. ἀπομίσθων] ἀπόμισθοι καὶ οἱ μὴ πεπληρωμένοι τὸν ὡμολογημένον μισθόν, καὶ οἱ διὰ κακίαν καὶ δειλίαν μὴ ἀξιούμενοι μισθοῦ. b. μισθὸν μὴ δεχομένων. οἱ δὲ συκοφάνται, ὑπὲρ ὧν ὁ στρατηγὸς ἐκεῖ πράττει, ἐνταῦθα κατηγοροῦσιν εὐχερῶς. διὰ γὰρ [125] τὸ μὴ παρεῖναι ὑμᾶς καὶ συκοφαντῶν ἀνέχεσθε. ταῦτα πρὸς Κηφισόδοτον αἰνίττεται. a.

§. 48. ὑμῶν δ'] ἐντεῦθεν οἱ ἐπίλογοι. b.

§. 50. ἀλλ' ἐὰν ἀφέντες] κατά τινας ἐντεῦθεν οἱ ἐπίλογοι. b.

ὅτι ἐχθρός] τὰ τελικὰ κεφάλαια. ἐχθρὸς τὸ ἄδικον· ἡμέτερα τὸ ἀσύμφορον· ὕβρικε τὸ ἀπρεπές· καθ' ἡμῶν εὕρηται τὸ ἀναγκαῖον. b.

οὐ γὰρ ἅττα ποτ' ἔσται] ὑπερβατὸν καθ' ὑπέρθεσιν. b.

§. 51. ἐγὼ μὲν οὖν] ὁ μερικὸς ἐπίλογος. b.

V. AD ORATIONEM ΠΕΡΙ ΕΙΡΗΝΗΣ.

Ὑπόθεσις τοῦ περὶ εἰρήνης.

Ὁ Φίλιππος μετὰ τὸ ἀνελεῖν τοὺς Φωκέας ἐν τῇ εἰρήνῃ πάρεδρος Ἀμφικτυόνων ἠβουλήθη γενέσθαι, ὡς λείποντος τοῦ ἑνὸς ἔθνους Ἀμφικτυόνων πρὸς ἀναπλήρωσιν τῶν ιβ'. τοῦτο ἐψηφίσαντο Θηβαῖοι καὶ Θετταλοὶ καὶ ἄλλοι τινές· ἀναγκαίως οὖν ἐχρῆν καὶ τοὺς Ἀθηναίους τούτοις συμψηφίσασθαι. Ἀμφικτυονία δὲ τόπος ἐν τῇ Ἑλλάδι, κοινὸν τῶν Ἑλλήνων δικαστήριον. ὅτε γὰρ ἠδικοῦντό τινες τῶν Ἑλλήνων, ἀπήεσαν ἐκεῖ. οὐ γὰρ παρὰ τοῖς ἀδικοῦντας καὶ ἀδικουμένους ἐχρῆν δικάζεσθαι. καὶ πάλιν, ὅτι περὶ κοινοῦ τινος ἐσκέπτοντο, ἐκεῖσε ἐβουλεύοντο. λέγουσι δέ, ὅτι ἐξ ἥρωός τινος ἔσχε τὸ ὄνομα. σκοπούντων οὖν Ἀθηναίων, εἰ δεῖ δέξασθαι Φίλιππον εἰς τὴν Ἀμφικτυονίαν, συμβουλεύει Δημοσθένης δεῖν δέχεσθαι, διὰ τὸ μὴ κοινὸν ἄρασθαι πρὸς τοὺς Ἕλληνας πόλεμον. ἦσαν γὰρ ψηφισάμενοι πολλοί, καὶ ἔμελλον συναγωνίσασθαι τῷ Φιλίππῳ ὀργιζόμενοι, ὡς τῆς γνώμης αὐτῶν ἀναιρουμένης. τινὲς δὲ ἐνόθευσαν τοῦτον τὸν λόγον, ὡς ἀνομοίαν ἔχοντος ὑπόθεσιν τῆς γνώμης αὐτοῦ, οὐ προσσχόντες ἀκριβῶς τῷ σκοπῷ τοῦ ῥήτορος. ἐπειδὴ γὰρ δοκεῖ ὑπὲρ Φιλίππου λέγειν, ὃ οὐδεπώποτε ὤφθη ποιήσας, ψήθησαν εἶναι αὐτοῦ τὸν λόγον ἀλλότριον. ἠγνόησαν δέ, ὡς ἔστι διαφόρως περὶ τοῦ αὐτοῦ χρήσασθαι πράγματος, τῆς προαιρέσεως οὐκ ἀλλαττομένης. οἷον λέγει τις ἐχθρὸν κακῶς, καὶ λέγει τις κακῶς φίλον ἐπιτιμῶν· καὶ τὸ μὲν κακῶς ἐπ' ἀμφοῖν, ἡ δὲ γνώμη διάφορος. οὕτω καὶ νῦν ὁ Δημοσθένης πεποίηκεν. λέγειν μὲν γὰρ ὑπὲρ Φιλίππου δοκεῖ, οὐ μετέστη δὲ τῆς προαιρέσεως, ἀλλὰ διὰ τὸ κοινὸν χρήσιμον οὕτω τὸν λόγον μετεχειρίσατο. τινὲς δὲ πραγματικῆς ἐγγράφου τοῦτον ἀπεφήναντο, λέγοντες, ὡς περὶ εἰρήνης συμβουλεύει· ἔγγραφος δὲ ἡ εἰρήνη· ἔγγραφος [126] ἄρα πραγματικὴ ἡ στάσις. φαίνονται δὲ ἀγνοήσαντες, ὡς οὐ περὶ τῆς εἰρήνης λέγει νῦν οὐδὲ περὶ ταύτην ἠσχόληται, ἀλλ' ὅτι συμφέρει δέξασθαι αὐτὸν καὶ μὴ πολεμεῖν. ὥστε εἶναι τὴν στάσιν πραγματικὴν ἄγραφον· ψιλὴ γὰρ ἡ παραίνεσις. τὸ δὲ προοίμιον, ἐπειδὴ ἐκ παραδόξων ἄρχεται (παρὰ γὰρ τὴν ἑαυτοῦ καὶ τὴν αὐτῶν γνώμην δοκεῖ λέγειν, εἴ γε περὶ εἰρήνης δοκεῖ λέγειν καὶ τρόπον τινὰ ὑπὲρ Φιλίππου), οὐκ εὐθὺς ἐκ τῶν πραγμάτων τῆς ἀκολουθίας ἀρξάμενος, ἀλλ' ἐκ ταραχῆς, οὐκ εὐθὺς τῆς ὑποθέσεως ἄρχεται, ἀλλὰ ταράττει πρῶτον, ἵνα ὡς ἐν τηλικαύτῃ ταραχῇ αὐτὸς συμβουλεύων ὥσπερ ἰατρὸς εὑρεθῇ κατὰ τοὺς λόγους γενέσθαι· δεῖ γάρ, ὅτι τι παράδοξον μέλλομεν λέγειν, μὴ εὐθὺς ἐκ τοῦ πράγ-

---

2. Bekk. anecd. p. 436, 28. 3. Haec turbata sunt. Verba sunt Diodori Sic. 13, 67. Demosthenis locus (18 §. 107) ab auctore scholii, cuius hic lacerae quaedam partes supersunt, ad illustrandam vocem quae est ἀποστολεύς allatus erat. cf. Harpocr. s. v. 8. οὐδὲ αὐτοὺς Sauppius: οὔτε αὐτοὺς ar. (in mg. lessing. τῶν μηδὲ αὐτοὺς σώζειν δυναμένων. p. 191 R.) 10. τὴν μὲν — γεγενῆσθαι om. r. deinde totidem fere verba legi non possunt. 11. εἶδε αὐτοὺς r. 17. γινόμενον m: τιμώμενον br. 23. ἐνταῦθα Sauppius: ἐντεῦθεν ar. 24. ὑμᾶς Sauppius: ἡμᾶς ar. 42. ἐν τῇ εἰρήνῃ om. r.

1. πρὸς] εἰς r. 3. ἀνάγκη r. 7. καὶ] ἢ r. 17. ἔχοντα Beckius. 28. μετεχειρίσατο H. Wolfius: μετεχειρήσατο a. 30. συμβουλεύει H. Wolfius: συμβουλεύειν ar. 37. εἴ γε — λέγειν om. r. 38. ἐκ] ἀπὸ r. item v. 39 et 43. Verba οὐκ εὐθὺς — ταραχῆς deleverim. Sep. 40. ἄρχεται Sauppius: ἀρχόμενος ar. 42. γενέσθαι om. r.

ματος ἄρχεσθαι, ἀλλὰ ταράττειν τὸν ἀκροατήν, ἵνα ῥᾶστον ἀποδέχηται, ὡς ἐν μεγίστῳ τυγχάνων φόβῳ, τοῦ συμβουλεύοντος καὶ ὁπωσοῦν ἔχουσαν τὴν παραίνεσιν. τὸ μὲν οὖν προοίμιον πολλὴν ταραχὴν ἐμποιεῖ τῷ ἀκροατῇ, ὡς ἔφαμεν, διὰ τὴν χρείαν. ἡ δὲ πρότασις διῃρημένη. a.

§. 1. Ὁρῶ] πρότασις. — τὸ προοίμιον ἐκ τοῦ πράγματος καὶ ἐκ τοῦ κατηγοροῦντος. b.

οὐ μόνον] κατασκευή. b. .... αἱ γὰρ κατασκευαὶ πῇ μὲν διῃρημέναι πῇ δὲ διεζευγμέναι λέγονται. διὰ τοῦ λέγειν οὐ μόνον μερίζει καὶ δείκνυσιν, ὅτι κατ' ἄλλο τι διαιρῶν καὶ οὐχ ὑφ' ἓν λέγει τὴν κατασκευήν. a.

§. 2. δυσκόλου] δευτέρα πρότασις. b.

οἱ μὲν γὰρ ἄλλοι] κατασκευὴ τῆς δευτέρας προτάσεως. b.

§. 3. οὐ μὴν ἀλλὰ καίπερ] συμπέρασμα τοῦ προοιμίου. b.

§. 4. ἀκριβῶς δὲ εἰδὼς] δεύτερον προοίμιον. b.

§. 5. Πλουτάρχῳ] Πλούταρχος ἦν Ἐρετρίας τύραννος. τούτῳ ἐπανέστη Κλείταρχος, καὶ ἅμα καὶ οἱ πολῖται συνεπέθεντο. ἔπεμψε πρὸς Ἀθηναίους συμμαχίαν αἰτῶν. ἀντεῖπε Δημοσθένης. μὴ πεισθέντες ἀπέστειλαν. μετεπέμψατο καὶ μισθοφόρους ξένους. διαλυσάμενος, ἀπαιτούντων αὐτὸν τῶν ξένων τὸν μισθόν, αὐτοῖς Ἀθηναίων λογάδας δήσας ἔδωκεν, οἱ δὲ Ἀθηναῖοι ν' τάλαντα πέμψαντες ἐλύσαντο αὐτούς. διὸ καὶ δαπανηρὸν ἐκεῖνον τὸν πόλεμον εἴρηκεν, ἄδοξον δέ, ὅτι τυράννῳ βοηθεῖν ἤμελλον. a.

§. 6. τὸν ὑποκριτὴν] ὑποκριτὰς ἐκάλουν οἱ ἀρχαῖοι τοὺς νῦν τραγῳδοὺς λεγομένους τοὺς ποιητάς, οἷον τὸν Εὐριπίδην καὶ Ἀριστοφάνην, τοὺς δὲ νῦν
48 ὑποκριτάς· οὗτοι δὲ ἦσαν δύο, τὸν μὲν δευτεραγωνιστήν, τὸν δὲ τριταγωνιστήν· αὐτοὺς δὲ τοὺς ποιητὰς τῶν δραμάτων τραγῳδοὺς καὶ τραγῳδοδιδασκάλους. b.

§. 7. εἰ γὰρ etc.] ὁ Νεοπτόλεμος .... τοῦ Νεοπτολέμου ὥσπερ ἐν θεάτρῳ, διὰ τῆς φωνῆς κηλούμενοι. ἐχρῆν δὲ ὑμῖν τὸ ἐναντίον, εἰ καὶ ἐν θεάτρῳ ἠκούσατε ἀμφοτέρων, μᾶλλον ἐμοὶ προσθέσθαι, ὡς παραινοῦντί τι χρήσιμον. οὐκοῦν ἐμὸς ὁ τόπος· ἐμὴν εἶναι καὶ τὴν ψῆφον ἐχρῆν. ἐκκλησία γὰρ ἦν. τὸ δὲ θεᾶσθαι παρατηρητέον .... ἐπὶ τραγῳδῶν. a.

§. 10. Θεσπιάς τινων καὶ Πλαταιάς etc.] αὗται Βοιώτιαι πόλεις. .... ἀπολαβόντας ἐν σπονδαῖς κατέσκαψε καὶ τοὺς μὲν ἀπέκτεινε, τοὺς δὲ ἐξήλασε, καὶ τὰ χρήματα σὺν τῇ χώρᾳ αὐτῶν κατενείματο. ταῦτα δὲ λέγει τοῦ Αἰσχίνου καθαπτόμενος. a.

§. 12. οἴχεται φέρον] πῶς οἴχεται ἐπὶ θάτερα; 127
ἐπιβαρήσαντος τοῦ ἐπικειμένου. οὕτω καὶ τῇ γνώμῃ ἐὰν προσενέγκῃς ἀργύριον, οἴχεται φέρον ἑαυτῷ. οὐκοῦν ἕως μὲν ἀκλινής ἐστιν ὁ λογισμός, βλέπει τὸ χρήσιμον· βαρούμενος δὲ τῷ χρυσίῳ πλανᾶται καὶ διασφάλλεται. a.

§. 13. ἂν μὲν οὖν etc.] πανταχοῦ παρατηρητέον εἶναι λέγει, μὴ δεῖν λύειν τὴν εἰρήνην, οὐδαμοῦ Ἀμφικτύονα τὸν Φίλιππον ὀνομάζει γίνεσθαι. ἀλλὰ διὰ τὸ μὴ .... σκευάζεται τοῦτο καὶ .. λυπεῖται ὁ .... καὶ ἀνύει ὃ βούλεται. a.

§. 15. θορυβήσῃ] ἐπειδὴ ἤμελλον πολεμίους ὄντας τοὺς Θηβαίους ἀκούοντες Ἀθηναῖοι ταράττεσθαι, παρενέβαλε τὸ μὴ θορυβηθῆτε· ἥκιστα γὰρ πολεμοῦσι. ἕτερος γὰρ καθεδεῖται· ἐπικαθεσθήσεται, κρατήσει τῶν ἄθλων, ὁ Φίλιππος. a.

§. 17. οὐκ ἄχρι etc.] .... καὶ κινδυνευούσης καὶ ἀδικούσης, ὥστε καὶ κρατεῖν τῶν ἄλλων καὶ σώζεσθαι. οὐχ ὁμοίως γὰρ εὐνοοῦσιν ἡμῖν πρὸς τὸ σωθῆναι καὶ πρὸς τὸ πλέον ἐκτῆσθαι. οἶδα γὰρ ὅτι καὶ οἱ ἡμέτεροι σύμμαχοι καὶ οἱ Θηβαίων τοὺς μὲν ἐφ' ἡμᾶς ἐρχομένους ἀμυνοῦνται, οὐ μὴν ἐπιστρατεύσονται. a.

§. 18. τὴν — ἐπικηρυκείαν] ἐπικηρυκεία φιλία ἡ ἐκ τῶν πολεμίων, τὸ περὶ φιλίας καὶ διαλλαγῶν κήρυκας πέμπειν. καὶ ἐπικηρυκεύειν τὸ διὰ κήρυκός τινος συνθήκας καὶ πρεσβείας ποιεῖσθαι. συντάσσεται δοτικῇ. b.

§. 24. Ὠρωπόν] τόπος, ἐν ᾧ ἀπέβαλε τοὺς ὦπας ὁ Ὦρος. b.

§. 25. Καρδιανοὺς] Καρδία πόλις Μιλησίων ἄποικος ἐν Χερρονήσῳ, ἥτις τοὔνομα ἔσχεν ἐντεῦθεν. Ἑρμοκράτους τοῦ Μιλησίου οἰκίζοντος αὐτὴν καὶ θύοντος κόραξ ἁρπάξας τοῦ ἱερείου τὴν καρδίαν ἀφῆκεν εἰς τὴν γῆν. καὶ διὰ τοῦτο κέκληται Καρδία. οὗτοι δὲ οἱ Καρδιανοὶ οὐκ ἐβούλοντο συντελεῖν μετὰ τῶν ἄλλων Χερρονησιτῶν καὶ ὑπακούειν Ἀθηναίοις, ἀλλὰ ἔφησαν

---

6. Scholia quaedam parva manus recentioris, nullius ea pretii, omisimus. 8. καὶ Sauppius: ὡς br. 9 — 12. om. r. Versus primus praesectus est. 23. μετεπέμψατο Sauppius: μετεπέμψαντο ald. lessingiana (p. 192 R.), ἔπεμψε ar. καὶ μισθοφόρους ξένους ald. lessing.: διὰ μισθοφόρων ξένων ar. 29 sqq. Scholion corruptissimum sic fere legendum est: ὑποκριτὰς ἐκάλουν οἱ ἀρχαῖοι τοὺς νῦν τραγῳδοὺς λεγομένους, οὗτοι δὲ ἦσαν τρεῖς, καὶ τὸν μὲν [πρωταγωνιστήν, τὸν δὲ] δευτεραγωνιστήν, τὸν δὲ τριταγωνιστήν· αὐτοὺς δὲ τοὺς ποιητὰς τῶν δραμάτων, οἷον τὸν Εὐριπίδην καὶ Ἀριστοφάνην, τραγῳδοὺς καὶ τραγῳδοδιδασκάλους. Spp. 35 — 41. om. r. 34. νεοπτόλεμος — νεοπολέμου a. Duae tertiae partes versus primi legi non possunt. 34. qui sensus fuerit horum verborum Herodianus docet Piersoni p. 438.

1 — 5. om. r. 2. βοιωται a. — Dimidiatus versus legi non potest. Quae sequuntur, ad Phocenses pertinent. 6. φέρον om. r. 12 — 16. om. r. — Sub finem verba quaedam discerni nequeunt. 22 — 27. om. r. Versus primus fere totus legi nequit. 28. ἐπικηρυκία b.

ἔξω τῶν ὅρων εἶναι τῶν Ἀθηναίοις προσηκόντων. ἡ γὰρ Χερρόνησος Ἀθηναίων ἦν, κτησαμένου αὐτὴν Μιλτιάδου τοῦ Κυψέλου. a.

VI. IN PHILIPPICAM SECUNDAM.

§. 1. ὅταν] ἐπιτιμητικὸν τὸ προοίμιον τῆς τῶν Ἀθηναίων ῥαθυμίας· ἔχει δὲ καὶ προσοχήν. b. τὸ προοίμιον ἀκατάσκευον διὰ τὸ ὁμολογεῖσθαι . . . τὸ δὲ συμπέρασμά ἐστι τὸ χαλεπώτερον· τὸ δὲ αἴτιον δὲ τούτων αἰτία τοῦ συμπεράσματος καὶ ἐπέκτασις. a.

πράττει] πλεονεκτεῖ καὶ ἀδικεῖ. b.

λόγους καὶ δικαίους καὶ φιλανθρώπους] δικαίους μέν· κατὰ γὰρ Φιλίππου λέγετε ἀδικοῦντος· φιλανθρώπους δέ· ὅτι ἐλεεῖτε τὸ γένος τὸ Ἑλληνικόν. a.

§. 3. αἴτιον δὲ] κατασκευή. b.

ἐπειδ' ὑμεῖς οἱ καθήμενοι] εἰ γὰρ ἀποδεικνύντων ἡμῶν τὴν ἀδικίαν Φιλίππου οὐδὲν πράττεται, ἀποροῦμεν λοιπόν, τί συμβουλεύσομεν. a.

§. 4. συμβαίνει δὴ] τὸ συμπέρασμα. b.

εἰκὸς] εἰκός ἐστι τὸ πίστεως ἐχόμενον, ἐοικὸς δὲ τὸ ἐμφερές. b.

§. 4. ἵν' ἐὰν μὲν ἐγὼ δοκῶ] ἐν αἱρέσει αὐτοῖς δίδωσι τὸν πόλεμον, ἐκφυγὼν τὸ ἀποφήνασθαι διὰ τὸ ἄδηλον αὐτοῦ· ἵνα κἂν πταίσῃ ὁ δῆμος αὐτὸν ψηφισάμενος μὴ αἰτιάσηται. a.

§. 9. καθ' ὑμῶν] σημείωσαι τὴν σύνταξιν. πολλάκις ἀντὶ τῆς ὑπὲρ ἐκλαμβάνεται. καὶ γὰρ ὁ Θεολόγος ἐν τῷ πρώτῳ τῶν στηλιτευτικῶν· κατὰ γὰρ τῶν ἀγωνιζομένων οἱ στέφανοι, ἀντὶ τοῦ ὑπὲρ τῶν ἀγωνιζομένων. b.

128 §. 11. γλίχονται] ἄγαν ἐπιθυμοῦσι, διὰ τὸ κοσμεῖσθαι τοὺς λόγους αὐτῶν ἐκ τῆς ὑποθέσεως. a.

διὸ κἀγὼ παραλείψω] τῇ μὲν ἀληθείᾳ διὰ τὸ μὴ οἰκείως ἔχειν τῇ συμβουλῇ τῶν προγόνων παρεκτείνειν τὰ ἐγκώμια, λέγει δέ, ὅτι κἀγὼ εἷς εἰμι τῶν ἡττηθέντων τοῖς πράγμασι. a.

τοὺς μὲν συστρατεύσαντας] τοὺς Θηβαίους. a.

τοὺς δ' οὐκ ἐναντιωθέντας] τοὺς Ἀργείους. a.

§. 13. ὁ γὰρ Μεσσήνην] μετὰ τὰ Λευκτρικὰ Θηβαῖοι τοὺς Μεσσηνίους, τοὺς τῶν Λακεδαιμονίων συμμάχους, ἀπέσπασαν, ὅπως ἔχοιεν εἰς τὸν κατ' αὐτῶν πόλεμον. καὶ ὁ Φίλιππος οὖν συναιρόμενος τοῖς Θηβαίοις τοὺς Λακεδαιμονίους κελεύει ἀποστῆναι τῶν Μεσσηνίων, καίπερ ὄντος ἰδίου τοῖς Λακεδαιμονίοις τοῦ κτήματος. τὸ δὲ καλῶς (§. 14.) συντρέχει, ἵνα γελοιότερον λύσῃ τὸ δοκοῦν ἰσχυρὸν τυγχάνειν. a.

§. 14. ὑπόπτως] οὐκοῦν ἔχθραν καὶ ὑποψίαν ἔχει κατ' αὐτῶν, ὡς βιασθεὶς ὑπ' αὐτῶν. a.

§. 19. ἃ καὶ πρὸς Μεσσηνίους] κατὰ πρεσβείαν ἐξελθὼν πρὸς Ἀργείους ὁ Δημοσθένης συνεβούλευσεν· οὐ πεισθέντες αὐτῷ ἐβλάβησαν τὰ μέγιστα. βούλεται οὖν εἰπεῖν τὴν δημηγορίαν αὐτοῦ, ἵνα πείσῃ τοὺς Ἀθηναίους, δι' ὧν ἤδη τὰ συμφέροντα συνεβούλευσεν, οἷς Ἀργεῖοι πεισθέντες προυδόθησαν. a.

§. 20. Ποτίδαιαν δ' ἐδίδου] Ποτίδαιαν ἐκπολιορκήσας ὑπ' Ἀθηναίων φρουρουμένην, τοὺς Ἀθηναίων φρουροὺς ἀπέστειλεν εἰς αὐτούς, νέμων μέρος τι χάριτος καὶ Ἀθηναίων δήμῳ. τὴν δὲ πόλιν ἐξανδραποδισάμενος καὶ ἅψας, Ὀλυνθίοις ἀστυγείτοσιν οὖσι νέμεσθαι τὰς κτήσεις ἔδωκε. Lessing. (p. 192. R.)

§. 22. Νίκαιαν καὶ Μαγνησίαν ἐδίδου . . . . εἶχε δὲ αὐτῶν ἀποσπάσας, εἶτα ἔδωκεν, πρὸς τὸ ἀπατῆσαι αὐτούς, ἵνα δόξῃ φίλος εἶναι. a.

§. 24. οὐδὲν δεινὸν μὴ πάθητε] οὐκ ἔστι τοῦτο δύο ἀρνήσεις ἐν ταὐτῷ μίαν συγκατάθεσιν ποιοῦν, ὥσπερ ἀλλαχοῦ, ἀλλὰ ἰδίωμα Ἀττικὸν τὸ εἶναι πολλὰς ἀρνήσεις ἐφεξῆς. a.

§. 37. οὐδένα γὰρ βουλοίμην] ὥστε φείδομαι καὶ τῶν προδοτῶν διὰ τὴν πόλιν. a.

VII. IN ORATIONEM DE HALONNESO.

§. 1. ἄνδρες Ἀθηναῖοι] τὸ προοίμιον σχετλιαστικόν. Ἄλλως. τὸ προοίμιον κατὰ τὸν Ἑρμογένην ἐκ τῶν ἔξωθεν ἐμφαινομένων. οὐ γὰρ δεῖ διὰ τὰς τοῦ Φιλίππου αἰτίας κωλύεσθαι τοὺς συμβούλους ὑπὲρ τῶν συμφερόντων λέγειν. στάσις ἄγραφος πραγματική. b.

οὐκ ἔστιν ὅπως] πρότασις. b.

δεινὸν γὰρ ἂν εἴη] κατασκευή. b. ἐντεῦθεν ἡ κατασκευή· ἔοικε δὲ ταῦτα πρὸς τὰ Περσικὰ ἔχειν τὴν ἀναφοράν. διὸ καὶ φθάνει τὸ δεινὸν ἂν εἴη. οἷον 129
οὐκ ἐφοβήθησαν αὐτοῦ Δαρείου τὰ γράμματα οὐδ' ἃ ἐπέστελλε Ξέρξης, ἀλλ' ἀνῄρουν τοὺς ἥκοντας. a.

παρρησίαν] ἣν οὐκ ἀνεῖλον αἱ παρὰ Ξέρξου καὶ Δαρείου, ὧν οἱ διακομισταὶ ἀνῃροῦντο. Lessing. (p. 192. R.)

---

10 — 13. τὸ προοίμιον etc. om. r. — Tria fere verba legi non possunt. 17. τὸ γένος om. r. 28. αὐτὸν — μὴ αἰτιάσηται Sauppius: ἑαυτὸν — αἰσχύνεται ar.

19 — 21. om. r. — Tria fere verba legi non possunt. Fort. Θετταλῶν ἦσαν πόλεις. 24. ἰδίωμα Ἀττικὸν Sauppius: ἰδιώματα Ἀττικὰ ar. 43. οὐδ' ἃ H. Wolfius: ἃ ar. 44. ἀπέστελλε r.

ἐγὼ δ' ὑμῖν] προκατασκευὴ ἤτοι προέκθεσις τῶν κεφαλαίων. b. ὧδε ἐπαύσατο τὸ προοίμιον. ἦλθεν ἐπὶ τὴν ὑπόθεσιν, πρὸς τὴν χρείαν βραχὺ προοίμιον ἐργασάμενος. a.

ὕστερον δὲ περὶ ὧν οἱ πρέσβεις λέγουσιν] ἐκτὸς γὰρ τῆς ἐπιστολῆς ἔσθ' ὅτε προστάττουσι τοῖς πρέσβεσι· καὶ πρὸς ταῦτ' οὖν ἐπαγγέλλεται λέγειν. a.

§. 2. *Φίλιππος γὰρ*] πρώτη εἰσαγωγὴ τοῦ κεφαλαίου ἐπὶ τοὺς ἀγῶνας ἀπὸ προτάσεως. b.

Ἁλοννήσου] ταύτην τὴν νῆσον οὖσαν περὶ τὴν Θρᾴκην Ἀθηναίων ὑπήκοον Σώστρατος λῃστὴς ἐσφετερίσατο· πρὸς ὃν Φίλιππος πολεμήσας ἀπέσπασεν. Ἀθηναῖοι ἔπεμψαν πρέσβεις ἀπαιτοῦντες ὡς ἰδίαν. ἔφησε Φίλιππος, ει μὲν βούλονται ὡς δωρεὰν λαμβάνειν, διδόναι· εἰ δὲ μή, οὐκ ἀποδιδόναι. a.

ἔλεγε δὲ] ὑποφορά, ὁ τοῦ ἐναντίου λόγος. b.

§. 3. *τοῦτον δὲ τὸν λόγον*] τρίτη ἀντιπρότασις· ἡ τῆς λύσεως γὰρ ἐπαγγελία. b.

40 *οὐ χαλεπόν ἐστιν*] ὅτι πάντα τὰ τῆς ἐπιστολῆς τῇ διανοίᾳ λύει ὁ ῥήτωρ· πᾶν γὰρ ῥητὸν τῇ διανοίᾳ λύεται. b.

ἀφελέσθαι] ἐνταῦθα ἡ τοῦ κεφαλαίου εἰσαγωγὴ ἐκ τῶν τεσσάρων πεπλήρωται, προτάσεως, ὑποφορᾶς, ἀντιπροτάσεως, λύσεως. b.

ἅπαντες γὰρ οἱ λῃσταὶ] τετάρτη λύσις, ἐκ τῆς τῶν ἐπιχειρημάτων κατασκευῆς. b.

ὁ δὴ τοὺς λῃστὰς τιμωρησάμενος] καθ' ὑπόθεσιν, ἐκ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. b.

§. 9. *ἐφέσιμον*] ἔφεσις ἡ ἔγκλησις ἡ ἀπὸ σμικροῦ εἰς μεῖζον κριτήριον προκαλουμένη. b.

περὶ Ποτίδαιαν] ἔναγχος λαβὼν τὴν Ποτίδαιαν καὶ πολλοὺς τῶν ἐνοικούντων ἀδικήσας, ἵνα τοίνυν μὴ ἐγκαλῶσιν αὐτῷ, πέπομφε περὶ τῶν συμβόλων, δι' ὧν σπείσεσθαι ἤθελεν, ἵνα διὰ τῶν σπονδῶν λύσῃ τὰ ἐγκλήματα. a.

οὐδὲν ἐνεκαλεῖτε (sic) *αὐτῷ ὡς ἀδικούμενοι*] σπεισάμενοι αὐτῷ περὶ τῶν συμβόλων, ὡς μηδὲν ἀδικούμενοι δηλονότι· οὐ γὰρ ἂν ἐσπείσασθε. a.

§. 11. *σύμβολα*] σύμβολα λέγει τὰς δίκας τὰς περὶ τὰ συμβόλαια τῶν ἐμπόρων. Ἄλλως. σύμβολα τὰς συνθήκας, ἃς ἐν ἀλλήλαις αἱ πόλεις θέμεναι τάττουσι τοῖς πολίταις, ὥστε διδόναι καὶ λαμβάνειν τὰ δίκαια. πολλάκι[ς ἐν τῷ ζ' Φιλιππικῶν Δημοσθένης]. b.

§. 12. *ἐφ' ἡμῖν γὰρ ἦν ἡ Μακεδονία*]... εἰχόν τινα χωρία, ἀφ' ὧν καὶ φόρους ἐλάμβανον. συνῆψαν οὖν τῇ Θρᾴκῃ καὶ τὴν Μακεδονίαν πλησίον οὖσαν. ἦσαν γὰρ φίλοι τότε, νῦν δὲ πόλεμος ἐπίκειται. a.

§. 15. *διαφθείρειν*] τὸ διαφθείρειν ἢ λόγοις ἢ χρήμασι. a.

καὶ μὴ μόνον τοὺς φυγάδας τοὺς παρ' ἑαυτοῦ εἰς Θάσον κεκομικέναι] ἐλεγχθέντες γάρ τινες τῶν Θασίων, ὡς μέλλουσι Φιλίππῳ προδιδόναι τὰ πράγματα, ἐφυγαδεύθησαν ἐκ τῶν πολιτῶν. τούτους ὁ Φίλιππος πείσας τοὺς περὶ τὸν Χάρητα κατήγαγεν. b.

§. 16. *κατασκευάζεται*] ἀντὶ τοῦ κατασκευασθῆναι ποιεῖ· κυρίως γὰρ ἐπὶ μὲν τοῦ δημιουργοῦ λέγομεν *κατασκευάζει*, ἐπὶ δὲ τοῦ τὰ ἀναλώματα παρέχοντος *κατασκευάζεται*. b. κυρίως γὰρ ὁ μὲν τεχνίτης *κατασκευάζει*, ὁ δὲ παρασχὼν τὰ ἀναλώματα *κατασκευάζεται*. a.

ὧν οὐδὲν προτιμᾷ] ἀντὶ τοῦ ὧν οὐδὲν φροντίζει. b.

§. 17. *οἳ οὐκ αἰσχύνονται*] κατατρέχει τῶν φιλιππιζόντων. a.

§. 18. *ἑκατέρους ἔχειν*] ὁ Φιλοκράτης ἐν τῷ ψηφίσματι γέγραφεν ἑκατέρους ἃ ἔχουσι[ν ἔχειν,] χαριζόμενος Φιλίππῳ· πολλὰ γὰρ ἀλλότρια ἡρπάκει. συνέντες Ἀθηναῖοι τοῦτο ἔπεμψαν ἐπανορθώσασθαι τὴν εἰρήνην, ὥστε ἔχειν ἑκατέρους τὰ ἑαυτῶν. a.

§. 20. *εὐδοκίμησεν ὁ Πύθων*] ὥσπερ νῦν μεμφομένων τῶν ῥητόρων ἔγνωτε Φιλίππου, οὕτω καὶ Πύθων τότε ἐν ὑμῖν δημηγορῶν. ἐπαινεῖ δὲ τὸν Πύθωνα, ὅτι εὐδοκίμησε κατὰ τοὺς λόγους τότε (ἦν γὰρ ῥήτωρ ἄριστος), καὶ ἐπειδὴ συμφέρει αὐτῷ· δι' αὐτοῦ γὰρ ἐλέγχει τὸν Φίλιππον ψευδόμενον. a. 130

§. 23. *Πύθωνα*] ἐπηγγέλλετο γὰρ ποιεῖν τὰ δέοντα καὶ ἐπανορθοῦσθαι τὴν εἰρήνην. a.

ἔλεγε δὲ] ἐπίκρισις. b.

§. 24. *τῷ Φιλοκράτους ψηφίσματι*] τὸ γὰρ Φιλοκράτους ψήφισμα εἶχεν *ἑκατέρους ἃ ἔχουσιν ἔχειν*. εἶχε δὲ Ἀμφίπολιν ὁ Φίλιππος. οὐκοῦν ἀπώλλυον διὰ τοῦ ψηφίσματος ταύτην. a.

§. 32. *ἵνα δὴ αὐτόνομοι ὦσιν*] σημείωσαι· εἰρωνικόν. b. κατ' εἰρωνείαν λέγει τὸ *ἵνα*. ἰδοὺ γὰρ τυραννοῦνται τοῖς ὅπλοις. ὁμολογεῖ τοῦτο λόγῳ· τοῖς ἔργοις τἀναντία πράττει. τὰς γὰρ Φερὰς ἐχειρώσατο. a.

τὰς δ' ἐν Κασσωπίᾳ] αὗται αἱ πόλεις ἐν Ἀχαΐᾳ εἰσὶν ἐντὸς Πελοποννήσου. a.

---

2. ἐπαύσατο] παύσας r. 3. πρὸς] καὶ r. 20. τῇ m: καὶ br. 33. συμβολῶν ar. item v. 37. 38. ἐσπείσασθε Sauppius: σπείσασθαι ar. 43. Uncinis inclusa addidimus ex Suida p. 3441. B. 45. verba quaedam legi non possunt. ὑπὸ τυράννων quod est in r, scriptum non fuisse liquet. Fort. ἐπὶ Θρᾴκης.

1. καὶ om. r. 5. διαφθείρειν ἢ] διαφθεῖραι ἢ r. 16. ἀναλώματα] χρήματα r. 23. ἔχουσιν ἔχειν H. Wolfius: ἔχουσι ar. 27. μεμφομένων — δημηγορῶν] μεμφομένου τοῦ ῥήτορος r. 29. ἐν add. Sauppius. 40. σημείωσαι· εἰρωνικόν. b. ad verba τὰς δ' ἐν Κασ. referebat r.

Ἀλεξάνδρῳ] τῷ Μολοττῷ, ἀδελφῷ τῆς Ὀλυμπιάδος. Lessing.

σφόδρα γε] καὶ τοῦτο εἰρωνικόν. b.

§. 35. *ὡς ἔοικε*] διὰ τὸ πιθανὸν πρόσκειται τὸ *ὡς ἔοικεν*· ὅτι ὡς φαίνεται ἔξω τῆς οἰκουμένης ὑμῖν δωρήσεται. δεῖξον, φησί, ξένην οἰκουμένην τῷ Φιλίππῳ, καὶ τότε δωρεὰν ἕξεις ἀμάρτυρον. a.

§. 37. *ὥσπερ δὲ ταῦτα ἴσμεν*] χάρισον. b.

§. 38. *τὸν πρόξενον*] πρόξενός ἐστιν ὁ προστάτης ἐν τῇ ἑαυτοῦ πόλει ἄλλης πόλεως. a.

§. 39. *Ἀγορᾶς*] τόπος τῆς Χερρονήσου, καὶ μέχρι τούτου Φίλιππος ὁρίζεται τοῖς Ἀθηναίοις εἶναι Χερρόνησον. τὴν προσηγορίαν ἔλαβεν ὁ τόπος ἐκ τοῦ εἶναι ὅριον καὶ μέτρον τῆς χώρας. a.

Πτελεοῦ καὶ Λευκῆς] πόλεων, οὐ δένδρων ὀνόματα. a.

§. 40. *ἀμμορίης*] κατὰ στέρησιν τοῦ μορίου. b.

§. 42. *ἐγκτήματα*] κτῆμα ἐγκτήματος διαφέρει. *κτῆμα* μὲν γάρ ἐστιν, ὅταν τις ἐν οἰκείᾳ γῇ κτήσαιτό τι χωρίον, *ἔγκτημα* δέ, ὅταν ἐν ἀλλοτρίᾳ γῇ
50 τις κτήσαιτό τι χωρίον, ὥσπερ καὶ Φωκεῖς καὶ Θετταλοὶ ἐδικάζοντο περὶ τοῦ ἱεροῦ, καὶ Καρδιανοί, ὅτι ἡμετέρα ἐστὶν ἡ γῆ. b.

Κάλλιππον Παιανιέα] ῥήτωρ ἦν Ἀθηναῖος. b.

§. 43. *διαδικάζεσθαι*] ὀνειδίζειν, ἐλέγχειν. διαδικασία δέ ἐστιν, ἣν ποιοῦνταί τινες τοῖς μέλλουσι χορηγεῖν, οὓς ἂν ὁρισθῆναι βούλωνται, πότε χρὴ λειτουργεῖν αὐτούς. b.

§. 44. *ἆρ' οὐ μεγάλα*] σημείωσαι· εἰρωνικόν. b.

§. 44. *καὶ ταύτην* etc.] κατὰ χλευασίαν ἀναγνωστέον. b.

§. 45. *ἐκεῖνος μὲν*] ἐντεῦθεν ὁ ἐπίλογος. b.

VIII. AD ORATIONEM DE REBUS CHERSONESI.

Τὸ προοίμιον ἀπὸ συστάσεως τοῦ οἰκείου προσώπου. ἐπεὶ γὰρ τοῦ μὲν κατηγορεῖ, τοῦ δὲ ὑπεραπολογεῖται, τὴν ὑποψίαν ἀποκρούεται τῆς τε ἔχθρας καὶ τῆς εὐνοίας διὰ τῆς πρὸς ἑτέρους εἰσηγήσεως. — τινὲς ἐνόμισαν τὸν λόγον δικανικοῦ εἴδους, λέγοντες, ὅτι ἀπολογίαν ἔχει Διοπείθους καὶ κατηγορίαν Φιλίππου. ὁ δὲ Ἐπιφάνιος ὁ τεχνικὸς συμβουλευτικοῦ αὐτὸν εἴδους λέγει εἶναι, ἐπειδή, φησί, τῆς κατηγορίας πλείονα τὴν συμβουλὴν ἔχει. τὸ δὲ ἀληθέστερον οὕτως· εἰ ἦν παρεστηκὼς ὅ τε κατηγορούμενος καὶ ὁ διώκων, καλῶς ἂν ὡς ἐν δικαστηρίῳ καὶ κρίσει αὐτῶν ὄντων ἐλέγομεν εἶναι τὸν λόγον εἴδους δικανικοῦ· ἀλλ' ἐπειδὴ οὔτε δικαστήριον ἦν οὔτε Διοπείθης παρῆν οὐδὲ Φίλιππος, ἀλλ' ὁ ῥήτωρ προσκοπῶν οὔτε τὴν ἀπολογίαν Διοπείθους οὔτε τὴν κατηγορίαν Φιλίππου ἀλλὰ τῆς πόλεως τὸ συμφέρον συνεβούλευσε, καλῶς ἂν τὸν λόγον εἴποιμεν εἴδους εἶναι συμβουλευτικοῦ. ἔστι δὲ τὸ προοίμιον ἐξ ἐπιτιμήσεως τῶν κατὰ Διοπείθους λεγόντων. εὔνοιαν δὲ τὸ προοίμιον ἀπεργάζεται. δύο δὲ ὄντων εὐνοίας τόπων, ἢ ἑαυτὸν συστῆσαι ἢ τὸν ἀντίδικον διαβαλεῖν, ἀπὸ κοινότητος αὐτὸ ἔλαβε· διὰ δὲ τοῦ λέγειν *ἄλλως τε καὶ περὶ τῶν κοινῶν* προσοχὴν τίκτει τοῖς ἀκούουσιν. b. οὗτος ὁ Διοπείθης πατὴρ ἦν Μενάνδρου τοῦ κωμικοῦ. ὁ δὲ Μένανδρος φίλος ἦν Δημοσθένους, δι' ὃν ὑπὲρ Διοπείθους βουλεύεται. mg. b.

§. 1. *μήτε πρὸς ἔχθραν*] διὰ τὸν Διοπείθην λέγει. *τὸ πρὸς χάριν* διὰ Φίλιππον. a.

ἐπειδὴ δ' ἔνιοι] ἔνιοι συμπέρασμα· ὁ δὲ Ἑρ- 51
μογένης ἀνταπόδοσιν λέγει αὐτό. b. ἡ εἰσβολή· ὅτι καὶ μάλιστα πρὸς τὸ συμφέρον χρὴ δημηγορεῖν. a.

§. 2. *ἡ μὲν οὖν σπουδὴ*] δεύτερον προοίμιον ἐκ τοῦ πράγματος. b. προοίμιον β'. a.

ἐγὼ δ' ὅσα] κατασκευή.

§. 4. *Πολλὰ δὲ* etc.] εἰσβάλλει εἰς τὸ κεφάλαιον τὸ συμφέρον. a.

§. 6. *τοὺς κληρούχους*] κληροῦχοι ἐκαλοῦντο, οὓς Ἀθηναῖοι ἔπεμπον ἐπὶ τὰς πόλεις, ἃς ἐλάμβανον, κλήρους ἑκάστοις διανεμοῦντες· οὕτως καὶ Ἰσοκράτης ἐν Πανηγυρικῷ. ἐνταῦθα δὲ *κληρουχικὰ* ἂν λέγοι τὰ τῶν ἐκπεμφθέντων εἰς ἑτέρας χώρας ἥντινα δήποτε κατὰ κληρουχίαν. πῶς γάρ; οὐ γὰρ οἷόν τε τὸν μὴ ἐπιδημοῦντα Ἀθήνησι τριηραρχεῖν. Ἡρόδοτος δὲ *κληρούχους* λέγει τοὺς γεωργούς. b.

§. 9. *ἀλλὰ νὴ Δία* etc.] ἄλλο μέρος τοῦ δικαίου, ὅτι οἱ ξένοι μετὰ Διοπείθους περικόπτοντες τὰ πλοῖα καὶ βλάπτοντες ἀδικοῦσιν. a.

§. 21. *οὔτε χρήματα*] σημείωσαι· κατὰ κῶλον ἐπαναφορὰ τὸ *οὔτε*. b.

§. 23. *εἰ γὰρ μήτε εἰσοίσετε* etc.] κατὰ κῶλον καὶ κόμμα ἐπαναφορά. b.

---

6. τῷ om. r. 11. *χερροννήσου* a. item v. 12. *χερόννησον*. 13. *τόπος ἐκ τοῦ εἶναι*] *Φίλιππος* r. 17. *μορίου* m: *μόρου* br. 18. *ἐγκτήματος* m: *ἐγκτήματι* br. 23. *ἡμετέρα* m: *ὑμετέρα* br. 25—28. cf. Suidas p. 936. A. 41. *ἐπεὶ*] *ἐπειδὴ* r.

7. *οὐδὲ* Sauppius: *οὔτε* br. 8. *οὔτε* Sauppius: *οὐ* br. 13. *εὔνοιαν* m: *ἔννοιαν* br. 14. *εὐνοίας* m: *ἐννοίας* br. 21. schol. *a* om. r, item v. 23 sq. et 24. 25. schol. *a* om. r. item ad §. 9. 27. sqq. cf. Harpocrat. p. 112, 9. Suid. p. 2122. B. 31. *διανεμοῦντες* Harpocr.: *διανεμοῦντας* br. 33. Isocrat. 4 §. 107. 34. *ἐνταῦθα*] Demosth. 14 §. 16, ad quem l. hoc scholion primitus videtur adscriptum fuisse. 36. *κατακληρουχίαν* br. *μὴ*] *μὲν* r. 37. Herodot. 5, 77.

§. 24. ἢ ἐγὼ — τιμῶμαι] σημείωσαι· ὑπερβατὸν κατὰ παρένθεσιν, ὅ ἐστιν ἐπεμβολή. b.

§. 25. καὶ διδόασιν etc.] ὑπερβατὸν κατ' ἔννοιαν, μέσον ἔχον τὴν αἰτίαν. b.

§. 26. πόθεν γὰρ οἴεσθε] ὑπερβατὸν καθ' ὑπέρθεσιν. b.

§. 27. μέλλει πολιορκεῖν] καθ' ὁμοιότητα λέξεως, β' εἶδος τῆς κατὰ λέξιν δριμύτητος, μέλλει καὶ μέλει. b.

§. 28. πινάκιον] εἰς ὃ γράφονται τὰ ἐγκλήματα κατὰ τῶν εἰσαγγελλομένων. b.

§. 29. εἰσαγγελία] ἐμφανισμός, μήνυσις. b.

Πάραλος] μία τῶν παρ' Ἀθηναίοις πρὸς τὰς δημοσίας χρείας διαπεμπομένων τριήρων, ἀπό τινος ἥρωος τοὔνομα λαβοῦσα. — Πάραλος ἢ Σαλαμινία· αὗται ἱεραὶ τριήρεις δημόσιαι, ἐπὶ τὰς τῆς πόλεως χρείας πεμπόμεναι καὶ ταχυναυτοῦσαι, ἡ μὲν ὑπηρετοῦσα εἰς τὰ θεωρικά, ἡ δὲ εἰς τὰ δημόσια. Πάραλοι δὲ οἱ ἐν τῇ νηὶ τῇ Παράλῳ πλέοντες, καὶ οἱ τὴν παράλιον τῆς Ἀττικῆς κατοικοῦντες, ὥσπερ ἕτεροι Πεδιάσιοι καὶ Διάκριοι. — Πάραλος δὲ τριήρης ἱερὰ καλεῖται, ἥτις διηνεκῶς ταῖς ἐπειγούσαις χρείαις ὑπηρετεῖ. ὁπότε δὲ ἐκ τῆς ἀλλοδαπῆς μεταπέμψασθαι στρατηγὸν ἠβούλοντο, ὥσπερ Ἀλκιβιάδην ἀπὸ Σικε-
52 λίας, τῇ Παράλῳ ἐχρῶντο. λέγεται δὲ ἡ αὐτή ποτε καὶ Σαλαμινία. ὕστερον δὲ ἄλλαι δύο προσεγένοντο αὐταῖς, Ἀντιγονίς τε καὶ Δημητριάς. b.

§. 32. καί μοι — παρρησία] κατὰ παρένθεσιν. b.

XII §. 42. οὐ κακῶς] σημείωσαι· ἐπίκρισις. b.

§. 44. Μάστειραν] σκόπει δέ, μήποτε γραπτέον Βάστειραν ἢ Πίστειραν ἢ Ἐπίμαστον. ταύτας γὰρ τὰς πόλεις εὑρίσκομεν παρὰ Ἀναξιμένει ἐν ζ' τῶν περὶ Φίλιππον, τὴν δὲ Μάστειραν οὐδαμοῦ. b.

§. 45. σιροῖς] τὰ κατάγεια. Θεόπομπος καὶ Σοφοκλῆς ἐν Ἰνάχῳ· σιροὶ κριθῶν. οἶμαι δὲ λέγειν αὐτὸν φοσσία, καὶ μελίνην τὴν κέγχρον· ἄλλοι δὲ ὅμοιον κέγχρου. b.

§. 53. ἐπὶ πολλῷ] κακῷ δηλονότι. Lessing.

τούτων] τῶν ἡμῖν συμβεβηκότων κακῶν. Lessing.

§. 57. ἡ διαδικασία] ἡ φιλονεικία. κυρίως δὲ διαδικασία ἐστὶν ἡ ἐπὶ χρημάτων ἀμφισβήτησις· ἐνταῦθα δὲ κατεχρήσατο. b.

§. 61. ἀποτυμπανίσαι] ἀνηλεῶς τινα φονεῦσαι. b.

§. 65. οὐκ ἦν ἀσφαλὲς] σχῆμα τῶν ὑπὲρ ἐπιμελείας καὶ κάλλους, τὸ λεγόμενον ἡ κατὰ κῶλον ἐπαναφορά. b.

τοὺς τυράννους] τοὺς Ἀλευάδας. b.

§. 69. δημεύει] τὸ τινος οὐσίαν δημοσιεῦσαι. — τὰ τοῦ δήμου μετέρχεται. Less.

ὅστις δ' ὑπὲρ κ. τ. λ.] ὃ λέγει τοιοῦτόν ἐστιν. ὁ τὰ ῥᾷστα βουλόμενος λέγειν ὑπὸ τοῦ λογισμοῦ κινεῖται, ἵνα τι κερδάνῃ· ὁ δὲ τὰ βέλτιστα καὶ μὴ τὰ ταῖς τῶν πολλῶν ἀκοαῖς ἥδιστα, ἐκεῖνος τῇ τύχῃ ἑαυτὸν ἐκδίδωσι, κἂν εἴ τι ἄρα ἐπ' αὐτῷ συμβῇ. ποιεῖ οὖν κρείττονα τὴν τύχην ἤπερ τὸν λογισμόν· ἀντὶ τοῦ πλείω ἑαυτὸν ἐκδίδωσι τῇ τύχῃ, ἤπερ τῷ λογισμῷ. Less.

§. 71. τῶν τοιούτων] οἷα οὗτοι οἱ ῥήτορες. Less.

προήχθην] διεγέρθην. Less.

§. 72. ἐπὶ τοῦτο] τὸ βέλτιστον. Less.

προάγεσθαι] ἀντὶ τοῦ προάγειν· παθητικὸν ἀντὶ ἐνεργητικοῦ. Less.

§. 75. τούτων ἀμφοτέρων] ἤγουν ἐκ τοῦ ἐκεῖνον εἰπεῖν καὶ ὑμᾶς πρᾶξαι. Less.

τι τῶν τότε] τὸ ἐκβαλεῖν τοὺς Θηβαίους ἐκ τῆς νήσου. Less.

§. 76. ἐν κεφαλαίῳ] ἀνακεφαλαίωσις. b. ἐν συντόμῳ λόγῳ. Less.

IX. IN PHILIPPICAM TERTIAM.

§. 1. Πολλῶν, ὦ ἄνδρες] Πρότασις. — τὸ προοίμιον ἐκ τοῦ κατηγορουμένου. καταδρομὴν γὰρ ἔχει Φιλίππου, καὶ ἔχει ἐπιτίμησιν. ἔστι δὲ καὶ τόπος ἐννοίας. b.

καὶ πάντων] κατασκευή. b.

φησάντων] ἀντὶ τοῦ ψηφισαμένων. b.

τῆς ὕβρεως] οὐκ εἶπεν ἀδικίας ἢ πλεονεξίας, ἀλλ' ὕβρεως· ὃ παρ' Ἀθηναίοις οὐδὲ τοῖς δούλοις ἀνεκτόν. b.

προειμένα] προδεδομένα. b.

εἰ καὶ λέγειν] πρότασις. — δεύτερον προοίμιον ἐκ τοῦ ἐναντίου· τὸ δὲ σχῆμα ὡς ἐν ὑποθέσει. b.

§. 2. πολλὰ μὲν οὖν ἴσως] κατασκευή. b.

§. 3. αἱ δὲ τοιαῦται] συμπέρασμα. b.

ἀξιῶ δ' ὑμᾶς] προοίμιον, μᾶλλον δὲ εἰσβολὴ τῶν ἀγώνων, καὶ προθεραπεία. b.

§. 4. εἰ μὲν οὖν καὶ νῦν] ἐντεῦθεν τὸ συμπέρασμα. b.

---

7. cf. Hermog. p. 325, 15 W. 8. τῆς m: καὶ br. 13 — 15. Harpocr. p. 145, 22. Suid. p. 2856. C. 15 — 21. Suid. p. 2856. B 21 — 27. Suid. p. 2856. D. 21. Πάραλος Suidas: παράλογος br. 31 — 35. Harpocr. p. 124, 8. 33. πόλεις Harp.: πολιτείας br. 36. Et Theopompi et Sophoclis interpretes fugit hic locus. 38. καὶ μελίνην Sauppius: ἢ br cf. Harpocr. p. 125, 26 sqq. et Ulp. 43. ἡ ἐπὶ χρημάτων Sauppius: ἐπιχειρημάτων br. cf. schol. Aeschin. 3 §. 146. 45. ἀνηλεῶς r. τινα Sauppius: τι br. 46. τῶν ὑπὲρ Sauppius: τοῦ περὶ m, τὸ περὶ br. 31. κατηγορουμένου Sauppius: κατηγόρου br.

53 §. 6. ει μὲν οὖν ἅπαντες] εἰσβολὴ τῶν ἀγώνων. b.

ἀτόπως] πονηρῶς καὶ κακῶς τὴν γνώμην. Less.

§. 17. ει μὴ] ἐκ παρονομασίας· δριμεῖα λέξις. b.

ὁ γὰρ οἷς] περίοδος κατ' εὐθεῖαν. b.

§ 18. εἶτα τὸν] δριμεῖα λέξις. b.

§. 27. καὶ οὐ γράφει μὲν ταῦτα] ὅρα τὴν τῶν σχημάτων ποικιλίαν. b.

§. 31. ὑποβολιμαῖος] ὑποβολιμαῖοι οἱ ὑποβαλλόμενοι καὶ εἰσποίητοι. ἐπὶ τῶν χαμαιρριφῶν παιδίων, ἅπερ ἑαυταῖς ὑποβάλλουσιν αἱ γυναῖκες. b.

§. 32. καίτοι τί τῆς] πνεῦμα. b.

§. 39. ἐκπέπραται] ὥσπερ νῦν πρίαται ὁ Φίλιππος παρὰ τῶν λεγόντων καὶ τῶν στρατηγούντων. Less.

§. 42. ἄτιμος] ὁ ἀτιμώρητος, ἵνα ἐάν τις αὐτὸν φονεύσῃ, μηδεμία τιμωρία γίνηται ὑπὲρ αὐτοῦ τελευτῶντος κατὰ τοῦ φονεύσαντος αὐτόν. Less.

§. 44. ὑπὲρ ὧν ἂν] ὑπὲρ τίνων πραγμάτων δικάζεσθαι παρέχονται φόνου δίκας ἐὰν φονεύσῃ. ἔστι γάρ τινα πράγματα, ἔνθα ὁ ποιήσας οὐ τιμωρεῖται. Less.

εὐαγὲς] εὐσεβές· ἄγος γὰρ ἐκ τοῦ ἐναντίου τὸ

131 ἀκάθαρτον. Less.

§. 45. δωροδοκοῦντας] ἐπὶ τῶν δεχομένων δῶρα λέγεται ἡ λέξις [ἔστι μέντοι καὶ ἐπὶ τῶν παρεχόντων]· ἔστι γὰρ δωροδόκος οἱονεὶ δωροδόχος τις ὤν. στηλίτας ἐποίουν τοὺς δωροδοκοῦντας ἀντὶ τοῦ ἐνέγραφον αὐτοὺς ἐν ταῖς στήλαις. τοῦτο δέ ἐστιν· ἐποίουν δημοσίας αὐτῶν τὰς τιμωρίας διὰ τῶν γραμμάτων, ὧν ἔγραφον ἐν ταῖς στήλαις. a.

§. 48. τὴν ὡραίαν αὐτὴν] κατὰ τὸν καιρὸν τοῦ θέρους. b.

§. 51. ἐκτραχηλισθῆναι] τὸ τοὺς τραχήλους συγκλασθῆναι. — ἐκ τραχήλων ἐκπεσεῖν. τῶν ἐλπίδων ἐκπεσεῖν. b.

§. 61. οὕτω δ' ἀθλίως διέκειντο] σημείωσαι ὑπόστασις. b.

§. 66. καλήν γ' etc. κατὰ κῶλον ἐπαναφορά. b.

X. IN PHILIPPICAM QUARTAM.

§. 1. περὶ αὐτῶν] τῶν προσαγγελθέντων. Less.

§. 6. μανδραγόραν] μανδραγόρας ὑπνωτικὸς καρπὸς ἢ λήθης ποιητικός. καὶ μανδραγορίζω. b. βοτάνιον ὑπνωτικὸν καὶ λήθην ποιητικόν. Less.

§. 8. ἐπετείχισεν] καθ' ὑμῶν εἰργάσατο. Less.

§. 12. οὐδενὶ μέντοι μᾶλλον] εἰς τὸν περὶ τῶν ἐν Χερρονήσῳ κεῖνται. b.

§. 14. τοῖς ἄρχουσι βουλομένοις] ἀντὶ τοῦ ἄρχειν. ὡς ἐν τῷ τέλει τοῦ περὶ συντάξεως λόγου· ὑμᾶς οὖν ὑπάρξαι δεῖ χρηστὰ βουλομένους, καὶ πάντα ἕξει καλῶς· ἀντὶ τοῦ δεῖ χρηστὰ βούλεσθαι. ἢ ἵνα λείπῃ τὸ εἶναι. b.

§. 15. Δρογγίλον κ. τ. λ.] χωρία Θρᾳκικὰ περὶ τὸν Ἴστρον καὶ τὴν Ἀμφίπολιν. Less.

§. 22. τὸ δ' οὐχ οὕτως ἔχει] ἀπ' ἐντεῦθεν ἕως τοῦ ἑτέρου ἀστερίσκου τοῦ λόγου τοῦ περὶ τῶν ἐν Χερρονήσῳ ἐπιγραφέντος ἐστίν. b.

§. 39. ἀξιῶ] ἀντὶ τοῦ ἄξιον νομίζω. b.

§. 46. ὑποθέσεως] περιοχῆς. αἰτίας· λέγονται δὲ καὶ αἱ ἀρχαὶ ὑποθέσεις, ὅτι μὴ δι' ἀποδείξεως τίθενται. b

54 §. 52. πάντων] πάνυ. b.

§. 53. ἀρχεῖα] ἔνθα οἱ δημόσιοι χάρται ἀπόκεινται, χαρτοφυλάκια, ἢ τὰ χωρία τῶν κριτῶν, ἢ ἀρχαῖα, ὡς Ξενοφῶν ἱστοριῶν η'. . . . τοὺς δὲ υἱέας περιῆγεν ἐς τὴν ἐς τάχος γράφουσαν μοῖραν τῆς περὶ τὰ ἀρχεῖα διακονίας. b.

§. 54. ἀχθεσθῆναι] διὰ μίσους γενέσθαι. Less.

κεκηλημένοι] ἀπατώμενοι. Less.

§. 55. παραθεὶς] εἰς σύγκρισιν ποιήσας. Less.

§. 61. Ὠρείταις] ἀπὸ τόπου τοῦ Ὠρεοῦ. b.

§. 70. καίτοι] ἕως ὧδε τὰ περὶ τῶν ἐν Χερρονήσῳ ἐκ τοῦ προτέρου ἀστερίσκου. b.

§. 73. σοὶ μὲν γάρ] σημείωσαι κύκλος. b.

XII. IN EPISTOLAM PHILIPPI.

§ 3. τὴν Τερίστασιν] τερίστασιν οἶμαι τὴν περίστασιν λέγει. b.

5. κακῶς m: ἀτόπως Lessing. 11. ἑαυταῖς ὑποβάλλουσιν Sauppius: ἑαυτῶν ἀποβάλλουσι br. 18. δικάζεσθαι Sauppius: φόνοι δικάζεσθαι Less. 20. οὐ Sauppius: φόνου Less. 24. ἔστι Sauppius: οὐκ ἔστι ar 27. τοῦτο δὲ δημοσίᾳ τούτων ἦν τιμωρία διὰ τῶν γρ. r. 29. ἐνέγραφον r.

3. βοτάνιον Sauppius: βοτάνης Less. 4. ὑμῶν Sauppius: ἡμῶν Less. 6. Demosth. 8 §. 38 sqq. 7. ἄρχουσι] hoc enim est in codd. FVB. [Demosth.] 13 §. 36. 14. ἕως etc. cf. ad. § 70. 15. Demosth. 8 §. 47sqq. 16. ἐπιγραφέντος Sauppius: ἐπιγράφοντος br. 13. sqq. cf. Suidas p. 592. D. Bekk. anecd. p. 449, 7. 24. ἱστορ. cf. Schneid. ad 5. 4, 58. sed fort. cogitandum de Cyr. 8. 5, 17 vel 6, 10. — Quae sequuntur verba, Procopii esse Hemsterhusius docuit coll. Suid. s. v. γράφειν ἐς τάχος. cf. Lobeck ad Phryn. p. 123. 32. προτέρου Sauppius: προου (μ) br. cf. ad § 22.

§. 12. *τὰ δ' ὑπογυιότατα*] ὑπόγυον, ἐγγύτερον, πρόσφατον, νεωστὶ γινόμενον, τὸ πρὸ ὀλίγου καὶ μετ' ὀλίγον. b.

— —

XIII. IN ORATIONEM *ΠΕΡΙ ΣΥΝΤΑΞΕΩΣ*.

§. 14. *τὸν ὀπισθόδομον*] ἐν τῇ ἀκροπόλει τόπος, ἔνθα τὸ δημόσιον ἀργύριον ἀπέκειτο καὶ ὁ φόρος. b.

§. 23. *πενέσταις*] ὑπηκόοις ἢ δούλοις, ἤτοι θητεύουσιν, ἀπὸ τοῦ εἶναι *μενεσται*· καὶ παραφθαρὲν ἐκλήθη *πενεσται*. b.

§. 24. *φθόρους*] φθορᾶς ἀξίους. b.

§. 28. *ἀλλὰ νὴ Δία*. σημείωσαι· ταῦτα ἐκ τοῦ τρίτου τῶν Ὀλυνθιακῶν. b.

§. 32. *ὀργάδα*] τὰ λοχμώδη καὶ ὀρεινὰ χωρία καὶ οὐκ ἐπεξεργαζόμενα οὕτω καλεῖται· ὅθεν καὶ ἡ Μεγαρικὴ ὀργὰς προσωνομάσθη, τοιαύτη τις οὖσα. — οἷον εὔγειος καὶ σύμφυτος καὶ λιπαρὰ καὶ ἀκμαία γῆ. b.

§. 36. *βουλομένους*] ἀντὶ τοῦ *βούλεσθαι*, ἢ λείπει τὸ *εἶναι*. b.

— —

XIV. IN ORATIONEM *ΠΕΡΙ ΣΥΜΜΟΡΙΩΝ*.

ΣΥΜΜΟΡΙΩΝ] συμμορία· λειτουργιῶν σύνταγμα. b.

§. 1. *ὑπειλημμένης*] κεκριμένης. b.

55 §. 16. *ἐπικλήρων*] ἡ ἐπὶ τῇ οὐσίᾳ ὅλῃ καθεσθεῖσα, κἂν μήπω ἐκδοθῇ. b.

τῶν κληρουχικῶν] τῶν γεωργῶν. b.

τῶν κοινωνικῶν] τῶν δημοσίων. b.

§. 17. *συμμορίας*] οὐχ ἅπαν τὸ πλῆθος, ὥσπερ παρ' ἡμῖν, διῄρητο εἰς τὰς συμμορίας Ἀθήνησιν, ἀλλὰ μόνοι οἱ πλούσιοι καὶ εἰσφέρειν τῇ πόλει δυνάμενοι, ὥσπερ ἐνταῦθά φησιν ὁ ῥήτωρ περὶ τῶν χιλίων καὶ διακοσίων ἀνδρῶν τῶν πλουσιωτάτων· *ἐκ τοίνυν τούτων οἶμαι δεῖν ποιῆσαι συμμορίας εἴκοσιν, ἑξήκοντα σώματα ἑκάστην ἔχουσαν*. Ὑπερείδης δὲ φησιν ἐν τῷ πρὸς Πολύευκτον· *εἰσὶν ἐν τῇ συμμορίᾳ ἑκάστῃ ἄνδρες ιε'*. οὐ δεῖ δὲ θαυμάζειν, πῶς ὁ μὲν Δημοσθένης φησίν, ἑξήκοντα ἄνδρας ἔχειν τὴν συμμορίαν, ὁ δὲ Ὑπερείδης ιε'. ἐν γὰρ τῷ κατὰ Πασικλέους λέγει τὴν αἰτίαν, γράφων ταυτί· *ἕως μὲν οἱ πλουσιώτατοι παρακρουόμενοι τὴν πόλιν σύμπεντε καὶ σύνεξ τριηραρχοῦντες μέτρια ἀνήλισκον, ἡσυχίαν ἦγον οὗτοι· ἐπειδὴ δὲ ταῦτα κατεῖδε Δημοσθένης καὶ νόμους ἔθηκε, τοὺς ἱ τριηραρχεῖν, καὶ βαρεῖαι γεγόνασιν αἱ τριηραρχίαι*. ὅτι δὲ καὶ οἱ δημοποίητοι ἐνεγράφοντο εἰς τὰς συμμορίας, δεδήλωκεν Ὑπερείδης ἐν τῷ κατὰ Πολυεύκτου. συμμορῖται δ' εἰσὶν οἱ τῆς αὐτῆς αὐτοῖς μετέχοντες συμμορίας· διῃρέθησαν δὲ πρῶτον Ἀθηναῖοι κατὰ συμμορίας ἐπὶ Ναυσινίκου ἄρχοντος, ὡς Φιλόχορος. b.

§. 18. *πέντε*] μερίδας δηλονότι κατὰ πέντε καὶ δέκα, ὡς γίνεσθαι ἑβδομήκοντα πέντε ναῦς. Less.

§. 23. *καὶ τριάκοντα μὲν ἡ φυλή*] Σόλων τοῖς Ἀθηναίοις τοὺς νόμους γράψας εἰς τέτταρα τέλη τὸ πᾶν πλῆθος αὐτῶν ἔταξε τῶν κατὰ τὰς οὐσίας τιμημάτων, εἰς πεντακοσιομεδίμνους, εἰς ἱππέας, εἰς ζευγίτας, εἰς θῆτας. καὶ τοὺς μὲν πεντακοσιομεδίμνους διὰ τὸ γεωργεῖν τοσαῦτα μέτρα οὕτως ὠνόμαζον, καὶ ἦσαν εὔποροι. οἱ δὲ ἱππεῖς μέχρι τ' μέτρων ἐγεώργουν. ἕκαστος δ' ἔτρεφεν ἵππον· ὅθεν καὶ τὰς θυσίας, ἃς αὐτοὶ πέμπουσι ταῖς πομπαῖς, ἐκάλουν ἱππάδας· ἐξῆν δὲ αὐτοῖς ἐπί τι μὲν καὶ κομᾶν. ἦσαν δὲ οἱ θῆτες παρ' αὐτοῖς, οἷς οὐκ ἐφεῖτο ἄρχειν, ἀλλὰ δικάζειν ἢ ἐκκλησιάζειν μόνως, ἵν' ἔκ τε τοῦ δικαστικοῦ καὶ τοῦ ἐκκλησιαστικοῦ τρέφοιντο. b. 56

§. 36. *εἶθ' ὁ ἡ τύχη*] περίοδος κατὰ αἰτιατικὴν πτῶσιν. b.

— —

XV. IN ORATIONEM DE RHODIORUM LIBERTATE.

§. 3. *Μαύσωλος*. ἄρχων Καρῶν· φησὶ δὲ αὐτὸν Θεόπομπος μηδενὸς ἀπέχεσθαι πράγματος χρημάτων ἕνεκα. b.

§. 11. *Ἀρτεμισία*] Ἀρτεμισίαι δύο γεγόνασι, Καρικαὶ γένος καὶ βασιλίδες ἀμφότεραι· ὧν ἡ μὲν πρώτη γέγονε κατὰ τὰ Περσικά, δι' ἣν εἶπεν ὁ βασι-

1. ὑπογυιον r. 2. πρὸ ὀλίγου Sauppius: προολιγον br. 14. cf. Phot. lex. p. 409, 25. 18. Demosth. 3 §. 27. 19 sqq. cf. Harpocrat. p. 138, 22. Suid. p. 2704. A. Phot. lex. p. 343, 14. λοχμώδη Harp. Suid. Phot.: λαχανώδη br. 21. οἷον etc.] diversa a priori glossa. cf. Phot. lex. p. 344, 5. Suid. p. 2703. D. Tim. lex plat. p. 195. 35. cf. schol. ad 8 §. 6. 37 sqq. Harpocrat. p. 172, 1 sqq. 45 ἑξήκοντα] ὡς ἑξήκοντα r. υπεριδης br. item b v. 3 et 12.

9. καὶ add. Sauppius. 13. αὐτοῖς Harpocrat.: αὐτοῖς br. 15. Philochor. frg. 126 Müll. 28. ἀλλὰ Sauppius: ἢ br. 31. Hermog. 3 p. 151, 20 W. 39. φησὶ] ἔφη r. Harpocr. p. 124, 22. 40. Theopomp. frg. 116. 42 sqq. Harpocr. p. 35, 10 sqq. 44. τὰ Περσικὰ Harpocr.: περσίδα br.

λεως, ὡς οἱ ἄνδρες γυναῖκες γεγόνασιν, αἱ δὲ γυναῖκες ἄνδρες· ἡ δὲ νεωτέρα, ἧς καὶ ὁ ῥήτωρ μέμνηται, θυγάτηρ μὲν ἦν Ἑκατόμνου, γυνὴ δὲ καὶ ἀδελφὴ Μαυσώλου. Ἀρτεμίσιον δὲ ἀκρωτήριον τῆς Εὐβοίας. b.

§. 15. προξενῶν] σημείωσαι· προξενεῖ, μαρτυρεῖ. πρόξενοι προστάται πόλεων καὶ φροντισταί, καὶ ξενίαις ὑποδεχόμενοι. b.

XVI IN ORATIONEM PRO MEGALOPOLITANIS.

§. 16. τὸ Τρικάρανον] φρούριόν ἐστι τῆς Ἀργείας οὕτω καλούμενον. b.

§. 17. βοηθῶσι] σημείωσαι· σύμμαχοί εἰσιν οἱ ἑαυτοῖς βοηθοῦντες. b.

XVII. IN ORATIONEM *ΠΕΡΙ ΤΩΝ ΠΡΟΣ ΑΛΕΞΑΝΔΡΟΝ ΣΥΝΘΗΚΩΝ*.

Τινὲς Ὑπερείδου λέγουσιν εἶναι τὸν λόγον, καὶ οὐχὶ Δημοσθένους. b.

§. 11. βδελυρεύσεται] σημείωσαι· τὸ βδελυρεύεται ἀντὶ τοῦ ἀκολασταίνει. b.

XVIII. IN ORATIONEM DE CORONA.

§. 1. Πρῶτον μὲν] περιβολὴ προοιμίου τῷ διπλασιασμῷ τῶν ὀνομάτων. — τὸ προοίμιον ὡς ἀπο-
57 λογουμένου ἐξ εὐνοίας λαμβανόμενον. — τὸ πρῶτον προοίμιον εὐκτικόν ἐστι καὶ κατὰ μερισμὸν εἰσαχθὲν παρασκευάζει τὴν εὔνοιαν. b. εὐκτικὸν τὸ προοίμιον, ἐπειδήπερ περὶ εὐνοίας καὶ αἰτήσεως στεφάνου ὁ πᾶς ἐστιν ἀγών. a

ὅσην etc.] ἰστέον γάρ, ὡς ὅτι κατασκευὴν οὐκ ἐποιήσατο αὐτοῦ, ἵνα ὡς ὡμολογημένην δείξῃ τὴν εὔνοιαν, ἣν ἔχει πρὸς τὴν πόλιν. a.

ἔπειθ'] τὸ ἔπειτα ἐνταῦθα ἰσοδυναμεῖ τῷ δὲ συνδέσμῳ, ἵνα πάλιν μὴ ζήτησις γένηται, διὰ τί εἰπὼν τὸν μὲν οὐκ ἐπήγαγε τὸν δέ. a.

§. 2. τῇ τάξει] τῶν κεφαλαίων φησίν. a.

§. 3. πολλὰ μὲν οὖν] δεύτερον προοίμιον. b. προοίμιον β'. a

τῆς παρ' ὑμῶν εὐνοίας] ἐβούλετο εἰπεῖν· τοῦ στεφάνου. ἀλλ' ἐπειδὴ ἐπαχθὲς ἦν τοῦτο, ἐπὶ τὴν εὔνοιαν τῆς πόλεως μετήνεγκε τὴν λέξιν. a.

μὴ ἑλεῖν] ἀντὶ τοῦ μὴ νικῆσαι. a.

§. 4. βαδίζω] ὅτι οὐκ ἔδει ἐν τοῖς προοιμίοις τροπικῇ εὐθὺς χρήσασθαι λέξει. λέγομεν, ὅτι οὐδὲν 143
ἄτοπον, ὁπότε καὶ Αἰσχίνης ἐχρήσατο ἐν τῷ α' προοιμίῳ, παρασκευὴν εἰπὼν καὶ παράταξιν. ὁ δὲ ῥήτωρ ἐνταῦθα οὐκ εἶπε ταύτην ἐν α' προοιμίῳ, ἀλλ' ἐν τελευταίοις τοῦ β'. a.

πειράσομαι μὲν οὖν] σημείωσαι· τοῦ Θεολόγου. b. ἡ ἀπόδοσις. a.

§. 5. οἶμαι δ' ὑμᾶς] τρίτον προοίμιον. b. γ' προοίμιον. a.

πάντων] κατασκευὴ τοῦ προοιμίου. a.

§. 8. μέλλων δὲ] τοῦτο οὐ τοῦ παντὸς λόγου, ἀλλὰ τοῦ κεφαλαίου προοίμιον· μέλλων γὰρ εἰσβάλλειν εἰς τὸ κεφάλαιον τό· ὅτι οὐ δύσνους, εἰκότως εὔνοιαν πάλιν αἰτεῖ δοθῆναι αὐτῷ, ἵνα πείσῃ τοὺς δικαστάς, ὅτι θαρρεῖ ταύτῃ. b.

μέλλων δὲ τοῦ τε ἰδίου] οἱ περὶ Ἐπιφάνιον καὶ Γενέθλιόν φασιν [αὐτὸ] δ' προοίμιον· ς' γὰρ] λέγουσιν εἶναι προοίμια τοῦ λόγου τούτου· [γ' μὲν ὑπὲρ ἑαυτοῦ σκηψαμένου τοῦ ῥήτορος, γ' δὲ ὑπὲρ Κτησιφῶντος βραχέα. a.

βούλομαι] ἰστέον ὅτι τῇ ταυτότητι ἐχρήσατο τοῦ ἐπιχειρήματος τοῦ ἐν τῷ α' προοιμίῳ. εἴωθε γὰρ ὁ ῥήτωρ τοῖς ἰσχυροῖς πολλάκις κεχρῆσθαι. a.

§. 9. εἰ μὲν οὖν] τοῦτο οὐ προοίμιον, ὥς τινες ἔφασαν, ἀλλ' ἀντιπίπτοντος ἀναίρεσις. ὃ καὶ ἐν τῷ προοιμίῳ τῷ κατὰ Ἀριστοκράτους πεποίηκεν. a. ε' προοίμιον. a.

προβουλεύματος] προβούλευμα καλεῖ τὸ ψήφισμα τοῦ Κτησιφῶντος, ἐπειδήπερ ἤδη ἐκυρώθη ἐν τῇ βουλῇ καὶ ἐπήνεσαν τὸν Δημοσθένην ὡς ἄξιον ὄντα στεφανωθῆναι. a.

§. 10. περὶ μὲν δὴ τῶν ἰδίων] ἐντεῦθεν εἰς τὸ δίκαιον εἰσβάλλει κεφάλαιον. b. κατασκευὴ τοῦ προοιμίου. a.

§. 11. κακοήθης] ἡ ἀπόδοσις. a.

τετύφωμαι] μαίνομαι· ἀπὸ τοῦ Τυφῶνος, τοῦ δαίμονος, ἢ ἀπὸ τοῦ τύφεσθαι καὶ καπνίζεσθαι, ἐξ οὗ τὸ σκοτίζεσθαι· πομπείας δὲ τῆς λοιδορίας, διὰ τὸ ἐν ταῖς πομπαῖς κωμῳδεῖν ἀλλήλους. b.

---

14. Harpocr. p. 178, 1. 24. ὑπερίδου br. 33. προοιμίου] τὸ προοίμιον r. 40. γὰρ ὡς om. r. 41. αὐτοῦ om. r. ὁμολογουμένην r.

7. τοῖς om. r. 8. εὐθὺς χρήσασθαι] χρῆσθαι r. 11. ἐν add. cum m. 23 sqq. Totum scholion Reiskius legere non potuerat. — Uncinis inclusa, in a detrita, add. ex m. 28. τῇ om. r.

πομπείας] λοιδορίας, ὕβρεως. b. τῆς χλεύης τῆς περὶ τὸν βίον. ἤδη γὰρ ἔγνωμεν, ὡς ὅτι ἐν ταῖς πομπαῖς προσωπεῖά τινες φοροῦντες ἀπέσκωπτον τοὺς ἄλλους, ὡς ἐν ἑορτῇ παίζοντες, ἐπὶ ἁμαξῶν φερόμενοι. ὅθεν καὶ ἡ παροιμία ἐξ ἁμάξης με ὕβριζεν. a.

ἀνέδην] ἀθρόας τε καὶ σφοδρᾶς. b. ἐὰν μὲν διὰ τῆς διφθόγγου γράφηται, τῆς ἀναισχύντου λέγει. ἐὰν δὲ διὰ τοῦ ε, ὅπερ καὶ βέλτιον, τῆς πολλῆς, ἀπὸ τῆς ἀνέσεως. a.

§. 12. τὰ μὲν οὖν κατηγορημένα] ἐπὶ τὸ ἕτερον μεταβαίνει δίκαιον, τὸ τῆς πολιτείας, καὶ εὐθέως αὔξει τὰ ἀδικήματα καὶ μεγαλύνει τῷ λόγῳ. b. ϛ̄ προοίμιον. καὶ ἐνταῦθα β̄ προτάσεις. ἡ α΄ τὰ μὲν οὖν κατηγορημένα. ἡ β΄ τοῦ δὲ παρόντος ἀγῶνος. a.

ἐπήρειαν] ἐπήρεια κυρίως ἡ ἐν τῷ πολέμῳ ἀπειλὴ καὶ καταδρομή. ἐκ τοῦ Ἄρης ἄρεια, καὶ μετὰ τοῦ ἐπὶ ἐπήρεια. Less.

τῶν μέντοι κατηγοριῶν] μεταληπτικὸν ἀπὸ τοῦ καιροῦ. b.

§. 13. εἰ μὲν εἰσαγγελίας] μεταληπτικὸν ἀπὸ τοῦ τρόπου. b.

ἐμέ, ἐμὲ δὲ] τὸ σχῆμα ἐπαναστροφή. γίνεται δέ, ὅταν τὸ τέλος τοῦ κώλου ἑτέρου κώλου τις ἀρχὴν ποιήσηται· ἔστι δὲ τῶν καλλωπιζόντων. b.

ἐμὲ δὲ] ἀντὶ τοῦ αὐτὸν ἐμέ. a.

144 §. 14. ὁτιοῦν ἀδικοῦντά με] παραγραφικὸν ἀπὸ τρόπου· διὰ τί εἰδὼς μείζονα ἀδικοῦντα ἥττονα κατηγορεῖς νῦν; ἰστέον δὲ ὡς ὅτι πολὺ τὸ παραγραφικόν ἐστιν ἐν τῷ λόγῳ τούτῳ. εἰσὶ γάρ τινες τῶν ὑπομνηματιστῶν εἰρηκότες, ὡς ὅτι ἠριθμήσαμεν τὸ παραγραφικὸν καὶ εὕρομεν αὐτὸ οβ΄ κείμενον. a.

§. 15. συμφορήσας] συναγαγών. a.

ὑποκρίνεται] ἀντὶ τοῦ ψευδῶς κατηγορεῖ. ὑπόκρισις γάρ ἐστιν ἡ προσποίησις ἡ ἐκτὸς οὖσα τῆς ἀληθείας. a.

εἶτα κατηγορεῖ] μεταληπτικὸν ἀπὸ τοῦ προσώπου. b.

§. 16. δώσομεν] δέον εἰπεῖν δώσεις εἶπε δώσομεν, οὐχ ὅτι ὡς καὶ αὐτοῦ τοῦ Δημοσθένους κακόν τι ποιῆσαι τῷ Κτησιφῶντι βουλομένου, ἀλλ' ὡς ἄλλου λέγοντος περὶ ἀμφοῖν, περί τε αὐτοῦ καὶ Αἰσχίνου. a.

§. 17. Πάντα μὲν τοίνυν] ἕως ὧδε ἐπλήρωσε πάντα τὰ προοιμιαστικά, χωρεῖ δὲ ἐντεῦθεν ἐπὶ τὸ δίκαιον κεφάλαιον. διήγησιν γὰρ οὐκ ἔχει ὁ λόγος καθαρῶς. a.

§. 18. τοῦ γὰρ Φωκικοῦ συσταντος πολέμου] σημείωσαι· τὸ σχῆμα καθ' ὑποστροφήν. — Τινὲς μὲν τοῦτο κατάστασιν εἶναι βούλονται. οὐκ ὀρθῶς· ἔστι δὲ διήγησις ἀποδεικτική, τύπῳ μόνον τοῦ πλα- 58 γιασμοῦ πρὸς κατάστασιν νεύουσα, οὐ μὴν τοῖς πράγμασιν. βούλεται τοίνυν ἀποδεῖξαι, ὅτι αὐτὸς οὔτ' ἐγενόμην αἴτιος τοῦ ποιῆσαι τὴν εἰρήνην, οὔτε τὸ μετὰ κοινοῦ συνεδρίου γενέσθαι ἐκώλυσα. b. ἐνόμισάν τινες τὸ χωρίον τοῦτο εἶναι διήγησιν. οὐκ ἔστι δέ. πόθεν δὲ δῆλον; λέγομεν, ὅτι ἀντιθέσεις τινὰς εἰσάγει ἐν τούτῳ καὶ ἀγῶνας· ὅπερ οὐκ ἔχει ἡ διήγησις. a.

πω] παρέλκεται τὸ πω πρὸς χάριν τοῦ κώλου μόνον. a.

οἷς γὰρ εὐτυχήκεσαν] σημείωσαι· ἐπίκρισις. b.

§. 22. εἶτ ὦ — τί ἄν εἰπών σέ τις ὀρθῶς προσείποι;] διὰ τῆς ἀπορίας δείκνυσι τῆς πονηρίας τὸ μέγεθος, ὡς οὐ δυνάμενος δῆθεν δι' ἑνὸς ὀνόματος δηλῶσαι τὰ πάντα πονηρεύματα προσόντα τῷ Αἰσχίνῃ· ὡς ἂν εἰ ἔλεγε· κἂν δωροδόκον εἰπὼν οὐχ ἁμαρτήσομαι· κἂν συκοφάντην, εὐλόγως ἐρῶ· κἂν ἄλλο τι, οὐ σφαλήσομαι· ποῖον οὖν εὕρω ὄνομα, ἁρμόττον τῇ σῇ φύσει; ὡς γὰρ μὴ εὑρίσκων καὶ σχετλιάζων πρὸς τοῦτο λέγει τό· ὦ τί ἂν εἰπών σέ τις ὀρθῶς προσείποι; a.

§. 24. ἐπὶ τὴν εἰρήνην;] κομματικὸν καὶ διαλεκτικόν. b.

§. 27. Ἐργίσκην] σημείωσαι· Ἐργίσκη, ὃ λέγουσι νῦν Σεργέντζιν. b.

§. 28. προσάγειν] διέβαλλεν Αἰσχίνης ὡς διὰ τούτων φιλιππίζοντα τὸν ῥήτορα, διά τε τοῦ γράψαι αὐτὸν περὶ τῶν πρέσβεων τοῦ Φιλίππου, ὡς ὅτι δεῖ προσελθεῖν τῷ δήμῳ καὶ θέαν αὐτοῖς κατανεῖμαι, ὅ ἐστι καθέδραν αὐτοῖς ἀφορίσαι ἐν τῷ θεάτρῳ προῖκα. δείκνυσι τὸ μὲν τοῦ προσελθεῖν ἀναγκαῖον ὄν, τὸ δὲ 145 περὶ τῆς θέας ὑπάρχον εὐτελές. a.

ἐν τοῖν δυοῖν ὀβολοῖν] ὡς ὀβολὸν παρεῖχον οἱ θεωροῦντες, ὡς ἤδη ἔγνωμεν. ὥστε οὖν γνωστέον, ὅτι οἱ δύο πρέσβεις, Ἀντίπατρος καὶ Παρμενίων, τοὺς δύο ὀβολοὺς ἐδίδοσαν, ὁ εἷς πρὸς ἕνα, ἀλλ' οὐ πρὸς δύο. διὰ τοῦτο εἶπε· τοῖν δυοῖν ὀβολοῖν ἐθεώρουν. σημείωσαι διότι εὑρίσκεται καὶ παρὰ Θουκυδίδῃ καὶ ἐνταῦθα τὸ θεωρεῖν ἐπὶ τοῦ θεᾶσθαι. a.

---

4. ἑορταῖς r. 13. προτάσεις r. ἡ α΄] ἡ μὲν α r. 14. ἡ β΄] ἡ δὲ β΄ r. παρόντος] παντὸς r. 26. ἐμὲ δὲ — ἐμὲ om. r. 28. ἀπὸ] ἐκ r. τί] τὸ r. 29. ὡς om. r.

6. τύπῳ μόνον τοῦ Sauppius: καὶ τύπου μόνου καὶ br. 8. οὔτ' Sauppius: οὐκ br. 9. τὴν Sauppius: οὔτε τὴν br. 12. δὲ δῆλον] γὰρ δίκαιον r. 22. κἂν δωροδόκον εἰπὼν οὐχ ἁμαρτήσομαι om. r. 26. τις om. r. 39. ὡς ὀβολὸν] ὡς ὅτι ὀβολὸν r. 40. γνωστέον m: γνωτέον ar.

§. 29. ἔνῃ καὶ νέᾳ] ἡ τελευτὴ τοῦ προτέρου μηνὸς καὶ ἡ ἀρχὴ τοῦ ὑστέρου. b.

§. 30. καθῆντο] περὶ τοῦ τόνου λέγομεν. προπαροξύνεται. ἔστι γὰρ ἀπὸ τοῦ κάθημαι. a.

§. 31. δωροδόκημα] ἐναλλαγὴ τῶν περισσουσῶν συλλαβῶν. b.

καὶ τότε καὶ νῦν καὶ ἀεί] τοὺς γ' συμπεριέλαβε χρόνους, ὡσανεὶ ἔλεγε· συντεθνήξομαι τῇ δυσμενείᾳ τῇ κατ' αὐτῶν. a.

§. 35. οἰκειότητας] λέγει τὰς φιλίας. οἷον οὐ τὸ λέγειν τινὰ πρὸς ἄλλον ὅτι φιλῶ σε, ἤδη τοῦτο φιλίαν ἀπεργάζεται, ἀλλὰ τὰ πράγματα συνάπτουσι τοὺς φίλους, ὅταν ἑκατέροις ὁμοίως συμφέρῃ. a.

ἀναλγησίας ἀναισθησίας καὶ σκληρότητος. Less.

§. 37. πρυτάνεων καὶ βουλῆς δικαστήριον φονικόν. b.

§. 38. Ῥαμνοῦντα] Ῥαμνουσία Νέμεσις· αὕτη πρῶτον ἀφίδρυτο ἐν Ἀφροδίτης σχήματι· διὸ καὶ κλάδον εἶχε μηλέας· ἱδρύσατο δ' αὐτὴν Ἐρεχθεύς, μητέρα ἑαυτοῦ οὖσαν, ὀνομαζομένην δὲ Νέμεσιν, καὶ βασιλεύσασαν ἐν τῷ τόπῳ· τὸ δὲ ἄγαλμα Φειδίας ἐποίησεν, οὗ τὴν ἐπιγραφὴν ἐχαρίσατο Ἀγορακρίτῳ, τῷ Παρίῳ, ἐρωμένῳ· ὃς καὶ Ὀλυμπίασι τῷ δακτύλῳ τοῦ Διὸς ἐπέγραψε· Παντάρκης καλός· ἦν δ' οὗτος Ἀργεῖος, ἐρώμενος αὐτοῦ. b.

§. 40. λαβὼν] ἀντὶ τοῦ καταδουλωσάμενος Θηβαίους καὶ Θετταλούς. a

§. 41. γεωργῶν τὰ ἐκείνων] ὡσανεὶ ἔλεγε· μισθὸν τοῦ κατὰ Θηβαίων δράματος τὴν ἐκείνων χώραν ἐδέξατο. τὸ δὲ καὶ τοὺς Θηβαίους ἐλεεῖς. ὡσανεὶ ἔλεγε· μὴ δάκρυε τὰς Θήβας, Αἰσχίνη, ἀφ' ὧν πεπλούτηκας. a.

ὃς εὐθὺς ἐξῃτούμην .... μετὰ τὴν κατασκαφὴν τῶν Θηβαίων ἐπελθόντος τοῦ Ἀλεξάνδρου καὶ ταῖς Ἀθήναις ἐξῃτούμην ὑπ' αὐτοῦ. a.

§. 44. περιιὼν τὸ σχῆμα τοῦ λόγου νόημα ἐστιν ἕν, τῇ ἑρμηνείᾳ πλείοσι κώλοις ἐκταθέν· καὶ γέγονε πνεῦμα. b.

Ἰλλυριοὺς καὶ Τριβαλλοὺς ἔθνη ταῦτα πλησίον Μακεδονίας. a.

εἰ δὲ μὴ ᾐσθάνοντο] ἐργασία· ἕως ὧδε τὸ πρῶτον πνεῦμα, εἶτα τὸ δεύτερον b.

§. 46. ἐδωροδόκουν δῶρα ἐλάμβανον. b.

§. 48. μέχρι τούτου] τοῦτο λέγεται ἐπαναφορά, διὰ τὸ κατὰ συζυγίαν ἐξενεχθῆναι, καὶ λαμπρότητος πλείστης καὶ κάλλους μετέχει, διὰ τὸ πεπονθότως λέγειν τὸν ῥήτορα· κατὰ κῶλον δέ ἐστιν, ὅπερ ἐστὶ καὶ παρισώσεως εἶδος· μέχρι-μέχρι-μέχρι. b. σχῆμα τῆς κατὰ κῶλον ἐπαναφορᾶς, ὅπερ ἐστὶ καὶ παρισώσεως εἶδος. Less.

§. 50. καὶ περὶ μὲν τῶν τότε] ἕως ὧδε τὰ τρία 59 πνεύματα· διὸ ἐκ τῆς τῶν τριῶν πνευμάτων συνθέσεως ἀκμὴ γέγονεν, ἐντελὴς ἐκ νοημάτων οὖσα. b.

ὥσπερ ἑωλοκρασίαν τινά] ὅτι οὗτος ὁ χθὲς καὶ πρῴην ἐκέρασε πρᾶγμα, τήμερον μου καταχεῖ, καὶ ἐμὲ πρᾶξαί φησι τὰ κακῶς αὐτῷ οἰκονομηθέντα. ἕτεροι δέ φασιν, ὅτι Ἀθήνησιν ἔθος ἦν τοῖς νέοις, εἴ ποτε παννυχὶς εἴη, κιρνάναι κρατῆρας καὶ τούτων μεθύσκεσθαι· ἕωθεν δέ, εἰ παραλείποιτο, κατὰ τῶν ἀπαυδησάντων ἐν τῷ τόπῳ κατασκεδάννυσθαι, καλοῦντες τοῦτο ἑωλοκρασίαν. ἐγὼ δὲ μᾶλλον νομίζω πεποιῆσθαι τὸ ὄνομα ὑπὸ τοῦ ῥήτορος ἀπὸ τῶν ἑώλων, ἅ ἐστιν ἀρχαῖα. ὅτι πράγματα ἀρχαῖα συγκεράσας κατηγορεῖ ὁ Αἰσχίνης. b. ὅτι πράγματα ἀρχαῖα συγκεράσας ὁ Αἰσχίνης κατηγορεῖ αὐτοῦ· τὸ γὰρ ἕωλον ἀρχαῖον σημαίνει. Less. φανερὸν μὲν τὸ ὄνομα· εἴρηται γὰρ ἀπὸ τοῦ κεκραμένου οἴνου καὶ ἑώλου γενομένου, οἱονεὶ χθεσινοῦ· ἐγίνετο δὲ τὸ τῆς ἑωλοκρασίας παρὰ τοῖς Ἀθηναίοις οὕτως· ἐν ταῖς πανηγύρεσι συνήεσαν πολλοὶ 116 μετ' ἀλλήλων συμποσιασόμενοι, καὶ ἔμειναν πολλάκις πίνοντες ἕως τῆς ἄλλης ἡμέρας ὡς ἐν πανηγύρει· εἰ δέ τις τούτων μεθυσθεὶς ἐκαθεύδησε καὶ εἴασε τὸ ποτήριον αὐτοῦ, τῇ ἑξῆς οἱ λοιποὶ συμπόται λαβόντες τοῦτο ἐξέχεον κατὰ τῆς ἐκείνου κεφαλῆς, ὥσπερ ἐπεγγελῶντες, διότι οὐκ ἴσχυσε πρὸς τὸ μιμήσασθαι αὐτούς· ἀπὸ μεταφορᾶς οὖν ἐκείνου τοῦ χθεσινοῦ καὶ ἑώλου γενομένου εἶπε καὶ ἐπὶ τῶν πραγμάτων, ὧν αὐτῷ ἐνεκάλεσεν Αἰσχίνης, διότι παλαιὰ αὐτοῦ κατηγόρησεν. a.

κατασκεδάσας ἐνέμεινε τῇ τροπῇ τῆς ἑωλοκρασίας. a.

§. 51. μισθωτὸς σημείωσαι, ὅτι φασὶ τὸν Δημοσθένην μισθωτὸς ἀναγνῶναι· τῶν δὲ δικαστῶν μίσθωτος εἰπόντων, ἐπὶ διορθώσει δῆθεν τοῦ λόγου, εὐθὺς δράξασθαι τὸν Δημοσθένην τῆς τούτων φωνῆς, καὶ φησίν· εἰ ἀκούεις, ἃ λέγουσιν; b. πολλαὶ περὶ τούτου φέρονται ἐξηγήσεις. οἱ μὲν γὰρ λέγουσιν, ὅτι ἑκὼν ἐβαρβάρισεν εἰς τὸ μισθωτός, ἵνα, ὥσπερ τῶν δικαστῶν βουλομένων διορθώσασθαι αὐτόν, αὐτὸς κακούργως τὴν διόρθωσιν ἀνθ' ὁμολογίας δέξηται καὶ εἴπῃ, ὅτι ἀκούεις ἃ λέγουσιν, ὅτι μισθωτόν σε καλοῦσιν. ἄλλοι δὲ λέγουσιν, ὅτι Μένανδρος ὁ κωμικὸς

---

5. cf. Hermog. 3 p. 282, 13 W 9. τῇ κατ'] κατ' r 13. συμφέρῃ Sauppius: συμφέρει ar. 17 25. Eadem habet Suidas p. 3199. B. 24. ἐπέγραψε· Παντάρκης καλός· ἦν δ' Toupius: ἐπέγραψεν ἀνάρχης καλὸς δ' ἦν br. 30. τὸ δὲ καὶ Sauppius: τὸ δὲ τὸ a, τὸ δὲ r. 33. versus unus praecisus est. — μετὰ om. r.

6 διὸ] διὸ καὶ r. 8. ὃ] ὁ br. cf. Harpocrat. p. 91, 1. 10. αὐτῷ ar. 16 ὑπὸ Sauppius: ἀπὸ br. 24. συμποσιασόμενοι m: συμποσιασάμενοι a 31 καὶ] ὡς r. 33. τῆς] τῇ r.

καὶ τινες αὐτοῦ φίλοι παρόντες ἐν τῷ δικαστηρίῳ χαριζόμενοι τῷ Δημοσθένει, ἅτε δὴ φίλοι, ἐρωτήσαντος αὐτοῦ τοῦτο, ἀναστάντες εἶπον, ὅτι μισθωτός ἐστιν ὁ Αἰσχίνης, καὶ αὐτῶν τῶν ὀλίγων τὴν φωνὴν ὥσπερ ἀπόκρισιν ἐδέξατο παντὸς τοῦ δικαστηρίου. Γενέθλιος δέ φησιν, ὡς ὅτι ἔθος ἐστὶ τοῖς ῥήτορσι, καὶ μάλιστα τῷ Δημοσθένει, τὰ ἀμφίβολα ὡς ὡμολογημένα λαμβάνειν. a.

§. 53. *βούλομαι τοίνυν* etc.] *διττῶς διεῖλε τὸ δίκαιον· καὶ τὸ μὲν ἐν τῇ ἀναιρέσει τῶν ἀδικημάτων, ἔνθα καὶ ἀντεγκαλεῖ τῷ ἀντιδίκῳ, τὸ δὲ λοιπὸν ἐν τῇ θέσει τῶν εὐεργετημάτων καὶ τῶν πράξεων. b.*

γραφῆς αὐτῆς] *ἐνταῦθα δεῖ λαβεῖν ἀντὶ τοῦ μόνης, οἷον· περὶ μόνης αὐτῆς τῆς γραφῆς, ὥσπερ ἐστὶν ὅμοιον καὶ παρὰ τῷ ποιητῇ, ὅταν λέγῃ·*

Τυδείδης δ' αὐτός περ ἐὼν προμάχοισιν ἐμίχθη,

ἀντὶ τοῦ μόνος. a.

§. 55. *ἐν Πυκνὶ*] *ὄνομα τόπου. — Πνὺξ ἐκκλησία. παρὰ τὴν τῶν λίθων πυκνότητα, ἢ ἀπὸ τοῦ πυκνοῦσθαι τοὺς ἄνδρας ἐν τῇ ἐκκλησίᾳ. b.*

§. 56. *μὲν διώκει*] *ἀρχὴ τοῦ ἑτέρου μέρους τοῦ δικαίου. b.*

§. 59. *ἀπαρτᾶν*] *χωρίζειν τὴν ἀπολογίαν τὴν νῦν ἀπὸ τῆς γραφῆς καὶ τῆς κατηγορίας, ἧς νῦν κατηγοροῦμαι. a.*

§. 60. *ἃ μὲν οὖν*] *σημείωσαι· σχῆμα κατὰ ἀποσιώπησιν. b.*

§. 61. *φορὰν προδοτῶν*] *τροπικῶς εἶπε· φορὰ* 147 *γὰρ εἴωθε λέγεσθαι ἐπὶ σίτου ἢ ἄλλων καρπῶν τῶν φερομένων ἐν ἑκάστῳ ἐνιαυτῷ· ἐνέμεινε τῇ τροπῇ, εἰπών· καὶ φυομένου κακοῦ. a.*

§. 63. *πότερον αὐτὴν ἐχρῆν*] *σχῆμα κατὰ ἀποστροφήν. b.*

§. 67. *τὸν ὀφθαλμὸν*] *ἤδη ἔγνωμεν, ὅτι τὸν ὀφθαλμὸν ἐπλήγη ἐν τῇ Μεθώνῃ, τὴν δὲ κλεῖν ἐν Ἰλλυριοῖς, τὸ δὲ σκέλος καὶ τὴν χεῖρα ἐν Σκύθαις. a.*

§. 69. *Πύδναν*] *Πύδνα, τὸ νῦν Κίτρος. b.*

Ποτίδαιαν] *Ποτίδαια ἡ νῦν Βέρροια. b.*

§. 70. *τὴν Πεπαρήθου*] *Πεπάρηθος νῆσός ἐστιν ἐν τῷ Αἰγαίῳ πελάγει πρὸ τῆς Θετταλίας· ταύτην ἐπόρθησεν Ἄλκιμος, ναύαρχος τοῦ Φιλίππου. a.*

τουτουσὶ] *δηλονότι τοὺς Ἀθηναίους. a.*

περὶ τούτων] *ἅπερ ἐποίησε μετὰ τοὺς ὅρκους. a.*

§. 71. *ἀλλ' ὁ τὴν*] *πνεῦμα. b.*

§. 72. *τὴν Μυσῶν λείαν*] *παροιμία· τάττεται δὲ ἐπὶ τῶν μάτην καὶ ἀναιτίως ἀπολλυμένων, λαβοῦσα τὴν ἀρχὴν ἀπὸ τῶν καταδρομῶν τῶν ἀστυγειτόνων τε καὶ λῃστῶν τῆς Μυσίας κατὰ τὴν τοῦ Τηλέφου τοῦ βασιλέως ἀποδημίαν. — Μυσῶν λεία ἐπὶ τῶν κακῶς διαρπαζομένων· οἱ γὰρ περίοικοι κατ' ἐκεῖνον τὸν χρόνον τοὺς Μυσοὺς ἐληίζοντο. b. πλέοντες οἱ Ἕλληνες ἐπὶ τὴν Τροίαν προσώρμισαν τῇ Μυσίᾳ καὶ νομίσαντες αὐτὴν εἶναι τὴν Τροίαν ἐπόρθουν· Τήλεφος δὲ ὁ τότε Μυσίας τύραννος πολλοὺς κατατοξεύσας ἐτρώθη καὶ αὐτὸς ὑπὸ Ἀχιλλέως εἰς τὸν μηρόν· εἶτα ὕστερον χρωμένῳ αὐτῷ περὶ ἰάσεως ἀνεῖλεν ὁ θεός, ὡς οὐκ ἄλλως θεραπευθήσεται, εἰ μὴ ὁ τρώσας καὶ ἰάσεται. ἵνα μὴ οὖν ἀπελθὼν πρὸς τὸν Ἀχιλλέα γνωσθῇ, λαβὼν σχῆμα πτωχοῦ, ἀπελθὼν εἰς τὴν Ἑλλάδα, προσῆλθεν αὐτῷ ὡς πένης, ἰάσεως τυχεῖν βουλόμενος· ἐπεπαίδευτο γὰρ καὶ τὴν ἰατρικὴν ὁ Ἀχιλλεύς, ὡς παρὰ Χείρωνι τραφείς. καὶ οὕτω θεραπευθεὶς μισθὸν τῆς ἰάσεως λέγεται δοῦναι τῷ Ἀχιλλεῖ τὸ καθηγήσασθαι τοῖς Ἕλλησι τῆς ἐπὶ Τροίαν ὁδοῦ. εἴρηται δὲ ἡ παροιμία ἐπὶ τῶν κακῶς πασχόντων. τινὲς δὲ ἐπὶ τῶν ἀδίκως ἀπολλυμένων, ὡς καὶ ἡ Μυσία τότε ἀδίκως ἔπαθεν ὑπὸ τῶν Ἑλλήνων πρῶτον, ὕστερον δὲ ὑπὸ τῶν ἀστυγειτόνων τῇ τοῦ Τηλέφου ἀπουσίᾳ. a.*

§. 73. *προσήγγειλαν*] *ἀντὶ τοῦ ἤδη ἤγγειλαν. b.*

§. 75. *Ἀναφλύστιον*] *δῆμος Ἀττικῆς τῆς Ἀντιοχίδος· ἔνιοι δ' ἀπὸ πόλεως. b.*

§. 79. *οὐδαμοῦ Δημοσθένην*] *ἀπὸ τοῦ ὀνόματος μὴ κειμένου* (*ἰσχυρίζεται, ἔγραψε δ' ὅμως ὁ Φίλιππος*) *εἰς αὐτὸν τὸν Δημοσθένην αἰνιττόμενος καὶ τοὺς περὶ αὐτόν. a.*

παρεδύετο] *ὡς ἐπὶ λῃστοῦ εἶπε τὴν λέξιν. a.*

ἔξοδον] *ἔξοδον λέγει ἀντὶ τοῦ στρατιάν. a.*

εἰς Ἐρέτριαν] *τόπος τῆς Εὐβοίας. b.*

§. 80. *τοὺς ἀποστόλους*] *τὴν ναυτικὴν δύναμιν λέγει. a.*

§. 82. *προὐξένεις*] *σημείωσαι· ἀντὶ τοῦ προειστάτευες. b.*

§. 86. *ἀνωμολόγημαι*] *μία ἐστὶ λέξις ἀντὶ τοῦ ἀνακεκήρυγμαι. a.* 148

§. 88. *τίς ἦν ὁ βοηθήσας*] *περὶ ἑαυτοῦ ἐρωτᾷ. b.*

§. 89. *τῆς νῦν εἰρήνης*] *τῆς ἐπὶ Ἀλεξάνδρου. φησὶ γάρ· οὐκ ἔστι μᾶλλον εἰρήνη, ἀλλὰ δουλεία. ἐσπείσατο γὰρ* [*καὶ αὐτὸς πρὸς αὐτούς, ὥσπερ ὁ πατήρ,*] *ὥστε αὐτοὺς αὐτονόμους εἶναι καὶ ἀφορολογη-*

---

6. *ἐστὶ* om. r. 11. *ἔνθα καὶ* Sauppius: *ἔνθα ἐστὶν* br. 16. **Homerus Il. 8, 99.** — *δὲ* a. 32. *εἰπών*] §. 62. 37. *Σκύθαις*] *τοῖς σκύθαις* r. 40. *ἐστιν ἐν* Sauppius: *ἐστι* ar.

1—7. cf. Suidas p. 2551. B. 11. *εἶτα*] *εἶθ'* r. 13. *ἄλλως*] *ἄλλῳ* r. 29. versus fere pars dimidia praesecta est. Supplevimus ex m. 33. *στρατειαν* r. 39. *ἐστὶ* om. r. 41. *ἑαυτοῦ* Sauppius: *τοῦ ἑαυτὸν* br. 42. *ἐπὶ*] *ἐκ* r. 44. *ἐσπείσατο γὰρ* om. r. Deinde versus pars tertia praesecta est. Supplevimus ex m.

τους. ὅμως μέντοι ὑπακούειν αὐτῷ καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν. a.

ἥν] ἥντινα εἰρήνην τηροῦσι μὴ συγχωροῦντες ἡμᾶς Ἀλεξάνδρῳ πολεμῆσαι διὰ τὰς μελλούσας ἐλπίδας. ἐλπίζουσι γὰρ ἐπανελθόντα τὸν Ἀλέξανδρον ἀπὸ τῶν Περσῶν μεγάλα αὐτοῖς χαρίζεσθαι ὡς προδόταις. a.

ὧν αὐτοί] τῆς δουλείας δηλονότι. a.

§. 96. ἁρμοσταῖς] οἱ εἰς τὰς ὑπηκόους πόλεις ἄρχοντες πεμπόμενοι ὑπὸ Λακεδαιμονίων. Less.

οὐ ναῦς, οὐ τείχη] ἦσαν γὰρ οἱ Λακεδαιμόνιοι λαβόντες αὐτῶν τὰς ναῦς ἐν Αἰγὸς ποταμοῖς διὰ Λυσάνδρου καὶ τὰ τείχη αὐτῶν κατασκάψαντες. a.

§. 99. ὑπὸ Θεμίσωνος] Θεμίσων τις καὶ Θεόδωρος Εὐβοεῖς, ἐπιθέμενοι Ὠρωπῷ, χωρίῳ Ἀθηναίων, κειμένῳ μεταξὺ τῆς Ἀττικῆς καὶ Βοιωτίας, ἔλαβον αὐτό. ὡς δὲ Ἀθηναῖοι ἔμελλον πολεμεῖν, ἔδοξε δίκῃ μᾶλλον κρίνεσθαι. τὸν δὲ μέχρι τῆς κρίσεως χρόνον Θηβαῖοι ἔφασαν αὐτοὶ λαβόντες φυλάξειν τὸ χωρίον. ὡς δὲ ἔλαβον, οὐδὲ ἑτέροις ἀπέδοσαν, μέχρις οὗ Φίλιππος ὕστερον σπενδόμενος Ἀθηναίοις ἐν τῷ ἀναχωρεῖν ἐπὶ Μακεδονίαν ἐχαρίσατο αὐτοῖς, τοῖς Ἀθηναίοις, ἀπὸ Θηβαίων λαβών. a.

περὶ Ὠρωπόν] Ὠρωπὸς χώρα, καὶ Ὠρωπία· γίνεται δὲ ἐκ τοῦ Ὦρος, ὃ σημαίνει ὄνομα κύριον, καὶ τοῦ ὤψ ὠπός, τοῦ σημαίνοντες τὸν ὀφθαλμόν, γίνεται Ὠρωπός· ἐν αὐτῷ γὰρ τῷ τόπῳ οἱ τοῦ Ὥρου ὦπες ἀπεβλήθησαν. ὁ δὲ Δημοσθένης ἐπεθύμησε ῥητορικῆς, Καλλίστρατον θεασάμενος τὸν ῥήτορα ὑπὲρ Ὠρωπίων διαλεγόμενον. b.

§. 104. συντελής] ὅτε οἱ τριηραρχοῦντες μιᾶς νεὼς ἅμα ἐπεμελοῦντο, συντελεῖς ἐλέγοντο· συντελεῖς οὖν οἱ συνδαπανῶντες καὶ οἱ συνεισφέροντες, τὸ δὲ πρᾶγμα συντέλεια καλεῖται. καὶ συντελής, χρήσιμος. b.

§. 106. τὸν καλὸν κατάλογον] κατ' εἰρωνείαν. b.

§. 107. ἐν Μουνυχίᾳ] τόπος παραθαλάσσιος ἐν τῇ Ἀττικῇ. Ἑλλάνικος δέ φησιν ὠνομάσθαι ἀπὸ Μουνύχου τινὸς βασιλέως. b. Μουνυχία τόπος περὶ τὸν Πειραιᾶ, [ἔνθα ἐστὶν ἱερὸν Μουνυχίας Ἀρτέμιδος· κἀκεῖ ἔφευγον, οἵ τινες τῶν τριηράρχων] ἠδικοῦντο, ἢ ναῦται, ἤ τινες τῶν ἐξεταζομένων ἐν τῷ Πειραιεῖ. ἐκλήθη δὲ Μουνυχία, ὥς φησιν ὁ Διόδωρος, παραφέρων τὰ Ἑλλανίκου, λέγων, ὡς ὅτι Θρᾷκές ποτε στρατεύσαντες κατὰ τῶν οἰκούντων τὸν Μινύειον Ὀρχομενὸν τὸν τῆς Βοιωτίας ἐξέβαλον αὐτοὺς ἐκεῖθεν· οἱ δὲ ἐξαναστάντες ἦλθον εἰς Ἀθήνας ἐπὶ Μουνύχου βασιλέως· ὁ δὲ ἐπέτρεψεν αὐτοῖς οἰκῆσαι τὸν τόπον τοῦτον, τὴν Μουνυχίαν, ὅστις οὕτως ὠνομάσθη παρ' αὐτῶν πρὸς τιμὴν τοῦ βασιλέως. a.

ἀποστολέων] ἀποστολεῖς ὄνομα ἦν ἀρχῆς παρὰ τοῖς Ἀθηναίοις, ἔργον ἔχουσα πρὸς τὸ φροντίζειν τῆς ναυτικῆς δυνάμεως πρὸς τὸ ταχέως ἐξελθεῖν. a.

§. 112. ὧν μέντοι γε] τὸ νόμιμον τοῦτο λύει τῷ ῥητῷ καὶ τῇ διανοίᾳ. ἐκείνου γὰρ λέγοντος, ὅτι ὁ νόμος οὐκ ἐᾷ τὸν ὑπεύθυνον στεφανοῦν, οὗτος τῇ διανοίᾳ κέχρηται· ἀλλ' οὐκ ἐν τῷ τὰ ἐμαυτοῦ ἀναλίσκειν, ἃ δέδωκα τῷ δήμῳ· ἐν τῇ τειχοποιίᾳ 140
γὰρ ἐπέδωκεν, ὡς ἴγνωμεν. a.

§. 113. ἐπὶ τῷ θεωρικῷ] θεωρικὸν καὶ θεωρική· Ἀθήνησιν ἦν χρήματα κοινά, ἃ θεωρικὰ ἐκαλεῖτο, διδόμενα τοῖς Ἀθηναίοις εἰς διανομήν. προήχθη δὲ οὕτως· τὸ παλαιὸν ὄχλου γενομένου ἐν τοῖς θεάτροις καὶ τῶν ξένων τὰς θέας προκαταλαμβανόντων, διεδίδοτο τοῖς πολίταις τὸ θεωρικόν, ὅπερ ἦσαν δύο ὀβολοί, ἵνα τοῦτο λαμβάνοντες οἱ πολῖται διδῶσιν αὐτὸ τῇ πόλει μισθὸν τῆς θέας. ὁ τοίνυν ἐπιμελούμενος τῶν χρημάτων τούτων ἄρχων ἐλέγετο τῶν θεωρικῶν. ἦν δὲ καὶ ἄλλα θεωρικά, ἃ διενέμετο ἐν ταῖς ἑορταῖς
ἡ πόλις. Ἄλλως. ἐν ταῖς λεγομέναις Διονυσίαις θεω- 61
ρίαις, ἀγώνων τελουμένων φιλοτίμων, συνέβαινέ τινας τῶν πολιτῶν εἰς ὕβρεις καὶ τραύματα διαφέρεσθαι· ἔδοξεν οὖν τῷ δήμῳ, μηκέτι προῖκα θεωρεῖν, ἐκμισθοῦν δὲ ταῖς θέαις τοὺς τόπους· πλεονεκτουμένων δὲ τῶν πενήτων διὰ τὸ ῥᾳδίως τοῖς πλουσίοις πλείονος τιμῆς τοῦτο γίνεσθαι, ἐψηφίσαντο ἐπὶ δραχμῇ μόνον εἶναι τὸ τίμημα, θεωρικὸν αὐτῇ θέντες ὄνομα, καὶ τὸν ἐπὶ τούτῳ ἐφεστηκότα θεωρικὴν ἀρχὴν ἔλεγον ἄρχειν· ἀπὸ τούτου καὶ τὰ λοιπά, ὅσα ἐλάμβανον Ἀθηναῖοι, θεωρικὰ εἴρηται. b.

ἐπήνεσεν] τοῦτο ὡς ἀπὸ Αἰσχίνου λέγοντος, ὅτι ἀπατηθεῖσα ἡ βουλὴ ὑπ' αὐτοῦ ἐπήνεσεν αὐτὸν καὶ ἐστεφάνωσεν ὑπεύθυνον ὄντα. a.

ἀλλὰ καὶ τειχοποιός] καὶ τοῦτο ὡς ἀπὸ Αἰσχίνου. a.

§. 117. νὴ Δί'] οὐ τοῦτο πάλιν Αἰσχίνης κατηγο-

---

1. αὐτῷ ar. 2. θάλατταν r. 3. ἡμᾶς] ὑμᾶς r. 6. αὐτοῖς ar. 10. οὐ ναῦς οὐ τείχη – κατασκάψαντες om. r. 15. κειμένῳ μεταξὺ τῆς Ἀττι om. r. 19. οὐδετέροις r. 23. cf. Suidas p. 2793 B. 30—33. cf Harpocr. p. 173, 26. Suid. p. 3461. E. 32. καὶ οἱ] καὶ r. 33. συντελής] ὁ συντελὴς r. 34. τὸν καλὸν – εἰρωνείαν om. r. 35. τόπος — τινὸς βασιλέως om. r. cf. Harpocr. p. 128, 20 36. Hellanici frg. 71 Müll. 38. Duae partes tertiae versus supremi praesectae sunt. Supplevimus ex m. 41. Diodor. frg. libr. 6 – 10, XIII. 42. Ἑλλανίκου ἑλληνικὰ r. λέγων ὡς] λέγοντος Sturz.

1. Μινύειον m: μινυὸν ar. 5. παρ' αὐτῶν — βασιλέως om. r. 12. οὗτος mr: οὕτω a. 13. ἐμαυτοῦ Sauppius: ἑαυτοῦ ar. 14. ἃ add. Sauppius. 16 – 36. cf. Suidas p. 1878. C. et 1877. D. 26. ἡ et Ἄλλως om. r. Διονυσίαις Suidas: διονυσείαις br. 31. διὰ τὸ ῥᾳδίως om. r. 32. δραχμῇ Sauppius: δραχμῇ καὶ br. 40. ἀπὸ om. r.

ρεῖ, ἀλλ' ὁ ῥήτωρ νῦν αὐτὸ προστίθησιν, ἐπειδὴ θαρρεῖ ἑαυτῷ μὴ κεκλοφέναι. a.

εἶτα παρών] σημείωσαι· ἀπὸ τοῦ καιροῦ τὸ ἐπιχείρημα. b.

λογισταί] κριταί, δοκιμασταί, ἐξετασταί. — οἱ μεθοδικοὶ καὶ περίψηφοι. — καὶ λογιστήρια. ἀρχὴ δέ τις παρ' Ἀθηναίοις οἱ λογισταί· εἰσὶ δὲ τὸν ἀριθμὸν δέκα, οἳ τὰς εὐθύνας τῶν διῳκημένων ἐκλογίζονται ἐν ἡμέραις τριάκοντα, ὅταν τὰς ἀρχὰς ἀπόθωνται οἱ ἄρχοντες. λογιστήρια δέ ἐστι τὰ τῶν λογιστῶν ἀρχεῖα, ὡς Δείναρχος καὶ Ἀνδοκίδης δηλοῦσιν. b.

§. 118. ὑπεύθυνος] ὁ μήπω λογισμοὺς παρεσχηκὼς μηδὲ εὐθύνας τῆς ἀρχῆς ἧς ἐπιστεύθη. b.

§. 119. τὸ λαβεῖν οὖν] καθ' ὅλον κῶλον παρίσωσις. b.

ὁ δὲ παμπόνηρος] τὸ κόμμα ἔγκλημα. b.

§. 121. ἐλλεβορίζεις] ἐλλέβορον εἶδος βοτάνης, τὸ παρὰ τοῖς ἰατροῖς καρπὶν λεγόμενον· καὶ ἐλλεβοριᾷν τὸ ἐλλεβόρου δεῖσθαι· καὶ ἐλλεβορίζω αἰτιατικῇ. b.

§. 122. κατὰ συγγραφήν] λέγει κατὰ πρόσταξιν, οἷον ὡσανεὶ προσέταξας ἀνδριαντοποιῷ ἀνδριάντα ποιῆσαι κατά τινα ἐπιταγήν. οἷον ἐπιτάξας αὐτῷ, ὅτι βούλομαι εἶναι αὐτόν, τὸν ἀνδριάντα, τοιῶσδε, τὴν χεῖρα αὐτὸν ἔχειν τοιῶσδε, καὶ τοὺς πόδας τοιῶσδε, καὶ τὴν κεφαλὴν ὁμοίως· εἶτα μὴ δεξάμενος αὐτόν, τὸν ἀνδριάντα, ὥσπερ ἐπέταξας, ἐνεκάλεις ὕστερον τῷ ἀνδριαντοποιῷ. a.

ἐξ ἁμάξης] ἡ λεγομένη ἑορτὴ παρὰ Ἀθηναίοις Λήναια, ἐν ᾗ ἠγωνίζοντο οἱ ποιηταί, συγγράφοντές τινα ᾄσματα τοῦ γελασθῆναι χάριν· ἐφ' ἁμαξῶν γὰρ οἱ ᾄδοντες καθήμενοι ἔλεγόν τε καὶ ᾖδον τὰ ποιήματα. λέγεται καὶ Ληναΐτης χορός, ὁ τῶν Ληναίων. b.

§. 123. καίτοι καὶ τοῦτο] διαφορὰ λοιδορίας καὶ κατηγορίας. b.

§. 124. πομπεύειν] ἀντὶ τοῦ λοιδορεῖν. b.

εὐθύναις] εὔθυνα ἦν ὧν δημοσίᾳ τις ἐπιστεύθη· γραφὴ δὲ κυρίως ἡ ἐπὶ τῶν παρανόμων· κρίσις δὲ ἡ ἐπὶ ἐγκλημάτων. a.

§. 125. τῇ πόλει δ' ἢ πλέον] ἀπὸ τοῦ λαβεῖν με,
62 φησί, τὸν στέφανον, ὃ δημοσίᾳ ἐπράχθη, ἀνάγκη τῇ πόλει δόξης μετεῖναι ἢ πλέον ἢ ἔλαττον, τουτέστιν ἢ μέρος τῆς δόξης ἢ καὶ τὸ ὅλον. b.

§. 126. ἐπειδὴ τοίνυν etc.] ζητοῦσί τινες· καὶ ποῦ ἐστιν ἡ ἀπόδοσις τούτου τοῦ κώλου; οὐδὲν γὰρ ἐπήγαγε πρὸς [ὃ εἶπεν· ἐπειδή.] περὶ τούτου πολλοὶ ἐπιχείρησαν ἀπολογήσασθαι, καὶ σχεδὸν εἰπεῖν πάντες ἀπέσχον. οἱ μὲν γὰρ αὐτῶν ἔφασκον, ὡς δεῖ ἐν ὑπερβατῷ αὐτὸ ἀναγινώσκεσθαι· ἄλλοι δὲ διέστρεφον τὴν φράσιν, ἐναλλάττοντες τοὺς συνδέσμους, ζητοῦντες στῆσαι τὴν ἀπόδοσιν. ἡμεῖς δέ φαμεν, ὡς ὅτι Ἑρμογένης ἐν τῷ περὶ ἰδεῶν, ἐμπεσὼν εἰς τὸ ἐξηγήσασθαι τοῦτο τὸ κῶλον, οὕτως αὐτὸ ἔλυσεν. ὅτι ἀπὸ θυμοῦ ὁ Δημοσθένης ἐνταῦθα οὐδὲν ἐπήγαγεν. a. •

§. 127. Αἰακὸς etc.] οὗτοι οἱ τρεῖς διαβεβόηντο ἐπὶ δικαιοσύνῃ. a.

§. 129. οὐκ ἀπορῶν δέ] ὃ λέγει, τοιοῦτόν ἐστιν· ὅτι οὐκ ἀπορῶν τοῦ εἰπεῖν πολλὰ κατὰ σοῦ, ἀλλ' εὐπορῶν ἐν τούτῳ, δοκῶ ἀπορεῖν ἐν τῷ μὴ εἰδέναι με, ποῖον πρῶτον προτάξω αὐτῶν, τῶν πολλῶν. a.

παρ' Ἐλπίᾳ] οὗτος ὁ Ἐλπίας χαμαιδιδάσκαλος ἦν παρὰ τοῖς Ἀθηναίοις, ὑπόσχολον ἔχων τὸν πατέρα τοῦ Αἰσχίνου. a.

τῷ Θησείῳ] τῷ τεμένει τοῦ Θησέως. b.

χοίνικας] χοίνικας καλεῖ τὰς πέδας· τὸ δὲ ξύλον ἢ πρὸς τὸ ἐπερείδεσθαι τὸν Τρόμην ἐν τῷ βαδίζειν καὶ ἐπαναπαύεσθαι, ἢ πρὸς τὸ δύνασθαι συνάπτειν τοὺς πόδας αὐτοῦ. b. πέδας καλεῖ τὰς χοίνικας. a

κλισίῳ] κλίσιον ὄνομα τόπου. b.

ἐργασίας] κατ' εἰρωνείαν. λέγει γὰρ τῆς πορνείας. a. 150

§. 130. οἷς ὁ δῆμος καταρᾶται] ἵνα λέγῃ τοῖς προδόταις. τοῖς τοιούτοις δὲ καταρᾶται ὁ δῆμος διὰ τοῦ κήρυκος. a.

ὀψὲ etc.] δεῖ λαβεῖν τὸ μὲν α' ὀψὲ ὥσπερ διηγουμένου, τὸ δὲ β' ὡς κατ' ἐρώτησιν καὶ ἐκπληττομένου, ὅτι ἐλησμόνησεν εἰπεῖν. τὸ ἐχθὲς μὲν οὖν καὶ πρῴην ἀντὶ τοῦ ὀψέ· κατὰ κοινοῦ δὲ τὸ ἦν. a.

δύο συλλαβὰς προσθείς] μίαν μὲν εἰς τὸ ὄνομα τοῦ πατρὸς αὐτοῦ, μίαν δὲ εἰς τὸ τῆς μητρός. a.

§. 131. ἀποψηφισθέντα] εἴ τις ξένος ἔδοξεν εἶναι καὶ οὐ πολίτης, τοῦτον ἐν ταῖς διαψηφίσεσι τῶν δήμων ἀπεψηφίζοντο οἱ δημόται, καὶ ἐλέγετο ἀπεψηφισμένος· εἶτα εἰσήγετο εἰς τὸ δικαστήριον καὶ ἐκρίνετο ξενίας, καὶ εἰ μὲν ἑάλω, ἐπιπράσκετο ὡς ξένος, εἰ δὲ ἐκράτει, ἀνελαμβάνετο εἰς τὴν πολιτείαν. b.

§. 134. καὶ ταῦτα ἀπὸ τοῦ βωμοῦ φέρουσα] ἤτοι ὅτι ἐκεῖθεν λαμβάνουσα τὰς ψήφους, οὕτως ἐδίδου, ἢ ὅτι τὰς χεῖρας ἐπιθεῖσα τῷ βωμῷ καὶ θύουσα μετετίθει τὰς χεῖρας ἐπὶ τὰς ψήφους, ὡς μηδὲν πρὸς ἔχθραν, ἀλλὰ δικαίως ψηφίζεσθαι. b.

§. 142. διετεινάμην] διὰ συντόνου σπουδῆς ἀπηργούμην. b.

---

1. αὐτὸ] αὐτὸς r. 5 sqq. cf Suidas p. 2333. B. ἐξετασταὶ om. r. 11. Andocid. 1 §. 78. cf. Harpocr. p. 121, 9. 17 sqq. Suid. p. 1197. B. 24. αὐτὸν om. r. 29 sqq. Suid. p. 1278. B. 46. πρὸς om. r. — deinde literae nonnullae dignosci non possunt: supplevimus ex m.

3. ὑπερβάτῳ ἀναγινώσκειν r. 6. Hermogenes 3 p. 342, 22 W. 7. ἀπὸ θυμοῦ m: ἀποθύμως ar. 11. ἀπορῶν τοῦ] ἀπορῶ τοῦ r. 31. πρῴην Sauppius: τὸ πρῴην ar. 33. αὐτοῦ om. r. εἰς τὸ] εἰς τὸ ὄνομα r. 34. Suidas p. 527. A.

§. 143. *Ἀμφίσσῃ*] πόλις τῆς Λοκρίδος. b.

Ἐλάτειαν] μεγίστη πόλις τῆς Φωκίδος. b.

§. 147. *περὶ τὴν Πυλαίαν ταραχὴν*] Πύλαι καὶ Πυλαία καὶ Πυλαγόραι. Πύλαι μὲν καλοῦνται αἱ Θερμοπύλαι· ἐκλήθησαν δὲ οὕτως διὰ τὸ στενὴν εἶναι ταύτην τὴν εἴσοδον ἀπὸ Θεσσαλίας εἰς τὴν Φωκίδα πορευομένοις. Πυλαία δ' ἐκαλεῖτο ἡ εἰς τὰς Πύλας σύνοδος τῶν Ἀμφικτυόνων. ἐπέμποντο δὲ καὶ ἐκ τῶν πόλεων τῶν μετεχουσῶν τῆς Ἀμφικτυονίας τινές, οἵτινες ἐκαλοῦντο Πυλαγόραι. b.

§. 148. *ἱερομνημόνων*] ἱερομνήμονες οἱ εἰς τὴν Πυλαίαν ἐκπεμπόμενοι γραμματεῖς. ἢ οἱ πεμπόμενοι εἰς τὸ τῶν Ἀμφικτυόνων συνέδριον ἐξ ἑκάστης πόλεως τῶν τοῦ συνεδρίου μετεχουσῶν οὕτω καλοῦνται. b.

63 §. 149. *ἡ Κιρραία χώρα*] ὄνομα πόλεως. b.

§. 150. *τοὺς ἱερομνήμονας*] οἱ πεμπόμενοι εἰς τὸ τῶν Ἀμφικτυόνων συνέδριον, ὡς κύριοι τῶν ψήφων. b.

§. 151. *ὁ Κόττυφος*] ἱερομνήμων ἦν Θετταλῶν, ὑπὲρ Φιλίππου πάντα πράττων. b.

§. 155. *Πυλαίας*] πυλαία ἡ μέση τοῦ ἥπατος εὐρυχωρία παρὰ τοῖς θύταις. b.

§. 157. *τοῖς δημιουργοῖς*] δημιουργὸς χειροτέχνης, ὁ τὰ μὴ ὄντα ποιῶν. — οἱ κεραμεῖς, οἱ σκευοποιοί. — δημιουργοὺς ἐκάλουν καὶ τὰς νῦν λεγομένας ὑπονυμφίδας, τουτέστι, τὴν παρεστῶσαν τῇ νύμφῃ γυναῖκα· κοινῶς δὲ ἔλεγον δημιουργοὺς τοὺς τὰ δημόσια ἐργαζομένους. ποτὲ δὲ καὶ τοὺς ἀρχιτέκτονας· Ἀριστοφάνης ἐν Εἰρήνῃ. καὶ *δημιουργικῶς* ἀντὶ τοῦ τεκτονικῶς· δημιουργοὶ γὰρ οἱ τέκτονες. ὅτι οἱ παλαιοὶ δημιουργοὶ συμμεμυκότας τοῖς ὀφθαλμοῖς ἐποίουν, ὁ δὲ Δαίδαλος ἀνεπέτασε, καὶ τοὺς πόδας διέστησεν. b.

§. 159. *ἀλιτήριον*] φθορέα. b.

§. 162. *ὦ κίναδος*] θηρίον, ἡ ἀλώπηξ. b.

§. 166. *τὰς ἀνοχὰς*] ἀνοχὴ ἡ ὑπομονή. b.

§. 169. *Πρυτάνεις*] τὸ δέκατον μέρος τῆς βουλῆς τῶν πεντακοσίων. πεντήκοντα ἄνδρες ἀπὸ μιᾶς φυλῆς, οἱ διοικοῦντες ἅπαντα τὰ ὑπὸ τῆς βουλῆς πραττόμενα· ἐπρυτάνευον δὲ ἐκ διαδοχῆς ἀλλήλαις αἱ δέκα φυλαὶ κλήρῳ λαχοῦσαι, ὡς καὶ Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. b.

§. 174. *φίλων Φιλίππῳ*] παρίσωσις κατὰ τὴν ἀρχήν. b.

§. 180. *Βάταλον*] ὁ Βάταλος αὐλητής τις ἦν· ὁ δὲ Κρεσφόντης Ἡρακλέους υἱός. — βάταλος ἀντὶ τοῦ βδελυρός, αἰσχρός· οὕτως ἐκλήθη ὁ Δημοσθένης, νέος ὤν, ὡς γυναικώδης, γηράσας δὲ ἀργᾶς ἀπὸ ὄφεως οὕτω καλουμένου. b. Βάταλος βδελυρὸς καὶ αἰσχρός. Εὔπολις δὲ τὸν πρωκτὸν βάταλον λέγει. μήποτε οὖν ἔνθεν τοὺς κιναίδους βατάλους καλοῦσι. Less.

§. 192. *τότε τοίνυν τὰ μὲν*] σημείωσαι· ζήτει τὸν Ἀππιανὸν λέγοντα τὸ ἐναντίον. b.

§. 196. *ἐπεὶ πρός γε τοῦτον*] σημείωσαι σχῆμα διλήμματον. b. 64

§. 198. *πολιτεύῃ*] σημείωσαι· ἴδιον βασκανίας. b.

ὥσπερ τὰ ῥήγματα, σημείωσαι· τὸ σχῆμα πάρισον κατὰ ἀντιστροφήν. b.

§. 204. *τὸν δ' ὑπακούειν*] περὶ Κυψέλου. b.

§. 215. *καθ' ὑμῶν*] ἀντὶ τοῦ *ὑπὲρ ὑμῶν*· ὁ δὲ Ὅμηρος τοὐναντίον τὸ *ὑπὲρ* ἀντὶ τῆς *κατά*·

ὅθ' ὑπὲρ σέθεν αἴσχε' ἀκούω. b.

§. 217. *καὶ ἔγωγε ἡδέως ἂν*] σημείωσαι· σχῆμα διλήμματον. b.

§. 219. *Κέφαλος*] πρὸ Δημοσθένους ἦν. b.

§. 229. *ἡ γὰρ ἐμὴ πολιτεία* etc.] κατὰ κῶλον ἐπαναφορά. b.

§. 239. *τί γὰρ νῦν λέγεις*] διαφορεῖται ἡ ἀνάγνωσις. ἄλλως γὰρ ἀναγινώσκεται στιγμῆς ἐν τῷ *λέγεις* μεσιτευούσης καὶ ἄλλως ἐν μόνῳ τῷ *πράττειν* τιθεμένης. b.

§. 242. *κίναδος*] πᾶν μὲν θηρίον κίναδος ἀξιοῦσι καλεῖσθαι, ἰδίως δὲ τὴν ἀλώπεκα. κακοῦργος ὡς ἀλώπηξ. ἰδίως δέ φασι, τοὺς Σικελιώτας τὴν ἀλώπεκα κινάδιον καλεῖν. — Περιβολὴν ἐποίησεν ἔξωθεν προσλαβών· γένος μέν ἐστιν ὁ *συκοφάντης*, εἶδος δὲ τοῦτο δὲ *φύσει κίναδος τἀνθρώπιον*. b.

αὐτοτραγικὸς πίθηκος] παροιμία *τραγικὸς πίθηκος*· τάττεται ἐπὶ τῶν παρ' ἀξίαν σεμνυνομένων. φάσκει δ', ὡς ὑποκρίνεται τοῖς ποιηταῖς τῶν τραγῳδιῶν. ἔτι καὶ *πίθηκον* προσηγόρευσεν· ἤτοι ὅτι βραχὺς ὢν τῷ σώματι εἰσῄει εἰς τὴν σκηνήν· ἢ ὅτι ὁ πίθηκος μιμηλὸν ζῷόν ἐστιν, εἰς τοῦτο ἐπέσκωψε τὸν Αἰσχίνην, ὡς ἀνθρώπους ὑποκρινομένους τραγῳδίαν μιμούμενον. τραγικὸν δὲ πάθος συμφορᾶς μεστόν, καὶ τραγικώτερος ἀντὶ τοῦ ἀξιοπιστότερος ἢ ἀτυχέστερος. σημείωσαι δέ, ὅτι οἱ ἑπτὰ τραγικοὶ πλειὰς ἐπεκλήθησαν. b.

§. 248. *σιτώνην*] τὸν προεστῶτα τοῦ δημοσίου σίτου. b.

§. 250. *οὐχ ὁ τὸν δῆμον*] κατὰ κῶλον ἐπαναφορά. b.

---

3 sqq. Suid. p. 3187. A. 11 sqq. Suid. p. 1741 B. 22. cf. Pollux 2 §. 215. 24 sqq. Suid. p. 917. B. 30. Aristoph. Pac. v. 297. 35. Schol. ad §. 159 om. r. 38 sqq. Harpocr. p. 161, 23. Suid. p. 3151. A. 41. ἀλλήλοις r. 42. Aeschin. 3 §. 39. 44. φίλων Φιλίππῳ] cf. var. lectt. codd. 46. ἦν Sauppius: ὢν br.

1 sqq. Suid. p. 725. A. 4 sqq. Harpocr. p. 44, 9. ex quo addidimus uncinis inclusa. 14. Homer. Il. 6. 524. 30 sqq. Suid. p. 2099. E Harpocr. p. 111, 18. 33 — 43. Suid. p. 3602. D cf. Leutsch. ad Paroemiogr. p. 375.

§. 251. φυγεῖν] εὐθυνθῆναι. b.

65 φυγών] κατηγορηθείς. b.

§. 259. νεβρίζων] ὁ διασπῶν τοὺς νεβροὺς κατά τινα λόγον ἄρρητον. οἱ μὲν ὡς τοῦ τελοῦντος νεβρίδα ενημμένου καὶ τοῖς τελουμένους διαζωννύντος. b.

§. 260. θιάσους] τὸ ἀθροιζόμενον πλῆθος ἐπὶ τελετῇ καὶ τιμῇ τῶν θεῶν. b.

εὐοῖ σαβοῖ] βακχικόν τι ἐπίφθεγμα κατὰ τὴν Φρυγῶν διάλεκτον, ἵνα οὕτως ἔχῃ· εὖ οἱ μύσται. ἀπὸ τούτου μέντοι καὶ ὁ Σεβάζιος Διόνυσος. b.

κιστοφόρος] ὁ φέρων τὰς κοίτας. b.

λικνοφόρος] παρὰ φύλαξι τιμώμενος. b.

ἔνθρυπτα] [ψωμοὶ ἦσαν οἴνῳ βεβρεγμένοι, οὓς ἐποίουν] εἰς σκάφην ἄρτους διαθρύψαντες καὶ φακῆν ἐπισκεδάσαντες. b.

§. 261. τοῖς ἀρχιδίοις] γρ. τοῖς ἀρχείοις. λέγει δὲ τοῖς χαρτοφύλαξιν. b.

§. 265. εἶτ' ἐρώτησον τουτουσί] σημείωσαι· σχῆμα τὸ ἀντίθετον. – ἀντίθετόν ἐστι σχῆμα τὸ διπλασιάζον πάντα τὸν ὑποκείμενον [ὅρον τοῦτον τὸν] τρόπον, εἴ τις τοῦ κατὰ φύσιν ζητουμένου ἐναντίον λαμβάνων καταβαίνει εἰς τὸ ὑποκείμενον· καὶ τοῦτο μὲν ἐστι τῆς λέξεως, ὅπερ καὶ καθ' ὑπόθεσιν λέγεται· τοῦτο δὲ τὸ ἀντίθετόν ἐστι σχῆμα τῆς διανοίας, διανοήματι διανόημα ἀντικείμενον. b.

σαύριττον] φωνὴ ἄσημος. b.

§. 267. τριταγωνιστὴν] τριταγωνιστὴν αὐτόν φησιν ὡς ἀδοκιμώτατον τῶν ὑποκριτῶν, ἐν τρίτῃ τάξει καταριθμῶν ἀπὸ Σοφοκλέους, ὃς πρῶτος ἐχρήσατο τρισὶν ὑποκριταῖς καὶ τῷ καλουμένῳ τριταγωνιστῇ. b.

§. 280. φωνασκίας] φωνῆς ἄσκησις καὶ μεγαλοφωνία. b.

§. 281. οὐκ ἐπὶ τῆς αὐτῆς ὁρμεῖ τοῖς πολλοῖς] παροιμία ἐστὶν ἐλλειπτικῶς λεγομένη. προσυπακουστέον οὖν ἔξωθεν τὸ ἀγκύρας. a.

§. 282. καίτοι τις] πολύπτωτον. b.

οὗτος] ἀντὶ τοῦ τοιοῦτος. a.

§. 284. ξένος] ξενίαν ὑποδεχόμενος. b.

§. 287. παιωνίζειν] εὔχεσθαι καὶ τοῖς θεοῖς χάριν ὁμολογεῖν. παιὼν γὰρ ὕμνος χαριστήριος. b.

§. 288. περίδειπνον] ἡ ἐπὶ τοῖς ἀποθανοῦσιν ἑστίασις γινομένη. a.

§. 308. πολλοῦ γε καὶ δεῖ] ἀντὶ τοῦ οὐδὲ ὅλως. b.

§. 311. τίς γὰρ συμμαχία] πολύπτωτον. b.

XIX. IN ORATIONEM DE FALSA LEGATIONE.

§. 1. γέγονε] ἐκ τοῦ κατηγοροῦντος. b. 66

ἑωρακότας ἄρτι] κατασκευὴ τῆς προτάσεως. – ἄρτι ἀντὶ τοῦ πρὸ ὀλίγου. τοὺς συνηγόρους λέγει τοῦ Αἰσχίνου. – ἀντὶ τοῦ τε Αἰσχίνου καὶ τῶν ἄλλων αὐτοῦ συνηγόρων εἶπεν. a.

δεήσομαι] τὸ δεήσομαι συμπέρασμα τῆς προτάσεως. a.

ἄνδρα] πρὸς τὸν Εὔβουλον ἀποτείνεται, πολέμιον ὄντα αὐτῷ. b. τὸν Εὔβουλον λέγει· οὐκ ὀνομάζει δ' αὐτὸν φανερῶς. a.

ἐνθυμουμένους] ... μετ' εὐνοίας ἀκοῦσαί μοι λέγοντος, ὑπολογιζομένους τό τε μέγεθος τοῦ κινδύνου καὶ τὸ πλῆθος τῶν αἰτιῶν, πρὸς ἃς ἀπολογήσασθαί με δεῖ, καὶ τὰς τέχνας καὶ τὰς κατασκευὰς τοῦ κατηγόρου καὶ τὴν ὠμότητα. Leg. ἀντιπαρατίθησιν, ὅπως ὠφελεῖ τὸ αὐτοῦ, τὰ δὲ Αἰσχίνου πως βλάπτει. a.

τῶν παρακλήτων] τῶν ἐκ παρακλήσεως. οὐ διὰ τὸ δίκαιον παραγενομένων. b. ἡ εὐθεῖα τοῦ πλήθους οἱ παράκλητοι ἀπὸ τοῦ ὁ παράκλητος. λέγει δὲ τοὺς ἐκ παρακλήσεως ἐλθόντας συνηγορῆσαι, ἀλλ' οὐ τοῦ δικαίου ἕνεκεν. a.

κυρίας] ὄνομα ἐκκλησίας, ὅτε ἀπεψηφιζον τῆς ἀρχῆς τοὺς ἀδικοῦντας. b.

§. 2. τοὺς μὲν οὖν ἄλλους] δεύτερον προοίμιον, ἐκ διαβολῆς καὶ αὐτό. b. β'. προοίμιον τοὺς μὲν οὖν ἄλλους, καὶ αὐτὸ εἰλημμένον ἐκ διαβολῆς τοῦ Αἰσχίνου, ἐκ παραθέσεως ἑτέρων προσώπων. a.

τὴν ἀειλογίαν] τὸ ἀεὶ λόγον ἐθέλειν τῶν πραττομένων διδόναι, διὰ τὸ μηδὲν αὐτοῖς τῶν φαύλων συνειδέναι. b. ἀειλογία ἐστὶ τὸ ἀεὶ προτείνεσθαι λόγον · 151 καὶ λέγειν· τίς ἡμῶν κατηγορεῖ; τοῦτο δὲ ποιοῦσι, συνειδότες ὅτι ὁσάκις κρίνονται καθαροί, τοσαυτάκις καὶ θαυμάζονται. φησὶ δὲ ὁ Γενέθλιος, ὅτι πεποίηται ἡ λέξις τῷ ῥήτορι τῆς ἀειλογίας· σπανίως γὰρ εὑρίσκεται παρ' ἄλλῳ. a.

3–5. Harpocr. p. 131, 19. 6 sqq. Suid. p. 1898. E. 12. schol. λυχνοφόρος explicat. 13. uncinis inclusa ex m addidimus. 16. γρ. τοῖς ἀρχείοις et δὲ om. r. 19–21. cf. Anonymus in Walzii rhetor. gr. 8 p. 619, 10 sqq. 20. ὅρον τοῦτον τὸν add. ex anonymo. 24. διανοήματι Reiskius: διανοήματος b. 27 sqq. Suid. p. 3619. D. 38. hoc schol. om. r. 42. γενομένη r.

8. Ad initium orationis in b adscripta sunt ea, quae sub finem argumenti leguntur, huius editionis p. 610 v. 181–191 τὸ νόημα, in a vero ea, quae l. d. leguntur v. 190–195. 10. ιγου in cod. dignosci nequit. 11. ἀντὶ τοῦ – εἶπεν om. r. 18. praesecta sunt quaedam. Fort. ἱκετεύω ὑμᾶς. 23. ὠφελεῖ τὸ a: ὠφελεῖ τὰ Reiskius, ὠφελεῖτο r. 32. προοίμιον. τοὺς μὲν ἄλλους εἰλημμένον καὶ αὐτὸ διαβολῆς r. 36. αὐτοῖς br. 39. συνειδότες] οἱ συνειδότες r.

πρὶν γὰρ εἰσελθεῖν] κατασκευὴ καὶ συμπλοκή. a.

ἀνήρηκε] τὸ ἀνήρηκεν ἀντὶ τοῦ ἄτιμον ἐποίησε τὸν Τίμαρχον. β̄ γὰρ κατήγοροι ἐπέστησαν Αἰσχίνου, ὅ τε Δημοσθένης καὶ Τίμαρχος. καὶ τὸν μὲν Τίμαρχον παρεγράψατο ὡς ἡταιρηκότα, πρὸς δὲ τὸν Δημοσθένην ἔγραψεν ἀπολογίαν πρὸς τὴν κατηγορίαν τοῦ λόγου. a.

§. 3. *τὸ μὲν οὖν ἐξελέγξειν*] τρίτον προοίμιον, μεταληπτικοῦ περιέχον λύσιν. b. γ′ προοίμιον μεταληπτικὸν ἀπὸ τοῦ χρόνου. ἔστι δὲ ἡ σύνταξις οὕτως· *ὅπερ δὲ φοβοῦμαι, καίπερ ὑπειληφώς* (ὅ ἐστι θαρρῶν ἐπὶ ταῖς ἀποδείξεσιν, ὅπερ προεῖπε), *τοῦτο φράσω*, φησί, *πρὸς ὑμᾶς καὶ οὐκ ἀποτρέψομαι*. διὰ τί δὲ εἶπε *φοβοῦμαι*; ἐπειδὴ ἔμελλεν ὥσπερ ἐλέγχειν τοὺς δικαστὰς μὴ σφόδρα προσέχοντας τοῖς πράγμασιν, ἀλλ᾽ ἐπιλανθανομένους τῷ χρόνῳ. καίπερ οὖν, φησί, φοβούμενος τοῦτο, οὐκ ἀποτρέψομαι εἰπεῖν τῷ φόβῳ τῷ πρὸς ὑμᾶς. γράφεται δὲ καὶ *ἀποκρύψομαι*. a.

ὑπειληφώς] ἀντὶ τοῦ πιστεύων. b.

ἐμπεποιήκῃ] τὸ ἐμπεποιήκῃ ὑποτακτικῆς ἐστιν ἐγκλίσεως παρακειμένη καὶ ὑπερσυντελική· οἷον ἐὰν ἐμπεποιήκω, ἐὰν ἐμπεποιήκῃ. διὸ καὶ ὑποτακτικὸν ἔχει προσγραφόμενον τὸ ι. a.

§. 4. *ὡς δή μοι δοκεῖτ᾽ ἄν*] τοῦτο τὸ νόημα ἐπισφραγίζεται μὲν τὰ προειρημένα καὶ τῶν μελλόντων κατάρχεται. ἅπτεται δὲ ἤδη λοιπὸν τῆς προκατασκευῆς. b. συμπερασμά ἐστι τοῦ προοιμίου. ὡς γὰρ ὡμολογημένην λαβὼν τὴν πρότασιν οὐκ εἶπε κατασκευήν, εὐθὺς δὲ εἰσβάλλει εἰς τὴν προκατασκευὴν ἀπὸ τοῦ *σκέψασθε παρ᾽ ὑμῖν*. a.

πρῶτον μὲν τοίνυν] ἡ προκατασκευὴ μετὰ τὸ προοίμιον εὐθὺς πρὸ τῆς διηγήσεως. περὶ τῶν κεφαλαίων τῆς κατασκευῆς· α′ περὶ ὧν ἀπήγγειλε, β′ περὶ ὧν ἔπεισε, γ′ περὶ ὧν προσετάξατε αὐτῷ, δ′ περὶ χρόνων, ε′ περὶ τοῦ ἀδωροδοκήτως ἢ μὴ ταῦτα πεπρᾶχθαι. b.

εἰ ἀδωροδοκήτως] καλῶς ἐπήγαγε τὸ *ἀδωροδοκήτως* μετὰ τὰ ἄλλα, ὡς ἰσχυρότερον. ἀεὶ γὰρ ἐν τοῖς ἄκροις τάττεται τὰ ἰσχυρά, τὰ δὲ ἥττονα καὶ ἀσθενῆ ἐν τῷ μέσῳ. ἐπειδὴ πρὸς ἕκαστον τῶν προειρημένων ἐστί τις αὐτῷ ἀπολογία· οἷον ἐπὶ τῆς ἀπαγγελίας, ὅτι ἠπατήθην ὑπὸ Φιλίππου· ἐπὶ τοῦ πεῖσαι, ὅτι ἀγνοῶν, οὕτως ὑμᾶς ἔπιθον, ὡς νομίζων τὰ παρ᾽ ἐκείνου εἶναι ἀληθῆ· ἐπὶ τῶν χρόνων, ὅτι ἄκων ἐβράδυνα, ἢ διὰ νόσον ἢ δι᾽ ἄλλο τι· ἐπὶ δὲ τοῦ δωροδοκεῖν οὐδὲν ἔχει ἔτι εἰπεῖν. a.

§. 9. *ἵν᾽ εἰδῆτε*] τὸ πέμπτον ἐν τῇ προκατασκευῇ κεφάλαιον τεθειμένον πρῶτον διαπεραίνει, ⌊τὰς τῶν ἐπιχειρήσεων προσάγων δυνάμεις. b et Less. πληρώσας 152 τὴν προκατασκευὴν εἰσβάλλει ἐντεῦθεν ἐπὶ τὴν προκατάστασιν. a.

§. 10. *ἔστι τοίνυν οὗτος ὁ πρῶτος Ἀθηναίων*] ἡ κατάστασις· ἔστι δὲ διμερής, καὶ τὸ μὲν πρῶτον μέρος αὐτῆς περιεκτικόν ἐστι τῆς δωροδοκίας, τὸ δὲ δεύτερον περιεκτικὸν τοῦ κατὰ Φωκέας ἐγκλήματος. b. ἡ κατάστασις. a.

§. 11. *ἐξ Ἀρκαδίας*] οὗτος ἦν ἐν Ἀρκαδίᾳ, ἥτις οὕτω Μεγάλη πόλις ἐκαλεῖτο, ὅθεν ὑπὲρ Μεγαλοπολιτῶν Δημοσθένης [γράφει. Less.

καλούς] οὐκ ἔστιν ὡς ἐν εἰρωνείᾳ, ἀλλὰ κατ᾽ ἀλήθειαν. ὕστερον γὰρ μέλλει ἐπιφέρειν τὸ κατ᾽ εἰρωνείαν. a.

Ἱερώνυμον] προδότην τινὰ λέγει Ἀρκάδων, ἐναντιούμενον αὐτῷ ἐν Ἀρκαδίᾳ περὶ τοῦ πολέμου τοῦ πρὸς Φίλιππον, μαθητὴν γενόμενον Ἰσοκράτους. a.

§. 12 *οὐχ ὡς τῶν*] ἐγκατάσκευος διήγησις, ὡς 67 ταῖς αἰτίαις κατασκευαζομένη· διότι ἐστὶ σύντομος καὶ πολιτική. — τὸ συμβεβηκὸς κατὰ ἄρνησιν. b.

διὰ γὰρ τοὺς προειρημένους λόγους] συγγνώμη τῆς χειροτονίας Αἰσχίνου. b.

§. 13. *καὶ μέχρι* etc. σύστασις τοῦ οἰκείου προ τῆς ἐπικρίσεως τοῦ κατηγορουμένου. b.

χωρὶς etc.] πρὸς διαστολὴν τῶν ἀκουόντων. b.

§ 14. *δεῖν*] ἀντὶ τοῦ ἀναγκαίαν εἶναι. a.

μετρίους] ἀντὶ τοῦ φιλανθρώπους. a.

§. 15. *τῷ τῶν συμμάχων*] ὡς εἰ ἔλεγεν· ἅπασιν Αἰσχίνης ἠναντιώθη, τοῖς συμμάχοις καὶ νυνὶ δὲ τοῖς ἀκροαταῖς. b.

συνηγορεῖ ἐκείνῳ] μεθ᾽ ἑτέρας διανοίας ἐξετάζει τοῦ κατηγορουμένου τὰ ῥήματα. b.

ὡς οὔτε τῶν προγόνων ὑμᾶς] ἰστέον ὅτι σοφίζεται ἐνταῦθα ὁ ῥήτωρ. ὁ μὲν γὰρ Αἰσχίνης 'τὸ ἄκαιρον τοῦ μιμεῖσθαί τινας τῶν προγόνων ἔλεγε φυλάττεσθαι, αἰνιττόμενος τοὺς ἐν Σικελίᾳ μόνους· οὐ γὰρ ἔλεγε περὶ πάντων τῶν προγόνων· ὁ δὲ ῥήτωρ τῷ καθολικῷ ὀνόματι τῶν προγόνων διαβάλλει τὸν λόγον. a.

§. 16. *καὶ ταῦτα ὁ σχέτλιος*] εὐκαίρως ἐπιφέρεται κατ᾽ αὐτοῦ μετὰ τὴν δείνωσιν. b.

§. 17. *ἀλλ᾽ ἐπειδὴ πάλιν ἥκομεν*] τὸ εἶδος τοῦ λόγου περιβλητικὸν κατὰ τὴν μέθοδον. τὸ γὰρ ἀναστρέφειν τὰ πράγματα καὶ τὰ δεύτερα πρῶτα λέγειν, εἶτα ἐπεμβάλλειν τὰ πρῶτα, περιβολῆς ἴδιον. a.

---

6. ἔγραψεν] ἐγράψατο r. 10. ἀπὸ] ἡ ἀπὸ r. 12. ἐπὶ m: ἐν ar. 14. ἐπειδὴ] ἐπειδήπερ r. 22. ὑπερσυντελικῆς ἐὰν r. 28. τὸ προοίμιον r. 36. μὴ Sauppius: διὰ r. quid in b fuerit, dignosci nequit. 40. ἐπεὶ r. 44. ἐπὶ τῶν χρόνων Sauppius: περὶ τῶν χρόνων m, τὸν χρόνον ar.

10. ἡ κατάστασις a. om. r. 13. γράφει Sauppius: φει Less. 19. ἰσοκράτει r. 22. τὸ συμβεβηκὸς κ. ἄρνησιν om r. 25. καὶ μέχρι — ἀκουόντων om. r. 26. κατηγορουμένου Sauppius: κατηγόρου br. item v. 34. 28. ἀναγκαίαν Sauppius: ἀναγκαίους ar. 30. τῷ τῶν συμμάχων — ἀκροαταῖς om. r. 33. μεθ᾽] καθ᾽ r. 34. τοῦ om. r. 36. dimidia pars versus praesecta est: supplevimus ex m. 44. τὴν om. r.

καὶ προσδοκηθέντων] ὑπὸ τῶν περὶ Ἀριστόδημον λέγει καὶ Νεοπτόλεμον. a.

τούτων ἕτερα] τὴν Θρᾴκην λ[έγει]. a.

τῇ βουλῇ] πρῶτον γὰρ ἔδει εἰσελθεῖν ἐν τῇ βουλῇ, εἶτα ἐν τῷ δήμῳ. a.

§. 18. κατηγόρησα τούτων] οὐ λέγει περὶ πάντων τῶν πρέσβεων, ἀλλὰ τῶν αἰτίων. a.

§. 19. ἐπειδὴ δὲ ἧκεν ἡ ἐκκλησία] ἐνταῦθα ἀποδείκνυσι τῆς προκατασκευῆς τὸ δεύτερον κεφάλαιον, δεύτερον τιθείς· οὐ γὰρ τῇ τάξει ἐχρήσατο τῆς ἐπαγγελίας, ἀλλὰ τὴν τάξιν συγχέας τῶν κεφαλαίων τῆς προκατασκευῆς, οὐχ ὡς ἐπηγγείλατο κατασκευάζει, ἀλλὰ τῆς ἐπαγγελίας τὸ πέμπτον τίθησι πρῶτον, τὸ δὲ δεύτερον τίθησι δεύτερον· κατασκευάζει δὲ μόνον τὸ δεύτερον νῦν. b.

§. 20. καὶ περὶ τῶν ἐν Ἀμφικτύοσι] Θηβαίων καὶ Φωκέων πολεμούντων [πρὸς ἑαυτοὺς διὰ τὴν παραποταμίαν γῆν], οἱ Θηβαῖοι μᾶλλον ἱεροσύλησαν τὸ ἐν Δελφοῖς ἱερὸν ἤπερ οἱ Φωκεῖς, εἰ καὶ οἱ Φωκεῖς κατὰ τὸ ἀληθὲς τοῦτο πεποιήκασιν. πρῶτοι γάρ, φησίν, ἐπεχείρησαν οἱ Θηβαῖοι τοῦτο ποιῆσαι καὶ οὐδὲν ἧττον ἠσεβήκασιν οἱ βεβουλευκότες τῶν ταῖς χερσὶ διαπραξάντων, ὡς ἐπιφέρει μετὰ μικρὸν λόγον. a.

153 §. 21. ἐπικεκηρυχέναι] ἄλλο ἐστὶν ἐπικ[ηρυ]κεία καὶ ἄλλο ἐπικήρυξις. ἐπικηρυκεία μὲν] ἡ φιλία, ἐπικήρυξις δέ· ὅταν πόλις [ἐχθρὸν] εἶχέ [τινα ἐπιβουλεύον]τα αὐτῇ, καὶ ἐβούλετο αὐτὸν ἀνελεῖν, ἐκήρυττε χρήματα κατ' αὐτοῦ τῷ βουλομένῳ. πολλάκις δὲ καὶ ἐπὶ ἰδιωτῶν τοῦτο ἐγίνετο. a.

§. 22. ὦ ἄνδρες πρέσβεις] τοῦτο ὥσπερ ἠθοποιία ἐστίν, ὡς ἀπὸ τῶν Εὐβοέων λεγόντων πρὸς τὸν Αἰσχίνην καὶ τοὺς ἄλλους πρέσβεις. καὶ πῶς εὑρέθησαν αὐτοὶ οἱ πρέσβεις ἐν τῇ Εὐβοίᾳ; λέγομεν, ὅτι δι' αὐτῆς παρῆλθον ἐπανερχόμενοι ἐπὶ τὰς Ἀθήνας· οὐ γὰρ ἠδύναντο διὰ τῆς Βοιωτίας ἐπανελθεῖν διὰ τὴν ἔχθραν, ἣν εἶχον πρὸς τοὺς Θηβαίους. ἦσαν δὲ οἱ Εὐβοεῖς Ἀθηναίων ἀποστάντες ἀπὸ τῶν ὑστέρων Θουκυδίδου μέχρι τοῦ νῦν χρόνου. a.

§. 23. ἀναστὰς δ' ἐγὼ etc.] παραγραφικὸν λέγει· καὶ διὰ τί οὐκ ἀντέλεγες; a.

ὑμεῖς δ' ἐγελᾶτε] καθάπτεται τῶν πολιτῶν, οἳ τοῖς φενακίζουσι τὴν πόλιν ἐπίστευον, τὸν δὲ φιλόπολιν καταγέλαστον ἐποίουν. a.

§. 24. καὶ νὴ τοὺς θεούς] θεραπεία τῆς ἐπιτιμήσεως. b. καθαψάμενος τῶν πολιτῶν πάλιν αὐτοὺς θεραπεύει. a.

§. 25. τοῦ χάριν δή] πληρώσας τὴν διήγησιν εἰσβάλλει ἐντεῦθεν ἐπὶ τὸ πρῶτον κεφάλαιον τοῦ στοχασμοῦ, ὅπερ ἐστὶ τὸ παραγραφικόν. λαμβάνει δὲ αὐτὸ ἐκ τοῦ χρόνου, οἷον· καὶ διὰ τί μὴ τότε ἀντέλεγες; a.

§. 27. προβεβλημένη] εὐλαβῶς ἔχουσα καὶ φυλαττομένη. b.

§. 29. βούλομαι δέ] πῶς στοχαστικῆς οὔσης τῆς ζητήσεως οὔτε ἐλέγχων ἀπαιτήσει κέχρηται οὔτε μὴν βουλήσει πρὸ τῆς δυνάμεως; λύσις, ὅτι γνώμης ἐστὶ στοχασμός. b. πληρώσας τὸ παραγραφικὸν εἰσβάλλει ἐντεῦθεν ἐπὶ τὸ β' κεφάλαιον τοῦ στοχασμοῦ, ὅπερ ἐστὶν ἡ τῶν ἐλέγχων ἀπαίτησις. a.

δεῖ δὲ μηδένα ὑμῶν] ἔστιν οὖν τῆς ἀντιθέσεως ἡ δύναμις ἐν τούτοις κατὰ ἀναίρεσιν εἰσηγμένη· ἐνταῦθα γὰρ τῆς βουλήσεως μόνης ἡ ἐξέτασις καὶ τῶν τεκμηρίων. b. διὰ τί ἐπ' ἐλάχιστον χρῆται νῦν τῇ βουλήσει; λέγομεν, ὅτι τεχνικῶς τοῦτο ποιεῖ. βούλεται γὰρ αὐτὴν τηρῆσαι ἐν τῷ β' στοχασμῷ. δεύτερος γὰρ ἐμπίπτει μεταξὺ τοῦ λόγου ἀπ' ἀντιθέσεως, οἷον· καὶ πόθεν δῆλον, ὅτι ταῦτα ἠβουλόμην ποιεῖν; — διὰ τοῦ εἰπεῖν ἠβουλήθη ἐσήμανε τὴν βούλησιν· τὴν γὰρ δύναμιν προειπὼν ἐπήγαγε τὴν βούλησιν. a.

§. 31. δὸς δέ μοι τὸ προβούλευμα] μετέβη πάλιν ἐπὶ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους· ἄρχεται δὲ ἐκ τοῦ μεταληπτικοῦ. b. εἰσβάλλει ἐπὶ τὴν τῶν ἐλέγχων ἀπαίτησιν, πληρώσας τὴν δύναμιν. προβούλευμα δὲ λέγει τὸ ἀκοῦσαι τὴν βουλὴν πρὸ τοῦ δήμου Δημοσθένους κατηγοροῦντος τοῦ Αἰσχίνου καὶ τῶν ἄλλων πρέσβεων παραπρεσβείαν καὶ καταψηφίσασθαι αὐτῶν ὡς ἀδικησάντων καὶ γράψαι καὶ ψήφισμα ἓν αὐτῶν, τῶν 154
βουλευτῶν, ὥστε μὴ κληθῆναι εἰς τὸ Πρυτανεῖον πρὸς δεῖπνον. αἰεὶ γὰρ οἱ πρέσβεις ἐπανερχόμενοι ἐκαλοῦντο εἰς δεῖπνον ἔθει τινὶ τιμῆς χάριν. τοῦτο οὖν παραφέρει εἰς ἔλεγχον αὐτῶν τῆς προδοσίας, ὅτι ὡς προδοτῶν καταγνοῦσα ἡ βουλὴ οὐκ ἐκάλεσεν αὐτοὺς εἰς δεῖπνον. a.

ἐπαγγελίαν] πρόσταξιν ἢ αἴτησιν. b.

§. 32. ἐνταῦθ' οὔτ' ἔπαινος] περὶ ὧν ἀπήγγειλεν· ὃ τῆς προκατασκευῆς ἐστι πρῶτον κεφάλαιον, τρίτον δὲ τῆς κατασκευῆς καὶ ἀποδείξεως. b.

---

3. λέγει m: λ ar. 7. ἀλλὰ] ἀλλὰ περὶ r. 8. ἐνταῦθα] ἔνθα r. 9. δεύτερον Sauppius: πρῶτον δεύτερον br. 11. ἀλλὰ om. r. 17. πολεμούντων] πολεμ r. tertia pars versus detrita est: supplevimus ex m. 18. οἱ Θηβαῖοι om. r. 21. οὐδὲν ἧττον] cf. §. 21. 24. λόγον Sauppius: λόγον μακρὸν ar. 25 sqq totum scholion pessimo habitum est, ut Reiskius fere nihil legere potuerit: supplevimus ex m. 42. οἳ τοῖς om r.

5. ἐπὶ] εἰς r. 9. cf. Harpocr. p. 156, 23. 22. δεύτερος] β r. 26. προειπὼν] εἰπὼν r. 31. τὴν δύναμιν] τὸ δυνάμεως r. 34. καταψηφίσασθαι αὐτῶν] κατη . . . . r.

εἰ μὲν τοίνυν ταὐτά] λύει οὖν τοῦτο διλημμάτῳ σχήματι, ὅτι· εἰ μὲν πάντες οἱ πρέσβεις ταὐτὰ ἐπρεσβεύομεν, ὅ ἐστιν, εἰ πάντες ἐγενόμεθα προδόται, δικαίως ἂν πάντες οὐκ ἐκλήθημεν· εἰ δὲ οἱ μὲν ἡμῶν τὰ δίκαια ἔπραττον, οἱ δὲ παρεπρέσβευσαν, διὰ τοὺς παραπρεσβεύσαντας συνέβη καὶ τοὺς ἄλλους μὴ κληθῆναι. a.

§. 34. *ἡ μὲν οὖν βουλή*] ἐντεῦθεν ἄρχεται τῶν σημείων, ὅπερ κεφάλαιον καλεῖται τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους. a.

§. 35. *τὸ προβούλευμα*] προβούλευμά ἐστι τὸ ὑπὸ τῆς βουλῆς ψηφισθέν, πρὶν εἰς τὸν δῆμον εἰσενεχθῆναι. b.

ἐπικεκηρυχέναι] ὁπότε βούλοιτο ἡ πόλις ἢ
68 ἄρχων ἀναιρεθῆναί τινα τῶν μὴ ὄντων ἐφ' ἑαυτοῖς, ἐκήρυττον δώσειν χρήματα, εἴ τις αὐτὸν ἀνέλοι, τόσα καὶ τόσα. b et Less.

§. 36. *καὶ μετὰ ταῦτα*] τὸ χρῶμα· ἑκάστου γὰρ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους ἀποδοτέον χρῶμα. b.

ἀπολειφθεὶς ἡμῶν] ἀντὶ τοῦ χωρισθεὶς ἡμῶν. a.

τοὺς Ἁλεῖς] πολίτας. b. ἤδη ἔγνωμεν ἐν τοῖς Φιλιππικοῖς, ὅτι αἱ δύο πόλεις αὗται τῆς Θετταλίας ἐστασίαζον πρὸς ἑαυτάς, ἡ μὲν Φάρσαλος φίλη οὖσα τοῦ Φιλίππου, ὁ δὲ Ἅλος τῶν Ἀθηναίων. a.

§. 39. *οὐδὲ γρῦ*] ἀντὶ τοῦ οὐδὲ ὅλως. εἴρηται δὲ τὸ γρῦ τὸ μικρὸν ἀπὸ μεταφορᾶς τοῦ ῥύπου τοῦ γενομένου ἐν τοῖς ὄνυξι τοῦ οὕτω καλουμένου. a.

Ἁλεῖς] Ἅλις πόλις καὶ Ἅλεις οἱ πολῖται. b.

§. 40. *ὁ τοίνυν μέγιστον*] ἀποκοπὴ τὸ σχῆμα ἀντὶ τοῦ ἀκούσατέ μου. a.

ἠνέγκαμεν ἡμεῖς] μετὰ Ἀντιπάτρου καὶ Παρμενίωνος. a.

§. 41. *ἐπαγγείλασθαι*] ἀντὶ τοῦ αἰτῆσαι. a.

§. 42. *καίτοι ταῦτα εἰ μὲν ἀκοῦσαι*] λύσις ἰσχυροτάτη ἀντιθέσεως. οἷον· ἀλλ' ἀκούσαντες οἱ Θηβαῖοι ἐφυλάξαντο καὶ δι' αὐτὸ οὐ διεφθάρησαν· εἶτα λύει αὐτὴν διλημμάτῳ σχήματι. ἔμελλε κατὰ τὸ ἀληθὲς ταῦτα ποιεῖν ὁ Φίλιππος, ἢ οὔ. εἰ μὲν γὰρ οὐκ ἔμελλε ποιῆσαι, ἀλλὰ σὺ ἠπάτας, εἰκότως ἐφλυάρεις ταῦτα ἀπατῶν ἡμᾶς, εἰδὼς ὅτι οὐ γενήσεται. εἰ δὲ διὰ τὸ προαισθέσθαι κεκώλυται, διὰ τί μὴ ἐσιώπας; εἰ μὲν γὰρ ἐγίνωσκες, ὅτι ἐὰν καὶ ἀκούσωσιν οἱ Θηβαῖοι οὐ δυνήσονται φυλάξασθαι, ὡς ὄντες ἀσθενεῖς, τί οὖν μὴ διεφθάρησαν; εἰ δὲ ἐγίνωσκες, ὅτι ἰσχυροί
155 εἰσι καὶ ἐὰν προακούσωσι φυλάττονται, τί ἐφλυάρεις; a.

§. 43. *ἐσπαθᾶτο*] ἀντὶ τοῦ συνετίθετο, μεταφορικὸν ἀπὸ τῆς τῶν ὑφαντῶν σπάθης. b. ὑφαίνετο, κατεσκευάζετο, ἢ ἐπεδαψιλεύετο, ἀπὸ τοῦ σπαθᾶν καὶ πολλὴν κρόκην ἐμβάλλειν τῇ ἐσθῆτι, ὡς ἔχομεν τὴν χρῆσιν παρὰ τῷ Ἀριστοφάνει ἐν ταῖς Νεφέλαις· ὦ γύναι, λίαν σπαθᾷς. a.

§. 44. *σιωπᾶν*] [τοῦτο γὰρ ἔδει τὸν Φίλιππον σιωπᾷν καὶ μὴ προσθεῖναι τῇ εἰρήνῃ τὸ *πλὴν Φωκέων καὶ Ἁλέων*,] εἴπερ ἔμελλεν αὐτοὺς σῶσαι καὶ μὴ τῷ ἐκσπόνδους ἀφεῖναι καταστρέψασθαι. a.

§. 45. *ταχέως δ' ὑμῶν*] ἐπειδὴ ὥσπερ ἐδόκει ἀπεύχεσθαι τὰ ἀγαθὰ τῇ πόλει τῷ μὴ προσδοκᾶν. a.

μὴ νῦν] οὐ νῦν ὀφείλεις ἀποστῆναι τοῦ δοκεῖν κεκοινωνηκέναι ἡμῖν τῆς πρεσβείας, ἀλλὰ τότε ἀφίστασο καὶ μὴ προσποιήσῃ κοινωνεῖν ἡμῖν, ὅταν ταῦτα γένηται καὶ ἡμεῖς μέλλωμεν στεφανοῦσθαι διὰ ταῦτα. a.

§. 47. *μετὰ ταῦτα*] μετὰ τὸ σκῶψαι. a.

οὑτωσί] ἁπλῶς καὶ μὴ μετ' ἐπιστασίας. Less.

τὼ χεῖρε] ἐπὶ ἑνὸς ἑκάστου τῶν Φωκέων. a.

§. 48. *ὅσων* etc.] ὅσων ἔγραψε, φησίν, ὁ Φιλοκράτης περὶ τοῦ Φιλίππου. a.

ἐπηγγέλλετο] εἴποι ἄν τις, ὅτι ἐναντιοῦται ἑαυτῷ λέγων, ἀλλ' *οὐδὲν ἐπηγγέλλετο*. λέγομεν ὅτι αὕτη λύσις ἐστὶ τοῦ ἐναντίου, ἵνα ὅταν λέγῃ τὸ *οὐδὲν ὑπισχνεῖτο* νοήσωμεν ὡρισμένως, ὅταν δὲ λέγῃ ὅτι *ὑπισχνεῖτο*, ἵνα λάβωμεν ὅτι ἀορίστως. a.

§. 50. *οὐκοῦν* etc.] διὰ τὰς ὑποσχέσεις τοῦ Αἰσχίνου. a.

εὐφημότατα ἀνθρώπων] τοῦτο, φησί, τεχνικῶς ἐξεῖπεν. παρέδωκε γὰρ τοῖς ἐχθροῖς αὐτῶν, εὐφήμως τῷ κοινῷ ὀνόματι χρησάμενος τῶν Ἀμφικτυόνων. a.

Πρόξενον] ὁ Πρόξενος στρατηγὸς ἦν Ἀθηναίων· διέτριβε δὲ περὶ Πύλας, ἐπιτηρῶν τὴν Φιλίππου πάροδον. a.

§. 51. *καίτοι καὶ ἐπιστολάς*] ἕτερον μεταστατικόν. b.

πώμαλα] ὑφ' ἓν ἀναγνωστέον. λέγουσι δὲ ὅτι Συρακοσίων εἶναι τὴν φωνὴν ἀντὶ τοῦ οὐδαμῶς, ἔμαθον δὲ αὐτὴν οἱ Ἀθηναῖοι ἀπὸ τῶν φυγάδων. a.

ἀλλ' ἵνα] ἄλλη λύσις μεταστατική. b.

§. 52. *καλοῦσιν*] τὸ τάχος δηλοῖ διὰ τῆς *καλοῦσιν*. οἷον ἤπειγεν ἡμᾶς ἐξιέναι ταῖς ἐπιστολαῖς ὁ Φίλιππος, τοῖς ἔργοις ἐναντιούμενος. Less.

§. 54. *διόπερ ταῦτα πάντα*] ἐκ τῆς ἐργασίας τῶν λύσεων ἀντιπίπτον πάλιν ἀνέκυψεν· οὐκοῦν ὁ δῆμος αἴτιος, τὸ Φιλοκράτους κυρώσας ψήφισμα. τού-

---

4. οἱ μὲν ἡμῶν τὰ δίκαια ἔπραττον οἱ δὲ om. r. 9. τὰ om. r. 14. ἢ πόλις] ἡ πόλις r. 21. ἐν τοῖς Φιλ. an 11 §. 1? 22. τῆς om. r. 31. ἠνέγκαμεν — Παρμενίωνος om. r. 35. totus fere versus praesectus est, supplevimus ex m. 37. σχήματι διλημμάτῳ r.

4. τῷ om. r. — Aristoph. Nub. 55 6. totus versus praecisus est, supplevimus ex m. 8. ἔμελλεν] ἐμέλλομεν r. 15. μέλλωμεν m: μέλλομεν ar. 29. εὐφήμως] εὐφημίαν r.

του ἡ λύσις· τοῦτο τοίνυν οὐδέποτ' ἂν ὑμεῖς ὑπεμεί-
156 νατε ὕστερον προσγράψαι. b. ιστέον ὅτι πολλὰ χρώματα λέγει, ἐπειδὴ πολλὰ καὶ τὰ σημεῖα· ἀλλὰ ταῦτα μὲν μερικά, ἐκεῖνο δὲ κυριώτερον καὶ πρὸς τὸ ἔγκλημα τὸ κατὰ Φωκέας, τὸ τῆς ἀπάτης. a.

§. 55. παρὰ τῆς τύχης εὐεργεσιῶν] εἰ γὰρ βουληθείη, φησιν, ἡ τύχη εὐεργετῆσαι ἡμᾶς διὰ τοῦ ἀνελεῖν τὸν Φίλιππον, ἄχρηστος αὐτῆς γίνεται ἡ δωρεά, ὡς εἰ ἔλεγεν· προδόται καὶ τῆς τύχης γεγενήμεθα. a.

§. 57. ἵνα δ' εἰδῆτε σαφῶς] εἶδος ἐλέγχων καὶ ἀπόδειξις τοῦ δια τὸν Αἰσχίνην Φωκέας ἀπολωλέναι. b.

λογιοῦμαι] ἀντὶ τοῦ ἀπαριθμοῦμαι. a.

ἡ μὲν τοίνυν etc., ἀριθμοῦσιν οι Ἀθηναῖοι ἕως τῆς ιβ' ὡς ἡμεῖς, ὡς ἔχομεν τὴν χρῆσιν ἐν τῷ κατὰ Τιμοκράτους, εν οἷς λεγει· ια' καὶ ιβ' τὸν νόμον εισήνεγκεν ὄντων Κρονίων. εἶτα λοιπὸν οὐκέτι ομοιως ἡμῖν, ἀλλα κατὰ προσθήκην ἀριθμοῦσιν, οἷον οὕτως· τρίτη επὶ δεκα, τετάρτη επὶ ι', επὶ τὰ πλείονα προστιθεντες τὰ ἥττονα, ἕως ἁπλῶς τῆς εικάδος. εἶτα λοιπον ἀπὸ τῆς α' καὶ εικάδος εξ ὑποστροφῆς, λεγοντες τὴν α' καὶ εικάδα ὑστεραν δεκάτην, καὶ τὴν β' εἰκάδα ενατην, καὶ τὴν γ' εικάδα ὀγδοην, καὶ ὁμοίως οὕτως ἕως τριακάδος, ἐπειδήπερ, ὡς ἔγνωμεν, κατὰ σελήνην ἀριθμοῦσιν οι Ἀθηναῖοι καὶ ἀπὸ τῆς α' καὶ εικάδος τα πλεῖστα αὐτῆς φῶτα μειούμενα φαινεται. τὸ δὲ γ' ἐπὶ δεκα καὶ τὰς ἄλλας ἕως εικαδος Ἀττικῇ συνηθείᾳ λέγουσιν. ἃς δὲ εἴπαμεν λεγεσθαι ἐξ ὑποστροφῆς, ταύτας καὶ φθινούσας καλοῦσι μετα τοῦ προσθεῖναι την ἡμεραν ἑκάστην ἀπο α' ἀρξαμενης, οἷον α' φθίνοντος καὶ β' καὶ ἀκολούθως αεὶ χρήσασθαι τῇ προσθήκῃ, επειδήπερ, ὡς εἴπαμεν, φθίνειν ὥσπερ και φθείρεσθαι δοκεῖ τα φῶτα. τὴν δὲ τριακάδα καλοῦσιν ἕνην τε καὶ νέαν. a.

Ἐλαφηβολιῶνος] Δεκέμβριος. b.

§. 60. αὐτὸ συμβαίνει] ἀντὶ τοῦ ἀκριβῶς. a.

§. 61. ἄρδην] ἀντὶ τοῦ παντελῶς, παρὰ τὸ αἴρειν τε καὶ λαμβάνειν ἐν εἱρκτῇ. a.

§. 62. ἀκούετε] ἕτερον μεταστατικὸν εν επιλόγῳ· Θηβαίοις ἑαυτοὺς οἱ Φωκεῖς ενέδοσαν, Θετταλοῖς ἐπίστευσαν, πρὸς Λοκροὺς εσπείσαντο. ἀνῄρηκε τοίνυν ἅπαντα τὰ μεταστατικά, ειπὼν πρὸς Φίλιππον αὐτὸν γεγενῆσθαι τὰς συνθήκας. ἵνα πανταχόθεν ἀφέλῃ ταύτην τὴν συγγνώμην τοῦ Αἰσχίνου, καθαρῶς επ' αὐτὸν ἐλθεῖν. b.

§. 64. τούτων, ὦ ἄνδρες Ἀθηναῖοι, εν τούτοις επιλογίζεται ἅμα και ἀγωνιζεται· επίλογος γὰρ αὔξει τὰς συμφοράς, ἐπαγωνίζεται δὲ πάντα ἀφεὶς λέγειν τὰ ἐγκλήματα, αὔξει δὲ τὸ πάθος τῇ δεινότητι· ἡ δείνωσις δὲ ἐκ τῆς συγκρίσεως. αἱ γὰρ συγκρίσεις εἰσὶ τῶν αὐξήσεων·
αὔξομεν δὲ οὐ τὰ ἀγαθὰ μόνον, ἀλλὰ καὶ τὰ ἐναντία. 69
εἶθ' ἵνα ὄγκον ἡ δείνωσις λάβῃ, ἐμέρισε τὸν λόγον εἰς ἐνεστῶτα καὶ παρῳχημένον, καὶ τὰ πράγματα εἰς πηλικότητα καὶ ποιότητα, καὶ δεινότερα εἰπὼν καὶ μείζονα. ἵνα δὲ μὴ ψιλὸν ποιήσηται τὸν λόγον, ὥσπερ εν τραγῳδίᾳ δεινολογούμενος παραμίγνυσι καὶ τὸν ἐκ τῶν πραγμάτων παρεπόμενον φόβον, ἵνα καὶ ὁ τῆς πόλεως κίνδυνος προστεθεὶς χαλεπώτερον τὸ πάθος ἐργάσηται. b et Less.

προεστάναι] ἔμπροσθεν στῆναι· ὡς τὸ πρός τε θεῶν, ἔμπροσθεν, ἐνώπιον τῶν θεῶν, τῶν μακαρίων, πρός τε θνητῶν ἀνθρώπων. b.

ὃν μὲν τοίνυν τρόπον] προοίμιον. b.

§. 65. θεαμα δεινὸν] ενδιάσκευος διήγησις. φησὶ γὰρ Ἑρμογένης· ὅταν σύντομος καὶ φαιδροτερα η διήγησις ὑπάρχῃ, τῷ ενδιασκεύῳ χρησόμεθα τρόπῳ, μὴ φειδόμενοι μηδὲ τῶν ἀπὸ τοῦ τρόπου κατασκευῶν. εἶτα· αἰτία μὲν γὰρ διήγησιν, τρόπος δὲ διασκευὴν κατασκευάζει. b. διατύπωσις τὸ σχῆμα, ὅταν ὥσπερ διατυποῖ καὶ εις ὄψιν ἄγει τὰ πράγματα διὰ τῶν λόγων. διαφερει δὲ η διατύπωσις της εκφράσεως τῷ τὴν μὲν
διατύπωσιν διὰ πάθος τι λεγεσθαι, τὴν δὲ ἔκφρασιν 157
ὥσπερ διήγημά τι εἶναι. a.

ἀλλὰ μὴν ὅτι τὴν ἐναντίαν] μετὰ τὸν Πελοποννησιακὸν πόλεμον καταχρατήσαντες ἰσχυρῶς οἱ Λακεδαιμονιοι τῶν Ἀθηναίων προεθεντο ψῆφον περὶ τῶν Ἀθηναίων τοῖς ἰδίοις συμμάχοις, ὥστε ἀποκρίνασθαι ἕκαστον, τί βούλεται παθεῖν τοὺς Ἀθηναίους. εἶτα Εὔανθός τις Θηβαῖος ἐψηφίσατο, τὴν μὲν πόλιν αὐτῶν κατασκαφῆναι, τὴν δὲ χώραν μηλόβοτον γενεσθαι, ἵνα εκεῖ νεμωνται τὰ πρόβατα τῶν Βοιωτῶν. οἱ δὲ Φωκεῖς ὄντες καὶ αὐτοὶ τότε ὑπὸ τοὺς Λακεδαιμονίους ἀντέλεξαν, συμβουλεύοντες μὴ ἑτερόφθαλμον τὴν Ἑλλάδα ποιῆσαι, αἰνιττόμενοι δύο ὀφθαλμοὺς εἶναι τῆς Ἑλλάδος, τήν τε Ἀθηναίων πόλιν καὶ τὴν Λακεδαιμονίων. καὶ οὕτω πεισθέντες οἱ Λακεδαιμόνιοι οὐ κατέσκαψαν λοιπὸν τὴν πόλιν. a.

§. 67. πολλὰ τοίνυν ἄν τις] ἐκ τοῦ ἐπιλόγου, ἐκ τῆς δεινώσεως, ἐκ τῆς διατυπώσεως, ἐκ τῆς ποιότητος τῶν παθόντων, μεταβέβηκεν ενταῦθα ἐπὶ τὴν ποιοτητα τοῦ πολεμου, πληρῶν καὶ διὰ τούτων τὸ θεώρημα· φοβῆσαι γὰρ αὐτῷ πρόκειται· αὔξει τοιγαρ-

---

7. βουληθείη] ἠβουλήθη r. 15 Demosth. 24 §. 26. 16. ὄντων Demosth.: τὸν τῶν ar. 18. ἐπὶ ι' ἐπὶ m: επὶ ar. 19. προστιθέντες m: προτιθεντες ar. 30. καὶ ακολούθως] ἀκολούθως r. 36. τε] δὲ r. 39. ἑαυτους Sauppius: ἑαυτοὺς ἐπίστευσαν br. 41. αὐτὸν] αὐτοῖς r.

13. Homer. Il. 1, 339. 18. Hermog. 3 p. 94, 21 sqq. W. 25. τῷ mr: τὸ a. 35. νέμωνται mr: νέμονται a. 46. φοβῆσαι] φοβεῖσθαι r.

σὺν τὴν δύναμιν τοῦ Μακεδόνος, β διὰ τούτων κατασκευάζων, ὅτι τε χρήσιμοι ἦσαν Φωκεῖς καὶ δι' αὐτοὺς ἐσώζετο καὶ τὸ κοινὸν τῶν Ἑλλήνων καὶ τὸ ἀκίνδυνον εἶχεν ἡ πόλις, καὶ ὅτι ηὔξηται καὶ διπλάσιος γέγονε τῇ παρασκευῇ καὶ τῇ δυνάμει Φίλιππος, καὶ τρίτον ἐπὶ τούτοις προστίθησι καταδρομὴν τῶν δωροδόκων, ὡς ἐν ἐπιλόγῳ τῷ κοινῷ τύπῳ χρησάμενος τῶν λόγων. ἐπὶ τούτοις ἀναγινώσκει τὴν ἀράν, φοβῶν διὰ τούτων τοὺς ἀκούοντας, καὶ συμβουλεύων φυλάττεσθαι τὴν ἐπιορκίαν, καὶ ἅμα καθαιρῶν καὶ τὴν Αἰσχίνου ποιότητα. b et Less.

§. 70. λέγε τὴν ἀρὰν] βούλεται λεληθότως δόγματα ἀνῦσαι ἐνταῦθα Πλατωνικά, ὅτι περὶ ὧν δυνάμεθα πρᾶξαι καὶ ἐν ἡμῖν, τοῦτο οὐ δεῖ ἀφέντας ἡμᾶς τὸ πράττειν σχολάζειν ταῖς εὐχαῖς, ἐν οἷς δ' οὐ δυνάμεθα, δεῖ εὔχεσθαι, οἷον εὐτυχεῖν, ὑγιαίνειν. a.

§. 71. ὑπερφυὲς] σημείωσαι· ἐπὶ κακῷ. b.

§. 72. εἰς τοίνυν τοῦτ' ἀναιδείας] ἀρχὴ ἑτέρας ἀποδείξεως, προτεινομένη παρὰ τοῦ ἀντιδίκου. b. ἰστέον, ὅτι πληρώσας τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους ἐπὶ τὰς ἀντιθέσεις αὐτοῦ τοῦ Αἰσχίνου μετέρχεται. πρῶτον γὰρ ἔδειξε τὰ σημεῖα τὰ αὐτοῦ οἷς κατηγορεῖ· εἶτα καὶ τὰ ἀντιλεγόμενα ὑπὸ τοῦ ἀντιδίκου θέλει λῦσαι. οὐ γὰρ δεῖ μόνον τὰ ἴδια συνιστάναι, ἀλλὰ καὶ ἐκβάλλειν τὰ παρὰ τῶν ἀντιδίκων. χωρεῖ οὖν ἐπὶ τὰς ἀντιθέσεις αὐτοῦ τοῦ Αἰσχίνου, ὁμοῦ γ' οὔσας, οἷον περὶ Λακεδαιμονίων, καὶ Φωκέων, καὶ Ἡγησίππου, καὶ τὰς μὲν Λακεδαιμονίων καὶ Ἡγησίππου μεταστατικὰς οὔσας, τὴν δὲ Φωκέων ἀντεγκληματικήν. a.

§. 74. ἐσώθησαν] ἴσως ἐσώθησαν κατὰ τὸ εἰωθὸς παρὰ τοῖς Λατίνοις. ὡς Λίβιος milites vicimus. pro .... ut certum quoddam institutum esse videatur. Less.

Βοιωτίαν οἰκίζειν] οὐ λέγει τὴν πᾶσαν, ἀλλ' ἃς κατέσκαψαν οἱ Θηβαῖοι, μὴ βουλομένας αὐτοῖς ὑπακούειν, φημὶ δὴ Θεσπιὰς καὶ Πλαταιάς. κατέσκαψαν δὲ αὐτὰς ἰσχύσαντες μετὰ τὰ ἐν Λεύκτροις. a.

70 §. 75. Φωκέων, ὡς πονηροὶ] σημείωσαι· ἐναλλαγὴ πτώσεως. b.

§. 76. ὑμεῖς ἐπιστεύσατε etc.] τὸ ἀσύνδετον. ὅπερ τῆς γοργότητος δοκεῖ εἶναι, κατὰ ταὐτὰ τῷ ferte citi flammas: date tela: scandite muros. Less.

ὑποποιήσωνται] ἀντὶ τοῦ φίλους ποιήσωνται τοὺς Λακεδαιμονίους δι' ὑμῶν. a.

§. 78. ἂν τοίνυν ἀντὶ Φωκέων] τὸ ἀντιστατικόν ἐστι κεφάλαιον τῆς ἀντιστάσεως. ἔστι δὲ καὶ ἐνθύμημα ἀντιστατικόν. διαφέρει δέ, ὅτι ἐν μὲν τῇ ἀντιστάσει ἐξ αὐτοῦ τοῦ ἀδικήματός ἐστι τὸ εὐεργέτημα, ἐν δὲ τῷ ἐνθυμήματι ἄλλο τὸ ἀδίκημα καὶ ἕτερον τὸ εὐεργέτημα. a. 158

§. 79. εἶτα καὶ νῦν ἐν μείζονι] τοῦτο εἶπε διὰ τὴν ἀντίθεσιν τὴν λέγουσαν, ὅτι ἔχετε τὴν Χερρόνησον ἀντὶ Φωκέων· καὶ πρῶτον μὲν ἔλυσε λέγων, ὅτι οὐκ ἀντὶ Φωκέων ἔχομεν Χερρόνησον· εἴχομεν γὰρ αὐτὴν καὶ ἤδη σωζομένων. εἶτα καὶ ὅτι νῦν οὐδὲ τὴν Χερρόνησον ἔχομεν ἀσφαλῶς· κινδυνεύσει γὰρ καὶ αὐτὴ ἀπολέσθαι, ἀπολομένων Φωκέων. a.

τότε] ὅτε, φησίν, ἐσώζοντο οἱ Φωκεῖς. a.

εἰς αὐτὴν] τὴν Χερρόνησον. a.

τούτων] τῶν Φωκικῶν πόλεων. a.

τίς οὖν ἡ ταύτης περιουσία] τί οὖν χρησιμεύει ὑμῖν τὸ σώζεσθαι τὴν Χερρόνησον, ὁπότε ἀφῃρέθησαν οἱ φύλοι ἐξ αὐτῆς τῷ Φιλίππῳ βουλομένῳ αὐτὴν ἀδικῆσαι; a.

§. 80. ἔτι τοίνυν καὶ τοιοῦτόν τι] ἀντίθεσις μεταληπτικὴ ἀπὸ προσώπου. διαφέρει δὲ παραγραφῆς ἐν τῷ δοκεῖν ἑκατέρας ἐκβάλλειν τὰς κρίσεις, καθὸ ἡ μὲν παραγραφὴ παντελῶς ἐκβάλλει τὴν κρίσιν, ὅτι οὐ δεῖ περὶ τῶν αὐτῶν ἀγωνίζεσθαι· ἡ δὲ μεταληπτικὴ οὐ πάντως ἐκβάλλει τὴν κρίσιν, ἀλλὰ μεταλαμβάνει, ὅτι ἄλλως ἔδει αὐτὴν γενέσθαι. ὥσπερ καὶ ἐνταῦθα ἐκ προσώπου Δημοσθένους μεταλαμβάνει καὶ λέγει ὅτι· Οὐ σύ μου ὀφείλεις κατηγορεῖν, ἀλλ' οἱ Φωκεῖς οἱ πεπονθότες. a.

παρῃρημένοι] ἀντὶ τοῦ ἀφῃρημένοι. a.

§. 81. Ἀθήνησιν] ἀντίπτωσίς ἐστιν ἀντὶ τοῦ περὶ τῶν Ἀθήνησιν. a.

§. 82. μὴ δὴ ταῦτα] ἡ σύνταξις πρὸς τὰ ἄνω ὅτι· διὰ τί Δημοσθένης μου κατηγορεῖ, Φωκέων δὲ οὐδὲ εἷς; a.

εἰ δὲ μὴ etc.] ἐν τοῖς ἄνω ἔλεγεν, ὅτι πάρεισιν ἐν ταῖς Ἀθήναις, ἀλλ' οὐ διὰ τοῦτο ὥστε συνηγορῆσαι μὲν τῷ Δημοσθένει καὶ καταμαρτυρῆσαι τοῦ Αἰσχίνου. a.

§. 83. εἰς Πελοπόνν. etc.] ἵνα σημαίνῃ τὸν κατὰ γῆν καὶ κατὰ θάλατταν πόλεμον. a.

§. 84. ἰδίας] ἀντὶ τοῦ ἰδιωτικάς, ὅτι οὐ δημόσια μόνον χρήματα ἀνήλωσαν τότε, ἀλλὰ καὶ εἰσφορὰς ἐποιήσαντο ἐκ τῶν ἰδίων οἰκιῶν. a.

§. 86. τὰ Ἡράκλεια] πόλις ἐν τῷ Πόντῳ, ἢ τὰ ἐν Μαραθῶνι, ἢ ἐν τῷ Κυνοσάργει. b.

2. τε] καὶ r. 4. ηὔξηται καὶ διπλάσιος] ἦν ... πλασίᾳ r. 7. τύπῳ r. 8. τῶν λόγων] εἶτα r. 19. παρὰ mr: περὶ b. 41. ὅπερ] ὅπερ εἶναι Lessing. Virgil. Æ. 9, 37. 42. tela] vela Lessing. 43. ἀντὶ — ὑμῶν] ἀντὶ τοῦ τοὺς Λακεδαιμονίους φίλους ποιήσωνται r.

8. οὐκ add. Sauppius. 11. κινδυνεύει r. 13. ὅτε, φησίν ... ἔφη b. 18. βουλομένῳ m: τῷ βουλομένῳ ar. 27. Δημοσθένους] δημοσθε r. 29. παθόντες r. 33. ἡ δὲ σύνταξις r. 35. οὐδεὶς r. 37. ἀλλ' οὐ διὰ τοῦτο ὥστε ἐπὶ τῷ r. 38. Δημοσθένει] δημοσθε r.

159 *ΨΗΦΙΣΜΑ] Διοφάντου· οἷον τὸ θῦσαι τοῖς θεοῖς ὑπὲρ τοῦ διεῖρξαι Φίλιππον. a.*

ΨΗΦΙΣΜΑ] Καλλισθένους· οἷον τὸ σκευαγωγεῖν . . . . ἐπὶ Φωκέας. a.

§. 87. *θαυμάσια] ἐπὶ καλοῦ τέθεικε τὴν λέξιν. a.*

§. 88. *τί τις εἶναι τοῦτο φαίη] φανερῶς ἐνταῦθα προκαλεῖται τὸ κεφάλαιον τὸ λεγόμενον χρῶμα, εἰ καὶ διέσπαρται ἐν τῷ λόγῳ. a.*

§. 89. *κτήμαθ' ὑμῖν περίεστι] ἐκ παραθέσεως λύει τὴν ἀντίθεσιν, πλείονα τὸν Φίλιππον λέγων κτησάμενον ἀπὸ τῆς εἰρήνης. a.*

§. 90. *ἡ μὲν ἡμετέρα] λέγει δὲ τὴν εἰρήνην. a.*

§. 92. *ἦν ὑμῖν πόλεμος] κύκλος. b. διηγηματικῶς ἐνταῦθα. a.*

§. 94. *τοῖς τὰ δίκαια λέγουσιν] εἰς ἑαυτὸν αἰνίττεται. a.*

τῷ — γράφοντι] τῷ Φιλοκράτει. a.

τοὺς δ' ἐπὶ τοῦ πολέμου] τρίτον κεφάλαιον τῆς προκατασκευῆς. b.

ἐκδεξάμενοι] οἱονεὶ διαδεξάμενοι τοὺς περὶ τὸν Ἀριστόδημον εἰς τὸ φενακίσαι ὑμᾶς. a.

§. 96. *ἣν δέδοικα] κύκλος. b.*

πολλῷ] λείπει κακῷ. a.

§. 97. *οὐ γὰρ Αἰσχίνης] κύκλος. b.*

ἀνήκεστον] λύσις τοῦ χρώματος τοῦ πρὸς τὰς ἐπαγγελίας. a.

§. 98. *ἐγὼ δ'* etc.] *ἰστέον ὅτι ἐκλείπει ἡ πιθανὴ ἀπολογία. a.*

§. 101. *ἂν μέντοι διὰ πονηρίαν] ἕως ὧδε ἐπλήρωσε τὸν πρῶτον στοχασμόν, καὶ ἄρχεται ἐντεῦθεν τοῦ β'· δείξας γὰρ ἐν τῷ α', ὅτι ἀπώλεσε Φωκέας, καὶ ἐλθὼν ἕως τοῦ χρώματος, ἐμπεσόντος ἄλλου ζητήματος, ὅτι διὰ δῶρα ταῦτα ἐποίησε[, τοῦτο μεταχειρίζεται]. a.*

§. 102. *δυοῖν θάτερον] ἡ σύνταξις. ἔστι δὲ τὸ νόημα παραγραφικὸν τοῦ β' στοχασμοῦ. ἐκ γὰρ τῶν παραλελειμμένων αὐτῷ παραγράφεται, ἐξ ὧν ἔδει αὐτὸν ποιῆσαι καὶ οὐκ ἐποίησεν. a.*

§. 103. *εἰσαγγελίᾳ, εἰσαγγελία ἐστὶ τὸ παρέχειν εὐθύνας ὡς ὑπὲρ καταλύσεως τοῦ δήμου. a.*

§. 104. *ἰδίᾳ] ἀσφαλῶς εἶπεν ἰδίᾳ. ἠδίκηνται γὰρ κοινῇ πάντες οἱ Ἀθηναῖοι νῦν παρ' αὐτοῦ, οὐ μέντοι ἰδίᾳ, ἀλλὰ γενικῶς. a.*

§. 110. *τρὶς] ἀντὶ τοῦ πολλάκις. ἔστι γαρ ἀρχαϊσμός, ὡς παρὰ τῷ ποιητῇ· τρὶς μάκαρες Δαναοί. a.*

§. 112. *καὶ τοὺς μὲν Φωκέας οὐκ ἀπολεῖν] πρὸς τῷ μὴ σῶσαι Φωκέας καὶ Θεσπιάς, ὡς ὑπέσχετο, καὶ ἄλλα ἠδίκησεν. προσεξηνδραπόδισε γὰρ τὸν Ὀρχομενὸν καὶ τὴν Κορώνειαν, ὅπερ πάλιν συνέφερε Θηβαίοις, ἐπειδὴ αὗται ἦσαν αὐτῶν ἀφεστηκυῖαι. a.*

§. 113. *αὐτός, οἶμαι] ἐν ἤθει τοῦτο ἀναγνωστέον. a.* 160

§. 114. *ἔτι τοίνυν] Μενάνδρου· ἐντεῦθεν ἄρχεται τῆς τῶν μαρτύρων συστάσεως τῆς περὶ τῶν δώρων. Ἀσκληπιοῦ· ἐπὶ τὴν τῶν ἐλέγχων ἀπαίτησιν χωρεῖ τοῦ δευτέρου ζητήματος. b. εἰσβάλλει εἰς τὴν τῶν ἐλέγχων ἀπαίτησιν. βούλεται δὲ εἰπεῖν, ὅτι, εἰ μὴ ἦν τὰ πράγματα καταμαρτυροῦντα αὐτοῦ, βασάνους καὶ τὰ τοιαῦτα [ὑπόλοιπον ἦν σκοπεῖν]. a.*

τὸ χρυσίον] ἅπερ εἰλήφει ἀπὸ Μακεδονίας ἀπὸ τοῦ Φιλίππου, ἀντικατήλλασσεν εἰς Ἀττικὰ νομισμάτια, ἵνα ἔχοι ταῦτα ἀναλίσκειν εἰς αὐτὰς τὰς Ἀθήνας. a.

§. 118. *ὁ μὲν] ἀντὶ τοῦ· ἐγὼ Δημοσθένης. a.*

ὁ δὲ] εἷς τῶν πρέσβεων, τοὔνομα Ἰατροκλῆς, ὃν παρῆν. a.

τῷ δὲ] τῷ Φρύνωνι λέγει. οὗτος γὰρ κηδεστὴν ἐποιήσατο ἑαυτῷ τὸν Φίλιππον, ἐκδοὺς ἑαυτοῦ υἱὸν τῷ Φιλίππῳ. a.

οὐδ' ἀφιέντων ἀφίσταται] ὅτι κἂν ὑμεῖς αὐτὸν ἐάσητε τῆς τιμωρίας, αὐτὸς οὐκ ἀφίσταται τῆς Φιλίππου φιλίας. a.

§. 119. *καίτοι, τίς] ἡ τῶν ἐλέγχων ἀπαίτησις ἐνταῦθα πάλιν. a.*

βοᾷ] μικροῦ καὶ φωνὴν περιῆψε τοῖς πράγμασιν, ἔμψυχον ποιῶν τὸν λόγον. b.

§. 120. *πρὸς δὲ τοῖς πράγμασιν] σημείωσαι· κλητικὴ περίοδος, μέρος πνεύματος, ὡς ἀποστροφὴν ἐργαζόμενον καὶ καταφοράν. b.*

ἀπόκριναι] δύο βήματα ἦν, τοῦ κατηγόρου καὶ τοῦ ἀπολογουμένου, καὶ τοῦ ἑνὸς λέγοντος ἐκαθέζετο ὁ ἕτερος, ἕως οὗ εἴπῃ. τὸ δὲ ἀπόκριναι εἰπὼν οὐκ ἀπέδωκεν, ἀλλ' εὐθὺς πρὸς ἄλλο ἐτράπη. λέγομεν, ὅτι πρὸς τὸ ἀνώτερον κῶλον ἀπέδωκεν οἷον· τίς ἡ πρόνοια αὕτη ἡ ὑπὲρ τοῦ Φιλοκράτους; a.

ὃς γὰρ ἀγῶνας] διὰ Τίμαρχον λέγει, διότι κατηγόρησεν αὐτοῦ, γέροντος ἀνδρός, ὡς ἡταιρηκότος. a.

αἱρεῖς] ἀντὶ τοῦ νικᾷς. ὀξυτόνως ἀναγνωστέον. a.

§. 121. *πολλῶν τοίνυν καὶ δεινῶν ὄντων] ἄλλο ἀπ' ἀρχῆς ἄχρι τέλους ἐκ τῶν πεπραγμένων, καὶ ἄλλη ἀπόδειξις τῆς δωροδοκίας. b.*

δοκεῖν] ἀντὶ τοῦ φαίνεσθαι. a.

---

2. *διεῖρξαι* Sauppius: *διώξαι* ar. cf. m. 4. plus dimidia pars versus praesecta est. *ἐπὶ] εἰς τοὺς* r. 15–17. *εἰς ἑαυτὸν αἰνίττεται τῷ φιλοκράτει* r. 22. *ἣν δέδοικα] κύκλος. b.* om. r. 25. *πρὸς] περὶ* r. 33. uncinis inclusa ex m addidimus. 44. *ἀρτισμός* r. 45. Homer. Od. 5, 306.

2. *τῷ* r: *τὸ* a. 13. uncinis inclusa ex m addidimus. 21. *ἐποιήσατο κηδεστὴν* r. 37. 38. *οἷον — Φιλοκράτους*, haec Reiskius legere non potuerat. 40. *αὐτοῦ γεροντος ἀνδρὸς ἀνδρὸς γεροντος* r. 41. *παροξυτόνως* a m. rc., quae etiam in priori syllaba v. *αιρεις* accentum addidit.

αὖθις] ὅτι τὸ *αὖθις* οὐκ ἐπὶ δύο λέγεται μόνον, ἀλλὰ καὶ πολλάκις· σημαίνει γὰρ τὸ πάλιν. a.

καλαῖς καὶ μεγάλαις] κατ' εἰρωνείαν. a.

§. 122. *ἐξωμοσάμην*] ἀπηγόρευσα· καὶ *ἐξομόσασθαι* τὸ μεθ' ὅρκου ἀπαρνήσασθαι πρᾶξίν τινα διὰ νόσον ἢ πρόφασιν ἑτέραν τινά. καὶ *ἐξωμοσία* ἔνορκος παραίτησις δι' εὔλογον αἰτίαν, ὅταν τις φάσκῃ ἢ ὑπὲρ ἑαυτοῦ ἢ ὑπὲρ ἑτέρου ἐγκαλούμενος, μὴ δεῖν εἰσάγεσθαι δίκην, εἶτα καὶ τὴν αἰτίαν, δι' ἣν οὐκ εἰσαγώγιμος ἡ δίκη. εἰ δοκεῖ κατὰ λόγον ἀξιοῦν, ἐδίδοτο αὐτῷ ἐξωμοσίᾳ χρῆσθαι, καὶ οὕτως διεγράφετο ἡ δίκη. ὡσαύτως καὶ ὁ *ἔξωμος*. b. τί διαφέρει ἐξωμοσία καὶ ὑπωμοσία; ἐξωμοσία μὲν γάρ ἐστιν ἡ παντελὴς ἄρνησις μεθ' ὅρκου, ὑπωμοσία δὲ ἡ ἔνορκος ἀναβολή, ὅταν ὀμνύῃ τις, ὅτι νῦν μὲν οὐ δύναμαι
161 τόδε ποιῆσαι, ὕστερον δὲ αὐτὸ ποιήσω· διωμοσία δὲ ἡ γιγνομένη ἐν τοῖς δικαστηρίοις, ὅταν ὄμνυσι καὶ ὁ κατήγορος καὶ ὁ φεύγων· αὕτη δὲ καὶ ἀντωμοσία λέγεται. a.

εὐθέως] Ἀσκληπιοῦ· τὸ *εὐθέως* σοφώτατα πρόσκειται· ἐπειδὴ γὰρ Αἰσχίνης ἐξωμόσατο καὶ ἰσάζει, δείκνυσι τὸ μὲν αὐτοῖ εὐλόγως γενόμενον, τὸν δὲ Αἰσχίνην μετὰ τὸ στέρξαι κακούργως ἀρνησάμενον. b.

σύγκλητος ἐκκλησία] ἡ γενομένη διά τι ἐξαίφνης κατεπεῖγον. b et Less. ὅτι τρεῖς ἐκκλησίαι τοῦ μηνὸς γίνονται ὡρισμέναι· ἡ δὲ σύγκλητος οὐχ ὡρισμένη. a.

καὶ τὰ πράγματα ἐκφύγῃ τὸν Φίλιππον] οἷον τὸ κατασκάψαι Φωκέας. ὅρα δὲ πῶς ἡμᾶς ἐδίδαξεν ἐνταῦθα, ὅτι καὶ τῆς τρίτης πρεσβείας πεμφθείσης παρὰ τῶν Ἀθηναίων ἔτι ἐσώζοντο οἱ Φωκεῖς. a.

§. 123. *ᾕρει*] ἀντὶ τοῦ ἐλάμβανε καὶ ἐχειροῦτο. ἔστι δὲ ὡς ἀπὸ τοῦ *αἱρῶ* ῥήματος περισπωμένου. a.

§. 124. *τί λέγεις;*] ἀποστροφὴ πρὸς αὐτὸν ὡς ἀπὸ τῶν Ἀθηναίων. a.

ἔδει δὲ μένειν] τοῦτο ὡς ἀπὸ τοῦ Δημοσθένους. τὸ δὲ *πῶς οὖν* κατ' ἐρώτησιν. a.

§. 125. *ὑμῖν ἐκκλησιάζουσι*] δηλονότι σκοπούντων αὐτῶν ἢ περὶ τοῦ νεωρίου ἢ περὶ ἄλλου τινός. παρατήρησαι δὲ ἐκ τούτου, ὅτι, ὡς ἤδη ἔγνωμεν, οὐ μόνον ἐν Πυκνὶ ἐκκλησίαζον, ἀλλὰ πολλάκις ἐν Πειραιεῖ καὶ ἐν ἄλλοις τόποις. καὶ λοιπόν, ὅπου συνήγοντο, ἐκκλησία ἐκαλεῖτο· οὐχ ὅτι οἱ τόποι ἐκαλοῦντο ἐκκλησίαι, ἀλλὰ μόνον ὅτε συνήγετο ὁ δῆμος, παρὰ τοῦ αὐτὸν ἐκεῖσε ἐκκλησιάσαι. ἡ δὲ Πνὺξ ἐκαλεῖτο διὰ τὸ ἀεὶ ὡς ἐπὶ τὸ πλεῖστον ἐκεῖ τὸν δῆμον ἐκκλησιάζειν. a.

§. 126. *ἐπειδὴ ταῦτ' ἦν*] ἡ πιθανὴ ἀπολογία. b.

ᾕρετο] ἀντὶ τοῦ ᾑρέθη καὶ ἐχειροτονήθη ἀντ' αὐτοῦ ὁ ἀδελφὸς αὐτοῦ. χρῶμα δὲ λύει ἐνταῦθα. ἔμελλε γὰρ λέγειν ὁ Αἰσχίνης, ὅτι ῥᾷον ἰσχηκὼς ὕστερον, διὰ τοῦτο ἐπρέσβευσα χειροτονηθεὶς ἐξ ἀρχῆς ἐν τῇ τρίτῃ πρεσβείᾳ. λύει οὖν τοῦτο ὁ ῥήτωρ λέγων, ὅτι ἦν ἄλλος ἀντ' αὐτοῦ χειροτονηθείς, ὁ ἀδελφὸς αὐτοῦ. a.

§. 127. *ἀπηγγελκότα, ὡς*] ὅπερ ἔλεγεν ἐν τῇ ἀρχῇ, ὅτι οὕτως αὐτὸν ἐμίσουν οἱ Θηβαῖοι, ὅτι καὶ χρήματα κατ' αὐτοῦ ἐπεκήρυξαν. a.

ἐπειδὴ Θηβαῖοι] ἰστέον, ὅτι ἐνταῦθα ἐνέπεσεν ἡ πιθανὴ ἀπολογία. ἔμελλε γὰρ λέγειν ὁ Αἰσχίνης ὅτι· καίτοι εἰ συνῄδειν ἐμαυτῷ τὴν προδοσίαν, οὐκ ἂν ἐβάδιζον τότε πρὸς Φίλιππον, ἵνα μὴ γένωμαι κατάδηλος. λύει οὖν ὁ ῥήτωρ λέγων ὅτι· ἡ δωροδοκία σε 162
οὐκ ἀφῆκεν ἰδεῖν τὸ δέον, ἀλλ' ἔκφρονα κατέστησε τοῦ γινώσκειν ὅ τι ποιεῖς. a.

ἀλλ' οὕτως ἔκφρων ἦν] ἡ ἀντίθεσις· καὶ μήν, εἰ συνῄδειν ἐμαυτῷ δεδωροδοκηκότι, οὐκ ἂν οὕτω προφανῶς ἀπῄειν, ὥστε κατάφωρον ἐμαυτὸν καταστῆσαι. ἡ λύσις· ἀλλ' οὕτως ἔκφρων ἦν. b.

πάντα ταῦτα] τὸ προφασίζεσθαι ἀρρωστεῖν καὶ τὰ ἐφεξῆς. a.

§. 128. *ὥστε μήτε τοὺς* etc.] ἔθος ἦν κατὰ τὰ πάτρια πέμπειν τῷ Ἀπόλλωνι ἐν τῷ ἀγῶνι τῶν Πυθίων τοὺς θεωροὺς καὶ τοὺς θεσμοθέτας, ἵνα μεῖζον ᾖ τὸ ἀξίωμα τῆς θυσίας. a.

τοὺς θεσμοθέτας] ἀρχή τίς ἐστιν Ἀθήνησιν, 71
ἓξ ὄντων τὸν ἀριθμόν, καίτοι ἐκ τῶν καλουμένων ἐννέα ἀρχόντων. καλοῦνται δὲ οὕτως, ὅτι τῶν νόμων τὴν ἐπιμέλειαν εἶχον· ὅτι δὲ τοὺς νόμους οὗτοι διώρθουν κατ' ἐνιαυτὸν ἕκαστον, εἴρηκεν Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. b.

καὶ φιλοτησίας] ἅπερ φιλεῖ γίνεσθαι ἐν τοῖς συμποσίοις, τὸ δεξιοῦσθαι ἀλλήλους τοῖς ποτηρίοις. πολλάκις φασὶν αὐτὰ τὰ ποτήρια χαρίζεσθαι τὸν βασιλέα οἷς προπίνει χρυσᾶ ὄντα. τοῦτο γὰρ ἦν τὸ προπίνειν. ταῦτα πάλιν ὡς ἐγκλήματα καὶ σημεῖα προδοσίας πεποίηται. a. ἡ κύλιξ, ἣν κατὰ φιλίαν τοῖς φίλοις προὔτεινον. b.

§. 129. *τῆς ἐξωμοσίας*] τὸ μεθ' ὅρκου πρᾶξίν τινα ἐξαρνήσασθαι διὰ νόσον τινὰ ἢ ἑτέραν πρόφασιν. b.

τὸ ψήφισμα, ὅπερ τις ἐψηφίσατο τῶν πολιτῶν, ὅτε ἐξωμόσατο ὁ Αἰσχίνης ἀρρωστεῖν. a.

§. 130. *τοὺς μάρτυρας*] οἷον τοὺς συμπρεσβευτὰς τοῦ Αἰσχίνου τὴν τρίτην πρεσβείαν. a.

---

3. εἰρωνίαν ar. 9. οὐκ om. r. 21. αὐτοῦ br. 23. ἡ γενομένη διὰ τὸ ἐξαίφνης κατεπείγειν r ex sola lessingiana. 32. ἀπὸ τοῦ] ἀπὸ r. 44. τοῦ] τὸ r.

3. χρῶμα] sic a. 4. ἔσχηκεν ὕστερον δὲ τοῦτο r. 14. ἂν om. r. 15. σὲ om. r. 29. ἓξ Sauppius: ἐξ δὲ br. 32. Aeschin. 3 §. 38. 34. γίγνεσθαι r. 36. φασὶν H. Wolfius: καὶ ar. 43. πολιτῶν] an βουλευτῶν? Spr. 44. ὁ om. r.

τίνας οὖν εὐχάς] ἐπιλογίζεται πληρώσας τὸ δεύτερον ζήτημα· σύνηθες γὰρ αὐτῷ, μετὰ τὰς ἀποδείξεις τὰς ἰσχυροτάτας ἐπιλογίζεσθαι. b.

τοῖς συμμάχοις] φησὶ τῶν Φωκέων, ἵνα αἰνίξηται εἰς Ἀθηναίους. a.

§. 132. κοινωνεῖν] τοῦτο εἶπε προλαβών, ὅτι οὐκ ἔπεμψαν ἐν τοῖς Πυθίοις οὔτε τοὺς θεωροὺς οὔτε τοὺς θεσμοθέτας. a.

ὡς ἐκ πολέμου ποιούμενος εἰρήνην] εἰ γάρ, φησί, καὶ ὁ Φίλιππος ἡμᾶς ἠδίκει, ἀλλ' οὖν γε εἶχέ τινα συγγνώμην καθ' ὃ πολέμιος ἦν. a.

§. 134. τάχα τοίνυν ἴσως] ἀντίθεσις τῶν ἐπιλόγων· κεχώρισται δὲ τῶν ἀγωνιζομένων. ἀντιθέσεις γὰρ ἐλέγομεν κυρίως τὰ πρὸς αὐτὰ τὰ κρινόμενα ἐξεταζόμενα, ἐπιλογικὰς δὲ ἀντιθέσεις τὰς ἀπὸ ποιοτήτων ἐπιλογικῶν πιστουμένας. ἔστιν οὖν ἀπὸ τοῦ συμφέροντος ἡ ἀντίθεσις. b. ἀντίθεσις ἐπιλογική. χρησίμως δὲ ταύτην ἔπλασεν ὁ ῥήτωρ, ἵνα δείξῃ Φίλιππον μέγαν, διὰ τοῦ λέγειν ὅτι· μέλλομεν αὐτὸν κινῆσαι πρὸς ὀργήν, ἐὰν τὸν φίλον αὐτοῦ τιμωρησώμεθα, ἵνα διὰ τούτου κινήσῃ τοὺς δικαστὰς πρὸς τὸ αἱρεῖσθαι μᾶλλον τιμωρήσασθαι τὸν Αἰσχίνην. a.

παρὰ τούτων] τῶν συνεστηκότων καὶ συναγορευόντων Αἰσχίνῃ. b.

ἐγὼ δ', εἰ τοῦτ' ἔστιν ἀληθές] ἡ λύσις κατὰ ἀντιπαράστασιν. b.

εἰ γὰρ ὁ τῆς εἰρήνης] σημείωσαι· τὸ τρίτον εἶδος τῆς λύσεως τὸ βίαιόν ἐστιν, ὅταν εἰς τὸ ἐναντίον περιστάναι δυνώμεθα τὸν λόγον, ἐξ αὐτῶν αἱροῦντες τὸν ἀντίδικον, οἷς θαρρῶν εἰσέρχεται. b.

ἀναλώσας] τοῖς περὶ Ἀριστόδημον. a.

§. 135. ἀντεῖπεν] ὡς ἐμοῦ ψευδομένου ἐφ' οἷς τότε εἶπον. a.

§. 136. ἀσυνθετώτατον] ἀπὸ τοῦ τὰ συντεθειμένα εὐτάκτως κεῖσθαι. a.

163 §. 137. τοὺς εἰπόντας] τοῖς περὶ τὸν Αἰσχίνην. a.

ἐποίησεν ἄν] ὁ Φίλιππος. τῷ βασιλεῖ δὲ λέγει τῷ Ἀρταξέρξῃ, πρὸς ὃν ἀνῆλθεν ὁ Τιμαγόρας καὶ ὁ Λέων, πρεσβευταί, ὡς ἔγνωμεν. a.

§. 138. οὐδὲ γὰρ etc.] ἀντιπῖπτον λύει, ἵνα μή τις εἴπῃ· καὶ διὰ τί μὴ καὶ ἐπὶ τῶν Θηβαίων τὸ ὅμοιον ἐποίησε καὶ εἵλετο μᾶλλον τοὺς πρεσβευτὰς αὐτῶν θεραπεῦσαι ἤπερ τὴν πᾶσαν πόλιν; a.

§. 139. ἠβούλετο δοῦναι] δηλονότι ἀφ' ἑαυτοῦ. καὶ μηδενὸς ἄλλου διδόντος δέξασθαι τὸ διδόμενον ἢ πεμπόμενον. Less.

§. 140. Φίλων] ὄνομα κύριον. a.

φίλοι καὶ ξένοι] ἐκ παραλλήλου τὸ αὐτό. a.

§. 141. Ὀρχομενός] ὀξυτόνως, ὡς Θεσπιαί. a.

§. 142. ἀντιθῶμεν δή] ταῦτά ἐστιν, ἃ λέγει ὁ Αἰσχίνης κακοήθη ἀντίθετα εἶναι ἐν τῷ ἰδίῳ λόγῳ. a.

§. 144. ἐν ᾗ καὶ ταῦτα καὶ πολλά] τὸ μὴ μετέχειν τοὺς Ἕλληνας τοὺς ἄλλους τῆς εἰρήνης. τὸ δὲ πολλὰ ἔτι τὸ μέχρι τῶν ἐκγόνων εἶναι τὴν εἰρήνην. a.

§. 145. τριάκοντα μνᾶς] τὸ ἥμισυ οὗ ἐχαρίσατο τῷ Φιλοκράτει. a.

§. 147. οὐ τοίνυν θαυμάσαιμ' ἄν] διασυρτικῶς ἐπενήνεκται ἡ ἀντίθεσις. — ὅτι δύο μέρη εἰσὶ ταύτης τῆς ἀντιθέσεως· τὸ μὲν γὰρ αὐτῆς ἔχει ἔπαινον τοῦ ῥήτορος, τὸ δὲ ὁμολογίαν, ὅτι Αἰσχίνης ἠξίου τὴν εἰρήνην γίγνεσθαι πρότερον, ὅτι οἱ στρατηγοὶ κακῶς ἐχρῶντο τῷ πολέμῳ. ἡ δὲ λύσις αὐτῆς ἀπὸ τῆς δωροδοκίας γίνεται. ὅθεν καὶ δευτέρα κατὰ τὸν δεύτερον στοχασμὸν τέτακται. b. ἀντίθεσις μεταστατική. a.

§. 148. ἔτι τοίνυν κἀκεῖνο σκέψασθε] δεύτερον ἐπιχείρημα, εἰς τὸ αὐτὸ κατὰ ἀντιπαράστασιν, λέγων· ἡττώμεθα τῷ πολέμῳ, ὡς σὺ φῄς, Αἰσχίνη· οὐκοῦν ἐκ τῶν παραδειγμάτων ἐξετάσωμεν αὐτὸ τοῦτο πάλιν. b.

ἐπὶ τῷ Ἡδυλείῳ] ὄρος Φωκίδος. a. ὄρος ἐν Βοιωτίᾳ, ἔχον με' στάδια. καλεῖται δὲ τριχῶς· τὸ μὲν σύνεγγυς τῶν ποταμείων Ἡδύλειον, τὸ δὲ κατὰ μέσον Ἀκόντιον, τὸ δὲ ὑπὲρ τοῦ Ὀρχομενοῦ κείμενον Ὑρσομών. b et Less. 72

κακῶν Ἰλιάς] ἡ παροιμία ἐπὶ τῶν τὰ δεινότατα πασχόντων, ἀπὸ τῶν ἐν Ἰλίῳ συμφορῶν. φησὶ δὲ ὁ Γενέθλιος, ὅτι ἐνήλλακται ἡ πτῶσις. ἔδει γὰρ εἰπεῖν Ἰλιάδος κακά. a.

§. 149. ὅτι γὰρ ταῦτα οὕτω πέπρακται] ἔστι μὲν οὖν τὸ προκείμενον ἐπιδεῖξαι, ὅτι ἐκ τοῦ ψηφίσματος Φιλοκράτους καὶ τῆς συνηγορίας Αἰσχίνου τοῦτον τὸν τρόπον Φωκεῖς ἀπολώλασι καὶ ὅτι ἐπὶ τούτοις καὶ Αἰσχίνης κεκόμισται χρυσίον. τὸ δὲ ἐπαγόμενον παρ' Αἰσχίνου ἀντέγκλημα κρύπτεται μὲν ἐπὶ τοῦ παρόντος, λέγεται δὲ εὐθὺς ἐφεξῆς· Ἐπειδὴ γὰρ ἡ μὲν εἰρήνη. διὰ τοῦτο ἄρχεται μὲν λύειν, ὡς ἔφαμεν, τὸ ἀντέγκλημα· τὸ δ' αὐτὸ καὶ πρὸς ἀπόδειξιν λαμβάνει τῆς Αἰσχίνου δωροδοκίας. βούλεται γὰρ μὴ μόνον ἀπολογήσασθαι ὑπὲρ τῆς Θρᾴκης, ἀλλὰ καὶ ἀντεγκαλέσαι περὶ τῆς αὐτῆς Αἰσχίνῃ, ὡς ἑκόντι προεμένῳ καὶ αὐτὴν καὶ τὸν Κερσοβλέπτην. παραφεύγων δὲ τὸ ὄνομα τοῦ Κερσοβλέπτου καὶ τὴν περὶ αὐτοῦ μνήμην τὴν Θρᾴκην ἀντ' ἐκείνου προβάλλεται, τῷ μείζονι τὸ ἔλαττον συμπεριλαμβάνων, μείζω καὶ πλείω

10. τιμωρησώμεθα m: τιμωρηθησόμεθα ar. 33. τότε Reiskius: τε ar. 43. θεραπεῦσαι] μᾶλλον θεραπεύειν r.
4. Aeschin. 2 §. 4. 11. ἐπενήνεκται Sauppius: ἐπήνεκται br. 11. δύο Sauppius: τρία br. 26. Ὑρσομών] Ὁρμίσιον m. cf. C. O. Müller Orchom. p. 39. 36. κεκόμισται m et Less.: κεκόμιστο br. δὲ] δ' r. 43. ὡς m et Less.: καὶ ὡς br.

ἐγκαλῶν ἢ ἐγκαλεῖται. φανερωτέραν δὲ ἐποίησε καὶ ἐναργεστέραν τὴν χρῆσιν τοῦ θεωρήματος, εἰπὼν ἐφεξῆς· ἠξίουν ὑμᾶς ἐγώ. b et Less.

§. 150. ἀπήρκεσαν] ἀντὶ τοῦ ἀπέπλευσαν, ἀπὸ τοῦ ἀπᾶραι. a.

τὰ θαυμάσια] κατ' εἰρωνειαν. a.

ἐφ' Ἑλλησπόντου] ἀττικὴ ἐστιν ἡ φράσις τὸ λέγειν· ἐπὶ Βυζαντίου, ἐφ' Ἑλλησπόντου. a.

§. 154. ἐκκλησία] ἐκ τῶν γ' ἐκκλησιῶν λέγει τῶν ὡρισμένων, ὡς ἤδη ἐκείνων προαναλωθεισῶν τῶν γ'. a.

§. 155. ἐνθένδε μὲν etc.] δυεῖν ἀποδεικτικὸν τὸ προκείμενον· ἑνὸς μέν, ὅτι οὐ παρ' αὐτὸν ἀπόλωλε Κερσοβλέπτης. ἑτέρου δέ, τοῦ διὰ τὸν Αἰσχίνην καὶ τοὺς ἄλλους πρέσβεις ἑκόντας ἐπιβουλεύσαντας ἀπολωλέναι τὸν Κερσοβλέπτην. b.

§. 155. ἐν Πέλλῃ] ἰστέον, ὅτι Πέλλη ἐκλήθη διὰ τὸ ἀπὸ βοὸς εὑρῆσθαι τὴν προσηγορίαν πελλῆς τὸ χρῶμα, ὅ ἐστι τεφρῶδες κατὰ τὴν Μακεδόνων φωνήν, ἢ παρὰ τοὺς πέλλας, τοὺς λίθους κατὰ Μακεδόνων φωνήν. a.

§. 156. θρυλοῦντος] ἠρέμα αὐτοῖς λέγοντος. a.

§. 163. ὅτι τοίνυν οὐδ' ἄρνησίς ἐστιν] ἀρχὴ τῶν ἀποδείξεων τῶν κατ' Αἰσχίνου, συνιστῶσα δι' αὐτῶν ἀπολωλέναι τὴν Θρᾴκην. b et Less.

§. 165. ἔστιν οὖν ὅπως ἂν μᾶλλον] ἐνθύμημα ἐπὶ τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους καὶ ἀπόδειξις ἐναργής, ὥσπερ ἐν συλλογισμῷ, τοῦ διὰ τὸν Αἰσχίνην ἀπολωλέναι τὸν Κερσοβλέπτην. b.

§. 167. διεκωδώνισεν] εὕρηται τὸ διακωδωνίσαι . . . φύλακας διὰ κώδωνος, εἰ καθεύδουσιν. a.

ὡς δ' ἀπετύγχανεν] ἐνταῦθα τὴν ἑαυτοῦ βού-
73 λησιν κατασκευάζει, ὡς ἐπὶ τοῦ Κερσοβλέπτου, τίνα εἰκὸς ἦν μᾶλλον αὐτὸν προδοῦναι, τὸν ἑλόμενον μηδὲ ξένια λαβεῖν καὶ τὸν τὴν οὐσίαν προϊέμενον ὑπὲρ τῶν αἰχμαλώτων, ἢ τὸν λάθρα παρὰ τοῦ Φιλίππου προσιέμενον ξένια; b et Less.

εὐήθως] οὐ λέγει μωρῶς, ἀλλ' ἀκακούργως. a.

§. 168. τὸ διεκρούσατο ἀντὶ τοῦ ὑπερέθετο. a.

§. 169. ἐξηγγυημένοι] τὸ ἐξελέσθαι τινὰ διὰ τῆς τῶν ἐγγυητῶν καταστάσεως. b.

§. 171. ἀφῆκα etc.] ἀφῆκε γάρ, λέγει, τὰ [δοθέντα παρὰ Φιλίππου αὐτῷ εἰς λόγον ξενίων. τὸ δὲ δέδωκα] δωρεάν, ἅπερ ἐχαρίσατο τοῖς αἰχμαλώτοις. a.

§. 172. δεινὸν οὖν ψεύσασθαι] ἀντίπιπτον λύει, ἵνα μή τις εἴπῃ, ἀλλ' ἠδύνω καὶ ἐν τῇ β' πρεσβείᾳ ἐξομόσασθαι, ὥστε μὴ ἀπελθεῖν μετὰ τῶν πρέσβεων, ἀλλ' ἰδίᾳ. ἐπάγει οὖν· ἀλλ' οὐκ ἦν μοι ἀσφαλὲς τὸ ἰδίᾳ ἀπελθεῖν καὶ πλανᾶσθαι ἐκεῖσε, μὴ ἔχοντι τὸ ἀσφαλὲς τὸ ἀπὸ τῶν πρέσβεων. a. 164

ἐξώλης] τί ἐστιν ἐξώλης καὶ προώλης; ἐξώλης λέγεται ὁ ἀπολούμενος ἐκτὸς τῆς πατρίδος, προώλης ὁ πρὸ τῆς εἱμαρμένης τελευτῶν. a.

§. 174. παρ' ἄλληλα] ἀντὶ τοῦ παρατιθέμενα ἀλλήλοις καὶ συγκρινόμενα. a.

§. 177. οἵοις μὲν etc.] ὡς σχετλιάζων λέγει, διὰ τὸ τοὺς πρέσβεις ἐξομόσασθαι, μὴ εἰδέναι. a.

συλλογίσασθαι δὴ βούλομαι] ἀνακεφαλαίωσις μερική. a. συλλογίζεται λοιπὸν καὶ ἀνακεφαλαιοῦται τὰ προειρημένα πάλιν, ἵνα δείξῃ τοῦτο τὸ μέρος ὂν τῶν προειρημένων, οὐκ αὐτὸ καθ' αὑτὸ ὑπάρχον ζήτημα· ὁ γὰρ κοινὸς ἐπίλογος τὴν τῶν πραγμάτων κοινωνίαν συνίστησιν. b.

§. 179. οὐ γὰρ μόνον Φωκέας] ὅτι οὐκ ἔστι συγκατασκευαζόμενος στοχασμός, ἀλλὰ ἐμπίπτει. [τινὲς δὲ ᾠήθησαν εἶναι συγκατασκευαζόμενον διὰ τὸ ὥσπερ β' ἐγκλήματα εἶναι, τὰ περὶ Θρᾴκην καὶ τὰ κατὰ Φωκέας. ἡμεῖς δὲ λέγομεν, ὅτι οὐκ ἀπὸ ἑνὸς ῥήματος δεῖ χαρακτηρίζειν πᾶσαν στάσιν, ἀλλ' ἀπὸ τῶν πλειόνων. εἰ γὰρ ἦν συγκατασκευαζόμενος, διὰ τί μὴ ἔταξε τὰ κατὰ Θρᾴκην μήτε ἐν τῇ διηγήσει μήτε ἐν τοῖς ἀγῶσιν; λέγομεν, ὅτι εἰς σημεῖον μόνον τῆς προδοσίας λέγει καὶ τὰ κατὰ Θρᾴκην, ὥσπερ καὶ ἄλλων σημείων ἐμνήσθη. a.

§. 181. νῦν δ' ἃ μὲν ἦν] περίοδος. b.

§. 182. ἀγανακτήσει etc.] ἔστι μὲν ἀντιληπτικὴ ἡ ἀντίθεσις· ἔγνωμεν δέ, ἐξ ὧν ἠκούσαμεν ἐν ταῖς τέχναις, ὅτι, ὅταν τις κρίνηται, ἐφ' οἷς αὐτὸς εἴρηκεν ἢ πεποίηκεν ἢ κέκτηται, τὸ τηνικαῦτα εἰς τὸ τοιοῦτο χωρεῖ κεφάλαιον· ἐπὶ γὰρ τὴν ἀντίληψιν καταφεύγειν βούλεται. τὸ δὲ συνεκτικώτατον τῆς ἀπολογίας Αἰσχίνου τοῦτό ἐστι τὸ κεφάλαιον. ἡ δὲ λύσις κατὰ συνδρομήν, ὅτι πάντως λόγον δεῖ παρέχειν εὐθύνας· ἔστι δὲ τῶν σημείων τοῦ προτέρου ζητήματος τὸ ἀντιληπτικόν. εἰσῆκται δὲ βαρέως· τὸ γὰρ ἀγανακτήσει τὸ τυραννικὸν σημαίνει, οὐκ ἀνεχομένου τὰς εὐθύνας ἔτι διδόναι. b. ἀντίθεσις ἀντιληπτική, ἥντινα λύει ὁ ῥήτωρ μεταληπτικῶς· τοῦ γὰρ Αἰσχίνου

---

6. εἰρωνίαν r. 7. ἐφ' Ἑλλησπόντου] hoc scholion om. r. 17. ἀπὸ Sauppius: ὑπὸ ar. πέλλης ar. 23. ἀποδείξεων m et Less.: ἀποδόσεων br. 35. παρὰ τοῦ Φιλίππου m et Less.: τῷ φιλίππῳ br. 29. διακωδωνίσαι] διακωδων r. deinde duae tertiae partes versus praesectae sunt. 30. φύλακας] λακας r. 39. ἐξελέσθαι Harpocr. p. 74, 23: ἐκτελέσαι br. 41. ἀφῆκε γάρ] ἀφῆκα r. — deinde fere totus versus praesectus est: supplevimus ex m. 43. ἐχαρίσατο mr: ἐχάρισα a.

2. ἠδύνω m: ἠδύνον ar. 4. ἀλλὰ ἰδίᾳ r. 8. λέγεται] ἐστὶν r. ἐκτὸς] ἐκ r. 10. ἀλλήλοις om. r. 21. συγκατασκευαζόμενον . . . στοχασμοῦ r. sedecim fere literae praesectae sunt. supplevimus ex m. 22. εἶναι] ἐστι r. 25. πᾶσαν] πᾶσαν τὴν r. 26. συγκατασκευαζόμενος m: συγκατασκευαζόμενον ar. 29. λέγει καὶ] λέγει r. 34. ὅτι ὅταν τις κρίνηται] τοῦτ' αὐτοῦ κρίνεται r, . . παύταις . . νηται Heslerus apud Reiskium. 43. ἔτι διδόναι] ἐπιδιδόναι r. ἀντιληπτική] ἀναληπτική r.

λέγοντος, ὅτι ἐξῆν μοι συμβουλεύειν ἅπερ ἐνόμιζον εἶναι συμφέροντα, λύει ὁ ῥήτωρ· ἀλλ' ἐξῆν σοι (φησί) λέγειν ἐν ἄλλοις, ἀλλ' οὐκ ἐν οἷς ἔβλαπτες τὴν πόλιν δῶρα δεξάμενος. a.

§. 187. ἔστι τοίνυν τις πρόχειρος λόγος] ἀντίθεσις ἀπὸ τοῦ συμφέροντος. a. τὴν χρείαν πληροῖ· ἔχει δὲ ἀκολουθίαν πλείστην καὶ συγγένειαν πρὸς τὴν προειρημένην ἤδη ἐπιλογικὴν ἑτέραν ἀντίθεσιν. ἐν ἐκείνῃ μὲν γὰρ ἐλέγετο, ὅτι ἀρχὴ γενήσεται τῆς πρὸς Φίλιππον ἔχθρας, ἐνταῦθα δὲ ἀκολούθως, ὅτι οὐδὲ εὐεργετήσει οὐδὲ εὐποιήσει τοῦ λοιποῦ τὸν δῆμον, εἰ καταψηφιούμεθα τῶν πρέσβεων. ἡ δὲ λύσις ἐξ ἀτέχνων 74 πίστεων. παρέχεται γὰρ διαφόρους ἐπιστολάς, ἐν αἷς πλεῖστα πολλάκις ὑποσχόμενος Φίλιππος οὐδέν τι τὴν πόλιν εὐποιήσας φαίνεται. b.

§. 188. οὕτω τοίνυν αἰσχρὰ] παρέκβασις. προοίμιον καὶ εἰσβολὴ τῆς παρεκβάσεως. b.

§. 192. ἐπειδὴ γὰρ εἷλεν] διηγηματικὸν χωρίον. a.

§. 193. ἐπαγγέλλεται] ἀντὶ τοῦ αἰτεῖ. a.

§. 194. ξένος καὶ φίλος] ξένος ἐστὶν ὁ φίλος ὤν τινος ἀπ' ἄλλης πόλεως, φίλος δὲ ἀπὸ αὐτῆς τῆς πόλεως. a.

§. 196. κληθέντες] περὶ συμποσίου. b.

§. 197. κάλει] βέλτιον παροξύνειν, ἵνα ᾖ προστακτικόν. a.

165 ῥυτῆρα] οἷον μάστιγα· κυρίως δὲ λέγεται ῥυτὴρ ὁ χαλινὸς ἀπὸ τοῦ ῥύεσθαι καὶ ἕλκεσθαι εἰς τὰ πάντα παρὰ τῶν ἡνιόχων. αὐέρυσαν μὲν πρῶτα. a.

καὶ πεπωκότων —] ἰστέον, ὅτι ἐν τούτῳ τῷ χωρίῳ ἀνέστησαν οἱ δικασταὶ καὶ εἴασαν τὸν ῥήτορα λέγοντα, τοῦ Εὐβούλου συμπράττοντος τῷ Αἰσχίνῃ μισοῦντος δὲ τὸν ῥήτορα εἰπόντος αὐτοῖς· τοιούτων αἰσχρῶν ἀνέχεσθε λέγοντος ῥήτορος; a.

§. 198. ἐν τοῖς μυρίοις] τὸ συνέδριον τῶν Ἀρκάδων μυρίων ὑπῆρχεν ἀνδρῶν. a.

§. 200. ἐν χορηγίοις ἀλλοτρίοις] πρὸς ἑαυτὸν ἀντιδιαστέλλει τοῦτο, ὅτι αὐτὸς μὲν ἐκ τῶν ἰδίων ἐχορήγησεν, Αἰσχίνης δὲ ἐν ἀλλοτρίοις, ἐν τῷ μισθοῦσθαι τραγῳδῶν. a. σημείωσαι ἐν χορηγίοις. χορηγία δὲ λέγεται ἡ δόσις. b.

ἐπὶ τῷ τριταγωνιστεῖν] τριταγωνιστὴν αὐτόν φησιν, ὡς ἀδοκιμώτατον τῶν ὑποκριτῶν, ἐν τρίτῃ τάξει καταριθμῶν, ὡς ὑποκριτὴς τραγῳδιῶν. τριταγωνιστὴς ἀπὸ Σοφοκλέους, ὃς πρῶτος ἐχρήσατο τρισὶν ὑποκριταῖς καὶ τῷ καλουμένῳ τριταγωνιστῇ. b.

§. 202. ἀκούω γὰρ αὐτὸν] ἕως ὧδε ἐπλήρωσε τὸ περὶ κατηγορίας τοῦ Αἰσχίνου. ἐντεῦθεν δὲ βούλεται καὶ ὑπὲρ ἑαυτοῦ ἀπολογήσασθαι, εἰς ἃ αὐτοῦ κατηγόρησεν Αἰσχίνης. καλῶς δὲ ἐποίησεν, ὅτι ἐν τοῖς ἐπιλόγοις ἔταξε ταῦτα καὶ οὐκ ἐν τοῖς ἀγῶσιν. ἢ γὰρ ἂν ἐδόκει ἑαυτοῦ κατηγορεῖν. a.

§. 204. ἀνώμοτον] χωρὶς ὅρκου· ὁ δὲ ἀνὴρ καὶ ἀνώμοτος πιστεύειν ἄξιος. b.

§. 211. τοῖς λογισταῖς] λογισταὶ καὶ λογιστήρια· ἀρχή τις παρ' Ἀθηναίοις οἱ λογισταί. εἰσὶ δὲ τὸν ἀριθμὸν δέκα, οἳ τὰς εὐθύνας τῶν διῳκημένων ἐκλογίζονται ἐν ἡμέραις τριάκοντα, ὅταν τὰς ἀρχὰς ἀπόθωνται οἱ ἄρχοντες· λογιστήρια δὲ τὰ τῶν λογιστῶν ἀρχεῖα. b. [λογισταὶ ἐκαλοῦντο οἱ εἰσάγοντες ἐν τῷ δήμῳ τοὺς ὑπευθύνους] πρὸς τὸ δοῦναι εὐθύνας. ἀρχὴ γὰρ ἦν καὶ αὕτη, ἡ τῶν λογιστῶν. a.

καὶ τὸ πρᾶγμα ἦν ὑπεργέλοιον] ὅτι, ἐμοῦ βουλομένου δοῦναι εὐθύνας, ἐκεῖνος οὐ συνεχώρει. a.

§. 214. ἔτι τοίνυν] καθ' ὑπόθεσιν τὸ σχῆμα. a.

§. 224. ἀναπεπτωκότες] ὕπτιοι καὶ νυστάζοντες, ἀλλ' οὐκ ὀρθοὶ καὶ νήφοντες. Less.

ἐκλελύσθαι] οἷον ὥσπερ ὑπὸ τρυφῆς χαῦνοι γενόμενοι. κατὰ κοινοῦ γὰρ τὸ δέδοικα. τὸ δὲ παντάπασιν γάρ, ὦ Ἀθηναῖοι, ἐκλελύσθαι ἐπεξηγεῖται, τί ἐστιν ἀναπεπτωκότες. a.

§. 225. ἐκτρέπεται] ἵνα μὴ διαβληθῇ πρὸς Φίλιππον. a.

§. 226. ἀλιτηρίοις] ἐκλήθησαν ἀλιτήριοι ἐξ ἀρχῆς οἱ κλέπται καὶ ἄδικοι ἀπὸ τοιαύτης αἰτίας, ἀπὸ τοῦ λιμὸν γεγενῆσθαι παρὰ τοῖς Ἀθηναίοις καὶ ἁρπάζειν τινὰς τὰ ἄλευρα. a.

§. 227. ἕν, οἶμαι, σῶμα ἔχων καὶ ψυχὴν μίαν] σημείωσαι. ποῦ εἰσιν οἱ λέγοντες, δύο ψυχὰς τὸν ἄνθρωπον ἔχειν; b.

§. 229. τίς ἔσται λόγος etc.] ὡς τινος Ἕλληνος ἐρωτῶντος, ἄλλου δὲ ἀποκρινομένου. a.

§. 231. ἐμβεβροντῆσθαι] τοῦ Θεολόγου ὅμοιον. b.

§. 232. εἰ μήτε λαβεῖν] κύκλος. b. οὐκέτι ἀπὸ τοῦ ἄλλου προσώπου τῆς πλάσεως, ἀλλ' ὡς ἀπ' αὐτοῦ τοῦ ῥήτορος. a.

§. 237. ἴσως τοίνυν etc.] πεπλήρωται αὐτῷ τὰ τῆς παρεκβάσεως. τὰ δὲ τῶν ἐπιλόγων τῶν ἐν τῷ ἀγῶνι ἐντεῦθεν ἄρχεται. ἴδιον δὲ τῶν ἐπιλόγων καὶ τοῦτο, τὸ τοὺς συνηγόρους ἐκβάλλειν, ὃ ποιεῖ νῦν. κοινωνεῖ δὲ ὁ ἐπίλογος τῇ παρεκβάσει τῷ προκεῖσθαι τῷ ῥήτορι ἐν ἀμφοτέροις ἢ διαβολὴν ἐργάσασθαι ἢ

---

6. πληροῖ Sauppius: πλήρη br. 21. ἐστὶν om. r. 22. φίλος] ὁ φίλος r. 28. εις τα παντα] haec non satis certo dignosci possunt nec ad sensum apta sunt. 29. Homer. Il. 1, 459. 34. ῥήτορος] τοῦ ῥήτορος r.

2. Αἰσχίνου] Φιλίππου r. καὶ βούλεται r. 7. καὶ om. r. 14. primus versus praesectus est: supplevimus ex m. 15. πρὸς om. r. 22. ὥσπερ om. r. τρυφῆς Sauppius: τροφῆς ar. γεγενημενοι r. 24. ὦ ἄνδρες ἀθηναῖοι r. 30. τοῦ λιμὸν] λιμοῦ r. 39. τῆς πλάσεως] τ' πλάσε (sic) r. ἀπ' αὐτοῦ τοῦ] ἀπὸ τοῦ r.

σύστασιν ἤθους καὶ βίου τῶν προκειμένων. διαφέρει
75 δὲ τῷ τὴν μὲν παρέκβασιν τοῦ μὴ νῦν κρινομένου
βίου τὴν ἐξέτασιν ἔχειν, ἀλλὰ τῶν ἐν τῷ ἄλλῳ χρόνῳ
βεβιωμένων· τὸν δὲ ἐπίλογον αὐτῶν τῶν κρινομένων
αὔξησιν περιέχειν, τῶν συντεινόντων πρὸς αὐτὰ τὰ
166 κρινόμενα. b. ἐκβολὴ συνηγόρων. a.

σὲ] ὅτι τὸ σὲ μὲν οὐ πρὸς τὸν Ἀφόβητον ἀπήντησεν, ἀλλὰ πρὸς τὸν Φιλοχάρην· ὑπογραμματέας δὲ, τὸν Ἀφόβητον καὶ Αἰσχίνην. a.

τὰς ἀλαβαστροθήκας] μυροθήκας, τὰς θήκας τῶν ἀλαβάστρων, αἵ εἰσι λήκυθοι, ὧν οὐκ ἔστι λαβέσθαι διὰ λειότητα. b. ἀλάβαστρα λέγεται οἱ βῖκοι οἱ δεχόμενοι τὰ μύρα. ἐκλήθησαν δὲ οὕτω παρὰ τὸ μὴ ἔχειν λαβάς· θήκη δὲ τὸ γλωσσόκομον τὸ δεχόμενον αὐτούς, τοὺς βίκους· τούτων οὖν αὐτὸν λέγει γενέσθαι γραφέα. a.

§. 239. εἰ μὲν γὰρ etc.] εἰ μή, φησίν, ἀδικεῖ ἡμᾶς, κἀγώ, φησί, σώζειν αὐτὸν λέγω. a.

§. 242. μή σύ γε etc.] ἰστέον ὅτι τῷ μὲν κατηγόρῳ ἔξεστι κατηγορεῖν ὃ βούλεται, τῷ δὲ ἀπολογουμένῳ μόνον τῶν κατηγορηθέντων ποιεῖσθαι τὴν λύσιν. a.

§. 245. Ὅστις δ' ὁμιλῶν] γνώμη Εὐριπίδου ἐκ Φοινίσσης. b.

ὀρθῶς καὶ προσηκόντως ἐρῶ] κατὰ παρῳδίαν. b.

ὅστις δ' ὁμιλῶν] παρῴδησε τὸ ἰαμβεῖον ἐκ τοῦ ὁμοίου. εἰ γὰρ ὁ φαύλοις συνὼν φαῦλος, οὐκοῦν καὶ ὁ δωροδόκοις συνὼν δωροδόκος. a.

§. 248. ἐρρῶσθαι] ἀντὶ τοῦ οἰμώζειν. τῶν διαφορουμένων γὰρ ἡ λέξις· καὶ ἐπὶ καλοῦ λέγεται. a.

§. 249. ἔπι τελοῦσα] τινὲς ἐνόμισαν μίαν λέξιν εἶναι, οὐκ ἔστι δέ. ἀλλὰ τὸ ἔπι συναπτέον πρὸς τὸ ταύτης καὶ τὸ τελοῦσα καθ' ἑαυτό, ἵνα ᾖ ἐπὶ ταύτης τελοῦσα. ἤδη δὲ ἔγνωμεν, ὅτι ἐπῳδὸς ἦν ἡ μήτηρ αὐτοῦ κατὰ τὸν τοῦ Δημοσθένους λόγον καὶ καθαίρουσα τοὺς μέλλοντας μυεῖσθαι. a.

Ἥρωος] οὕτως ἐκαλεῖτο Ἥρως ἰατρός τις παρὰ τοῖς Ἀθηναίοις. ἐκλήθη δὲ ἥρως διὰ τὸ μέγεθος τοῦ σώματος. τὸ δὲ κύριον ὄνομα αὐτοῦ Ἀριστόμαχος. a.

ἐν τῇ Θόλῳ] ἡ Θόλος τόπος ἐστίν, ἔνθα ἐσιτοδοτοῦντο ἀπὸ τοῦ δημοσίου γραμματεῖς οἱ χειροτονηθέντες ἀπὸ τῆς πόλεως. ἐκλήθη δὲ Θόλος διὰ τὸ θολοειδὲς καὶ στρογγύλον εἶναι τὸ σχῆμα. a. τόπος, ἔνθα ἐδείπνουν οἱ πρυτάνεις. b.

§. 250. κατέδυσε] ἐνέμεινε τῇ τροπῇ τοῦ πλοίου. a.

§. 251. φέρε δὴ καὶ περὶ τοῦ Σόλωνος etc.] ἐλεγεῖα.

ἴομεν εἰς Σαλαμῖνα, μαχησόμενοι περὶ νήσου
ἱμερτῆς, χαλεπόν τ' αἶσχος ἀπωσάμενοι. —

ἀμφισβητούντων δὲ Μεγαρέων καὶ Ἀθηναίων περὶ Σαλαμῖνος ὁ Σόλων ἐκ τῶν Ὁμηρικῶν ἐπῶν τὴν ἀπόδειξιν ἐποιήσατο, στίχον παρενθεὶς πεπλασμένον·

167 Αἴας δ' ἐκ Σαλαμῖνος ἄγεν δυοκαίδεκα νῆας.

καὶ προσέθηκε τόνδε τὸν στίχον·

στῆσε δ' ἄγων, ἵν' Ἀθηναίων ἵσταντο φάλαγγες.

τοῦτον πλάσας τὸν στίχον ἐνίκησεν ἐν τῇ δίκῃ τοὺς Μεγαρέας. ἔδειξε γάρ, ὅτι Ἀθηναίων ἦν ἡ Σαλαμὶς ἐκ παλαιοῦ. a.

§. 257. ὑπακούσαντά τινα] τὸν Τίμαρχον λέγει. a.

§. 259. ὑποκοριζόμενοι] ὑποκορίζεσθαί ἐστι κυρίως τὸ τοῖς παισὶ πρὸς ψυχαγωγίαν καὶ ἀπάτην λέγειν τινὰ ὀνόματα, οἷον ὡς Διόνυσός ἐστιν, ὡς βασιλεύς, καὶ τὰ τοιαῦτα. καταχρηστικῶς δὲ τὸ εὐφήμοις ὀνόμασι κλέπτειν τὴν ἀτοπίαν. a.

§. 260. τὸ κοινὸν ἀξίωμα] κοινὸν γὰρ ἀξίωμα ἡ ἐλευθερία τῶν Ἑλλήνων. a.

§. 273. ἵππου μὲν δρόμον etc.] ὅρος τῆς Ἑλλάδος. ἐκ δὲ τῶν τῆς πόλεως ἀγώνων καὶ ἀποστόλων εἰς τοῦτο κατῆλθεν, ὥστε ὡμολόγησε δυοῖν ἐντὸς ὅροιν μηκέτι πλευσεῖσθαι, πρὸς μεσημβρίαν μὲν Χελιδονέας, πρὸς δὲ ἄρκτον Κυανέας θέσθαι. Less.

§. 279. οὗτοι δέ γε] ὡς παρ' Αἰσχίνου τοῦτο λαμβάνει. a.

ἐξελέγχειν] ἐφηγεῖσθαι. γράφεσθαι, δικάζεσθαι. b.

§. 280. τὸν μὲν εὐεργέτην] ἐπιχειρεῖ ἀπὸ τοῦ ἐναντίου, φάσκων ἄτοπον εἶναι, τοὺς μὲν εὐεργέτας καὶ τῶν εὐεργετῶν τοὺς παῖδας ἐκπεπτωκέναι δι' ἁμαρτήματα φαῦλα μὲν καὶ μικρά, τὸν δ' Αἰσχίνην, τὸν Ἀτρομήτου, μὴ ἐκπεσεῖν· ἐν ᾧ καὶ τὸν ἔλεον ἐκβάλλει. b.

§. 281. ἐφ' οἷς ἑτέρα τέθνηκεν ἱέρεια] ἐφ' οἷς φαρμάκοις καὶ ἄλλη ἱέρεια τέθνηκεν. λέγει δὲ τὴν Νῖνον λεγομένην. κατηγόρησε ταύτης Μενεκλῆς ὡς φίλτρα ποιούσης τοῖς νέοις. a.

§. 285. νὴ Δί', οἱ νέοι γάρ] ἀνθυποφορὰ ἐπιλογικὴ ἐκ τῆς Αἰσχίνου ποιότητος, ἀπὸ τῆς ἐργασίας ἀνακινοῦσα. b.

---

2. τῷ m: τὸ br. 12. οἱ βῖκοι — λαβάς om. r. 14. τὸ δεχόμενον om. r. 24. immo Φοίνικος. 27. ἰαμβεῖον Sauppius: ἰάμβιον ar. 33. συναπτέον πρὸς om. r.

2. ἐλεγεῖα om. r. — Solon. frg. 1 Schneidew.: χαλεπόν τ' — ἀπωσάμενοι. 9. Homer. Il. 2, 557. cf. Plutarch. Solon. 10. 19. πρὸς ψυχαγωγίαν καὶ ἀπάτην om. r. 27. ἐντὸς Sauppius: μὲν Less. 34. ἐπιχειρεῖ Sauppius: ἐπειδὴ br. 41. τέθνηκε r.

§. 287. *κηδεσταῖν*] κηδεστὰς ἐνταῦθα καλεῖ τοὺς ἀδελφοὺς τῆς γυναικὸς αὐτοῦ. a.

δ' ἐν ταῖς etc.] τὸ ἀναίσχυντον αὐτοῦ βουλόμενος δεῖξαι τοῦτο εἶπεν. οἱ γὰρ ἐν ταῖς ἑορταῖς τότε βουλόμενοι σκώπτειν τινὰς ἐφόρουν προσωπεῖα, ἵνα μὴ αἰσχύνωνται. ἰστέον ὅτι οἱ νεώτεροι λέγουσιν αὐτὸ *προσωπεῖον*, ἐν δὲ τοῖς ἀρχαιοτέροις βιβλίοις εὑρίσκεται τὸ *πρόσωπον*. a.

ἄνω ποταμῶν] ἄνω ποταμῶν χωροῦσι πηγαί παροιμία ἐπὶ τῶν ὑπεναντίως γινομένων ἢ λεγομένων (οἷον ὁ πόρνος τὸν σώφρονα εἰ λέγοι πόρνον), ἐπειδὴ οἱ ποταμοὶ ἄνωθεν κάτω ῥέουσιν. τουτέστιν ἐπὶ τῶν τὰ ἑαυτοῖς προσόντα ἐλαττώματα ἑτέροις προσανατιθεμένων. b. ἡ παροιμία λέγεται ἐπὶ τῶν ἐναντίων. φησὶν οὖν, ὅτι ἐναντία ταῦτα ἐγίνετο· πορνείας κατηγορεῖ ὁ Αἰσχίνης πᾶσαν αὐτὸς τὴν ἑστίαν ἔχων πόρνων. τὸ *ἐρρύησαν* περὶ ποταμοῦ λέγων ἐνέμεινε τῇ τροπῇ. a.

§. 289. *εἰ τῆς πόλεως τέθνηκε*] σημείωσαι· λέξις ἐκ παρονομασίας, εἴδους τῆς κατὰ λέξιν δριμύτητος. b.

ἀλλ' etc.] κατὰ κοινοῦ τὸ *φοβεῖ με*, εἰς Εὔβουλον δὲ ἀποτείνεται, ὡς ἐπάγει. a.

§. 290. *Εὔβουλε*] ἐπ' ἄλλον συνήγορον μετέβη, τὸν Εὔβουλον, ὃν εἰς ὑποψίαν κατέστησε φιλιππισμοῦ καὶ κοινωνίας τῆς πρὸς Αἰσχίνην. b.

§. 291. *δεδεξάμενος*] ἀντὶ τοῦ εἰς δέος καταστήσας, ὡς ἀπὸ θέματος τοῦ *δεδείξω*. a.

168 §. 295. *ἐν τοῖς τριακοσίοις*] σύστημα ἦν τὸ τῶν τ' οἱ τὰ κοινὰ διοικοῦντες, ὥσπερ ἐν Ἀρκάσιν οἱ μύριοι. a.

§. 296. *σωζέσθω*] εἰς τὸν Εὔβουλον πάλιν αἰνίττεται. μὴ πρὸς χάριν, φησί, τοῦ Εὐβούλου σωζέσθω ὁ Αἰσχίνης μηδ' ἀπολλύσθω. a.

§. 297. *Καλλίστρατος*] ὁ Καλλίστρατος τῶν πάνυ δεινῶν ἦν ῥητόρων, ὃς καὶ ἐφυγαδεύθη διὰ τὴν δεινότητα, οὗ καὶ ἀκούσας ὁ ῥήτωρ ἐπεθύμησε καὶ μετελθεῖν τὴν τέχνην. a.

Ἀριστοφῶν] πολλάκις καὶ περὶ Ἀριστοφῶντος εἴπομεν, ὅτι οὗτός ἐστιν ὁ τὰς ο' γραφὰς διαφυγών. a.

τὰς μαντείας] ἰστέον, ὅτι ἡ μὲν Πυθία ἔφησεν ἀμφιβόλως, ὡς *δεῖ φυλάττεσθαι τοὺς ἡγεμόνας*, ὅπερ δυνατὸν ἁρμόσαι καὶ κατὰ τῶν δημαγωγῶν καὶ κατὰ τῶν στρατηγῶν καὶ κατὰ τῶν ῥητόρων. a.

§. 298. *πολέμου γὰρ εἰσιν ἡγεμόνες*] πολέμιοι τούτων. b.

παρακρουσθῆτε] ἐξαπατηθῆτε, ἀνατραπῆτε· καὶ *παράκρουσις* ἡ ἐξαπάτη καὶ ὁ ἐμπαιγμός. b. 76

§. 300. *τῷ παρὰ τῶν πωλούντων*] ἐπαναφορά. b.

προεστηκότας] τινὲς λέγουσι περὶ τοῦ Αἰσχίνου. βέλτιον δὲ λαβεῖν αὐτὸ περὶ Εὐβούλου. a.

§. 302. *οὐ μὴν οὐδενὶ μᾶλλον*] ἀνακεφαλαίωσις τῶν προειρημένων ἁπάντων, ὡς εἶναι καὶ τοῦτο τὸ μέρος ἄλλο μέρος τῶν ἐπιλόγων· ἀναλαμβάνει γὰρ ἅπαντα τὰ κεφαλαιωδῶς εἰρημένα καὶ τὴν ὑπόθεσιν· ἀναφέρει δὲ διὰ τὸ μὴ εὐσύνοπτον γενέσθαι τὴν ὑπόθεσιν πάλιν διὰ βραχέων. ἐπειδὴ γὰρ πολλὰ τὰ εἰρημένα καὶ πολυμερὴς ὁ λόγος καὶ πλοκὴν ἔχων, πολλὰ δὲ καὶ τὰ ἐμβεβλημένα, πολλαὶ δὲ καὶ αἱ αὐξήσεις, ἐξ ὧν ἡ ἐν τοῖς πράγμασι πολλάκις συμβαίνει ἀσάφεια, διὰ τοῦτο κατηναγκάσθη πάλιν διὰ βραχέων αὐτῶν τῶν ἀναγκαιοτάτων ἐπιμνησθῆναι. ἄρχεται δὲ οὕτως· *ὁ γὰρ ἑαυτὸν τάξας*· τοῦτο γὰρ ὅμοιόν ἐστιν ἐκείνῃ τῇ ἐπιβολῇ τῆς καταστάσεως· *ἔστι τοίνυν οὗτος ὁ πρῶτος Ἀθηναίων αἰσθόμενος Φίλιππον*. b. ἀνακεφαλαίωσιν ποιεῖται τῶν προειρημένων ἐν τῇ καταστάσει πάντων. a.

§. 303. *συσκευάζεσθαι*] ἀντὶ τοῦ ἐπιβουλεύεσθαι. a.

τὸ Μιλτιάδου καὶ Θεμιστοκλέους ψήφισμα] οἱ δύο ἔγραψαν, ἀλλ' ἑκάτερος αὐτῶν προτρεπόμενος τοὺς Ἀθηναίους πρὸς ἀρετὴν καὶ ἐλευθερίαν. ὁ μὲν γὰρ Μιλτιάδης, ὅτε ἐπῆλθον οἱ Πέρσαι, ἔγραψεν, ὥστε εὐθὺς ἀπαντῆσαι τοῖς πολεμίοις· Θεμιστοκλῆς δὲ καταλιπεῖν ἐρήμην τὴν πόλιν καὶ εἰς τὰς τριήρεις μεταβιβασθῆναι, ὅτε τὰ ἐν Σαλαμῖνι καὶ ἐπ' Ἀρτεμισίῳ. a.

τὸ ἐν τῷ τῆς Ἀγλαύρου — ὅρκον] Ἄγραυλος καὶ Ἕρση καὶ Πάνδροσος θυγατέρες Κέκροπος, ὥς φησιν ὁ Φιλόχορος. λέγουσι δὲ ὅτι πολέμου συμβάντος παρ' Ἀθηναίοις, ὅτε ὁ Εὔμολπος ἐστράτευσε κατὰ Ἐρεχθέως, καὶ μηκυνομένου τούτου ἔχρησεν ὁ Ἀπόλλων ἀπαλλαγήσεσθαι, ἐάν τις ἀνέλῃ ἑαυτὸν ὑπὲρ τῆς πόλεως. ἡ τοίνυν Ἄγραυλος ἑκοῦσα αὑτὴν ἐξέδωκεν εἰς θάνατον· ἔρριψε γὰρ ἑαυτὴν ἐκ τοῦ τείχους. εἶτα ἀπαλλαγέντος τοῦ πολέμου ἱερὸν ὑπὲρ τούτου ἐστήσαντο αὐτῇ περὶ τὰ Προπύλαια τῆς πόλεως· καὶ ἐκεῖσε ὤμνυον οἱ ἔφηβοι μέλλοντες ἐξιέναι εἰς πόλεμον. a.

§. 304. *τὴν ἐρυθρὰν θάλατταν*] ὡσανεὶ ἔλεγεν· πανταχοῦ τῆς οἰκουμένης. a.

§. 305. *Ἀτρεστίδα*] οὗτος Ἀτρεστίδας προδότης ἦν παρ' Ἀρκάσιν. a. 169

---

4. οἱ] οἷον r. 10. ὑπεναντίοι r. 11. λέγοι Sauppius: λέγοιτο br. 12. τουτέστιν et 13. τῶν om. b. 14. λέγεται om. r. 17. ποταμῶν r. 24. ὃν Sauppius: ὃς br. 40. ο'] τὸ r.

7. ἁπάντων Sauppius: ἁπασῶν br. cf. m et a. 10. εὐσύνοπτον m: ἀσύνοπτον b, ἀν ύποπτον r. 11. ἐπειδὴ] ἐπειδὴ δὲ r. 18. ἔστι τοίνυν etc.] §. 10. 33. ὡς add. ex m. 34. Philochor. frg. 14 Müll. 43. schol. ad §. 304 om. r. 46. παρ' add. Sauppius.

§. 310. ἀλλ' ὑπὲρ αὐτοῦ κλαήσει] ἐντεῦθεν ἡ τοῦ ἐλέου ἐκβολή. a.

§. 313. οἱ δὲ ἐπὶ τοῖς καλῶς πραχθεῖσιν ἔπαινοι] σημείωσαι περὶ ἐγκωμίων τεθνεώτων. b.

τῆς ἐπιτιμίας] τῆς εὐπορίας ἢ τῆς μὴ ἀτιμίας. b.

§. 314. θοἰμάτιον] τὸν τρίβωνα, φησί. a.

τὴν Θόλον] ὁ τόπος, ἔνθα ἐδείπνουν οἱ πρυτάνεις. b.

§. 315. βούλομαι τοίνυν] ἀνακεφαλαίωσις τῶν ἐκ τῆς δωροδοκίας κακῶν, ὧν κατεπολιτεύσατο Φίλιππος. b.

§. 318. συνεξαιρήσειν] καλῶς προσέθηκε τὸ σύν, ἀντὶ τοῦ σὺν αὐτοῖς πορθεῖν. a.

§. 322. ἐπαγωγαῖς] πειρασμοῖς, ζημίαις, αἰχμαλωσίαις. b.

§. 325. οἱ διοικισθέντες] οἱ διαιρεθέντες, ὥστε μὴ ὁμοῦ οἰκεῖν. b.

§. 326. περὶ Δρυμοῦ] πόλις μεταξὺ τῆς Βοιωτίας καὶ τῆς Ἀττικῆς. b.

§. 327. τὰ πάτρια] τὰ πάτρια ἔθη λέγει, οἷς ἐκέχρηντο οἱ πατέρες. a.

Ἀμφικτύονες] Ἀμφικτίονας τοὺς Φωκέας λέγει. a.

ἡ πόλις δὲ etc.] ἡ πόλις τῶν Ἀθηναίων. εἰ γὰρ καὶ οἱ Φωκεῖς εἶχον ταύτην, ἀλλ' οὖν γε κατὰ τιμὴν παρεχώρουν τοῖς Ἀθηναίοις, ὡς μείζοσιν. a.

§. 328. αἴνιγμα] αἰνίγματα γάρ ἐστι τὰ διὰ τῶν ἐναντίων δηλούμενα. a.

§. 330. ἔστιν ὅντιν' ὑμεῖς] ἀρχὴ τοῦ κατὰ τὴν δωροδοκίαν ἐπιλόγου. b.

ἐν πρυτανείῳ] πρυτανεῖον τὸ θεσμοθέτιον· παρὰ δὲ τοῖς Ἀθηναίοις οἰκίσκος δημόσιος, ἔνθα ἐσιτοῦντο δημοσίᾳ οἱ τῆς τοιαύτης τιμῆς παρ' αὐτοῖς τυχόντες. περισπούδαστον δὲ ἦν τῆς τοιαύτης δωρεᾶς τυχεῖν·
77 ἐπὶ γὰρ μεγάλοις κατορθώμασι τὴν τοιαύτην ἀπεδίδοντο χάριν. Ἢ πυρὸς ταμεῖον, ἔνθα ἦν ἄσβεστον πῦρ καὶ ηὔχοντο. Ὡς Ἀριστοφάνης Νεφέλαις·

πᾶς γάρ τις ὀμνύς, οἷς ὀφείλων τυγχάνω,
θείς μοι πρυτανεῖ', ἀπολεῖν μέ φησι κἀξολεῖν.

τὰ παρὰ Ῥωμαίοις καλούμενα σπόρτουλα· τὰς γὰρ δεκάτας τοῦ χρέους καταβάλλοντες τοῖς πρυτάνεσιν εἰσῆγον τοὺς χρεώστας· πρυτάνεις δ' ἦσαν ἐκ τῶν πεντακοσίων πεντήκοντα· ἐπρυτάνευον δ' αἱ ι' φυλαὶ ἐκ διαδοχῆς, κλήρῳ λαχοῦσαι. b.

§. 332. εἶπε τοίνυν μοί τις] πάλιν ἡ ἀντίθεσις αὕτη μεταστατικὴ ἐπὶ τοῖς στρατηγοῖς. a.

§. 337. τὰ Θυέστου] ἀντὶ τοῦ τὸν Θυέστην τὸ δρᾶμα. a.

ἐπὶ τῆς σκηνῆς] σκηνῆς — κοινοῖς καθ' ὁμοιότητα λέξεως· δριμύτητος εἶδός ἐστιν. b.

§. 340. ἐπιεικῶς] μετρίως. a.

§. 341. ὅτι δ' οὐ μόνον etc.] ἐκβάσεις εἰπών, τί μὲν ἀποβήσεται αὐτοῖς ὀρθῶς δικάσασι, τί δὲ μή, κατέκλεισεν ἐν τούτῳ τὴν ὑπόθεσιν. b.

XX. IN ORATIONEM ADVERSUS LEPTINEM.

§. 1. ἔστι δ' οὐκ ἄδηλον] πρώτη ἀντίθεσις τοῦ δικαίου. b.

καὶ τούτῳ πλείστῳ] κατ' ἐπίκρισιν. b.

§. 3. ἀλλὰ νὴ Δία, ἐκεῖνο ἂν ἴσως] δευτέρα ἀντίθεσις· ἀνθυποφορά. b.

τί οὖν κωλύει] λύσις κατὰ συνδρομὴν ἐξ ἀντιπαραστάσεως. b.

§. 4. ἆρ' οὖν θησόμεθα νόμον] ἐνταῦθα ἔλαβε τὸ ἀκόλουθον ἀπὸ τοῦ ὁμοίου κατ' ἐρώτησιν, ἔπειτα ἀνέτρεψεν, ὡς ἔχειν μέν τι καὶ ἄτοπον τὴν ἐρώτησιν, οὐ μὴν ἀποδεικνύμενον διὰ τῶν ἐχομένων. b.

§. 7. οὐ τοίνυν ἔμοιγε etc.] συγκρούσας ἱκανῶς διὰ τῶν προειρημένων καὶ τὴν ἀντίθεσιν Λεπτίνου, καὶ τὴν γένεσιν τῆς ἀνθυποφορᾶς χρησίμην εὑρών, καὶ προοικονομήσας διὰ τούτων τὴν οἰκείαν νομοθεσίαν, ἐπήγαγεν ἐντεῦθεν ἐπὶ τὴν ἐξ ἀρχῆς ἀντίθεσιν. καινοτομεῖ δὲ τὴν μέθοδον, κατὰ μόνων τῶν ἀναξίων πληρῶν τὴν ἔννοιαν. καί ἐστι συμπέρασμα τῶν ἀντιθέσεων ἀμφοτέρων. b.

§. 8. ἔτι τοίνυν ὑμᾶς κἀκεῖνο] πληρώσας τὸ δίκαιον ἐντεῦθεν ἐννοίας ἄρχεται τοῦ συμφέροντος· σύνηθες γὰρ αὐτῷ προλύειν τὰς ἀντιθέσεις καὶ πρὸ τῶν θέσεων. b.

§. 9. πῶς γὰρ οὐκ αἰσχρὸν] ἐπιχείρημα ἀπὸ τοῦ ἐλάττονος· οὐκ ἀπήλλακται δὲ ἤθους. b.

§. 10. οὐ γὰρ εἰ μὴ χρήματα] ἀπὸ τοῦ μείζονος, ἐξ ἐνθυμήματος. b.

§. 11. ὅτι τοίνυν] ἄλλος τόπος, εἰς τὸ αὐτὸ ἐπι- 78
χείρημα ἀπὸ τοῦ μείζονος, ἐκ παραδείγματος. b.

λέγονται χρήματ'] ἔστι μὲν τόπου δεῖγμα ἱστορικόν, πρὸς πίστιν τῶν προκειμένων εἰρημένον· ὅσην δὲ ἔχει καὶ δεινότητα καὶ χάριν, ἄξιον συνιδεῖν. b.

---

9. τῶν ἐκ m: ἐκ τῶν br. 30 sqq. cf. Suidas p. 3150. D sq. 32. οἱ add Sauppius. 36. Νεφέλαις] φησί r. — v. 1133 sq. 37. ὀμνύς Aristophanes: ὀμνύσ' br. 38. πρυτανεῖ' ἀπολεῖν — κἀξολεῖν Aristophanes: πρυτανεῖα ἀπολεῖ — κἀξολεῖ br. 43. ι' add Sauppius. cf. Suid.

5. Schol. ad §. 340 et 341 om. r. 20. ἀντιπαραστάσεως mr: ἀντιπεριστάσεως b. 31 μόνων m: μόνην br. ἀναξίων] ἀναξίου r.

§. 15. *νομίζω τοίνυν ὑμᾶς*] ἐπιχείρημα ἀπὸ τοῦ ἴσου· ὅρα δὲ πῶς ἐφ' ἑκάστῳ προοιμιάζεται. b.

§. 18. *τάχα τοίνυν ἴσως*] ἀντίθεσις ἀπὸ τοῦ συμφέροντος κεφαλαίου· καὶ ταύτῃ μάλιστα Λεπτίνης ἰσχύει. ἡ δὲ λύσις αὐτῆς κατὰ συνδρομήν, ὅ ἐστι κατὰ ἀντιπαράστασιν. b.

τῶν μετοίκων] μέτοικοι οἱ ἀφ' ἑτέρας πόλεως μεταστάντες καὶ εἰς ἑτέραν οἰκοῦντες· ἐδίδοντο δὲ ὑπ' αὐτῶν καθ' ἕκαστον ἔτος δραχμαὶ δώδεκα, ὅπερ ὠνόμασται μετοίκιον· οἱ κωμικοὶ δὲ σκαφέας τοὺς μετοίκους ὠνόμαζον, ἐπεὶ ἐν ταῖς πομπαῖς τὰς σκάφας ἐκόμιζον οὗτοι. b.

§. 21. *πόσοι δήποτ' εἰσὶν*] ἀπὸ τοῦ πόσοι ἕως τοῦ *ἑστιάτορες* οὐδεμία στιγμὴ μεταξύ. b.

γυμνασίαρχοι] γυμνάσια· βαλανεῖα ἢ ἀλειπτήρια ἢ λουτρά. τρία δὲ γυμνάσια τῆς Ἀττικῆς· Ἀκαδημία, Λύκειον, Κυνόσαργες. b

§. 23. *εἰ δὲ δὴ τὰ μάλιστα*] ἄλλος τρόπος λύσεως· καὶ τῷ καθ' ὑπόθεσιν σχήματι κέχρηται ἐκ περιουσίας. b.

§. 24. *οὕτω τοίνυν τινὲς*] ἄλλης ἀντιθέσεως ἅπτεται. ἔστι δὲ τοῦ αὐτοῦ κεφαλαίου δηλαδή· ἔστι δὲ κατὰ μείωσιν συγκριτικῶς. b.

§. 25. *χωρὶς δὲ τούτων*] λύσις. b.

ἐγὼ μὲν γὰρ εὔχομαι τοῖς θεοῖς] ἠθικώτερον. b.

§. 28. *διείρηκεν*] διαρρήδην εἶπεν. b.

οὐκοῦν οἱ μὲν etc.] περὶ τῶν εἰσφερόντων μόνον εἰς τὸν πόλεμον καὶ περὶ τῶν τριηραρχούντων ἅμα καὶ εἰσφερόντων Less

§. 29. *ἔτι δ', ὦ ἄνδρες δικασταὶ*] δοκεῖ τοῦ νομίμου κεφάλαιον εἶναι. οὐκ ἔστι δέ, ἀλλὰ τοῦ συμφέροντος μᾶλλον· ἔστι δὲ τὸ ἐπιχείρημα ἀπὸ τοῦ ἐλάττονος, μᾶλλον δὲ ἀπὸ τοῦ ἐλλείποντος, ἢ ἀπὸ τοῦ ἀδιορίστου. b.

ἐν δὲ τῷ τῶν ξένων. περὶ Λεύκωνος, ἄρχοντος Βοσπόρου b.

79 §. 33. *Θευδοσίαν*] Θευδοσία χωρίον κείμενον ἐγγὺς Σκυθῶν, ὃ πολιορκῶν Σάτυρος ἐτελεύτησεν. b

§. 36. *ἐφ' Ἱερῷ*] τόπος ἐστὶ περὶ τὸν Ἑλλήσποντον, οὕτω καλούμενος διὰ τὸ τοὺς Μινύας ἱδρύσασθαι ἱερὸν τῶν δώδεκα θεῶν, στελλομένους ἐπὶ τὸ χρυσόμαλλον δέρας. b.

§. 38. *ἐὰν δὲ δὴ πέμψῃς ὡς ἡμᾶς*] ἐν καιρῷ κέχρηται τῇ πλάσει· ἐναργέστερος γὰρ ὁμοῦ καὶ ἐμψυχότερος ὁ λόγος γίνεται. b.

§. 39. *παρὰ πᾶσι γὰρ ἀνθρώποις*] σημείωσαι ὅμοιον τούτῳ τὸ τοῦ Θεολόγου. b.

§. 42. *ἐπαγγειλάμενος*] παρακαλέσας, ἀξιώσας. b.

§. 60. *προξενίαν*] ὑποδοχήν, προστασίαν. b.

§. 67. *πάνυ τοίνυν ἀχθοίμην ἂν*] ἐντεῦθεν προοιμιάζεται μέλλων ἑτέρας μερίδος ἄρχεσθαι, τοῦ περὶ τῶν πολιτῶν δηλονότι λόγου. b.

§. 68. *ἁρμοστὰς*] ἁρμοσταί· οἱ ἐκπεμπόμενοι ἄρχοντες εἰς τὰς ὑπηκόους πόλεις. b.

§. 71. *ἐπετιμήθη*] ἐδοξάσθη. b.

§. 75. *ἀλλὰ νὴ Δία τὸν παῖδα τὸν Χαβρίου*] τὸ μὲν σχῆμα τῆς μεταβάσεως πάνυ θαυμαστόν· τὸ γὰρ μὴ ἐκ περιβολῆς μηδὲ πεφροντισμένως ποιήσασθαι τὴν ἀρχὴν ἀφείλετο τὴν ὑπόνοιαν τοῦ δοκεῖν πρὸς χάριν ὑπὲρ τοῦ Χαβρίου παιδὸς λέγειν. ἔστι δὲ ἠθικὴ ἡ διάνοια, ὡς ἂν τοῦ πράγματος ἔχοντος τῆς ἀτοπίας τὸν ἔλεγχον, εἰ ἐπὶ τοσούτοις καὶ τηλικούτοις εὐεργετημένοι ἀφέλοιντο τὴν ἀτέλειαν· οὐ μὴν ἀλλὰ κἀκεῖνο κατιδεῖν ἄξιον, ὅτι πανταχοῦ τὸν παῖδα συμπλέκει τῷ τοῦ πατρὸς ὀνόματι καὶ τοῖς ἀπὸ τοῦ πατρὸς εἰς ἀπόδειξιν κέχρηται. b.

§. 79. *καὶ γὰρ ἂν ἄλογον εἴη*] σημείωσαι· ἐκ τοῦ ἐναντίου πλαστόν. b.

§. 87. *σκοπεῖτε δὴ καὶ λογίσασθε*] ἐπίλογος τούτου τοῦ μέρους. b.

§. 92. *ψηφισμάτων δ' οὐδ' ὁτιοῦν*] σημείωσαι. περὶ νόμου καὶ ψηφίσματος. b. 80

§. 93. *συνίεθ' ὃν τρόπον*] περὶ νόμου. b.

§. 94. *πρόσθε τῶν ἐπωνύμων*] τῶν φυλῶν ἐπώνυμοι ἥρωες. οἵπερ ἦσαν δέκα, ὥσπερ Ἐρεχθεὺς Πανδίονος. b.

§. 95. *διώκομεν*] εἰς κρίσιν ἄγομεν. b

§. 104. *καὶ μὴν κἀκεῖνος τῶν καλῶς δοκούντων*] περὶ τοῦ μὴ λέγειν κακῶς τὸν τεθνεῶτα. b.

§. 112. *ἔστι τοίνυν τις πρόχειρος λόγος*] ἀντιθέσεις τοῦ ἔθους παραδειγματικαί· ἡ δὲ λύσις κατὰ ἔνστασιν. b.

ἐν τοῖς Ἑρμαῖς] ἀπὸ τῆς Ποικίλης καὶ τῆς τοῦ βασιλέως στοᾶς εἰσιν οἱ Ἑρμαῖ καλούμενοι· ἐκαλοῦντο δέ τινες καὶ Ἱππάρχειοι Ἑρμαῖ, ἀπὸ Ἱππάρχου, τοῦ Πεισιστράτου. b. τρεῖς ἦσαν Ἀθήνησι στοαί, ἡ μὲν βασίλειος, ἡ δὲ τῶν Ἑρμῶν, ἡ δὲ Πεισιανάκτειος ἀπὸ Πεισιάνακτος τοῦ κτίσαντος· αὕτη δὲ γραφέντων ἐν αὐτῇ τῶν ἐν Μαραθῶνι καὶ ἄλλων τινῶν Ποικίλη ἐκλήθη. Less.

§. 120. *οἶμαι τοίνυν καὶ τοῦτον τὸν λόγον*] σημείωσαι· ἀντίθεσις. b.

---

7 sqq. cf. Harpocrat. p. 126, 29 sqq. Suidas p. 2479. B. 15 sqq. Suidas p. 852. E. 36. ἄρχοντος] ἀρχηγοῦ r. 43. τῶν] τὸν b. 47 ἐμψυχότερος m: εὐψυχότατος br.

6. μερίδος ἄρχεσθαι] μερίδας δέχεσθαι r. 29 sq. cf. Schol. ad or. 24 §. 18. 38 sqq. cf. Harpocr. p. 86, 4. 40. ἱππαρχεῖοι r. 42. πεισανακτὶς — πεισάνακτος Less.

ἐγὼ δ' ὑπὲρ ὧν μὲν τῇ πόλει καταλείπειν] τῷ συμβησομένῳ λύει. b.

§. 125. ὃν τοίνυν κακουργότατον οἴονται] ἀντίθεσις. b.

ἐγὼ δὲ τὸ μέν τινας] λύσις ἐκ περιτροπῆς. b.

§. 126. ὅτι δ' οὐκ ἔστι ταὐτὸ] λύσις ἐκ διαιρέσεως. b.

§. 131. ἔτι τοίνυν ἴσως] ἀντίθεσις ἀπὸ τῆς ποιότητος τῶν εἰληφότων. b.

ἐπισύροντες] ἀντὶ τοῦ διασύροντες. b.

ὅταν ταῦτα λέγωσι] λύσις κατὰ ἔνστασιν. b.

§. 133. πρόξενοι] προστάται πόλεως καὶ φροντισταί. b.

§. 134. ὃ τοίνυν μάλιστα πάντων οἶμαι] ἐπίλογος. εἰς πολλὰ δὲ μέρη τὸν ἐπίλογον διαιρεῖ, πρῶτον εἰς τὴν ποιότητα τῆς πόλεως, δεύτερον ἀπὸ τοῦ ἀπρεποῦς καὶ αἰσχροῦ, καὶ ἀπ' ἄλλων. b.

§. 143. ὥσπερ ἂν εἴ τις μεγάλας τὰς τιμωρίας] ἀντιστροφή, ὡς τό· ἂν μέν, ὅσα ἄν τις λάβῃ, καὶ σώσῃ, μεγάλην ἔχει τῇ τύχῃ τὴν χάριν, ἂν δ' ἀναλώσας λάθῃ, συνανάλωσε καὶ τὸ μεμνῆσθαι τῇ τύχῃ τὴν χάριν. b.

81 §. 145. τῶν γραψαμένων] γραφὴ δημοσίου τινός ἐστιν ἐγκλήματος ὄνομα. οὐ μόνον δὲ ὅταν ψηφίσματος ἢ νόμου κατηγορῇ τις, παρανόμων γραφὴν ἀποφέρεσθαι καὶ γράφεσθαι λέγεται, ἀλλὰ καὶ ἐπ' ἄλλοις πολλοῖς δημοσίοις ἀδικήμασιν. πολλὴ δὲ ἡ χρῆσις τοῖς ῥήτορσιν. b.

διεγράψατο] ὅταν ἀπαλλαγῇ τοῦ ἐγκλήματος ὁ φεύγων, ἢ κατὰ συγχώρησιν τοῦ διώκοντος, ἢ κατὰ διάγνωσιν τοῦ ἄρχοντος, καὶ μηκέτι παρὰ μηδενὸς ἐγκαλῆται, διαγραφὴ λέγεται τότε δίκης. b.

§. 147. διαδικασίαν] διαδικασία ἡ ἐπίκρισις τοῦ ἐπιτηδείου πρὸς λειτουργίαν, ἣν ποιοῦνταί τινες τοῖς μέλλουσι χορηγεῖν, οὓς ἂν ὁρισθῆναι βούλωνται, πότε χρὴ λειτουργεῖν αὐτούς. b.

§. 152. συνδικῆσαι] συμφωνῆσαι. σύνδικοι οἱ ἐν ταῖς δίκαις βοηθοί, οἱ συνήγοροι. ὅταν πλείονες παρῶσι τῷ πράγματι. b.

§. 153. γέλοιον (sic)] γέλοιος ὁ καταγέλαστος· γελοῖος ὁ γελωτοποιός. b.

§. 156. ἐνδείξεις] ἔνδειξις ἀπολογία, καὶ εἶδος κατηγορίας, ἡ τῶν κακούργων πρὸς τοὺς ἕνδεκα παράδοσις· ἕνδεκα ἄρχοντες Ἀθήνησιν, οἷς παρεδίδοντο οἱ θανάτῳ καταδικασθέντες. καὶ ἄλλως· ἐάν τις ἄτιμος ὢν ἢ ὠφληκὼς τῷ δημοσίῳ καὶ μὴ ἐκτετικὼς ἄρχειν ἢ δικάζειν ἐπιχειροίη, τοῦτον ἐνδείκνυσιν ὁ βουλόμενος τῶν πολιτῶν· ὁμοίως καὶ τὸν ἀντιποιούμενον πράξεων ἢ τόπων ἀπηγορευμένων τοῖς νόμοις· οἷον τὸν ἡταιρηκότα τῆς ἀγορᾶς καὶ τοῦ λέγειν ἐν τῷ δήμῳ· ἔτι τὸν κακῶς λέγοντα τοὺς τετελευτηκότας ἀδίκως. ἔπειτα τοῖς ἁλοῦσι τούτων τινὸς τιμῶσιν οἱ δικασταί, τί χρὴ παθεῖν ἢ ἀποτῖσαι. ἤδη δὲ καὶ ἐπὶ τῶν φυγάδων, ὅπου μὴ ἔξεστι, κατιόντων ἡ ἔνδειξις. b.

§. 158. χέρνιβος] εἴη ἂν ἀπὸ εὐθείας τῆς χέρνιψ· προπαροξυτόνως δὲ παρὰ τοῖς ποιηταῖς κατὰ τὴν ἀναλογίαν καὶ ἐν χρήσει. χερνιπτομένους δὲ παρ' αὐτοῖς τοῖς βωμοῖς ἀπέκτειναν, ἀντὶ τοῦ νιπτομένους. b.

§. 161. ἐλπίζειν] σημείωσαι, ὅτι ἀδιαφόρως τῷ 82
προσδοκᾶν καὶ τῷ ἐλπίζειν κέχρηται. b.

πάντα δ' ἀνθρώπινα ἡγεῖσθαι] τὸ μηδὲν ἀπελπίζειν, ὅτι τὰ ἀνθρώπινα εὐμετάβολα. b.

§. 162. ὁ νῦν ὢν Διονύσιος] περὶ οὗ παροιμία· Διονύσιος ἐν Κορίνθῳ. b.

XXI. IN ORATIONEM IN MIDIAM.

ὅρος κατὰ σύλληψιν. b.

§. 1. Τὴν μὲν ἀσέλγειαν etc.] τὸ προοίμιον ἐξ ὑπολήψεως τοῦ κατηγόρου κατ' αὐτοῦ τοῦ τὸ ἔγκλημα ἔχοντος. ἔνθα φησὶν ὁ Ἑρμογένης, ὅτι περὶ αὐτῶν ὑπολήψεις ἢ χρησταὶ συνίστανται ἢ πονηραί. κατηγοροῦντες μὲν οὖν τὰς φύσει προσούσας φαύλας βεβαιώσομεν, τὰς δὲ χρηστὰς διαλύσομεν. ἐνταῦθα οὖν ὁ ῥήτωρ τὰς φαύλας βεβαιοῖ, τῶν δὲ χρηστῶν οὐ μέμνηται. b.

προὐβαλόμην] ἀντὶ τοῦ προβολῇ ἐχρησάμην, τῇ συνήθει καὶ νομιζομένῃ κατὰ τῶν περὶ τὴν ἑορτὴν ἀδικούντων. ἐν δὲ τῷ ὑπὲρ Κτησιφῶντος καὶ τῷ κατ' Αἰσχίνου τὴν προαίρεσίν φησι τῆς πολιτείας προβεβλημένην, ἀντὶ τοῦ ἄπιστον εἰπεῖν καὶ ἐλαφρῶς ἔχουσαν. b.

§. 2. κατεχειροτόνησεν] ἀντὶ τοῦ κατεψηφίσατο αὐτοῦ. καταχειροτονία δὲ καὶ ἀποχειροτονία διαφέρει· καταχειροτονία μὲν γὰρ ἐγένετο οὕτως. ἔλεγεν ὁ κῆρυξ· ὅτῳ Μειδίας δοκεῖ ἀδικεῖν, ἀράτω τὴν χεῖρα· εἶτα οἱ θέ-

---

19 sqq. Demosth. 1 §. 11. 23 sqq. cf. Suidas p. 844. A. 27. πολλὴ δὲ ἡ] πολλή ἐστι r. 29 sqq. cf. Suidas p. 935. C. 31. τοῦ ἄρχοντος Hemsterhusius ad Thom. Mag. p. 212: τυχόντος br. 45 sqq. cf. Suidas p. 1240. C. 4. τόπων] πόνων r. 9. μὴ] μὲν r. 10 sqq. cf. Suidas p. 3892. C. 28. ὑπολήψεως τοῦ m: ὑπολήψεως ἐκ τοῦ br. 29. Hermog. p. 71, 5 W. 32. βεβαιώσομεν — διαλύσομεν b. 35 sqq. Suid. p. 3081. B. 37. Demosth. 19 §. 27. — scholii auctor Suidae verba non intellecta turbavit.

λοντες ἐξέτεινον τὰς χεῖρας, καὶ ἐκαλεῖτο τοῦτο πρῶτον καταχειροτονία. ἀποχειροτονία δὲ οὕτως· ὅτῳ μὴ δοκεῖ ἀδικεῖν Μειδίας, ἀράτω τὴν χεῖρα· καὶ ἐξέτεινόν τινες, καὶ ἐκαλεῖτο ἀποχειροτονία. λοιπὸν πάσας ἠρίθμουν τὰς χεῖρας καὶ ἑώρα ὁ κῆρυξ, ποῖαι πλείους εἰσί, πότερον τῶν φασκόντων αὐτὸν ἀδικεῖν ἢ μή· καὶ ὅσαι ἂν εἴησαν πλείους εὑρεθεῖσαι, ἐκείνη ἡ γνώμη ἐκράτει. b.

§. 3. οὕτω δὲ τούτων ἐχόντων] συμπέρασμα τῶν κειμένων ἐν τῷ πρώτῳ μέρει τοῦ προοιμίου. b.

83 ἐπειδή τις εἰσάγει] εἰσαγωγὴ γάρ ἐστιν Ἀθήνησιν ἀρχὴ τῶν τὰ ἐγκλήματα εἰσαγόντων. b.

§. 4. οὐ γὰρ ἂν καταγνοίην] πληρώσας τὴν προκατασκευὴν ἐν τῷ προοιμίῳ διπλοῦν ἐπήγαγε τὸ συμπέρασμα, τὸ μὲν εἰς τὴν πρώτην πρότασιν, ὅτι πάντας ὑβρίζει Μειδίας καὶ οὐ χρὴ συγχωρῆσαι ὥστε καὶ τὸ λοιπὸν ἀδεῶς ὑβρίζειν, τὸ δὲ εἰς τὴν προκατασκευήν, ἵνα μὴ ἐναντία ποιήσητε χρήματα λαβόντες οἷς πρότερον ἠξιοῦτε. καὶ ἐτελεύτησεν αὐτοῦ τὸ συμπέρασμα εἰς τελικὸν κεφάλαιον τὸ συμφέρον. διὰ τοῦτο γάρ φαμεν συγγένειαν ἔχειν τὰ προοίμια πρὸς τοὺς ἐπιλόγους, διότι κἀκεῖνοι συμπληροῦνται τοῖς τελικοῖς κεφαλαίοις. b.

§. 5. εἰ μὲν οὖν] τὸ μὲν πρῶτον προοίμιον, τοῦ πραγματικοῦ πλεῖστον μετέχον, ἔλαττον εἶχε τὸ παθητικόν· ἐν δὲ τούτῳ πλέον βούλεται κινῆσαι τὸ πάθος, ἵνα πανταχόθεν τὸν δικαστὴν χειρώσηται. εἰς τελικὸν δὲ κεφάλαιον τὸ δίκαιον κατέληξε τὸ συμπέρασμα τῆς πρώτης προτάσεως. b.

§. 7. ἔπειτ', ἐὰν ἐπιδείξω] ὅτι τὸ συμπέρασμα τῆς προκατασκευῆς εἰς τελικὸν κεφάλαιον τὸ συμφέρον ἔληξεν. b.

§. 8. εἴ τις ὑμῶν ἄρα] τρίτον προοίμιον. ἐντεῦθεν καθαρῶς εἰς αὐτὴν τὴν προκατασκευὴν εἰσβέβληκεν, ἥτις ἐστὶν ὁ δεύτερος ὅρος, ὅτι πάντα τὰ ἐν τῇ ἑορτῇ γενόμενα δημόσιά ἐστιν. b.

τὸν νόμον] ὁ νόμος κατασκευάζει τὸν ὅρον τοῦ πάντα τὰ ἐν τῇ ἑορτῇ γινόμενα δημόσια δοκεῖν εἶναι. b.

§. 9. τὰ Πάνδια] Πανδῖα καὶ Πάντια ἡ σελήνη, ὅτι πάντοτέ ἐστι καὶ λάμπει, ἔν τε νυκτὶ καὶ ἡμέρᾳ· Πανδῖα δὲ ἴσως διὰ τὸ πάντοτε διεῖναι. ὁ μὲν γὰρ ἥλιος ἐν ἡμέρᾳ μόνῃ θεωρεῖται, ἡ δὲ σελήνη καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτί. Διόνυσον δὲ λέγει τὸν Ἥλιον ἤτοι τὸν Ἀπόλλωνα. b.

84 οἱ πρόεδροι] πρόεδροι· οἱ πεμπόμενοι ἐν τῇ βουλῇ παρὰ τῆς πρυτανευούσης φυλῆς· οὗτοι δὲ πάλιν ἐπέμποντο παρὰ τῆς βουλῆς εἰς τὸν δῆμον, καὶ προκαθεζόμενοι ἐν τῷ θεάτρῳ ἠρώτων τὸν δῆμον, εἰ δοκεῖ αὐτοῖς ἐπισκέψασθαι περὶ τῶν κατὰ τὴν ἑορτήν· καὶ ἐπειδὴ προήδρευον τῶν ἄλλων ἁπάντων. b.

§. 10. τῶν ὑπερημέρων] οἱ ἐν ταῖς καταδίκαις πρὸς ἔκτισιν ἡμέρας λαβόντες καὶ μὴ διαλυσάμενοι. — οἱ δίκην ὀφείλοντες ὁποιανοῦν καὶ τὰ ἐπιτίμια τοῖς ἑλοῦσι μὴ ἀποδιδόντες ἐν ταῖς τακταῖς προθεσμίαις ὑπερήμεροι ἐκαλοῦντο, ἤγουν ὑπερπρόθεσμοι ἢ ἐκπρόθεσμοι. τὸ δὲ πρᾶγμα ὑπερημερία. b.

προβολαί] γραφαὶ κατὰ τῶν συκοφαντούντων. b.

§. 12. βούλομαι δ' ἕκαστον] πληρώσας τὴν προκατασκευήν, ἐν ᾗ πάντα τὰ γιγνόμενα περὶ τὴν ἑορτήν, κἂν εἰς ἰδιώτην ᾖ, δημόσια ἀπέδειξε, μεταβαίνει λοιπὸν ἐπ' αὐτὴν τὴν κατάστασιν· οὐκέτι γὰρ ὡς ἰδιωτικῶν ἀκούσονται τῶν πραγμάτων. κέχρηται οὖν προοιμίῳ καταστατικῷ, τῷ βούλομαι δ' ἕκαστον ἀπ' ἀρχῆς ὧν· τὸ δ' αὐτὸ καὶ ἐπαγγελίαν τινὲς καλοῦσιν, ὃ σύνοψιν ποιεῖται τῶν λεχθησομένων ἐν τῇ καταστάσει. τὸ γὰρ τοιοῦτον καὶ εὐκρινῆ ποιεῖ τὸν λόγον καὶ προσέχειν ἄξιον. b.

§. 13. ἐπικληροῦν] ὅταν παῖς ὀρφανὴ πατρὸς καὶ μητρός, ἀδελφῶν τε οὖσα ἔρημος, καὶ ταύτῃ τύχῃ ὑποκειμένη οὐσία, ταύτην καλοῦσιν ἐπίκληρον, ὁμοίως δὲ καὶ τὴν ἤδη γεγαμημένην, ὅταν ᾖ ἐπὶ τῇ οὐσίᾳ ὅλῃ καταλελειμμένη. καλοῦσι γὰρ καὶ τὴν οὐσίαν κλῆρον. καλεῖται δὲ ἐπίκληρος καὶ ἡ μηδέπω γεγαμημένη, ἀλλὰ παρὰ τῷ πατρὶ οὖσα· καθότι καθήκει αὐτῇ πᾶσα ἡ οὐσία. ἦν δὲ καὶ νόμος, μὴ κληρονομεῖν τοὺς νόθους· διὰ χειρὸς δ' ἐδίδοτο τἀργύριον, μέχρι πέντε μνῶν, πλέον δ' οὔ. b.

§. 17. τὰ παρασκήνια] ἔοικε δὲ καλεῖσθαι παρασκήνια ὁ περὶ τὴν σκηνὴν ἀποδεδειγμένος τόπος ταῖς εἰς τὸν ἀγῶνα παρασκευαῖς. ὁ δὲ Δίδυμος τὰς ἑκατέρωθεν τῆς ὀρχήστρας εἰσόδους οὕτω φησὶ καλεῖσθαι. b.

§. 24. βούλομαι δὲ πρὸ τούτων εἰπεῖν] μέλ- 85
λων εἰς τοὺς ἀγῶνας ἐμβάλλειν προοιμίῳ κέχρηται, βουλόμενος προσεχεστέρους ποιῆσαι τοὺς ἀκούοντας. b.

§. 25. ἔστι δὲ πρῶτον μὲν] πρότασις. b.

ὡς εἴ περ ἀληθῶς] ὑποφορά, ὅρος παραγραφικός. b.

δίκας ἰδίας μοι προσῆκεν αὐτῷ λαχεῖν] ὅτι ἔβλαψε καὶ ὕβρισε, δημοσίᾳ δὲ οὐκ ἠδίκησεν. b.

§. 26. ἐγὼ δὲ ἓν μὲν ἐκεῖνο εὖ οἶδα] ἀντιπρότασις, λύσις, ἢ καὶ ἀνθυποφορά. b.

§. 29. οἶδα τοίνυν ὅτι καὶ τούτῳ πολλῷ] οὗτός ἐστιν ὁ κύριος ὅρος, ειδικῶς ἐπηγμένος· διὸ καὶ ὀνόματι προήγαγε· καὶ πολλῷ, φησί, χρήσεται

7. εἴησαν Sauppius: ἦσαν br. 8. ἐκείνη Sauppius: ἐκεῖ καὶ br. 14. προκατασκευὴν m: κατασκευὴν br. 16. Μειδίας m: μεθ' ὧν br. 36. γινόμενα r. 39. πάνδια br. item v. 42.

7. ἐπειδὴ etc.] Suid. p. 3089. C. 4 sqq. Suidas p. 3696. C. 21 sqq. Suidas p. 1361. C. 31 sqq. Suidas p. 2861. C.

τῷ λόγῳ, ἀληθῆ λέγων. ἐπ' οὐδενὶ γὰρ ἑτέρῳ, ὡς ἐπὶ τούτῳ, καταφεύξεται Μειδίας, τῷ ἰδιωτικὸν ἀποφῆναι τὸν ἀγῶνα. μία δέ ἐστιν ἡ ἀντίθεσις, εἰς τρία κῶλα μερισθεῖσα. b.

§. 31. ἀλλὰ μὴν πρός γε τὸ τοιοῦτον] ὁ ὅρος τοῦ φεύγοντος· ὕβρισται Δημοσθένης· ὁ ἀνθορισμὸς τοῦ διώκοντος· οὐκ ὄντα μόνον Δημοσθένην, ἀλλὰ καὶ χορηγόν· ὅτι οὐ μόνον ὑβριστής, ἀλλὰ καὶ ἀσεβὴς ὁ Μειδίας. ἔστι τοῦτο ὅρος διπλοῦς κατὰ σύλληψιν. b.

οὐ γὰρ εἰς Δημοσθένην] μὴ ἔχων δεῖξαι, ὅτι ἄρχων ἐστίν, ἐκ τῆς τοῦ ὁμοίου παραθέσεως διὰ συλλογισμοῦ συνίστησι καὶ παραδείγματος. b.

§. 33. ἐὰν μὲν ἐστεφανωμένον] συλλογισμός. b.

οὕτω τοίνυν καὶ ἐμέ] κατασκευὴ τῆς ἀσεβείας ἀπὸ τοῦ χρόνου. — τοῦτό ἐστι συλλογισμὸς εἰδικῶς εἰσηγμένος. ἐπειδὴ γὰρ ὁ πρότερος καθόλου ὢν ἀγνωστότερος ἦν τοῖς ἀκούουσι καὶ βιαιότερος, διὰ τοῦτο ἐπήγαγε τὸ εἰδικόν, συνάπτων ἑαυτὸν τῷ καθόλου καὶ πιθανώτερον ποιῶν τὸν συλλογισμόν. b.

§. 34. εἰ δὲ χορηγὸν ὄντα ὑμέτερον] κατασκευὴ τοῦ ἀνθορισμοῦ ἐκ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους. b.

86 ἱερομηνίας] ἱερομηνία· ἱερὰ ἑορτὴ κατὰ μῆνα. b.

ἅμα γὰρ τῷ Δημοσθένει καὶ ὁ χορηγὸς ὑβρίζετο] τοῦτό ἐστι τὸ κατὰ σύλληψιν νόημα. μετὰ γὰρ τὸν ἀνθορισμόν, ὃν ἐβεβαίωσε τῷ συλλογισμῷ, ἀναγκαῖον ἦν ἐπάγειν τὸ κατὰ σύλληψιν, ὥστε συλλαβεῖν αὐτῷ καὶ τὸν ὅρον καὶ τὸν ἀνθορισμόν. b.

χρὴ δέ, ὅταν μὲν τίθησθε τοὺς νόμους] ἐντεῦθεν ἡ τοῦ νομοθέτου διάνοια, ἵνα καὶ ἐξ αὐτῆς βεβαιώσῃ τὸν συλλογισμόν. b.

§. 35. ἦν ὁ τῆς] ἐπαναφορὰ τὸ σχῆμα, ὅταν ὁλόκληρος λέξις ἐπ' ἀμφοῖν τοῖν κώλοιν κατ' ἀρχὰς γένηται, καί ἐστιν ἐπιμελείας καὶ κάλλους. b.

ἀπεχρη] ἤρκει. b.

§. 36. ἀπήγγελλε τοίνυν τίς μοι] συγγνωμονικόν. b.

§. 38. ἔτι τοίνυν] ὁρᾷς, ὅπως συγγνωμονικὴν ἐποίησε τὴν ἀντίθεσιν, λέγων ὅτι οὐκ ἄξιός ἐστι συγγνώμης. εἶτα κέχρηται ἀντεξετάσει διπλῇ, τίνα μὲν Μειδίᾳ πέπρακται καὶ τοῖς ἄλλοις ὑβρισταῖς, τίνα δὲ αὐτῷ καὶ τοῖς ὑβρισθεῖσιν. b.

§. 40. εἰ μὲν τοίνυν αὐτὸν τὸν Μειδίαν πεποίηκε κατηγοροῦντα τοῦ προέδρου καὶ τοῦ θεσμοθέτου, ὅτι τοῖς ὑβρίσασιν οὐκ ἐπεξῆλθον. b.

§. 41. ὀργῇ νὴ Δία] συγγνωμονικὴ ἀντίθεσις. b.

§. 42. ἀλλὰ μὴν ὁπηνίκα καὶ πεποιηκὼς] κατασκευή· ὅτι τοῖς ἑκουσίως πλημμελοῦσιν οὐδεμίαν χρὴ συγγνώμην ἀπονέμειν· τῆς γὰρ συγγνωμονικῆς ἀντιθέσεώς ἐστιν ἡ λύσις. b.

§. 43. ἐπειδ' οἱ φονικοὶ] περὶ φόνου διαφορᾶς. b.

§. 44. τὴν ἐξούλης ἰδίαν] οἱ δίκην νικήσαντες, ὥστε ἀπολαβεῖν χωρίον ἢ οἰκίαν, ἔπειτα ἐμβατεύειν κωλυόμενοι ἢ ἐμβατεύσαντες ἐξελαυνόμενοι, δίκην εἰσάγουσι πρὸς τοὺς ἐξελαύνοντας ἢ οὐκ ἐῶντας ἐμβατεύειν· καὶ αὕτη ἡ δίκη ἐξούλης καλεῖται. εἴρηται δὲ ἀπὸ τοῦ ἐξέλλειν· οἱ παλαιοὶ γὰρ τὸ κωλύειν καὶ ἀπελαύνειν ἐξέλλειν ἔλεγον. b.

§. 45. τὰς μὲν γραφὰς] τὰς κατηγορίας ἢ τῶν νόμων ἢ τῶν ψηφισμάτων καλοῦσι παρανόμων γραφήν, καὶ ἐπ' ἄλλοις πολλοῖς δημοσίοις ἀδικήμασιν. b.

§. 47. εἰς τὴν Ἡλιαίαν] εἰς τὸ δικαστήριον. b. 87

§. 50. προξένους] προστάτας, φροντιστάς. b.

τὸν τοίνυν μὴ παρὰ τοῖς Ἕλλησι μόνον] συμπεράσματι κέχρηται τοῦ νοήματος, μᾶλλον δὲ ὅλης τῆς ἀντιθέσεως, δεικνύς· οὐδεμιᾶς φιλανθρωπίας ἄξιος ὁ Μειδίας. b.

§. 51. εἰ μὲν τοίνυν] ἐντεῦθεν εἰσέβαλεν εἰς τὸ πρός τι, βουλόμενος αὐξῆσαι τὸ ἔγκλημα. καὶ γέγονεν ἀκόλουθος ἡ εἰσαγωγὴ τοῦ κεφαλαίου. ηὔξησε τὸ κεφάλαιον ἐκ τῶν τεσσάρων τόπων τοῦ πρός τι, τοῦ μείζονος, τοῦ ἐλάττονος, τοῦ ἐναντίου, καὶ τοῦ ἴσου. b.

κατὰ τὰς μαντείας] ὁ τύπτων τοὺς κατὰ τὰς μαντείας ἐστεφανωμένους εἰς τὰς μαντείας ἀσεβεῖ. b.

§. 52. ἀνάγνωθι δέ μοι] πρῶτον ἀπὸ τοῦ μείζονος. b.

§. 56. καὶ μὴν ἴστε γε τοῦτο, ὅτι βουλόμενοι] δεύτερον ἀπὸ τοῦ ἐλάττονος κατασκευάζει τὴν κατὰ Μειδίου. b.

§. 57. εἶτα τὸν μὲν χορευτὴν] κατὰ τὸν νόμον τὸν εἴργοντα ξένον ἀγωνίζεσθαι. b.

ὁ προκαλέσας (sic) πρόκλησις τὸ προκαλεῖσθαι εἰς δικαστήριον. ἀντιπροκλήσεις δὲ ἀντεγκλήματα. ἀντιλογίας. b.

§. 58. φέρε δὴ πρὸς θεῶν] ἕτερον παράδειγμα ἀπὸ τοῦ ἐλάττονος, τὸ κατὰ τοὺς ἀτίμους, πολλῷ ἔλαττον ὂν τοῦ κατὰ τοὺς ξένους. b.

παραιτήσομαι] ἀντὶ τοῦ ἱκετεύσω. b.

§. 61. ἰδιώτην] ἀντὶ τοῦ πολίτην. ἰδιώτας λέγει Ἀριστοφάνης τοὺς ἰδίους· περὶ τοὺς ξένους καὶ

13. παραδείγματος Meier: παράδειγμα br. 17. ἀγνωστότερος m: γνωστότερος br. 39. ἄξιός — συγγνώμης m: — συγγνώμη ἀξιῶ br. 41. αὐτῷ br. 45. ἐπεξῆλθον m: ἐπεξῆλθεν b. ἐπεξῆλθει r.

7 sqq. Suidas p. 1304. D. 9. ἢ ἐμβ. Valesius: μὴ ἐμβ. br. 12. 13. immo ἐξίλλειν. 14 sqq. Suidas p. 844. A. 15. καλοῦσι Sauppius: καὶ br. cf. schol. 20 §. 145. 43 ὂν τοῦ m: τὸ br. 45 sqq. Suidas p. 1732 C. 46 Aristoph. Ran. 462.

τοὺς ἰδιώτας. κατὰ παραγωγὴν ἴδιος ἰδιώτης· λέγεται δὲ καὶ ὁ πρὸς γένος ἴδιος. b.

ἐπίτιμον] τὸν τετιμημένον, ἢ τὸν πλούσιον, ἢ τὸν μὴ ἄτιμον. b.

§. 62. πολλῶν τοίνυν] τρίτον ἐκ τοῦ ἐναντίου. b.

ἔτι πρὸς τούτῳ] δύο πεποίηκεν ἐν ταὐτῷ καὶ κατὰ ἀναίρεσιν εἰσήγαγεν, ὅπερ οἰκεῖον τοῖς ἀπὸ τοῦ ἐναντίου ἐπιχειρήμασιν. καὶ ταῦτ' εἶπεν ἐκεῖνον μὴ πεποιηκέναι, ἅπερ αὐτὸς ὑπὸ Μειδίου πέπονθεν. b.

§. 64. πάλιν Φιλόστρατον ἅπαντες ἴσμεν] δεύτερον παράδειγμα ἀπὸ τοῦ ἐναντίου. b.

88 §. 67. ἐγὼ τοίνυν] ἐντεῦθεν ἐπὶ τὸν τοῦ ἴσου μεταβαίνειν βούλεται τόπον, καὶ κέχρηται προοιμίῳ, εἴτ' οὖν προεπαγγελίᾳ. σύνηθες γὰρ καὶ τοῦτο τῷ Δημοσθένει. b.

§. 68. ἐχρῆν γὰρ αὐτὸν] τέταρτον ἀπὸ τοῦ ἴσου. b.

§. 70. εἰ τοίνυν τις ὑμῶν] σημείωσαι. ἡ πηλικότης. — ἐνταῦθα ἡ πηλικότης, ἥτις περιέχει μὲν αὔξησιν τοῦ πραχθέντος, διαφόρως δὲ ἢ κατὰ τὸ πρός τι. ἐξ ἀντιθέσεως δὲ εἰσήχθη, ἥτις ἐν ὅρῳ γίνεται μόνῳ. ἐν γὰρ ταῖς ἄλλαις στάσεσιν ἡ πηλικότης ἐπιλογικὴν ἔχει χώραν· αὔξησιν γὰρ ἔχει τῶν ἐπιλόγων· ἐν ὅρῳ δὲ κεφαλαίου δύναμιν ἔχει διὰ [τὴν φύσιν τοῦ ὅρου]. b.

οὐ γάρ ἐστι δίκαιον] ἀντίθεσις. b

ἀλλὰ τὸν μὲν] σημείωσαι· πηλικότητος ἀντίθεσις, καὶ ταύτης λύσις. b.

§. 71. οὐδὲ γὰρ αὖ τοῦτ' ἔστιν εἰπεῖν] ἐπίκρισις τὸ σχῆμα. b.

§. 71. ἀλλ' ἴσασιν ἅπαντες] πρώτας τίθησι τὰς παραδειγματικὰς πίστεις. b.

ἐν συνουσίᾳ τινὶ] τετραπλῆ ἐστιν ἡ τῆς πηλικότητος ἐργασία. καθαιρεῖ τὰ τῶν ἄλλων, ὅτι μικρὰ παθόντες μεγάλως ἠμύναντο. καὶ αὔξει τὰ καθ' ἑαυτόν, ὅτι μεγάλα παθὼν οὐδ' ὅλως ἠμυνάμην. καὶ πάλιν αὔξει μὲν τὴν Μειδίου θρασύτητα, καθαιρεῖ δὲ τὴν ἑαυτοῦ γνώμην, ὡς ἔλαττον τοῦ δέοντος παροξυνθεῖσαν. b.

§. 72. ὅταν ὡς] σημείωσαι· ἐπαναφορά. b.

§. 76. ἐγὼ μὲν οἶμαι etc.] συνήθως πάλιν ἐπιλογικῇ παρεκβάσει ἐχρήσατο. b.

§. 77. οἶμαι τοίνυν τινὰς ὑμῶν] σημείωσαι· παρέκβασις. παρέκβασις δέ ἐστι λόγος ἐξαγώνιος μέν, συναγωνιζόμενος δὲ πρὸς τὸν ἀγῶνα. b.

§. 81. ἐρήμην] ὅταν μὴ ἀπαντήσας ὁ διωκόμενος ἐπὶ τὴν δίκην καταδικασθῇ· ὅμοιον καὶ τὸ ἐρήμην ἁλῶναι. b.

ἀγκῶ μὲν οὕτως εὐλαβῶς] πληρώσας ἐν τῇ πηλικότητι τοὺς ἀγῶνας ἥκει λοιπὸν ἐπὶ τὴν παρέκβασιν, ἥτις καὶ ἐμπίπτων κέκληται, δι' ἧς τά τε παλαιὰ ἀδικήματα τοῦ Μειδίου περὶ τὸν Δημοσθένην καὶ τὰ μετὰ τὴν χορηγίαν συνάπτει, δεικνύς, ὅτι δι' ἔχθραν καὶ ἐξ ἐπιβουλῆς πολεμῶν ταῦτα πεποίηκεν. ἔστι δὲ ἐν τῇ παρεκβάσει πρῶτον μὲν τὰ κατὰ τὸν Στράτωνα, 89 ὅτι κἀκεῖνον ἠτίμωσε κἀμοὶ τὴν καταδίκην οὐκ ἐξέτισεν· ἔνθα καὶ ἐλέου ἐκβολὴν ἐποιήσατο, καιρὸν ἐπιτήδειον νομίσας, αὐξῆσαι μὲν τὰς συμφορὰς τοῦ Στράτωνος καὶ εἰς ἔλεον διὰ τούτων ἀγαγεῖν τοὺς δικάζοντας, φθόνον δὲ καὶ μῖσος κινῆσαι τῷ Μειδίᾳ. βεβαιοῖ δὲ καὶ τὴν δίκην ἑαυτῷ τὴν περὶ τῆς ἐξούλης. εἶτα ἐπὶ τὰ λοιπὰ δύο μετῆλθε· τὸ μὲν πρότερον, ὅτι λειποταξίου γραφὴν παρεσκεύασε κατὰ Δημοσθένους· τὸ δεύτερον δὲ περὶ τῆς ἐφ' αἵματι γραφῆς. πεποίηται δὲ τὴν ἀπολογίαν τούτου τοῦ μέρους κατὰ στοχασμὸν τὸν προκατασκευαζόμενον, οὐ διὰ πάντων τῶν κεφαλαίων, ἀλλ' ὥστε τὸ σχῆμα σώζεσθαι τὸ στοχαστικόν· προκατασκευαζόμενος δοκεῖ, ὅτι καὶ τὸν Ἀρίσταρχον ἀπολύειν πειρᾶται τῆς αἰτίας. b.

§. 83. διαιτητής] τοὺς ὑπὲρ τὰ πεντήκοντα ἔτη γεγονότας καὶ καθαροὺς πάσης αἰτίας ἐπειλημμένους ἀπὸ τοῦ ληξιαρχικοῦ γραμματείου κληρώσαντες τὰ τῶν πολιτῶν διαιτᾶν ἐποίουν· ξένοις μέντοιγε ἐπὶ τοῦτο ἐλθεῖν οὐ συγκεχώρητο. ἔξεστι δὲ τοῖς μεμφομένοις τὴν τῶν διαιτητῶν κρίσιν ἐκκαλεῖσθαι τὸ δημόσιον δικαστήριον. καὶ εἰ μὲν ἤρεσκε τοῖς ἀντιδίκοις, τέλος εἶχεν ἡ δίκη, εἰ δὲ μή, τα ἐγκλήματα καὶ τὰς προκλήσεις καὶ τὰς μαρτυρίας, ἔτι δὲ καὶ τοὺς νόμους καὶ τὰς ἄλλας πίστεις ἀμφοτέρων, ἐμβαλόντες εἰς καδίσκους καὶ σημηνάμενοι, παρεδίδοσαν τοῖς εἰσαγωγεῦσι τῶν δικῶν. διαιτῶν λέγεται ὁ δικάζων, καὶ διαιτῶ τὸ ἴσον νέμω, καὶ διαιτητήριον, ἐν ᾧ διαιτῶνται· ὥσπερ καὶ τὸ καταδιαιτήσω καταδικάσω, κατακρινῶ. b.

§. 84. ὑπωμοσίαι] ὑπωμοσία· τὸ ὑπερτίθεσθαι δίκην προφάσει χρώμενον ἀποδημίᾳ ἢ νόσῳ ἤ τινι τῶν παραπλησίων μεθ' ὅρκου οὕτως ἐλέγετο, καὶ τὸ ποιεῖν τοῦτο ὑπόμνυσθαι. b.

παραγραφαὶ] παραγραφή ἐστιν, ὅταν λέγῃ τις, ὅτι τὸ πρᾶγμα, περὶ οὗ τὸ ἔγκλημά ἐστιν, εἰς τὸ δικαστήριον εἰσήχθη πρότερον καὶ γεγένηται περὶ αὐτοῦ γνῶσις· καὶ διὰ τοῦτό φησι, μὴ δεῖν ἔτι περὶ αὐτοῦ συνίστασθαι κρίσιν, μάλιστα δὲ τοὺς νόμους ἀνα- 90 γινώσκει τοῖς δικασταῖς, οἳ πλεονάκις δικάζεσθαι περὶ τῶν αὐτῶν οὐ συγχωροῦσι, λέγει δὲ καὶ περὶ αὐτοῦ

3 sq. Suidas p. 1408. A. B. 23. τὴν φύσιν τοῦ ὅρου add. ex m. 45 sqq. Suidas p. 1434. C.
5. τὰ ante μετὰ add. Meierus. 12. τῷ r: τὸ b. 22 sqq. Suidas p. 975. B. C. 29. προκλήσεις Harpocration s. v.: προβλήσεις br. 37 sqq. Suidas p. 3731 B. 41 sqq. Suidas p. 2847. C. 47. καὶ add. Sauppius.

τοῦ πράγματος, ἅμα τοῖς δικασταῖς παραδεικνύς, ὡς οἱ πάλαι δικάσαντες καὶ δικαίως καὶ κατὰ τοὺς νόμους ἐψηφίσαντο. καὶ τοῦτό ἐστι παραγραφή. καὶ οὐδὲ ἔνεστιν αὐτὴν ὁ εἰσάξων, ὥσπερ καὶ τὰς ἄλλας δίκας· τῶν γὰρ ἄλλων δικῶν προστέτακται ἑκάστη τῶν ἐν ταῖς ἀρχαῖς εἰσάγειν τινί. παραγράφεσθαι οὖν ἐφεῖται καὶ τοῖς τοιοῦτόν τι ἐγκαλουμένοις, περὶ οὗ οὐ νενομοθέτηται. b.

§. 87. *κλητῆρα*] κλητὴρ λέγεται ὁ καλῶν εἰς τὸ δικαστήριον πάντας· σημαίνει δὲ καὶ τὸν μάρτυρα ἡ λέξις. b.

§. 89. *συνέβη δὲ ὑπερημέρῳ γενομένῳ*] ἵνα ἀδικήσῃ, ἀπέκρυψε τὴν κυρίαν, καὶ διὰ τοῦτο προέλαθεν ὑπερήμερος γενόμενος. b.

ἐκτέτικεν] ἀποδέδωκεν. b.

§. 90. *τὴν μὴ οὖσαν*] μὴ οὖσα ἡ ἀνάδικος. b.

ἀτίμητον ἀγωνίσηται δέκα μνῶν δίκην] ἀτίμητος ἀγών, ἐφ' ᾧ τίμημα ὡρισμένον ἐκ τῶν νόμων οὐ κεῖται, ἀλλ' οἱ δικάζοντες ἐτιμῶντο, τί χρὴ παθεῖν ἢ ἀποτῖσαι. ὁ δὲ τιμητός, ᾧ πρόσεστιν ἀπὸ τῶν νόμων ὡρισμένον τίμημα. b.

§. 92. *ἀπρόσκλητον*] τὴν οὐ προσκεκλημένην. b.

§. 93. *καταβραβευθέντα*] οὐδαμοῦ ἀλλαχοῦ εὕρηται παρὰ τῷ Δημοσθένει. b.

§. 95. *ἐστρατευμένος*] περὶ στρατείας. b.

§. 96. *παρὰ*] σημείωσαι· ἡ παρὰ ἀντὶ τῆς διά. b.

§. 101. *ἐγὼ γὰρ οἶμαι* etc.] ἐπίλογοι τοῦ κατὰ τὸν Στράτωνα διηγήματος. b.

§. 102. *ἡγοῦμαι μὲν τοίνυν*] μέλλων ἐφ' ἕτερα μέρη μεταβαίνειν τῆς παρεκβάσεως, λέγω δὴ τήν τε λειποταξίου καὶ τὴν ἐφ' αἵματι γραφήν, προοιμίῳ κέχρηται αὔξησιν περιέχοντι τῶν τε λεχθέντων καὶ τῶν ῥηθησομένων. b.

§. 103. *ὅτι μὲν δὴ λειποταξίου γραφὴν*] δευτέρα κατηγορία κατὰ Δημοσθένους ὑπὸ Μειδίου. b.

91 *πρὸ τῶν ἐπωνύμων*] ἐπώνυμοι οἱ ἐκ τῶν φυλῶν τὰς ἐπωνυμίας ἔχοντες. b.

§. 104. *τῷ γὰρ ἀθλίῳ καὶ ταλαιπώρῳ*] τρίτη κατηγορία· ἣν λέγει ὁ Δημοσθένης κατὰ στοχασμὸν προκατασκευαζόμενον, οὐχ ὁλοκλήρως μέντοι διὰ πάντων τῶν κεφαλαίων, ἀλλ' ὥστε μόνον τὸ σχῆμα σώζεσθαι τὸ στοχαστικόν. προκατασκευαζόμενος μὲν οὖν δοκεῖ, διότι καὶ αὐτὸν τὸν Ἀρίσταρχον ἀπολύειν πειρᾶται τῆς αἰτίας· ἔχει δέ τινα στοχαστικὰ κεφάλαια, οἷον χρῶμα, διὰ τί ἂν ἐβουλήθη φόνου ἔγκλημά σοι ἐπάγειν; ὁ δέ φησιν, ἵνα μὴ δῷ τὴν ἐπὶ τῇ ὕβρει δίκην. πιθανὴ δὲ ἀπολογία ὅτι καὶ οὐκ ᾐσχύνθη θεοὺς ἢ ὁσίαν ἢ ἀνθρώπους ἐκείνους, οὓς ἔπειθε κατηγορεῖν ἐπὶ τῷ φόνῳ; ὁ δὲ ἐκ περιτροπῆς· τοῦτο γάρ ἐστι τὸ δεινὸν τούτων οὐδὲν ἐννοῆσαι. b.

§. 105. *λιποταξίου*] λειποταξίου, καὶ λειποτάκτης, ὁ φυγοπόλεμος. b.

§. 114. *ὥστ' ἐπαιτιασάμενός με φόνου*] ἐνταῦθα ὡς μαρτύρων ἀπαίτησιν ἐκπεπλήρωκε· μαρτύρεται γὰρ καὶ θεοὺς καὶ δῆμον καὶ τὴν ἐξ Ἀρείου πάγου βουλήν, ὅτι ἐπέτρεψέ μοι θύειν ταῖς Εὐμενίσι, τὸν δὲ ἀντίδικον, ὅτι οὐδαμοῦ ἐκώλυσέ με ταῦτα πράττοντα. b.

εἰσιτήρια] ὅταν ἄρχηται βουλεύειν ἢ θύειν. b.

§. 115. *ἀρχιθεωροῦντα*] φροντίζοντα τῶν θείων. b.

θεωρίαν] φροντίδα θείαν. b.

§. 119. *ὤμνυε μὲν κατ' ἐξωλείας*] χρῶμα, διὰ τί ἂν ἐβουλήθη ἔγκλημά σοι ἐπάγειν; ὁ δέ φησιν, ἵνα μὴ δῷ τὴν ἐπὶ τῇ ὕβρει δίκην. b.

κατ' ἐξωλείας] ἐξώλεια ἡ πανωλεθρία, ἡ παντελὴς ἀπώλεια· *καὶ ἐξώλειαν ἑαυτῷ προσεπαρασάμενος, κἂν ὁτιοῦν αὐτῶν ἐκβῇ*· τουτέστιν ἀπηγορευμένων κακῶν. b.

§. 123. *τοῦτο μέντοι τὸ τοιοῦτον ἔθος*] πληρώσας τὴν παρέκβασιν εἰσέβαλεν εἰς τοὺς καθολικοὺς ἐπιλόγους, οἵ τινες μικρῷ πλείους εἰσὶ τῶν ἀγώνων. — πληρώσας τὴν παρέκβασιν ἐπιλογίζεται λοιπόν. b.

§. 126. *ὅσα μὲν τοίνυν*] πληρώσας τοὺς ἀγῶνας
καὶ τὴν παρέκβασιν καὶ τοὺς ἐπιλόγους πάλιν παρεκ- 92
βάσεως, ἐντεῦθεν ἐπὶ τοὺς ἐπιλόγους τοῦ παντὸς λόγου κεχώρηκεν· ἐννοίᾳ δὲ κέχρηται προοιμιαστικῇ, ἅτε δὴ μέλλων εἰς ὁλόκληρον κεφάλαιον ἐμβαλεῖν. χωρεῖ δ' εὐθὺς ἐπὶ τὴν ἀνακεφαλαίωσιν, ἐν ᾗ παραλαμβάνει τὸ κατὰ σύλληψιν. b.

οὐκ ἔστ' ἐφ' ὅτῳ] σημείωσαι· ἐντεῦθεν εἴληπται τὸ *οὐκ ἔστ' ἐφ' ὅτῳ οὐχί*, τῶν ἁπάντων. b.

ἐγὼ μόνος ἠδίκημαι] ἐν τούτῳ τὸ ἰδιωτικόν. b.

ἀλλ' ἐπὶ μὲν τοῖς] ἐν τούτῳ τὸ δημόσιον. b.

ἐφ' ἅπασι δὲ τούτοις] ἀθροισμὸν ποιεῖται πάντων, ἐξ ὧν δημόσιον τὸ ἀδίκημα. b.

§. 127. *οὐχ ὡς ὑπὲρ ἡμῶν ὄντος μόνου τοῦ λόγου*] ἀνακεφαλαίωσις τοῦ κατὰ σύλληψιν, ὅτι καὶ ὕβρις καὶ ἀσέβεια τὸ πραχθέν. δοκῶν δὲ πεπαῦσθαι τῶν τοιούτων πάλιν ἄρχεται· ὅπερ ἴδιον Δημοσθένους, τὸ πολλὰς εὑρίσκειν μεθόδους, ὥστε τὰ ἰσχυρὰ λέγοντα συνεχῶς φεύγειν τὸ προσκορές. b.

καὶ τοὺς βοηθοῦντας] μέλλων μετ' ὀλίγον

---

3. ἐψηφίσαντο Meierus: ψηφίσαντες br. 5. ἑκάστη — τινί Sauppius: ἑκάστῳ — τινά br 7. τοιοῦτον Schoemannus (de litibus att. p. 633): τοσοῦτον br. 8. οὐ add. Photius et Suidas. 9 sqq. Suidas p. 2123. D. 16. ἀνάδικος Sauppius: δικαία br. cf. m. 18 sqq. Suidas p. 640. B. 30. τήν τε Sauppius: τοῦ τε br. 45. φόνου Meierus: φόβου br.

19 sqq. Suidas p. 1306. A. 21. κἂν G. Bernhardy: καὶ br. 22. ἀπηγορευμένων κακῶν Suidas: ἀπηγορευμένον κακὸν br. 29. παντὸς m: περὶ τοῦ br. 46. μετ' m: κατ' br.

ἐκβάλλειν τοὺς συνηγόρους, ἐντεῦθεν ἤδη προδιαβάλλει, συνεθίζων τοὺς δικαστὰς ταῖς κατ' αὐτῶν βλασφημίαις. b.

§. 128. *εἰ μὲν τοίνυν] ἡ ποιότης ἡ ἐν ἐπιλόγοις κοινή. ἀποδείκνυσι γάρ, ὁποῖον ἑαυτὸν ὁ Μειδίας καὶ πρὸς τοὺς ἄλλους ἀπέδειξεν. Ἄλλως. ἐντεῦθεν ἡ τῆς ποιότητος ἐξέτασις, ἥτις ἐστὶ κοινὴ τούτοις, ἐν οἷς ἐπίορκον, ἄπιστον, ὠμόν, δύστροπον ἐπέδειξεν· ἀλλ' ἐκείνη μὲν ἡ ποιότης ἰδίαν ἐξέτασιν ἔχει, ποδαπὸς γέγονε Μειδίας περὶ τὸν Δημοσθένην, νῦν δὲ τὴν καθολικὴν εἰσάγει ποιότητα, ποδαπὸς περὶ σύμπασαν τὴν ἑαυτοῦ βιοτὴν ἐφάνη.* b.

§. 129. *τί οὖν σὺ δεινότερα ἢ τῶν ἄλλων] ἐν οἷς δοκεῖ φοβεῖσθαι μὴ διαφύγῃ, ἐν τούτοις μᾶλλον παροξύνει τοὺς δικαστάς.* b.

93 §. 133. *ἀστράβης] ἀστράβη εἶδος καθέδρας.* b.

Ἀργούρας] παρὰ Μενάνδρῳ ἀργυρᾶς. — Ἄργουρα πόλις Εὐβοίας. b.

κυμβία] κυμβίον εἶδος περικεφαλαίας καὶ ἐκπώματος, ὅπερ ἐπίμηκες καὶ στενὸν καὶ τῷ σχήματι παρόμοιον τῷ πλοίῳ, ὃ καλεῖται κυμβίον. φέρων δὲ τὴν χρῆσιν τῆς λέξεως ὁ Ἡρωδιανὸς ἐν τῇ καθόλου φησί· ῥυτὰ καὶ κυμβία καὶ φιάλας. b.

οἱ πεντηκοστολόγοι] πεντηκοστὴ καὶ πεντηκοστολόγοι καὶ πεντηκοστεύεσθαι· πεντηκοστὴ μὲν τὸ τέλος ὃ τελοῖσι· πεντηκοστολόγοι δὲ οἱ τοῦτο ἐκλέγοντες· πεντηκοστεύεσθαι δὲ τὸ πράττεσθαι τὴν πεντηκοστήν. καὶ λαβόμενος ἦγεν εὐθὺ τοῦ πεντηκοστολογίου. κάδος δὲ μέτρον οἰνηρόν. b.

§. 134. *εἰ μὲν γὰρ ἐποίεις ταῦτα] διλημμάτῳ κέχρηται, οὗ τὸ μὲν πρῶτον μέρος ἀκολουθίαν ἔχει, τὸ δὲ δεύτερον σεσόφισται.* b.

§. 136. *καταψεύδονταί μου] καταψεύδομαι γενικῇ.* b.

§. 143. *λέγεται τοίνυν ποτὲ ἐν τῇ πόλει] ἐφ' ἕτερον εἶδος μεταβέβηκε τῶν ἐπιλόγων, δι' οὗ πειρᾶται δεικνύναι μὴ ὄντα αἰδοῦς ἄξιον τὸν Μειδίαν· αἰδοῦς γὰρ τυγχάνει τις ἢ διὰ λαμπρότητα γένους ἢ διὰ στρατείας καὶ πράξεις οἰκείας ἢ διὰ φιλοτιμίαν τῶν περὶ τὴν πόλιν· ἅ, ὅτι οὐ προσῆν δεικνὺς Μειδίᾳ, Ἀλκιβιάδην εἰσήγαγεν, οὐχ ἵνα συγκρίνῃ, ἀλλ' ἵνα ἐξετάσῃ καὶ ἵνα δείξῃ πρὸς τούτοις, ὅτι, εἰ τηλικοῦτος ὢν Ἀλκιβιάδης οὐκ ἔτυχεν αἰδοῦς, πῶς ἂν τύχοι Μειδίας;* b.

94 §. 118. *χάριτος] τὸ χάριτος ἀντὶ αἰδοῦς.* b.

§. 149. *γένους ἕνεκα, νὴ Δία] τοῦτο συνῆπται τοῖς παρασήμοις, πρὶν διορθωθῆναι τὸν λόγον· τὰ δὲ μέσα ἐνετέθη.* b.

ὑποβαλομένη] εἰσποιήσασα· ἐπὶ τῶν χαμαιρριφῶν παιδίων, ἅπερ ἑαυταῖς αἱ γυναῖκες ὑποβάλλονται. b.

§. 153. *ἀποκναίει] ἀπολλύει, διαφθείρει.* b.

§. 168. *συγκατέστησε τὸν στόλον] ἀντὶ τοῦ οὐ συγκατεστολίασε, μᾶλλον οὐκ ἀπέσωσεν.* b.

§. 169. *εἰ τοίνυν ὡς ἀληθῶς] τῷ κατὰ ἀντιπαρέστασιν κέχρηται νοήματι μετὰ τὴν ἔνστασιν.* b.

ἐγὼ γὰρ οἶδ' etc.] *ἐκ τοῦ πρός τι ἐπιλογίζεται.* b.

§. 173. *βούλομαι τοίνυν ὑμῖν] τὴν ἡλικότητα νῦν ἐπιλογίζεται.* b.

πρῶτον μὲν τοίνυν, ἵνα πρώτης] παράδειγμα ἀπὸ τοῦ ἐλάττονος. b.

§. 178. *ἕτερος ἀδικεῖν ποτ' ἔδοξεν ὑμῖν] ἀπὸ τοῦ ὁμοίου· ἔστι δὲ ἀπὸ τῆς ἐκβάσεως ἀσθενές.* b.

§. 180. *σκῦτος ἔχων] σκῦτος πᾶν δέρμα, ἀφ' οὗ καὶ σκυτεύς.* b.

§. 184. *ἃ τοίνυν οὐδενὸς τῶν εἰρημένων] εἰσέβαλεν εἰς τὴν τοῦ ἐλέου ἐκβολήν· κέχρηται δὲ προδιορθώσει, προσεχέστερον ποιῶν τὸν ἀκροατήν.* b.

§. 191. *ὡς ἐσκεμμένα καὶ παρεσκευασμένα πάντα λέγω νῦν] ἐκ τοῦ περὶ μεθόδου δεινότητος, περὶ προσποιήσεως· ἐν τῇ δικανικῇ κἂν ἐσκεμμένος ἥκῃς, προσποιοῦ αὐτόθεν λέγειν· ὅτι ὁ δικαστὴς ὑποπτεύει τὸν ῥήτορα καὶ δέδοικε, μὴ ἐξαπατηθῇ. ὁ δὲ Δημοσθένης ὁμολογήσας ἐσκέφθαι αἴτιον αὐτοῦ πέφηνε Μειδίαν.* b.

§. 192. *ὁ γὰρ τὰ ἔργα παρεσχηκώς] σημείωσαι· ὅρος εἰς πρότασιν προοιμίου.* b.

ζον

§. 193. *ἐξεκκλησίασαν* (sic)] *συνήθροιζον.* b.

§. 199. *οὐκ ἂν ἐπ' αὐτῷ τούτῳ κατέδυ] ὅτι οὐ κατέδυ· καὶ τὰ αὐτῷ ὅμοια εἰς τρία πρόσωπα συνήρμοσται.* b.

§. 207. *κατὰ τοὺς νόμους δ', ἥντινα βού-* 95
λει] παραγραφικῷ ἐπιχειρήματι κέχρηται. b.

§. 208. *πέπαυμαι τοίνυν καὶ Φιλιππίδην] πληρώσας τὸ μέρος τὸ κατὰ τὸν Εὔβουλον, ὅπερ ἦν ὡς καθ' ὑπεροχήν, ἐπὶ τοὺς ἄλλους συνηγόρους κεχώρηκεν, οἵ τινες καὶ ἥττονος ἀξιώματος μετέχουσι καὶ οὐχ ὁμοίως ἠθικὸν ἀπαιτοῦσι τὸν λόγον. μετὰ τοὺς ἱππέας ἐξήτασε τοὺς περὶ Τιμοκράτην τῇ διαβολῇ τῆς*

---

19. 20. Suidas p. 2234. D. 21. *ῥυτὰ* etc.] Demosth. 21 §. 158. 24 sqq. Suidas p. 2920. C. 28. *εὐθὺ τοῦ*] *ἀθύτου* r. 37. *μὴ* m: *καὶ* br. 38. *γὰρ* om. r. 39. *πράξεις* mr: *πράξεως* b. 40. *δεικνὺς Μειδίᾳ, Ἀλκιβιάδ. εἰσήγαγεν* Sauppius: *Ἀλκιβιάδ. εἰσήγαγε, δεικνὺς Μειδίᾳ* br. 41. *Ἀλκιβιάδης* r. 43. *ὢν* m: *ἦν* br. *ἂν* add. Meierus.

5. *ἑαυταῖς* Meierus: *ἑαυτῶν* br. cf. schol. ad 9 §. 31. 10. *ἀντιπερίστασιν* b. 25. Hermog. 3 p. 422, 5 W. 30. *αὐτοῦ* Sauppius: *οὗ* br. 45. *Τιμοκράτην* Meierus: *Τιμοκράτους* br. Scholion videtur ad §. 139 pertinere.

ποιότητος, αὐτὴν τὴν μέλλουσαν παρ' αὐτῶν γίγνεσθαι μαρτυρίαν σαθρὰν ἀπεργαζόμενος. b.

§. 214. *ἡ προβολή] πρόκλησις ἡ εἰς τὸ δικαστήριον.* b.

ἀπεχειροτόνησε] ἀπεψηφίσατο. b.

§. 221. *συντεύξεται] ἀντὶ τοῦ συνακολουθήσει ἢ μᾶλλον ὑπαντήσει.* b.

§. 224. *ἄρ' ἐάν τις ὑμῶν ἀδικούμενος] περὶ κριτοῦ καὶ νόμων.* b.

§. 227. *τὴν ὁσίαν] τὴν ἐπὶ θανάτῳ τιμὴν ἢ ἡμέραν. — ὁσίαν· κηδείαν· τὴν ἐπὶ νεκροῖς τιμήν· ἔθαψαν δὲ αὐτοὺς μὴ ἀτιμάσαντες νεκροῖς ὁσίαν.* b.

XXII. IN ORATIONEM ADV. ANDROTIONEM.

Ἡ στάσις τοῦ λόγου πραγματική. πᾶσα γὰρ κατηγορία νόμου ἢ ψηφίσματος ἢ τινος ἐγγράφου, περὶ μελλόντων ἔχουσα τὴν σκέψιν, πραγματικὴν ποιεῖται τὴν στάσιν. βουλὴ οὖν ἐστιν ἐνταῦθα περὶ ἐκείνου τοῦ ψηφίσματος, τί ἄρα ἐκβήσεται ἐξ αὐτοῦ ὕστερον, εἴτε ἀγαθὸν εἴτε καὶ ἄλλως. ὁ λόγος δευτερολογία· ὁ γὰρ Εὐκτήμων εἶπε πρῶτος, ἐν δευτέρῳ ὁ Διόδωρος λέγει. ὅθεν οὔτε προοίμιον ἔχει ὁ λόγος οὔτε διήγησιν διὰ τοιαύτας αἰτίας, ἐπειδήπερ ἀεὶ τὸ προοίμιον ἕνεκα θεραπείας τῶν ἀκροατῶν λέγεται, ἡ δὲ διήγησις ἕνεκα τοῦ διδάξαι τοὺς ἀκούοντας, πῶς ἔχει τὸ τῆς ὑποθέσεως. τοῦ οὖν πρώτου λέγοντος ἤδη καὶ θεραπεύσαντος τοὺς ἀκροατὰς διὰ τῶν προοιμίων καὶ διδάξαντος τὸ πρᾶγμα διὰ τῆς καταστάσεως, περιττόν ἐστιν ἔτι τὸν δεύτερον λέγοντα αὐτὰ πάλιν εἰπεῖν. ἰστέον δέ, ὅτι δύο τρόποι εἰσὶ δευτερολογίας, ὅ τε ἐπὶ τῶν ἰδιωτικῶν ἀγώνων καὶ ὁ ἐπὶ τῶν δημοσίων. γίνεται δὲ ἑκάτερος οὕτως· ἐπὶ μὲν τῶν ἰδιωτικῶν ὁ εἷς κατη-
132 *γορεῖ τῶν διωκόντων, εἶτα ὁ φεύγων ἀπολογεῖται, εἶτα πάλιν ὁ ἕτερος κατήγορος κατηγορεῖ, εἶτα ὁ φεύγων πάλιν ἀπολογεῖται καὶ πρὸς τοῦτον. ἐπὶ δὲ τῶν δημοσίων οἱ δύο ἐφεξῆς κατηγόρουν, εἶτα ὁ φεύγων πρὸς τὴν τῶν δύο κατηγορίαν ἀπελογεῖτο.* a.

§. 1. *ὅπερ Εὐκτήμων] ἡ στάσις πραγματική — ὅτι οὗτος ὁ λόγος μετὰ τοὺς Φιλιππικοὺς δεύτερός ἐστι τῶν δημοσίων. — ὁμολογεῖ τὴν ἔχθραν ὁ κατηγορῶν, ὡς προαδικηθεὶς τῇ κατηγορίᾳ ἀμυνόμενος.* b. *ἐνόμισάν τινες τοῦτο εἶναι προοίμιον· οὐκ ἔστι δέ, δι' ἣν προείπαμεν αἰτίαν, ἀλλὰ προοιμιαστικῆς ἐννοίας, ἵνα μὴ ὥσπερ ἀποτόμως καὶ κατ' ἄκρας εὐθὺς εἰσβάλῃ εἰς τὰ κεφάλαια καὶ τοὺς ἀγῶνας.* a.

συμβέβηκε] τοῦτο ἐνόμισάν τινες εἶναι διήγησιν· οὐκ ἔστι δέ, ἀλλ' ὥσπερ παραδιηγηματικόν. a.

ταῦτ' εἶναι] τὰ τοῦ Εὐκτήμονος. Less.

§. 3. *παρὰ μικρὸν] σημειωτέον τὴν λέξιν, ὅτι ζήλῳ Θουκυδίδου μετερρυθμίσθη. κἀκεῖνος γὰρ εἶπεν· ἐνίκησε παρὰ πολὺ ἀντὶ τοῦ κατὰ πολύ. οὕτω καὶ ἐνταῦθα ἡ παρὰ πρόθεσις ἀντὶ τοῦ κατά.* a.

τὸ πέμπτον μέρος] Θεόφραστος ἐν τῷ περὶ νόμων φησίν, ὅτι φ' ὄντων τῶν δικαστῶν εἰ ἔλαβεν τὸ πλέον μέρος τῶν ψήφων ὁ κατηγορούμενος, οὐδὲν ἔπασχε δεινόν, ἀλλ' ἀπελύετο· εἰ δὲ ὁ κατήγορος μὴ μετέλαβε τὸ ε' μέρος, ἀλλ' οἱ πλεῖστοι τῷ φεύγοντι ἐψηφίσαντο, πρὸς τῷ ἡττηθῆναι τὴν δίκην τὸν κατήγορον καὶ ἐζημιοῦτο χιλίαις δραχμαῖς, εἰ δὲ μετέλαβε τὸ πέμπτον, ἡττᾶτο μέν, οὐ μὴν ἐζημιοῦτο. ἐζητήθη δέ, διὰ τί ὁ Ἀνδροτίων μὴ μεταλαβὼν τὸ πέμπτον μέρος τῶν ψήφων οὐκ ἠτιμώθη, ἀλλὰ χρήματα ἔδωκε, καὶ ταῦτα Λυσίου λέγοντος; λέγομεν, ὅτι ἐν τρισὶ δικαστηρίοις ἡττώμενος ἐν διαφόροις πράγμασιν, οὕτως ὡς συκοφάντης ἠτιμοῦτο· ὁ δὲ ἐν ἑνί, ὥσπερ Ἀνδροτίων, ἐδίδου χιλίας, ὥς φησιν ὁ Γενέθλιος. — οἱ μὴ μεταλαβόντες τὸ πέμπτον μέρος τῶν ψήφων κατετίθεσαν ἐπιτίμιον. Θεόφραστος ἱστορεῖ λέγων οὕτως· Ἀθήνησιν οὖν ἐν τοῖς δημοσίοις ἀγῶσιν, ἐὰν μὴ μεταλάβῃ τις τὸ πέμπτον μέρος, χιλίας ἀποτίνει, καὶ ἔτι πρόσεστί τις ἀτιμία, οἷον τὸ ἐξεῖναι μήτε γράψασθαι παρανόμων μήτε φαίνειν μήτε ἐφηγεῖσθαι. — — Θεόφραστος . . . . ἵνα μὴ συνεχῶς καθίζωσι δικαστήρια καὶ ἁπλῶς ἐνοχλῶσι τοῖς δικασταῖς. εἰ δὲ μὴ πέρας ἔσχε παρ' ἐκείνοις, τότε εἰσῄει ἡ δίκη παρὰ τοῖς δι- 133
κασταῖς. πάλιν δὲ καὶ διὰ ταύτην τὴν αἰτίαν πάντα ἐποίουν πρὸς τὸ μὴ καθίζειν δικαστήρια, ἵνα μὴ πολλὰ χρήματα ἀναλίσκειν ἡ πόλις ἀναγκάζηται· ἐλάμβανον

---

1. *αὐτῶν* Meierus: *αὐτῷ* br. 10 sqq. Suidas p. 2724. B. 21. *τὴν* om. r. *οὖν ἐστιν ἐνταῦθα περὶ ἐκείνου* om. r. 24. *αὐτοῦ*] sic a. 25. *ἀγαθὸν*] *ἀνομίαν* r. *καὶ*] *ὡς* r. 26. *ὁ* om. r. 30. *τὸ*] *τὰ* r. 40. *καὶ* om. r.
2. ὁ add. Funkhaenel. 6. *ἀλλὰ — καὶ τοὺς ἀγῶνας* om. r. 8. *εἰσβάλῃ* Sauppius: *εἰσβάλει* a. 10. *παραδιηγηματικόν*] *παραδιηγήματα μόνον* r. 13. *μετερρυθμίσθη* ar. 15. *ἐνταῦθα ἡ παρὰ πρόθεσις*] . . . *αὕτη ἡ πρόθεσις παρὰ* r. 16. *περὶ*] *α'* r. 17. *φ'* H. Wolfius: *εἰ φ'* ar. *πλέον* H. Wolfius: *πέμπτον* ar. 19. *δὲ ὁ κατήγορος*] *δ' ὁ κατηγορούμενος* r. 22. *χιλίαις δραχμαῖς* H. Wolfius: *χιλίας δραχμὰς* ar. 26. *ὅτι*] *ὅτι ὁ* r. 29. ordinem huius scholii et eius, quod sequitur (v. 36 sqq.), codicis fide mutavimus. 36. *Θεόφραστος* om. r. — reliqua pars huius versus praesecta est. 37. *καθίζωσι*] *καθίζουσι* a, *καθίζωσι* r. 38. *δικασταῖς*] *δικαστηρίοις* r. 39. *ἐκείνοις*] *ἐκείνῳ* r. de diaetetis haec intelligenda esse vidit Reiskius. 40. *καὶ* om. r.

γὰρ εἰς ἑκάστην τὴν δίκην ἀπὸ τῶν τῆς πόλεως μισθὸν ὑπὲρ τοῦ δικάσαι τριώβολον. ὡς ἔχομεν καὶ παρ' Ἀριστοφάνει φράτορας τριωβόλου. a.

§. 4. ἁπλῆν] τὸ ἁπλοῦν γ' σημαίνει· ὡς ἐπὶ ἀριθμοῦ πρὸς ἀντιδιαστολὴν τοῦ διπλοῦ· καὶ ἁπλοῦν τὸ ἐκτὸς κακουργίας· πρὸς τούτοις σημαίνει καὶ τὸ σύντομον. a.

ὀμωμοσμένοις] ἐγχειρεῖ ἀπὸ τούτου, ὅτι οἱ μέλλοντες [δικάσειν] ὤμνυον πρότερον δικαίως [κρινεῖν], εἶτα ἔκρινον. Less.

§. 5. ἔστι γὰρ] ἐντεῦθεν ἄρχεται τοῦ νομίμου κεφαλαίου. a.

περὶ τοῦ ἀπροβουλεύτου] ἀπροβούλευτον τὸ μὴ πρότερον εἰς τὴν βουλήν, ἀλλ' εὐθὺς εἰς τὸν δῆμον εἰσαχθὲν ψήφισμα. b.

ἐπήρετο] ταῦτα ἠρώτησε, φησίν, ὁ ἐπιστάτης. ἐπιστάτης δὲ λέγεται εἷς τῶν ι' προέδρων. ἀφ' ἑκάστης δὲ φυλῆς τῶν ι' προεβάλλοντο ν' ἄνδρες καὶ ἐγίνοντο ὁμοῦ οἱ πάντες φ'. εἶτα ἐκ τούτων τῶν φ' ἐπληροῦτο ἡ βουλὴ τῶν φ'. οἱ αὐτοὶ δὲ καὶ πρυτάνεις ἐγίνοντο, ἀεὶ τῶν ν' ἀνδρῶν τῶν ἀφ' ἑκάστης φυλῆς κλήρῳ κατὰ διαδοχὴν διοικούντων καθ' ἕκαστον μῆνα, καὶ ἐλέγοντο οἱ πρυτάνεις κυρίως αὐτοὶ οἱ ν' ἐν ἐκείνῳ τῷ μηνί, ἐν ᾧ ἐπρυτάνευον καὶ διῴκουν τὰ τῆς πόλεως. ἀπὸ δὲ τῶν ν' πάλιν ὁ μείζων προεβάλλετο καὶ ἐκαλεῖτο πρόεδρος, ὡς εἶναι ἐκ τῶν ι' φυλῶν ι' προέδρους. τούτων δὲ τῶν προέδρων εἷς ἕκαστος αὐτῶν κατὰ διαδοχὴν καθ' ἑκάστην ἡμέραν ἐγίνετο ἐπιστάτης. a.

ὁ ἐπιστάτης] ἐπιστάτης ἄρχων τῶν πρυτάνεων, ὃς προσάγει τῷ δήμῳ τὰς κρίσεις καὶ δοκιμασίας τῶν κοινῶν. δὶς τὸν αὐτὸν ἐπιστατῆσαι οὐκ ἐξῆν. φυλάσσει δὲ τοῦ ἱεροῦ τὰς κλεῖς, ἐν ᾧ τὰ δημόσια χρήματα, ἔτι μὴν καὶ τὴν δημοσίαν σφραγῖδα. ἐπειδὰν δὲ οἱ
96 πρυτάνεις συναγάγωσι τὴν βουλὴν καὶ τὸν δῆμον, ὁ ἐπιστάτης κληροῖ προέδρους ἐννέα, ἀπὸ φυλῆς ἑκάστης ἕνα, πλὴν τῆς πρυτανευούσης, καὶ πάλιν ἐκ τῶν ἐννέα τούτων ἐπιστάτην ἕνα κληροῖ καὶ τὸ πρᾶγμα παραδίδωσιν. αὐτὸς δὲ εἰσάγει τὴν δίκην καὶ ἐπιμελεῖται κατὰ νόμον πάντα γενέσθαι καὶ μηδὲν παραλειφθῆναι πρὸς τὸ διδαχθῆναι τοῖς δικασταῖς. — ἐπιστάται δύο ἦσαν Ἀθήνησιν, ὧν ὁ μὲν ἐκ τῶν πρυτάνεων ἐκληροῦτο, ὁ δὲ ἐκ τῶν προέδρων. ἐλέγετο δὲ καὶ ὁ ἐν τοῖς κοινοῖς ἐφεστηκὼς πράγματι ψτινιοῦν. b.

διεχειροτόνησεν] ἀντὶ τοῦ ἐσκέψατο. a.

αὐτὸ τοὐναντίον] τὸ σχῆμα περιτροπή. a.

§. 6. ἐγὼ δ' οἴομαι μὲν] ἐνστάσει καὶ ἀντιπαραστάσει ἐνταῦθα κέχρηται, ἐνιστάμενος μὲν πρῶτον καὶ λέγων, ὅτι μάλιστα μὲν ψεύδεται· οὐδεμίαν γὰρ νομίζω βουλὴν ἀπροβουλεύτως ἐστεφανῶσθαι. εἶτα 134
ἀντιπαραστάσει· εἰ δὲ καὶ δοίημεν τοῦτο ἀληθὲς εἶναι, ὡς σὺ λέγεις, οὐ καθ' ὃ καὶ ἄλλοι ἡμάρτησαν πρῴην, ὀφείλεις καὶ σὺ ἀκολουθῆσαι τῇ ἐκείνων ἁμαρτίᾳ. a.

§. 7. ὥσπερ γάρ, εἴ τις ἐκείνων προήλω] στρογγύλον σχῆμα· τοῦτο κεῖται καὶ εἰς τὸν κατὰ Ἀριστοκράτους. b.

§. 8. ἐγὼ δὴ εἰ μὲν ἔδωκα αἰτούσῃ] εἴποι ἄν τις· τί γὰρ ἐν αὐτῷ ἦν τὸ δοῦναι; λέγομεν, ὅτι ἔδωκα λέγει ἀντὶ τοῦ αἴτιος ἐγενόμην τοῦ δοῦναι τὸν δῆμον τῇ βουλῇ τὸν στέφανον αἰτούσῃ. ὅρα, πῶς ἀφελῶς ἐνταῦθα περιέθηκε τὸ ῥῆμα τῷ Ἀνδροτίωνι τῷ εἰπεῖν, ὅτι αἰτούσῃ, ἵνα δόξῃ ὥσπερ ἐναντία ἑαυτῷ λέγειν ὁ Ἀνδροτίων ἐν οἷς λέγει μετὰ μικρὸν ὅτι οὐκ ᾔτησεν. a.

§. 9. διαχειροτονίαν] διαχειροτονία διάκρισις τῆς χειροτονίας ἐν πλήθει γινομένης. b.

§. 11. τὰς τριήρεις οὐ πεποίησαι;] ἀποστροφὴ ὡς ἀπὸ τοῦ νομοθέτου· τὸ δὲ σχῆμα μάχη. τὸ δὲ ὅπου δὲ αἰτεῖν οὐκ ἐᾷ, τοῦτο οὐκέτι ὡς ἀπὸ τοῦ νομοθέτου, ἀλλ' ὡς ἀπ' αὐτοῦ τοῦ ῥήτορος. a.

§. 12. ἄξιον τοίνυν] τοῦτο τὸ ἐπιχείρημά ἐστι γνώμη νομοθέτου. ἐξετάζει . . . . οὕτως ἔγραψε τὸν νόμον. οὐ γάρ ἐστι κεφάλαιον. a.

θάτερα] ἀντὶ τοῦ φαῦλα. a.

§. 13. εἰ βούλεσθε] τὸ σχῆμα ἀποκοπή. λείπει γὰρ τὸ ἀκούσατε. a.

οἱ τὰ προπύλαια καὶ τὸν παρθενῶνα] προπύλαια λέγονται οἱ μέγιστοι πυλῶνες τῶν ἱερῶν. Παρθενὼν ναὸς ἦν ἐν τῇ ἀκροπόλει Παρθένου Ἀθηνᾶς, περιέχων τὸ ἄγαλμα τῆς θεοῦ, ὅπερ ἐποίησεν ὁ Φειδίας ὁ ἀνδριαντοπλάστης ἐκ χρυσοῦ καὶ ἐλέφαντος. γ' γὰρ ἀγάλματα ἦν ἐν τῇ ἀκροπόλει τῆς Ἀθηνᾶς ἐν διαφόροις τόποις· ἓν μὲν ἐξ ἀρχῆς γενόμενον ἐξ ἐλαίας, ὅπερ ἐκαλεῖτο Πολιάδος Ἀθηνᾶς, διὰ τὸ αὐτῆς εἶναι τὴν πόλιν. β' δὲ τὸ ἀπὸ χαλκοῦ μόνου, ὅπερ ἐποίησαν νικήσαντες οἱ ἐν Μαραθῶνι· ἐκαλεῖτο δὲ τοῦτο Προμάχου Ἀθηνᾶς. γ' ἐποιήσαντο ἐκ χρυσοῦ καὶ ἐλεφαν-

---

1. ἑκάστην Funkhaenel: ἑκάστοι ar. ἀπὸ τῶν Funkhaenel: τῶν ἀπὸ ar. 3. Aristoph. Equ. 255. 4. γ' σημαίνει] $\bar{\gamma}\ \sigma^{\eta}$ a, $\nu\ \pi^{\eta}$ r. 9. 10. δικάσειν et κρινεῖν add. Sauppius. 17. τῶν ι' προέδρων] τῶν ν προέδρων b. 23. κυρίως] κύριοι r. 25. τῶν] om. r. ὁ μείζων] ὁμοίως r. 40. aliud scholion incipere vidit Funkhaenel. 41. τῶν add. Funkhaenel.

8. πρῴην om. r. 12. Demosth. 23 §. 99. 15. ἀντὶ τοῦ αἴτιος Funkhaenel: ἀναίτιος ar. 17. τῷ εἰπεῖν] τοῦ εἰπεῖν r. 18. αἰτούσῃ H. Wolfius: ᾔτησα ar. ὁ om. r. 19. ᾔτησεν H. Wolfius: ᾔτησα ar. 21 sq. Suidas p. 969. B. 27 sq. hoc scholion r non habet. 28. tertia fere pars versus praesecta est. 33. καὶ τὸν παρθενῶνα om. r.

τος, ὡς πλουσιώτεροι γενόμενοι, ἀπὸ τῆς ἐν Σαλαμῖνι νίκης, ὅσῳ καὶ μείζων ἡ νίκη· καὶ ἐκαλεῖτο τοῦτο Παρθένου Ἀθηνᾶς. a.

πάντες] δηλονότι ὡς παῖδες ὄντες καὶ ἀπόγονοι ἐκείνων τῶν ταῦτα πραξάντων. a.

§. 14. εἶεν] παρακελευσματικὸν τὸ σχῆμα, ὡς ἀναμιμνησκομένου [τῶν ἐφεξῆς, ἵνα] δόξει καὶ οὕτω σχέδιος εἶναι καὶ μὴ ἐσκεμμένος (ὁ λόγος). a.

ἑωράκατε] πάλιν λείπει τὸ ἀκούσατε. a

135 πόσα δεινὰ] τὸ σχῆμα ὑπερβολὴ κατὰ παρένθεσιν. a.

§. 15. τοῦ Δεκελεικοῦ] .... ἱστορίαν ἐν τῷ Εὐαγόρᾳ Ἰσοκράτους. τότε γάρ ἐστιν, ὅτε καὶ ταῖς ἰδίαις χερσὶ κατηνάγκασεν ὁ Λύσανδρος τοὺς Ἀθηναίους κατασκάψαι τὰ ἴδια τείχη, καταλύσας αὐτῶν τὴν δύναμιν ἐν Αἰγὸς Ποταμοῖς. καὶ οὕτω πέρας ἔσχεν ὁ Πελοποννησιακὸς ὁ καὶ Δεκελεικὸς λεγόμενος πόλεμος, καὶ οἱ Λακεδαιμόνιοι κατέστησαν τῶν λ΄ ὀλιγαρχίαν ἐν ταῖς Ἀθήναις, ἐξ αὐτῶν τῶν Ἀθηναίων τινὰς ὀλιγαρχίᾳ χαίροντας. a.

παρέστησαν] ἀντὶ τοῦ ἐχειρώθησαν, ἑάλωσαν. a.

τὸν τελευταῖον] ὁ γενόμενος περὶ Κέρκυραν, οὗ καὶ μέμνηται Ξενοφῶν ἐν τῇ ζ΄ τῶν Ἑλληνικῶν. a.

ὀρόβους] ὄροβος εἶδος κριθῆς. b.

§. 17. ἀκούω δ' αὐτὸν] ἐπὶ μεταστατικὴν ἀντίθεσιν χωρεῖ. μετάστασις δέ ἐστιν, ὅταν ἐγκαλούμενός τις περί τινος ἐγκλήματος ὁμολογῇ μὲν τὸ ἁμάρτημα γεγενῆσθαι, μεταφέρῃ δὲ αὐτὸ εἰς ἄλλον, ἐλευθερῶν ἑαυτόν, ὥσπερ καὶ ἐνταῦθα εἰσάγει τὸν Ἀνδροτίωνα ἁμάρτημα μὲν γεγενῆσθαι τὸ μὴ ποιῆσαι τὰς τριήρεις ὁμολογοῦντα, μεταφέροντα δὲ τὴν αἰτίαν ἐπ' ἄλλον τινά, λέγων δὴ τὸν ταμίαν, τὸν ὥσπερ ἀποδέκτην τῶν χρημάτων τῶν ἀναλισκομένων τοῖς κατασκευάζουσι τὰς τριήρεις, φάσκων αὐτὸν δεξάμενον τὰ χρήματα πεφευγέναι. a.

ἀποδρὰς ᾤχετο] ἐκ παραλλήλου τὸ αὐτὸ σημαίνει. τὸ δὲ ἰδίωμα Ἀττικόν. a.

§. 20 πικρῶς καὶ ἁπλῶς] πικρῶς ἐν τῷ κολάζειν, ἁπλῶς ἐν τῷ χωρὶς κακουργίας ἀκούειν. b. πικρῶς μὲν ἀντὶ τοῦ δικαίως, ἁπλῶς δὲ ἀντὶ τοῦ ἀπανουργεύτως. a.

ἣν
αὐτῇ (sic)] διττὴ φέρεται ἡ γραφή. καὶ ἡ μὲν κατ' αἰτιατικὴν προαγομένη τοιοῦτον ἔχει τὸν νοῦν· ἀνελοῦσα τοῦτον τὸν νόμον, ἤτοι παραβᾶσα, διαχειροτονίαν περὶ ἑαυτῆς ἔδωκεν, ὅτι χρὴ στεφανοῦν αὐτήν· ἡ δὲ κατὰ δοτικήν· ἀνελοῦσα τοῦτον τὸν νόμον, ἐχειροτόνησεν ἐκεῖνον ἑαυτῇ. b.

§. 21. τῆς ἑταιρήσεως] πορνείας. b.

περὶ χιλίων ἐκινδ.] δηλονότι δραχμῶν. ἐκράτησε γὰρ τοῦτο παρ' Ἀθηναίοις, λέγεσθαι ἀπροσδιορίστως τοῦτο καὶ νοεῖσθαι. a.

§. 22. αἰτία μὲν γὰρ etc.] ἰστέον δὲ ὅτι γ΄ σημαίνει· πρῶτον μὲν ὅταν τις κατηγορίαν ποιῆται· β΄ αἰτίαν τὴν μέμψιν, ὅταν τις τὸν φίλον αἰτιᾶται ὡς
κακῶς πεπραγότα· γ΄ αἰτίαν τὴν πρόφασιν καὶ ἀφορ- 136
μήν τινος γενομένην. ὡς ἐὰν εἴπωμεν, ὅτι αἰτία τοῦ Τρωικοῦ πολέμου ἐγένετο ἡ ἁρπαγὴ τῆς Ἑλένης, ἤ τι τοιοῦτο. a.

τεκμήρια] τεκμήριόν ἐστι τὸ ἐπὶ πράγματος· οἷον παρέστηκέ τις νεοσφαγεῖ σώματι ἐπ' ἐρημίας καὶ ὑπονοεῖται ὡς φονεύς. εἰκὸς δὲ τὸ περὶ πρόσωπον· οἷον εἰκὸς τὸν συνεχῶς καλλωπιζόμενον κίναιδον εἶναι. a.

§. 23. ἐπαγγέλλειν] ἐπαγγελία δοκιμασία ἔργου. b. κατηγορεῖν. a.

§. 26. ἔρρωσαι etc.] ἰστέον δε, ὅτι τῶν δυσχερεστάτων σφόδρα καὶ τῶν ἀσαφῶν τὸ χωρίον. οὐ γὰρ μόνον κατὰ τοῦτό ἐστι δυσχερές, διότι κατὰ λέξιν ἔχει τι ἀσαφὲς καὶ δοκοῦν ἀλλόκοτον, ἀλλ' ὅτι καὶ πολλαὶ ἐξηγήσεις φέρονται περὶ αὐτοῦ ἀνοίας μεσταί. βουλομένου τοῦ ῥήτορος λέγειν περὶ ἰσχύος σωματικῆς ἐν τῷ λέγειν ἔρρωσαι (ἀντὶ τοῦ ἰσχυρὸς εἶ τῷ σώματι)· ἄπαγε διὰ σαυτοῦ τὸν κλέπτην ἐν τῷ δεσμωτηρίῳ, εἶτα ἐπάγοντος εἰ δὲ ἀσθενὴς εἶ, τοῖς ἄρχουσιν ἐφηγοῦ — ἄρχοντες μὲν λέγονται πάντες οἱ μεταχειριζόμενοι ἀρχήν τινα· ὅμως ἀπροσδιορίστως ἄρχοντας ἐκάλουν τὴν ἀρχὴν τῶν δεσμοφυλάκων· αὕτη δὲ ἦν τὸν ἀριθμὸν ια΄ ἄνδρες — λέγει οὖν ὅτι, εἰ μὴ ἰσχύεις σεαυτῷ ἀπαγαγεῖν τὸν κλέπτην, ὡς ἰσχυροτέρου ὄντος σοῦ ἐκείνου, ἐφηγοῦ· ὅ ἐστι, προηγοῦ τῆς ὁδοῦ τοῖς ἄρχουσι τοῖς ια΄, καὶ δείκνυε αὐτοῖς τὸ οἴκημα, ὅπου συνέκλεισας αὐτόν. φυβῇ καὶ τοῦτο, ἵνα μὴ καὶ ἐν τῷ ὑφηγεῖσθαι τοῖς ἄρχουσιν, ἐὰν μὴ δυνηθῇς ἀποδεῖξαι, καταθῇς τὰς χιλίας; κατηγόρει αὐτοῦ ἐν τῷ δικαστηρίῳ, ἢ γράφου, ὅ ἐστιν, ἐγγράφως αὐτοῦ κατηγόρει. καταμέμφῃ σεαυτόν,

---

6. παρακελευσματικὸν] παρακελευσμὸς b. reliqua huius scholii Reiskius legere non potuerat quae uncinis seclusa sunt, certo dignosci non poterant. 10. κατὰ παρένθεσιν] καὶ παρένθεσις r. 12. primus versus praecisus est. 13. Ἰσοκράτους] ἰσοκράτης r. – or. 9 §. 52 sqq. γάρ ἐστιν] χρ r. 22. κερκύραν r. 23. ζ] ϛ r. – Xenoph. Hellen. 6, 2 sq. 28. δὲ] δ' r.

2. περὶ – αὐτὴν Funkhaenel: παρ' – αὐτὸν br. 8 λέγεσθαι H. Wolfius: λέγεσθαι τὸ ar. 9 καὶ] οὕτω r. 10. δὲ om. r. γ΄ σημαίνει – β΄ αἰτίαν om. r. 12. τις om. r. 13. γ΄ (h. e. τρίτον) Sauppius: ἢ ar. 15. ἐγένετο om. r. 19. εἰκὸς δὲ] sic r. 24. δὲ om. r. 25. καὶ τῶν] καὶ r 30. ἰσχυρὸς εἶ] ἰσχύεις r. 37. ὅτι om. r. σαυτῷ r. 40. συνέκλεισεν ἑαυτὸν r.

ὅ ἐστιν, αἰτιῷ σαυτὸν ὡς ἀτυχῆ καὶ μὴ ἔχοντα χρήματα πρὸς τὸ ἐκτῖσαι, ἐὰν μὴ ἀποδείξῃς; δικάζου κλοπῆς καὶ οὐχὶ κινδυνεύσεις· τὸ γὰρ δικάσασθαι παρὰ διαιτητῇ ἀκίνδυνον ἦν. a.

ἄπαγε] ἀπαγωγῇ χρῶ. ἀπαγωγὴ δέ ἐστιν ἡ τῶν κακούργων πρὸς τοὺς ἕνδεκα παράδοσις. b.

ἐφηγοῦ] ὑπόδειξον τοῖς ἄρχουσιν. b.

§. 27. γράφου] πρὸς τοὺς θεσμοθέτας δηλονότι. b.

οὐδέτερον βούλει τούτων] πάλιν κἀνταῦθα πολλή τίς ἐστιν ἀμφισβήτησις. ζητοῦσι γάρ τινες, πῶς δ' πράγματα εἰπών, οἷον τὸ ἀπάγειν, τὸ ἐφηγεῖσθαι, τὸ γράφεσθαι, τὸ δικάζεσθαι πρὸς
137 διαιτητάς, εἶπεν οὐδέτερον, ἀεὶ τοῦ οὐδετέρου μὴ λεγομένου εἰ μὴ ἐπὶ δύο πραγμάτων, ὥσπερ λέγομεν τὸ ἑκάτερον καὶ τὸ ἀμφότερον. οὐδὲν γὰρ τούτων δύναται ἐπὶ πολλῶν λέγεσθαι, εἰ μὴ μόνον ἐπὶ δύο. ὅταν δὲ ἐπὶ πολλῶν θέλομεν λέγειν, ἕκαστος λέγομεν. τί οὖν ἐροῦμεν πρὸς τοῦτο; φάσκομεν, ὅτι μάλιστα μὲν Ἀττικόν ἐστι λέγειν οὐ μόνον ἐπὶ δύο, ἀλλὰ καὶ πολλῶν. a.

γράφου] πάλιν κἀνταῦθα ζητῆσαι ἄξιον, πῶς εἰπὼν ἄνω τὸ γράφου καὶ τὸ ἐφηγοῦ, ταῦτα πάλιν ἐπήνεγκεν. λέγομεν, ὅτι εἰς δύο συνελθόντων τῶν ἄνω τῶν δ' πραγμάτων, εἴς τε τὸ γράφεσθαι ἐν τῷ δικαστηρίῳ καὶ εἰς τοὺς δεσμοφύλακας, διδάξας ἄνω ὡς περὶ δύο ὄντων πραγμάτων κατὰ τὸ ἀληθές, ἐνταῦθα ὥσπερ ἀνακεφαλαιοῦται καὶ ἐρωτᾷ, ποῖον βούλεται τῶν ἤδη δύο εἰρημένων τὸ ἕτερον. δεῖ δὲ ἐν ὑπερβιβασμῷ αὐτὸ νοῆσαι· οὐ βούλει δὲ τῶν β' ὧν εἶπον τὸ ἕν, τὸ γράφεσθαι; οὐκοῦν ἑλοῦ τὸ ἐφηγεῖσθαι, τὸ ἕτερον. εἰ δὲ τοῦτο οὐ θέλεις, τὸ ἐφηγεῖσθαι, οὐκοῦν ἑλοῦ τὸ ἕτερον, τὸ γράφεσθαι. a.

τῆς ἀσεβείας etc.] πληρώσας τὸ περὶ κλοπῆς παράδειγμα, μετέρχεται καὶ ἐπὶ ἄλλο, εἰς τὸ περὶ τῆς ἀσεβείας κατὰ τὰ αὐτά. εἴποι [δ'] ἄν τις· καίτοι οὐκ ἔστιν ὅμοια τὰ παραδείγματα. [τὸ] τῆς ἀσεβείας ὥσπερ [τὸ τῆς] κλοπῆς· οὐδὲ γὰρ [ἔστι δικάζεσθαι πρὸς] διαιτητάς, οὐδὲ τὸ ἐφηγεῖσθαι. λέγομεν ὅτι [ὅμοια] λέγει, καθὸ καὶ ἑκάτερον τρόπους δικῶν εἶχε διαφόρους. — ἀπάγειν· πάλιν ὡς ἐπί τινα [ἀρχὴν] τὸ ἀπάγειν λέγει. [γράφεσθαι· ὡς] ἀσεβῆ καὶ ἱερό[συλον]· πρὸς τοὺς Εὐμολπίδας· ἵνα ἐκεῖ αὐτὸν γράψηται. πρὸς τὸν βασιλέα· ὁ γὰρ βασιλεὺς ἐπεμελεῖτο τῶν ἱερῶν πραγμάτων καὶ εἰσῆγε τὰς τῆς ἀσεβείας γραφὰς πρὸς τοὺς Εὐμολπίδας. a.

ἀπάγειν] ἀπάγειν, ἐφηγεῖσθαι, γράφεσθαι, δικάζεσθαι· τούτων ἕκαστον ἐπὶ τῶν ἑτέρως κατηγορούντων λέγεται. ἀλλ' εἰ μὲν πρὸς διαιτητὴν ἡ διαδικασία γίνεται, καλεῖται δικάζεσθαι. — καὶ ἀπάγοντες ἀποσοβοῦντες, ἀπελαύνοντες· τὸν ἄνδρα ἀπάγοντες. b.

πρὸς Εὐμολπίδας] Εὐμολπίδαι γένος ἀπὸ τοῦ 97
Θρᾳκός, ὃς καὶ τὴν μύησιν εὗρεν, ἢ ἀπὸ τοῦ Μουσαίου υἱοῦ, ὃς ἦν ἀπὸ τοῦ δευτέρου πέμπτος. ἐπηράσαντο δὲ αὐτῷ Εὐμολπίδαι καὶ Κήρυκες. b.

§. 28. λαχεῖν] ἀντὶ τοῦ κατηγορῆσαι λέγουσιν 138
Ἀττικοί. a.

§. 29. ἐπαγγελία] ἀντὶ τοῦ κατηγορία. a.

οὐ γὰρ ἔξεστί σοι] δηλονότι τὸ γράφειν. ὄντι ἡταιρηκότι. a.

§. 30. ἄξιον τοίνυν] τὸ ἐπιχείρημα γνώμη νομοθέτου. β' γὰρ ἔταξε τὴν γνώμην τοῦ νομοθέτου ἐν τῷ λόγῳ τούτῳ. a.

§. 31. δεινοὺς] δεινοὺς μὲν δυνατοὺς ἐν τῷ λέγειν, θρασεῖς δὲ διὰ τὸν τρόπον. τὸ δὲ τοιούτων ὀνειδῶν, οἵων μετέχει ὁ Ἀνδροτίων. τὸ δὲ κἀκείνους ἀντὶ τοῦ ἡταιρηκότας. a.

§. 32. καταλῦσαι τὸ παράπαν τὸν δῆμον. ἐνταῦθα δύο προτάσεις εἰσίν· ἡ μὲν παράδοξος, ὅτι καταλῦσαι προέλοιντο ἂν τὸν δῆμον, ἡ δὲ πιθανή, ὅτι προαγαγεῖν ἅπαντας ὁμοίους ἑαυτοῖς εἶναι. ὁ δὲ ῥήτωρ αὐτόθεν ἐδεήθη κατασκευάσαι τὴν προτέραν, πρὸ τοῦ τὴν β' προτεῖναι. καθόλου γὰρ δεῖ τὰς κατασκευὰς εὐθέως ἐπισυνάπτειν ταῖς ἀπιθάνοις καὶ παραδόξοις προτάσεσιν, ἵνα διὰ τῆς ἀποδείξεως τῆς προτέρας συναρπάσωμεν τὸν ἀκροατήν, ὡσπερεὶ πιθανῆς καὶ τῆς β'. a.

τοὺς ἄρχοντας] οὐχ ἁπλῶς λέγει ἄρχοντας, ἀλλὰ τοὺς προϊσταμένους τῶν πραγμάτων καὶ τοὺς δυναμένους τι. ὥσπερ νῦν ὁ Ἀνδροτίων δυνατός ἐστιν ἐν τῇ βουλῇ. a.

ὀλιγωρήσας] τοῦ συμβουλεύειν καὶ δημηγορεῖν, τοῦ νόμου αὐτὸν ἀπείργοντος. a.

---

5. cf. Suidas p. 422. B. 15. καὶ τὸ] καὶ r. 23. εἰς δύο om. r. 28. δεῖ δὲ ἐν ὑπομνηματισμῷ αὐτὸ νοῆσαι r. nec diversa, sed eadem, quae cetera scripsit, manus haec posuit in rasura. 33. versus huius scholii, in mg. folii dextro scripti, habent fere duodevicenas literas, quarum ultimae praesectae esse solent. ea, quibus lacunas implere conati sumus, uncinis seclusimus. 35. δ' iam Reiskius addiderat. 36. τὸ iam add. Funkhaenel 39. ἑκάτερον] sic a. δικῶν εἶχε om. r. 40. ἀπάγει r. ὡς om. r. τινα om. r. 41. ἀσεβῆ καὶ ἱερό om. r. 42. ἵνα] γε r.

2. εἰσῆγε] επῆγε r. 4 sqq. Suidas p. 423. B. 9. Aristoph. Ach. 57. 10 sqq. Suidas p. 1506. D. 12. δευτέρου] πρώτου Meursius, ἑτέρου Perizonius. — Maximus Tyr. dissert. 12 sub f. κήρικες r. 16. κατηγορεῖν r.

21. cf. schol. ad. §. 12. 25. ὁ om. r. 30. εἶναι] ἐστὶν r. 31. προτέραν] πρὸ a, προτ r. 35. ὡσπερεὶ Sauppius: ὡς περὶ ar.

§. 33. περὶ μὲν τοίνυν τοῦ νόμου] Ο ΠΕΡΙ ΕΝΔΕΙΞΕΩΣ ΝΟΜΟΣ. a.

§. 35. ἔστι γὰρ εἷς] πληρώσας τοὺς ἀγῶνας διὰ τῶν δ΄ νόμων, μετέρχεται ἐντεῦθεν ἐπὶ τοὺς ἐπιλόγους. a.

πλείους ἢ μυρίους] ἐπειδὴ διὰ τὸ πλῆθος τῆς βουλῆς δυσωπῆσαι τοὺς δικαστὰς ὁ Ἀνδροτίων ἐπεχείρει, ἀντιτίθησι καὶ αὐτὸς τῷ πλήθει ἕτερον πλῆθος πολὺ πλέον ἐκείνου, τοῖς φ΄ τοὺς μυρίους. a.

§. 36. ὄνειδος] τοῦτο λοιπὸν ἐμποιοῦσιν ἐπι . . . . στάσιν καὶ ἀντιπαράστασιν οὕτω· μάλιστα μὲν οὐκ ἔστιν ὄνειδος τῇ βουλῇ, μόνῳ δὲ τῷ Ἀνδροτίωνι. εἰ δὲ καὶ δοίημεν, μὴ μόνῳ τῷ Ἀνδροτίωνι, ἀλλὰ καὶ 139 πάσῃ τῇ βουλῇ, βέλτιόν ἐστι λυπῆσαι μίαν βουλὴν ἢ πᾶσαν βλάψαι τὴν πόλιν. a.

σιωπῶντος — γράφοντος] ἀντὶ τοῦ μὴ δημηγοροῦντος. a.

§. 37. καταγνοῦσιν ἢ μὴ] ἀντὶ τοῦ ἐὰν μὴ καταγνῶτε αὐτῶν ὡς ἁμαρτόντων, ἀλλὰ ἀπογνῶτε τῶν κατηγορουμένων, ὡς μὴ ἁμαρτησάντων. a.

ἐθάδων] ἐθάδας ἐκάλουν τοὺς περὶ τὰ πράγματα σχολάζοντας καὶ κακουργοῦντας διὰ τὸ κερδαίνειν καὶ ἐργολαβεῖν. a.

§. 38. ἴσως] καλῶς εἶπε τὸ ἴσως, καὶ οὐ πάντως, ἵνα ὥσπερ μέρος ἐπιεικείας αὐτοῖς μαρτυρήσας ἀποτρέψει αὐτοὺς τοῦ συνηγορεῖν. a.

§. 39. τὴν γραφὴν] λέγει τὴν κατηγορίαν, ἣν εἰσήλθομεν κατὰ τοῦ Ἀνδροτίωνος. ἀπογνῶτε λέγει ἐνταῦθα οὐχ ὥσπερ εἶπεν ἄνω ἐὰν ἀποδέξησθε, ἀλλ' ἀντὶ τοῦ ἐὰν μὴ καταγνῶτε, εἰδὼς τὴν αὐτὴν λέξιν διττῶς λεγομένην καὶ μεθαρμοζομένην πρὸς τὸν νοῦν τοῦ λεγομένου. δέον εἰπεῖν ἀπογνῶτε τῆς γραφῆς, ἀπογνῶτε τὴν γραφὴν Ἀττικῶς εἶπεν. a.

§. 40. ἔτι τοίνυν Ἀρχίαν] . . . . φιλόσοφος, ὡς μαρτυροῦσι καὶ πάντες οἱ ἐξηγησάμενοι καὶ αὐτὸς ὁ ῥήτωρ διὰ τοῦ ἐπαγαγεῖν ὡς ἐπιεικῆ δεήσεσθαι· φιλόσοφον γάρ ἐστι τὸ προβάλλεσθαι τὴν ἐπιείκειαν. ἐπειδὴ οὖν ἔμελλεν ὡς ἐκ φιλοσοφίας ὁρμώμενος συλλογιστικῶς κεχρῆσθαι τοῖς λόγοις, βούλεται ὁ ῥήτωρ ἀφορίσαι αὐτὸν τῶν ἄλλων, ἵνα σχολάσας πρὸς ἐκεῖνον καὶ αὐτὸς χρήσηται ταῖς πρεπούσαις κατασκευαῖς, ἵνα δείξῃ, ὅτι καὶ ἐν τούτῳ αὐτοῦ περιγίνεται, ἐν ᾧ ἐκεῖνος μεγαλοφρονεῖ. κέχρηται οὖν εὐθὺς συλλογιζόμενος πρὸς αὐτὸν τῷ διλημματῳ σχήματι, καὶ οὐχ ἁπλῶς διλημμάτῳ, ἀλλ' ὥσπερ κατὰ διαίρεσιν. ἰστέον, ὅτι καὶ φιλοσόφων λόγων ἐντὸς ἦν ὁ ῥήτωρ, ἀκροατὴς γεγονὼς Πλάτωνος. a.

§. 42. αὐτὸν] τὸν Ἀνδροτίωνα λέγει. a

ὀλίγους] εἶπε τοὺς πλουσίους, πρὸς ἀντιδιαστολὴν τῶν πενήτων. a.

τῶν μὴ τιθέντων] τῶν μὴ καταβαλλομένων τὰ χρήματα. a.

§. 43. εἰσφορὰν] ὅτι τὸ εἰκοστὸν τῆς οὐσίας κα- 140 τεβάλλοντο ἐν ταῖς εἰσφοραῖς οἱ Ἀθηναῖοι. a.

§. 44. τὰς ἀπὸ Ναυσινίκου] ὡσανεὶ ἔλεγεν ἐπὶ ταῖς εἰσφοραῖς ταῖς γενομέναις ἐπὶ Ναυσινίκου ἄρχοντος. a.

παρ' ἴσως] τὸ παρὰ ἀντὶ τοῦ κατὰ ἐστὶν ἐνταῦθα. a.

§. 47. βούλομαι] παρέκβασις ἐντεῦθεν. παρεκβαίνειν γὰρ δοκεῖ τῆς ὑποθέσεως, λέγων ἅπερ πρῴην ἔπραξεν ὁ Ἀνδροτίων. ἔστι δὲ ἡ παρέκβασις καὶ αὐτὴ μέρος τῶν ἐπιλόγων. a.

§ 48. καταλύσας] οὐκ εἶπεν ἐλέγξας, ἀλλὰ καταλύσας, ὡς ἐπὶ τυράννου. a.

κληρωτὴν] ἐζήτησάν τινες . . . . λέγομεν ὅτι, ἐάν τις κατὰ τὸ ἀληθὲς σκοπήσῃ, εὑρήσει τὴν κληρωτὴν βελτίονα τῆς δοκιμαστῆς, καθὸ ἡ κληρωτὴ καὶ δοκιμαστή, ἡ δὲ δοκιμαστὴ μόνον ἦν δοκιμαστή. εἰ γάρ τις ἀπὸ κλήρου ἐγένετο ἄρχων, ἀνάγκη ἦν που καὶ δοκιμάζεσθαι, εἰ ἄξιός ἐστι τοῦ ἄρχειν· εἰ δὲ ἡρέθη καὶ ἐχειροτονήθη ἀπὸ μόνης δοκιμασίας, οὐ χρεία ἦν ἔτι τοῦ κλήρου. a.

παρέδυ] τὸ παρέδυ ὡς ἐπὶ κακούργου τινὸς καὶ λῃστοῦ εἶπεν. a.

πομπεῖα] σκεύη τὰ εἰς τὰς πομπάς. b. ἀπὸ τοῦ πομπεύειν, θυμιατήρια καὶ τινα τοιαῦτα. a.

§. 49. κατέχων] ἀντὶ τοῦ ἰσχύων. a.

διὰ τὸν καιρόν, ὃς ἦν τότε] ἀντὶ τοῦ διὰ τὸν πόλεμον. a.

§. 51. ἀπογράφειν] οἱ τῷ δήμῳ χρήματα ὀφείλοντες ἐκ καταδίκης καὶ μὴ ἀποδιδόντες μέχρι τῆς ἐννάτης πρυτανείας εἰς τὸ δεσμωτήριον ἀπεκλείοντο, μὴ ἐγγυητὰς καταστῆσαι δυνάμενοι τοῦ ὀφλήματος. — ἀπογραφή· ἐπειδάν τις λέγῃ τινὰ ἔχειν τι τῶν τῆς πόλεως, ὁ ἐναγόμενος ἀπογραφὴν ποιεῖται, δηλῶν, ὅσα τε ἔχει καὶ ὅθεν τὰ χρήματα. μήποτε καὶ εἶδός τινός ἐστι δίκης ἡ ἀπογραφή· εἰ γὰρ ἀρνοῖτό τις μὴ ἔχειν, ἀπογραφῆς ἐκρίνετο, οὐκ ὀρθῶς γεγενημένης τῆς ἀπογραφῆς. b.

ἔδεις] ἀντὶ τοῦ ἐδέσμευες. a.

10. ἐμποιοῦσιν ἐπι om. r. — deinde versus praesectus est satis longus, fere pars tertia totius scholii. 26. ἀποτρέψῃ r. 31. διττῶς om. r. 32. εἰπεῖν] λέγειν r. 35. paene totus versus praesectus est. 41. σχολάσας Funkhaenel: σχολήσας ar. 43. περιγίγνεται r. 45. πρὸς add. Sauppius. αὐτὸν] τὸν r.

17. ὁ om. r. 20. ὡς] ὥσπερ r. 21. paene totus versus primus praesectus est. 22. εὑρήσει r: εὑρήσῃ a. 36 — 45. Suidas p. 472. G. 39. μὴ Funkhaenel: μήτ' br. 46. post ἐδέσμευες legi quaedam non possunt

§. 59. *προάγωνας*] προπαροξυτόνως αν γρ . . . . τὸν τόνον. *προάγωνες* δὲ λέγονται οἱ πρὸ τοῦ ἀγῶνος λόγοι οἱ ἐν τῷ δήμῳ λογοποιούμενοι παρά τινος· ἀγὼν γὰρ ἡ κρίσις. οἷον εἰ, ὅταν τις προορᾶταί τινα αὐτῷ δίκην μέλλουσαν γίνεσθαι, περιέρχοιτο καὶ λέ-
141 γοι προσποιήτως· τινές μοι φθονοῦσιν ἐν τῇ πόλει διὰ τόδε τὸ πρᾶγμα. ἵνα, ὅταν γένηται ἡ δίκη, λέγῃ ὅτι καὶ προὔλεγον ὅτι τινές μοι φθονοῦσι καὶ βούλονταί μοι ἐπιβουλεῦσαι. a.

§. 61. *ἕκτον μέρος*] οἱ πολῖται εἰσέφερον τὸ κ' μέρος, οἱ δὲ μέτοικοι τὸ ς'. a.

§. 62. *εἴτε γὰρ ἦσαν*] σχῆμα διλήμματον. a.

§. 67. *οὔτε γὰρ ῥᾷον πολλοῖς*] πρεπῶδές ἐστι τῇ δημοκρατίᾳ τὸ μᾶλλον περιεργάζεσθαι τὰ ἀδικήματα τῶν ὀλίγων ἤπερ τῶν πολλῶν. a.

§. 68. *καταφαίην ἄν*] μία λέξις ἀντὶ τοῦ καὶ *ὁμολογῶ καὶ συντίθημι*, ὅτι μάτην ᾠκοδομήθη τὸ δεσμωτήριον. ἀλλαχοῦ κατὰ διαίρεσιν εὑρίσκομεν ἀναγινωσκόμενον τοῦτο καὶ διαλυόμενον εἰς δύο λέξεις, ὅταν καὶ β' πράγματα θέλει σημᾶναι τὸ κῶλον· ἐνταῦθα δὲ ἕν ἐστι. a.

ἐξορχησάμενος] φυγών, ἀποδράς. b. ἔθος ἦν παρὰ τοῖς Ἀθηναίοις ἐν τοῖς Διονυσίοις καὶ ἐν τοῖς Παναθηναίοις, τοὺς δεσμώτας ἀφίεσθαι τοῦ δεσμοῦ ἐν ἐκείναις ταῖς ἡμέραις παρασχόντας ἐγγυητὰς πρὸς τὸ μὴ φυγεῖν, ἵνα καὶ τὸ εὐσεβὲς γένηται πρὸς τὸ θεῖον καὶ ἀσφαλὲς ὑπάρχῃ τοῖς χρεωστουμένοις μὴ φευγόντων τῶν δεσμωτῶν, ἀλλὰ μετὰ τὰς ἡμέρας τῆς ἑορτῆς πάλιν ἐμβαλλομένων εἰς τὸ δεσμωτήριον. λέγει οὖν, ὅτι ἐν ἐκείναις ταῖς ἡμέραις ὁ πατὴρ τοῦ Ἀνδροτίωνος ὡς ἄδειαν ἔχων ἐκ τοῦ δεσμωτηρίου ἀπέδρα. τὸ δ' *ἐξορχησάμενος* ὡς πρὸς τὴν πανήγυριν ἔπαιξεν, ἐπειδήπερ ἐν ταῖς ἑορταῖς ἔθος ἐστὶν ὀρχεῖσθαι, ἀντὶ τοῦ *προσέπαιξε τῇ πανηγύρει* καὶ χλεύης ἀφορμὴν ταύτην ἐποιήσατο, ἵνα καὶ ἀσεβῆ αὐτὸν δείξῃ. a.

§. 69. *ἄλλα δ' ἴσθ' ἃ καλῶς διῴκηκεν*] ἀντὶ τοῦ· ἐὰν συγκριθῇ τὰ μέλλοντα λέγεσθαι πρὸς τὰ εἰρημένα, οὐδαμῶς μέλλει νομίζεσθαι ἄξιος εἶναι μίσους ἐν τοῖς προειρημένοις. οὕτω, φησί, μείζονά
142 ἐστιν ἅπερ μέλλω ἐπιφέρειν περὶ αὐτοῦ τῶν προειρημένων. a.

τὴν καλήν] κατ' εἰρωνείαν. a.

§. 72. *ταῖς χοινικίσι*] χοινικὶς τοῦ τροχοῦ, ἐν ᾗ στρέφεται ὁ ἄξων. b. χοινικίδας καλεῖ τὰς βάσεις αὐτάς, ἔνθα ἦσαν κείμενοι οἱ στέφανοι· χοινικίδες δὲ ἐκαλοῦντο, ἐπειδὴ σχῆμα ἔσωζον χοινίκων, τῶν μέτρων τοῦ σίτου. a.

§. 74. *δι' ἐκεῖνον*] τὸν Τιμοκράτην λέγει. a.

§. 75. *σκαιός*] μῶρος καὶ ἀπαίδευτος. διαβάλλων αὐτὸν εἰς κακίαν ἐν τοῖς προειρημένοις, βούλεται αὐτὸν ἐν τοῖς ἐπιλόγοις καὶ εἰς ἀπαιδευσίαν καὶ ἄνοιαν κωμῳδῆσαι. a.

§. 76. *νεώσοικοι*] τὸ ναύσταθμον. b.

§. 77. *δεκατεύοντες*] δεκατευταὶ οἱ τελῶναι, οἱ τὴν δεκάτην ἐκλέγοντες καὶ συλλέγοντες· καὶ *δεκατηλόγοι* ὡσαύτως· καὶ θηλυκῶς *τὴν δεκατηλόγον*. b.

§. 78. *πομπείων ἐπισκευαστής*] *πομπεία* λέγεται ἡ λοιδορία· ἐνταῦθα δὲ *πομπεία*, τὰ εἰς τὰς πομπὰς κατασκευαζόμενα σκεύη. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἐν ταῖς Διονυσιακαῖς πομπαῖς ἐπὶ τῶν ἁμαξῶν λοιδορουμένων ἀλλήλοις. b.

XXIII. IN ORATIONEM IN ARISTOCRATEM.

§. 1. *μηδεὶς ὑμῶν*] διαλύεται τὴν ἔχθραν ὁ κατήγορος. b.

ἀλλ' εἴπερ ἄρ' ὀρθῶς] διπλασιασμὸς κώλου. b.

§. 4. *ὅσον ἐστὶν ἐν ὑμῖν*] ἤτοι ὅσον δύνασθε. b.

§. 8. *ἔστι τοίνυν*] ἐγκατάσκευός ἐστιν ἡ διήγη- 98
σις. λέγει γὰρ οὕτως ὁ τεχνικός· *ὅταν σύντομος ᾖ καὶ πολιτικὴ ἡ διήγησις, τῷ ἐγκατασκεύῳ χρησόμεθα τρόπῳ, ταῖς αἰτίαις κατασκευάζοντες αὐτήν, ἵνα γένηται ῥητορικωτέρα, τῇ προσθήκῃ τῶν αἰτιῶν εἰς κατασκευὴν βοηθουμένη*. b.

§. 26. *πρὸ μὲν τοῦ κρίσιν γενέσθαι*] ὅτι τὸ πρὸ τῆς κρίσεως λέγεται αἰτία· ὅτι τὸ μετὰ τὸν ἔλεγχον ἀδίκημα. b.

§. 31. *ὡς ἐν τῷ ἄξονι*] οὕτως ἐκάλεσαν Ἀθηναῖοι τοὺς Σόλωνος νόμους διὰ τὸ ἐγγραφῆναι ἐν ξυλίνοις ἄξοσιν· ἦσαν δὲ τετράγωνοι τὸ σχῆμα. Ὅμηρος δ' ἄξονα λέγει τῆς ἁμάξης. b.

§. 38. *ἐφορείας* (sic)] ἐφορεία· ἡ ἐπωπία· ἡ ἐπὶ τῶν ὅρων γιγνομένη προαγόρευσις. b.

τοὺς ἐφέτας] ἐφέται· ἄνδρες ὑπὲρ τὰ πεντήκοντα ἔτη γεγονότες, α' καὶ ν' ὄντες, οἳ τὰς φονικὰς δίκας

---

1. dimidia fere pars versus praesecta est. 4. εἰ Sauppius: ὡς ar. 6. προσποιήτως Sauppius: ἀπροσποιήτως ar. 8. καὶ om. r. τινές μοι (sic) a: μοι r. 10. κ'] α r. cf. schol. ad §. 43. 11. ς'] η r. 17. συντίθεμαι Funkhaenel. 22 sqq. Suidas p. 1303. A. 27. ἀσφαλὲς] ἀσφάλεια r. ὑπάρχῃ r: ὑπάρχει a. 33. ταῖς om. r. 45. ᾗ Sauppius: ᾧ br.

4. Τιμοκράτην H. Wolfius: φιλοκράτην ar. 10 sqq. Suidas p. 844. A. 13 sqq. Suidas p. 3029. D. 29 sqq. Hermog. p. 94, 18 W. 33. εἰς] ὡς r. 38 sqq. Suidas p. 419. A. 42 sqq. Suidas p. 1553. A. 44 sqq. Suidas p. 1546. A. ὑπὲρ] ὑπὸ r. 45. α' καὶ ν' ὄντες οἳ Sauppius: ἄνδρες ὀγδοήκοντα br.

ἔκρινον. ἐφέται δὲ ἐκλήθησαν ἤτοι ὅτι ἐπὶ αἵματι δικάζουσιν, ἢ ὅτι ἔφεσις παρ' αὐτῶν οὐ δύναται εἰς ἄλλο δικαστήριον γενέσθαι, τουτέστιν ἔκκλητος. ἐδίκαζον δ' ἐπὶ Παλλαδίῳ καὶ ἐπὶ Πρυτανείῳ καὶ ἐπὶ Δελφινίῳ καὶ ἐπὶ Φρεαττοῖ. — ἐφέτης· ὁ δικαστής. b.

§. 42. ἔκδοτον] προδιδομένον. b.

§. 46. οὐδέτερον ποιεῖν] ἀντὶ τοῦ ἕτερον δὲ παρὰ ταῦτα μὴ ποιεῖν. b.

§. 53. ἐπειπών] ἐπαγορεύσας. b.

§. 62. ἄτιμον] τὸν ἀτιμώρητον. τουτέστιν· ὃν ἄν τις ἀποκτεινῃ οὐχ ὑπόκειται ἐπιτιμίῳ, ἀλλ' ἔστι καθαρὸς αἰτίας, οἷον τὸν ἄτιμον ἀνελών. b.

§. 63. διωμοσία] ὅρκοι οἱ ὑπὸ τῶν δικαζομένων γινόμενοι, τοῦ μὲν ὀμνύντος, ὅτι παθὼν ἐγκαλεῖ, τοῦ δὲ ἄρα, ὅτι οὐκ ἐποίησα. — διωμοσία καὶ ἀντωμοσία· ὅταν οἱ κατηγοροῦντες ὀμνύωσιν, ὡς ἀληθῶς κατηγοροῦσι, τοῦτο διωμοσία· ὅταν δὲ οἱ κατηγορούμενοι ὀμνύωσι τὸν αὐτὸν ὅρκον, διαλυόμενοι τὰ ἐγκλήματα, τοῦτο ἀντωμοσία. b.

99 §. 64. βούλομαι δ' εἰπεῖν διὰ βραχέων] τί τὸ χρήσιμον περὶ τῶν δικαστηρίων λεγει, τῶν νόμων προεξητασμένων, επειδὴ ἔθει πολλοὶ κεκράτηνται νόμοι, βουλόμενος δεῖξαι, ὅτι πάντες εισὶ κύριοι, ἐξετάζει τὰ δικαστήρια. δεικνὺς, ὅτι ταῦτα πάντως συγκροτούμενα b

§. 69 τοῦτο μὲν τοίνυν τὰ παλαιὰ] σημείωσαι· περὶ τοῦ ἐν Ἀρείῳ πάγῳ δικαστηρίου. b.

§. 74 τὸ ἐπὶ Δελφινίῳ] Δελφίνιόν ἐστι μέν τι χωρίον ἐν Χίῳ, ἔστι δὲ καὶ ἐν Ἀθήνησιν ἱερὸν οὕτω καλούμενον Ἀπόλλωνος, ἔνθα ἦν τὸ ἐν Δελφινίῳ δικαστήριον. b.

δοκοῦσι γάρ μοι] περὶ δικαίου φόνου. b.

ἀποφυγγάνει] ἀθῳοῦται. b.

§. 75. ἔκδοτον] προδεδομένον. b.

§ 76. τὸ ἐπὶ Πρυτανείῳ] πρυτανεῖα, ἐκτεταμένως μὲν καὶ θηλυκῶς, ἀριθμός τις ἡμερῶν· οὐδετέρως δέ, σαφῶς μὲν οὐδεὶς εἶπε τί δηλοῖ· τινὲς δὲ ἀργύριόν τι ἔφασαν εἶναι, ὃ κατετίθεσαν οἱ δικαζόμενοι, ἐξ ὧν τὸ δικαστικὸν ἐδίδοτο τοῖς ἑξακισχιλίοις. b.

§. 81. ἔκσπονδον] ὁ τὰς σπονδὰς μὴ φυλάττων. b.

§. 82. τὰς ἀνδροληψίας] ἀνδροληψία καὶ ἀνδρολήψιον· ἐὰν ἔξω τῆς Ἀττικῆς ἀνὴρ Ἀθηναῖος ἐτελεύτησε καὶ μὴ ἐξεδίδοσαν οἱ ἐν ἐκείνῃ τῇ πόλει, ἐν ᾗ τὸ ἔργον επράχθη, τὸν δοκοῦντα εν τῇ αιτίᾳ εἶναι, ἐφεῖτο ἐκ τοῦ νόμου, τρεῖς τῶν ἐκείνῃ απόντων πολιτῶν ἄγειν εἰς Ἀθήνας, δίκην ὑφέξοντας τοῦ φόνου. ἀνδροληψία οὖν τὸ ἁρπάζειν ἄνδρας ἔκ τινος πόλεως· ἠνεχύραζον γὰρ τὴν ἔχουσαν πόλιν τὸν ἀνδροφόνον καὶ μὴ προϊεμενην αὐτὸν εις τιμωρίαν· καὶ τοῦτο ἐκαλεῖτο ἀνδροληψία. b.

§. 92. ἐπέτεια, ἐπὶ τοῦ νῦν ἔτους· ἔτος γὰρ δεῖ λέγειν τὸν ἐνεστῶτα καιρόν· οὐχὶ διὰ τοῦ φ̄, ἀλλὰ διὰ τοῦ π̄. καὶ επετειος ὁ κατ' ἔτος γινόμενος. b.

§. 110. ἀκούω τοίνυν αὐτὸν] πρότασις. b.

οὐκ ἔστιν] ὑποφορά. b.

§. 119. ἔκδοτον] προδιδομένον. b.

§. 132. εἰς Ἄντισσαν] πόλις Λέσβου. b

§. 144. βούλομαι τοίνυν ἤδη καὶ τὰ πε- 100
πραγμένα] τοῦ δικαίου μερους αι πράξεις. ὅπερ μετὰ τὸ νόμιμον καὶ τὰ ἔθη τάξαι δεον· ἀλλ' επειδὴ ᾔδει τὸ τοῦ Χαριδήμου πρόσωπον επὶ τὸ βέλτιον ὑπειλημμενον, τὸ συμφερον προτάξας, ἀνάγκην εἶναι δεῖν ἐπεθηκε καὶ τούτων ἀκούειν ἀπεχεσθαι· πρὸ γὰρ του συμφεροντος ἀπίθανος ἂν ἦν κατὰ τοῦ Χαριδήμου λεγων. b.

§. 148. ξεναγῶν] ξεναγός· ὁ τῶν ξένων ἡγεμών. — ξεναγῶν· ξενοδοχῶν. — ξεναγοί· οἱ ἄρχοντες τῶν μισθοφόρων· ξένους γὰρ ἐκάλουν τοὺς μισθοφόρους. b.

§. 154. ἀπόμισθος] ἀπόμισθος· ὁ μισθὸν μὴ λαβών· παρὰ δὲ τῷ Λυσίᾳ ὁ μισθοῦ ἔργον τι διαπραξάμενος καὶ ἀφειμενος, ἐν τῷ πρὸς Καλλικλεα. ἤτοι ὁ ἄμισθος. b.

§. 158. ἐκ γὰρ Ἀβύδου] Σηστός. b

§. 161. Κριθωτῆς] Κριθωτὴ πόλις τῶν ἐν Χερρονήσῳ, κατοικισθεῖσα ὑπὸ Ἀθηναίων, τῶν μετὰ Μιλτιάδου ἐκεῖ παραγενομενων. b.

§. 171. ἐν ἀρχαιρεσίαις] ἀρχῶν ἐκλογή. καὶ ἀρχαιρεσίη· τὸ πρὸς χάριν πολλῶν ζῆν· ἢ τὸ ἐπιδόσεις χρημάτων ποιεῖσθαι· Ἡρόδοτος. b.

§. 199. ἱππεῦσι πενέσταις] οἱ περὶ Θετταλίαν μὴ γόνῳ δοῦλοι, ἀπὸ τῶν ὑπὸ Αἵμονος ἐν Ἄρνῃ νικηθέντων Βοιωτῶν, οὐ φυγόντων τὴν παρ' αὐτῶν δουλείαν, ἀλλὰ μεινάντων μεχρι τῆς τρίτης γενεᾶς, φιληδούντων ἐπὶ τῇ χώρᾳ. παρέδοσαν δ' ἑαυτοὺς ἐπὶ ὅρκῳ, ἐπὶ τῷ μήτε παθεῖν τι ἐργαζόμενοι μήτε εκβληθῆναι

1. ὅτι ἐπὶ αἵματι δικάζουσιν ἢ om. r. 10 sqq. Suidas p. 640. D. 12. οἷον — ἀνελών Bekk. anecd. p. 459, 25: ὁ οἷον — ἀνελών br. 13 sqq. Suidas p. 1026. B. 24. ταῦτα πάντως Sauppius: τούτους πάντας br 28 sqq Suidas p. 886 B. μέν τι Suidas: μέντοι br 35 sqq Suidas p. 3150. A. 40 sq. Suidas p. 1184. D. 42 sqq. Suidas p. 332 A eadem fere infra leguntur ad §. 218. ἀνδρολήψιον καὶ ἀνδροληψία ad 218. 43. ἀνὴρ om. 218.

3. ἐκείνῃ Sauppius: ἐκείνῳ br. hic et infra. 4. πολιτῶν om. 218. 5. ἀνδροληψία οὖν] τοῦτο γοῦν ἀνδρολήψιον ἐκαλεῖτο· ἀνδροληψία δὲ 218. 9 sqq. Suidas p. 1334. C. ἐπὶ Bachm. anecd. p. 227: ἀπὸ br. 19. ᾔδει] ἤδη r. 24 sqq. Suidas p. 2624. B. 27 sqq. Suidas p. 499. A. 28. Λυσίᾳ] frg. 69 Hoelscher 32 sqq Suidas p. 2202. C. 35 sqq. Suidas p. 591. C. ἀρχῶν Sauppius: περὶ ἀρχῶν br. 38 sqq. Suidas p. 2917. A. περὶ] παρὰ r. Θετταλίαν Sauppius: Θετταλῶν br. 39. ἀπὸ Suidas: ὑπὸ br. Ἄρνῃ Suidas: αἰνίῃ b, αἰγίνῃ r. 43. ἐκβληθῆναι Photius lex.: ἐκβῆναι br.

ἀπὸ τῆς χώρας. καὶ ἀπὸ τοῦ μεῖναι μενέσται καλούμενοι ὕστερον πενέσται μετωνομάσθησαν, παραφθαρέντος τοῦ χαρακτῆρος. — οὓς δ' ἐν Λακεδαίμονι καλοῦσιν Εἵλωτας, τούτους Θετταλοὶ Πενέστας λέγουσι· χρῶνται δὲ τῷ ὀνόματι καὶ Θετταλοὶ καὶ Λακεδαιμόνιοι ἐπὶ τῶν κρατηθέντων ἐν τῷ πολέμῳ καὶ δουλευόντων τοῖς κεκρατηκόσιν. b.

§. 201. ἐπευωνίζοντες] ἀντὶ τοῦ κερδαίνοντες. b.

101 §. 205. ἐπιχειροῦσιν] ἐπιχειρῶ δοτικῇ. b.

§. 208. κονιᾶτε] χρίετε. — κονιᾶται· οἱ τοὺς τοίχους παραχρίοντες. b.

§. 211. ἀλλ' οὐ τοῦτ' ἐστὶ τὸ δεινόν] τὸ σχῆμα ἐπανάληψις ἐπὶ διαβολῇ προσώπου. b.

§. 218. τὸ ἀνδρολήψιον] repetuntur, quae ad §. 82 adnotata sunt.

§. 219. τὰς μὲν παραγωγάς] παραγωγὴ λέγεται, ὅταν ἡ φάλαγξ πορεύηται ἐκ τῶν εὐωνύμων τοὺς ἡγεμόνας ἔχουσα ἢ ἐκ τῶν δεξιῶν. κἂν μὲν ἐκ τῶν εὐωνύμων μερῶν ἔχῃ τοὺς ἡγεμόνας, εὐώνυμος παραγωγὴ λέγεται, ἂν δ' ἐκ τῶν δεξιῶν, δεξιὰ παραγωγή. εἴτε δὲ ἡ πορεία ἐν ἐπαγωγῇ γίνεται εἴτε ἐν παραγωγῇ, ἐν μονοπλεύρῳ ἢ διπλεύρῳ ἢ τριπλεύρῳ ἢ τετραπλεύρῳ τάγματι βαδιεῖ· μονοπλεύρῳ μέν, ὅταν μοναχόθεν φοβηθῇ, διπλεύρῳ δέ, ὅταν διχόθεν, [τριπλεύρῳ δέ, ὅταν τριχόθεν,] τετραπλεύρῳ δέ, ὅταν πανταχόθεν οἱ πολέμιοι ἐπιτίθεσθαι ὑφορῶνται. b.

XXIV. IN ORATIONEM IN TIMOCRATEM.

Ἡ ὑπόθεσις τοῦ λόγου αὕτη· Μαύσωλος, τῆς Καρίας σατράπης, ὑπήκοος ὢν τῷ βασιλεῖ τῶν Περσῶν, βουλόμενος αὐτὸν πρὸς πλείονα εὔνοιαν ἑλκύσαι, ἐπεχείρησε καταδουλώσασθαι αὐτῷ τὰς γ' ταύτας νήσους, Χίον καὶ Ῥόδον καὶ Κῶν· εἶτα μαθόντες οἱ Ἀθηναῖοι ἔπεμψαν πρέσβεις ἐγκαλοῦντες αὐτῷ· ἦσαν δὲ οἱ πεμφθέντες Ἀνδροτίων, Γλαυκέτης, Μελάνωπος. οὗτοι περιτυχόντες ἐν τῷ πλῷ Ναυκρατιτικῷ πλοίῳ ἥρπασαν τὰ χρήματα. a.

§. 1 τοῦ μὲν ἀγῶνος] πρότασις. b. ἐπειδὴ τὰ προοίμια χαίρουσιν ἀεὶ τοῖς συνδέσμοις, τὸ ἐναντίον δὲ οἱ ἐπίλογοι, διὰ τοῦτο προσέθηκε τὸν μέν, ἕνεκεν μόνης προοιμιαστικῆς ἐννοίας. περιττοῦ δὲ ὄντος τούτου ἄλλον τάξαι σύνδεσμον περιττὸν ἦν. a.

αἴτιός ἐστιν] οἱ μὲν ἄλλοι πάντες οἱ φεύγοντες αἰτιῶνται τὸν κατήγορον ὡς αἴτιον ὄντα τοῦ ἀγῶνος· τοῦ δὲ ἀγῶνος τοῦ παρόντος οὐκ ἔστιν αἴτιος ὁ κατήγορος, ἀλλ' ὁ φεύγων. a.

πλὴν αὐτὸς αὑτῷ] διὰ τὸ πονηρὸν νόμον εἰσενηνοχέναι. b.

χρημάτων γάρ] κατασκευή. b. ἡ κατασκευὴ τοῦ προοιμίου. ἐξ αὐτοῦ δὲ νοεῖται καὶ τὸ συμπέρασμα ἐν τῇ ἐπαγωγῇ. a.

τάχα] τὸ τάχα ἀντὶ τοῦ ταχέως. a.

§. 2. οὐχ ἵνα κοινῇ τι] τὸ σχῆμα ἐξ ἀναιρέσεως 170 καὶ καταθέσεως. a.

τῶν προστιμημάτων] ἔστι μὲν τινα ἐν τοῖς νόμοις ὡρισμένα κατὰ τῶν ἀδικούντων, ἡ ἐπωβελία. ἔστι δὲ καὶ ἄλλα, ἃ προστιμᾶται τὸ δικαστήριον, ὡς δεικνυσιν ὁ ῥήτωρ ἐνταῦθα. ἐπωβελία δ' ἐστὶ τὸ ἕκτον τίμημα τῆς δίκης, ὃ ἐπράττοντο οἱ γραψάμενοί τινας καὶ μὴ ἑλόντες αὐτούς, τοῖς γραφεῖσιν. b.

§. 3. ῥᾷον] τὸ ῥᾷον ἀντὶ τοῦ ἀσφαλές. a.

ἐν χιλίαις] ὅτι λέγων ὑπὲρ ὑμῶν, ἐὰν ἡττηθῶ, 102 ζημιοῦμαι. b. φησὶ γὰρ ὅτι· ἐὰν ἡττηθῶ, ὡς συκοφάντης παρέχω τὰς χιλίας. ὁ δὲ Τιμοκράτης, εἰ καὶ ἐζημιώθη, οὐ πάνυ τι ἐφρόντιζεν, εὐπορῶν δοῦναι ἐξ ὧν ἔλαβε παρὰ τῶν περὶ τὸν Ἀνδροτίωνα, ὑπὲρ ὧν λέγει. ὁ δὲ Διόδωρος, ἂν ἡττηθῇ, οὐκ ἔχει τὴν πόλιν παρέχουσαν ὑπὲρ αὐτοῦ, ὑπὲρ ἧς καὶ αὐτὸς ποιεῖται τὸν λόγον. a.

§. 4. εἰώθασι μὲν οὖν] δεύτερον προοίμιον. b. τὸ εἰώθασι μὲν οὖν β' προοίμιον. τὸ δὲ εἴπερ τοῦτό τινι, τοῦτο εἰς τὸν Ἰσοκράτην αἰνίττεται, ἐπειδὴ κἀκεῖνος οὕτως ἐλογίσατο ἐν τῷ προοιμίῳ τῷ περὶ τῆς Εἰρήνης. εἶτα, ἐπειδὴ διδάσκαλος ἦν αὐτοῦ, προσέθηκεν, ὅτι προσηκόντως εἴρηται ἐκείνῳ. a.

§. 5. τῶν γὰρ ὄντων ἀγαθῶν] κατασκευὴ τοῦ προοιμίου. κατασκευάζει γάρ, πῶς σπουδῆς ἄξιά ἐστι τὰ παρ' αὐτοῦ νῦν λεγόμενα καὶ δεῖ προσέχειν αὐτῷ τοὺς δικαστάς. a.

αἰτιώτερον] καλῶς τὸ συγκριτικόν. εἰσὶ γὰρ καὶ ἄλλαι β' αἰτίαι τοῦ τὴν δημοκρατίαν καὶ τὴν ἐλευθερίαν φυλάττεσθαι, οἷον τὸ καλῶς βουλεύεσθαι, τὸ προκινδυνεύειν τῆς πατρίδος, πλέον δὲ τούτων οἱ νόμοι σωζόμενοι. a.

τὸ μὲν οὖν πρᾶγμα] ἀρχὴ τοῦ τρίτου προοιμίου, ἢ τῆς προοιμιαστικῆς ἐννοίας. b.

ὡς ἐν κεφαλαίῳ] ὡς ἐν συντόμῳ. a.

§. 6. ἐγὼ γάρ etc.] παραδιήγησις. παραδιηγεῖται γάρ, διὰ ποίαν αἰτίαν ἦλθεν ἐπὶ τοῦτον τὸν ἀγῶνα. a.

---

6. ἐν Suidas: ἐπὶ br. 11. Suidas p. 2150. C. 17 sqq. Suidas p. 2846. C. 25. τριπλεύρῳ — τριχόθεν add. ex Suida. 34. τοῦ βασιλέως r. 40. Ναυκρατιτικῷ Sauppius: ναυκρατικῷ ar. 44. ἕνεκα r.

2. δὲ m: μὲν ar. 12 sqq. Suidas p. 3128. E. cf. schol. Aeschin. 1 §. 163. 15 sqq. Suidas p. 1422 A. 18. τὸ om. r. 39. τὴν ἐλευθερίαν] ἐλευθερίαν r.

§. 8. χρήματα πολλὰ etc.] ἡ γὰρ πόλις ἐλάμβανε τὸ διπλοῦν, ἡ δὲ Ἀθηνᾶ τὸ δέκατον, οἱ δὲ ἐπώνυμοι τὸ πεντηκοστὸν — ἐπώνυμοι δὲ ἐκαλοῦντό τινες ἀνδριάντες ἡρώων, ἐξ ὧν ἐκαλοῦντο καὶ αἱ δέκα φυλαὶ ἐπ' ὀνόματι τούτων — εἰς ἰδίας τινὰς θυσίας. τὰ δὲ ὀνόματα τῶν ἡρώων ταῦτα, Ἀθηναίων ὄντων ἐκτὸς Αἴαντος τοῦ Σαλαμινίου· Πανδίων, Ἐρεχθεύς, Κέκροψ, Αἰγεύς, Οἰνεύς, Λέων, Αἴας, Ἀκάμας, Ἀντίοχος, Ἱπποθόων. a.

§. 9. τοῦ δὲ πράγματος etc.] ἐνταῦθά ἐστιν ἡ προδιήγησις. οἰκονομεῖ γὰρ τὴν μέλλουσαν διήγησιν γίνεσθαι αὐτοῦ τοῦ πράγματος. a.

δικαστηρίοιν δυοῖν] ἐν τοῖς μεγάλοις καὶ ἐσπουδασμένοις πράγμασι συνήρχοντο ἐκ β' δικαστηρίων, πληροῦντες ἀριθμὸν χιλίων καὶ ἑνός. διὰ τοῦτο δὲ ὁ εἷς προσετίθετο ἀεὶ τοῖς δικασταῖς, ἵνα μὴ ἴσων 171 γινομένων τῶν ψήφων ἐξ ἴσης ἀπέλθωσιν οἱ δικαζόμενοι, ἀλλ' ἐκεῖνος δόξῃ νικᾶν, ᾧ ἂν ὁ εἷς προστεθῇ. a.

§. 11. ψήφισμα εἶπεν ἐν ὑμῖν] ἐνταῦθα εἰσβάλλει εἰς αὐτὴν τὴν διήγησιν. — ζητοῦσί τινες, πῶς ἐνταῦθα πραγματικῆς οὔσης τῆς στάσεώς ἐστι διήγησις. ἀεὶ γὰρ ἡ πραγματικὴ περὶ μελλόντων ἔχει τὴν σκέψιν, ἡ δὲ διήγησις γεγονότων ἐστὶν ἀφήγησις. λέγομεν ὅτι ἐν τῇ συμβουλῇ πραγματικῆς οὔσης τῆς στάσεως εἰκότως ἐλλείπει ἡ διήγησις. οἶδε γὰρ ὁ ἀκροατής, περὶ τίνος συνῆλθον. ἐν δὲ τῷ δικανικῷ λόγῳ ἀγνοοῦσιν οἱ δικασταὶ τὸ πρᾶγμα. οὐκοῦν οὐδὲν ἄτοπον καὶ ἐνταῦθα, δικανικοῦ ὄντος τοῦ λόγου, τάξαι διήγησιν. a.

Ναυκρατιτικά] ἀπό τινος Ναυκράτεως τῆς κατ' Αἴγυπτον, ἥτις καὶ νῦν οὕτω καλεῖται. a.

§. 12. ἔλαβεν] ἀντὶ τοῦ ἐσύλησεν. διαφέρει ἡ τριήρης τοῦ πλοίου τῷ τὴν μὲν εἶναι πολεμίαν, τὸ δὲ φορτηγὸν καὶ ἐμπορικόν. a.

ἀπεχειροτονήσαθ' ὑμεῖς] ἀντὶ τοῦ κατεψηφίσασθε. a.

§. 13. ἐὰν δὲ ἀμφισβητῆταί τι] ἐπίκρισις. b.

διαδικασία] ἐστὶν ὄνομα δίκης περὶ ἀμφισβητουμένου τινὸς πράγματος. a.

§. 14. ἀπέφυγεν] φεύγειν· εὐθύνεσθαι. ἀποφεύγειν· ἀπευθύνεσθαι. b.

§. 15. ἀνάγκη δὲ πρῶτον ὑπομνῆσαι χρόνους] τὸ νόμιμον κεφάλαιον. — περὶ χρόνου νομοθεσίας. b.

λογοποιούς] λογοποιός· ὁ ὑφ' ἡμῶν ἱστορικὸς λεγόμενος. Ἰσοκράτης καὶ Ἡρόδοτος. ὡς ἐστιν εὑρετὴς λόγων καὶ ἀποκριμάτων. καὶ λογοποιῶν· πλάττων λόγους ψευδεῖς. b.

§. 17. ἔστιν, ὦ ἄνδρες Ἀθ.] πληρώσας τὴν διήγησιν εἰσβάλλει ἐντεῦθεν ἐπὶ τὸ νόμιμον κεφάλαιον, καὶ τούτου πρῶτον ἐπὶ τὸ παράνομον· ἑξῆς δὲ αὐτοῦ τάττει τὸ ἐναντίον τοῖς νόμοις. a.

§. 18. ἀλλὰ προστάττει πρῶτον μὲν ἐκθεῖναι] ἔκθεσις αὐτοῦ ἔμπροσθε τῶν Ἐπωνύμων. b.

τὰ περιστατικὰ θέλει [ἐνταῦθα εἰπεῖν,] τὸ [πρόσωπον,] τὸν τρόπον, [τὸν τόπον, τὸν] χρόνον. [χρόνον· τὴν] τρίτην [ἐκκλησίαν. πρόσωπον· τοῖς περὶ Ἀνδροτίωνα. τόπον, πρόσθεν τῶν Ἐπω]νύμων· τρόπον διότι δεῖ τοιῶσδε ταῦτα ποιεῖν. a.

τῶν ἐπωνύμων] ἐπώνυμοι· ἥρωες τῶν φυλῶν ἐπώνυμοι Ἐρεχθεὺς Πανδίονος, Πανδίων Ἐριχθονίου, Ἀκάμας Θησέως, Αἴας Τελαμῶνος, Αἰγεὺς Αἰγικόρεω, Κέκροψ Αὐτόχθων, Ἱπποθῶν Ποσειδῶνος· καὶ ἑτέρας μιᾶς· δέκα γὰρ ἦσαν φυλαί. b.

μετὰ ταῦτα ἐπὶ πᾶσι] ἔκθεσις αὐτοῦ τοῖς πᾶσιν, ὥστε εἶναι κοινόν. b.

πρὸς τούτοις] λύσις τῶν ἐναντίων νόμων. b.

§. 20. ἐπιχειροτονία] ἐπιχειροτονία ἐστὶν ἡ διάσκεψις, ὅ τι δεῖ ποιεῖν περὶ τῶν νόμων, ἐν τῇ πρώτῃ πρυτανείᾳ, ὅ ἐστιν ἐν τῷ α' μηνί. a.

τῇ ἑνδεκάτῃ] κατὰ μῆνα γ' ἐκκλησίας ἐποιοῦντο, βουλευόμενοι περὶ τῶν ἐν τῇ πόλει πραγμάτων· πλὴν εἰ μὴ ἄρα ἀνάγκη τις κατέλαβε πολέμου, ὥστε καὶ περὶ ἐκείνου ἄλλην ἐκκλησίαν ποιῆσαι πλέον τῶν ὡρισμένων. καὶ ἐγίνετο ἡ πρώτη ἑνδεκάτῃ τοῦ μηνός, ἡ δὲ β' περὶ τὴν εἰκάδα, ἡ δὲ γ' περὶ τὴν λ'.

πρυτανείας] Πρυτανεία· χρόνος, ψῆφος, βουλήν. (sic) b.

ἐπιχειροτονίαν] ἐπιχειροτονία ἐστὶν ἡ τῶν χειροτονητῶν κατάστασις. b.

βουλευτικῶν] περὶ τῆς βουλῆς τῶν πεντακοσίων, ὅτι δεῖ λαμβάνειν αὐτὴν στέφανον, ἐὰν ποιήσηται τὰς 172 τριήρεις. a.

τοῖς ἐννέα ἄρχουσιν] ἄρχοντες θ' ἐλέγοντο οἱ ἓξ θεσμοθέται, οἵτινες εἰσῆγον τὰς τῶν παρανόμων γραφάς, εἶτα εἷς βασιλεύς, περὶ οὗ ἔγνωμεν ἐν τῷ κατ' Ἀνδροτίωνος τί ἦν αὐτῷ ἔργον, εἶτα ὁ πολέμαρχος, ὅστις ἐπεμελεῖτο τοῦ τρέφεσθαι ἐκ τοῦ δημοσίου τοὺς παῖδας τῶν ἀποθανόντων γενναίως ἐν τῷ πολέμῳ, εἶτα ὁ ἄρχων ὁ ἐνιαύσιος, ὅστις ἐπεμελεῖτο τῶν χηρῶν καὶ τῶν ὀρφανῶν καὶ ἄλλων τινῶν. a.

---

2. διπλοῦν] Fort. δίμοιρον, cl. Bast. ad Greg. Cor. p. 854 sq. 19. προστεθῇ Baiterus: προστεθῇ ar. 27. συνῆλθον Sauppius: συνῆλθεν ar. 34. πολεμικὴν mg. m. 39. διαδικασία] hoc scholion om. r. 46 sqq. Suidas p. 2333. D.

10 sqq. Reiskius hoc scholion legere non potuerat, uncinis inclusa ex m addidimus. 13. διότι Sauppius: δὴ ὅτι am. 16. Πανδίωνος r. 18. Ἱπποθῶν Sauppius: Ἱππόχθων ar. 28. ἄρα m: καὶ ar. 30. ἐγένετο r. 34 sqq. Suidas p. 1416. A. 35. κατάστασις Harpocration: ἀπόστασις br.

§. 21. τοὺς πρυτάνεις] τοὺς ν', οὓς εἴπαμεν ἀεὶ προβαλλομένους ὑπὲρ τῆς ἰδίας φυλῆς, ὡς πρυτανεύοντας τὸ μέρος αὐτῶν τοῦ ἐνιαυτοῦ. a.

ἀποχειροτονηθέντων] ἀντὶ τοῦ ἀποδοκιμασθέντων. a.

τοὺς δὲ προέδρους] τοὺς ι', τοὺς πρωτεύοντας τῶν φ'. τὸ δὲ οἳ ἂν τυγχάνωσι εἶπε διὰ τὸ ἄδηλον τοῦ κλήρου. a.

ἐν ταύτῃ τῇ ἐκκλησίᾳ] ὅ ἐστιν, ἐν τῇ γ'. a.

χρηματίζειν] ὅ ἐστιν ὑποβάλλειν· ἔγνωμεν γὰρ ὅτι οἱ μὲν πρυτάνεις συνῆγον τὴν ἐκκλησίαν, οἱ δὲ πρόεδροι ὑπέβαλλον, περὶ τίνος συνῆλθον. a.

ἱερὰ] ἀντὶ τοῦ τὰς θυσίας. a.

τῶν ὀμωμοκότων ἡλιαστικὸν ὅρκον] ἀντὶ τοῦ τῶν ἤδη ὀμοσάντων τὸν ὅρκον τῶν Ἡλιαστῶν, ὡσανεὶ ἔλεγεν, ἵνα ὦσιν ἀπὸ δικαστῶν ἤδη γενομένων. ἰστέον δὲ ὅτι ἡ Ἡλιαία λέγεται αὐτὸς ὁ τόπος τοῦ μεγάλου δικαστηρίου καὶ τὸ ἄθροισμα αὐτὸ τῶν ἐκεῖσε δικαζόντων. Ἡλιαία δὲ ἐκλήθη ὁ τόπος παρὰ τὸ ἐκεῖσε ἁλίζεσθαι καὶ συναθροίζεσθαι τὸ πλῆθος τῶν δικαστῶν. τὸ γαρ ᾱ εἰς η̄ μεταβέβληται, ὡς καὶ πολλαχοῦ. τινὲς λέγουσιν ἀπὸ τοῦ ὕπαιθρον εἶναι τόπον καὶ τὸν ἥλιον ἐκεῖ ἔνδον προσβάλλειν. a.

§. 22. κατὰ τὰ γεγραμμένα] κατὰ τοὺς νόμους ἤδη τοὺς κειμένους. τὸ δὲ χιλίας δραχμὰς ἄξιον ζητῆσαι, διὰ τί οὕτως ἀνώμαλον ἔταξαν οἱ νόμοι τὴν ζημίαν κατά τε τῶν πρυτάνεων καὶ τῶν προέδρων; λέγομεν, ὅτι βαρύτερόν ἐστιν ὅλως τὸ μὴ συνάξαι τὸν δῆμον εἰς ἐκκλησίαν τοῦ μὴ ὑποβάλλειν· διὸ ἐπὶ τῶν πρυτάνεων τῶν μὴ συναγόντων τὸ πλέον ἔταξαν. a.

ἔνδειξις] κατηγορία. b.

§. 23. εἰς λεύκωμα] λεύκωμά ἐστι τοῖχος γύψῳ ἀληλιμμένος πρὸς γραφὴν πολιτικῶν πραγμάτων ἐπιτήδειος. b.

173 εἰς λεύκωμα] οἷον ὥσπερ ἐν πυξίῳ. τὸ δὲ ἕως ἂν ἡ ἐκκλησία γένηται, ὅ ἐστιν ἡ γ'. τὸ δὲ αἱρεῖσθαι· κατὰ κοινοῦ τὸ κελεύειν, ὅ ἐστι χειροτονεῖν. τὸ δὲ τοὺς συναπολογησομένους· τοὺς μέλλοντας ἀγωνίζεσθαι ὑπὲρ τῶν μελλόντων λύεσθαι· εἰκὸς γάρ, ὅτι βελτίους ἦσαν τοῦ εἰσαγομένου καὶ χηρείᾳ τῶν λεγόντων ὑπὲρ αὐτῶν ἐνομίζοντο εἶναι φαῦλοι. a.

Ἑκατομβαιῶνος] Ἀπριλλίου. b. οὗτος γὰρ ἦν ὁ α' μήν, ὅτε καὶ ἡ α' πρυτανεία ἐγίνετο. τῇ ια' ὅ ἐστι τῇ πρώτῃ ἐκκλησίᾳ. προευτρέπιζον γὰρ ἀπὸ τῆς α' ἐκκλησίας τοὺς μέλλοντας ἀπολογεῖσθαι ὕστερον ὑπὲρ τῶν ἀποδοκιμαζομένων νόμων ἐν αὐτῇ τῇ α' ἐκκλησίᾳ. καὶ μαθόντες ἐν ταύτῃ τῇ α', πόσοι ἀποδοκιμάσθησαν νόμοι, πρὸς αὐτοὺς ἐχειροτόνουν καὶ τοὺς ἀπολογουμένους. ε' δὲ ἄνδρας καθ' ἕκαστον νόμον ἐχειροτόνουν. a.

§. 25. εἰσοιστέος] ἀντὶ τοῦ εἰσενεκτέος. a.

ἐν δὲ τῷ μεταξὺ] λέγει τῆς α' ἐκκλησίας καὶ τῆς γ'. a.

§. 26. ὄντων Κρονίων] Κρόνια· ἑορτὴ ἀγομένη Κρόνῳ καὶ μητρὶ τῶν θεῶν. b.

ἀφειμένης τῆς βουλῆς] ἀντὶ τοῦ, ὅτε πάντες ἐν τῇ ἑορτῇ ἀφειμένοι ἦσαν καὶ οὐδεὶς συνήρχετο εἰς ἐκκλησίαν τῆς βουλῆς. a.

§. 27. τὸ νικῆσαν] ἐμφατικῶς κατ' εἰρωνείαν. a.

συνταξάμενοι] ἀντὶ τοῦ φατριάσαντες καθ' ὑμῶν. a.

καὶ οὐδὲν ἀπὸ ταυτομάτου] οἷον, οὐχ ὡς ἔτυχεν, ἀλλὰ μετὰ πολλῆς κακουργίας. a.

λαβὲ τὸ ψήφισμα] τὸ ψήφισμα λέγει, ὅπερ ἔγραψεν ὁ Ἐπικράτης, φίλος ὢν τοῦ Τιμοκράτους, λέγων· Ἐπειδὴ ἐγγύς ἐστι τὰ Παναθήναια, συναχθῶμεν ἐπὶ τῷ σκέψασθαι περὶ αὐτῶν. ὡς δὲ συνήχθησαν, τότε εἰσήγαγεν ὁ Τιμοκράτης τὸν νόμον, ἵνα μὴ γνωσθῇ τὸ πρᾶγμα. εἰ γὰρ καὶ τὰ δύο ἐποίησεν ὁ Τιμοκράτης, ὕποπτος ἂν ἐγίνετο. τὸ λαβὲ Ἀττικῶς ὀξύνεται. a.

ἐπὶ τῆς Πανδιονίδος] δεῖ ὑποστίξαι εἰς τὸ πρώτης, ἵνα τὸ ια' καθ' ἑαυτὸ νοήσωμεν, ἵνα ᾖ ὁ νοῦς οὗτος· ἐπὶ τῆς Πανδιονίδος, πρώτης πρυτανείας, τῇ ια' αὐτῆς, ὅ ἐστιν ια' αὐτοῦ τοῦ μηνός. εἰ δὲ μή, οὐδὲ ἐνταῦθα καλῶς προσέθηκε τὴν φυλὴν Πανδιονίδα, ἐπειδὴ ἔτυχε τότε αὐτὴν κληρωθῆναι πρώτην πρυτανεῦσαι. ἀνωτέρω δέ, ἐπειδὴ τὴν ἐπιχειροτονίαν τῶν νόμων ἀνεγίνωσκεν, εἰκότως οὐχ ὥρισε, ποίας 174 πρυτανευούσης πρώτης, ἐπειδὴ ἄδηλον ἦν, ὡς εἴπομεν, ποία κληροῦται ἀεὶ κατὰ τὸν α' μῆνα πρώτη πρυτανεῦσαι. a.

§. 29. κατὰ πολλὴν ἡσυχίαν] ὃ εἶπεν ἄνω, ἀφειμένης τῆς βουλῆς ἐν τῇ πανηγύρει. a.

ἢ τὸν ἐν τοῖς νόμοις] οἱ μὲν γὰρ νόμοι ἐκέλευον ἀναμεῖναι τὴν γ' ἐκκλησίαν· τὸ δὲ ψήφισμα τὸ Ἐπικράτους τῇ ιβ' τοῦ μηνὸς ἐκέλευε ποιεῖν ἐκκλησίαν. a.

ἱερομηνίαν] ἱερομηνία· ἱερὰ ἑορτὴ κατὰ μῆνα· αἱ γὰρ ἑορτώδεις ἡμέραι ἱερομηνίαι καλοῦνται. b.

---

14. τῶν Ἡλιαστῶν] τὸν ἡλιαστικὸν r. 17. ἡ om. r. 23. τόπον] τὸν τόπον r. 28. ἐστιν om. r. 33 sqq. Suidas p. 2298. B. 37. ὅ ἐστιν] ὃ om. r. 42. χηρεια r.

1. ὕστερον om. r. 5. ε' δὲ m: ε' ar. 10 sq. Suidas p. 2209. A. 25. γνωσθῇ] καταγνωσθῇ r. καὶ τὰ] κατὰ τὰ r. 26. ἐγίγνετο r. λάβε r. 29. ᾖ m: μὴ ar. 30. οὗτος] οὕτως r. 31. ια' αὐτοῦ] αὐτοῦ r. δὲ μὴ m: δὲ ar. 45 sq. Suidas p. 1741. A.

§. 30. *εἰδότα τοὺς νόμους*] ἵνα μὴ πάλιν καταφύγῃ εἰς ἄγνοιαν, ὡσανεὶ ἔλεγε πρὸς τὸ γινώσκειν αὐτὸν τοὺς νόμους. a.

§. 31. *αὐτὴν*] τὴν πόλιν. τὸ δὲ *ἀλλ' ἐν αὐτῇ τῇ ἱερομηνίᾳ*. ὅρα δὲ τὴν δεινότητα τοῦ ῥήτορος, πῶς τὸ κατὰ τὸν χρόνον ἁπλοῦν ἔγκλημα δοκοῦν εἰς διπλοῦν περιέστησε, δεικνὺς ὅτι οὐ μόνον παρέβη τὸν χρόνον τὸν ὡρισμένον, ἀλλὰ καὶ ἱερομηνίας οὔσης ἐνομοθέτησεν, ἵνα ἐξ ἀμφοτέρων ἀδικῶν Τιμοκράτης φαίνηται, καὶ ὑπὲρ ὧν οὐκ ἐποίησεν, ὅ ἐστι, μὴ φυλάττων τὸν χρόνον τῆς γ' ἐκκλησίας, καὶ ὑπὲρ ὧν ἐποίησεν, ἐν Κρονίοις τολμήσας. a.

§. 32. *γράφεσθαι*] ἀντὶ τοῦ κατηγορεῖσθαι. a.

§. 33. *τῶν δὲ νόμων τῶν κειμένων*] περὶ ἀντινομίας. b.

103 §. 34. *ἠκούσατε μὲν τοῦ νόμου*] περὶ θέσεως νόμου. b.

μετ' εὐσεβείας] πρῶτον τὸ περὶ τῆς εὐορκίας τῶν δικαστῶν παρείληφεν, ἵνα οἰκεῖον ἀποφήνῃ τῶν δικαζόντων τὸν νόμον καὶ οὕτως ὡς περὶ οἰκείου πείσῃ συναγωνίζεσθαι· τοῖς γὰρ οἰκείοις ἅπαντες συμπράττειν πεφύκαμεν. a.

§. 35. *οὔτ' ἀμφοτέροις*] εἰ γὰρ ψηφιζόμενοι [κατὰ τοῦτον] τὸν νόμον [εὐορκεῖν δοκεῖτε,] ἐν τῷ ἑτέρῳ δοκεῖτε ἐπιορκεῖν, μὴ κἀκείνῳ ψηφιζόμενοι, εἴ γε καὶ οἱ δύο νόμοι κύριοί εἰσιν. a.

ἡ γνῶσις συμβαίνει] ἀντὶ τοῦ ἡ κρίσις· ὅ ἐστιν, συμβαίνει τὴν κρίσιν ὑμῶν παραβαίνειν τὸν ἕνα νόμον, καὶ ταῦτα ὄντα κύριον. a.

§. 37. *ὃ κἀγὼ νυνὶ*] ὅρα πῶς ἀξιοπίστως εἰς μίαν τῶν φυλακῶν ἑαυτὸν ἔταξεν ὁ ῥήτωρ. a.

ἀπαλλάξῃ] παραπείσῃ, μεταποιήσῃ. b.

§. 38. *ἐφ' ἑκάστην ἀπαντᾷ*] καλῶς εἶπε τὸ *ἀπαντᾷ*, ὡς ἐπὶ ἐμποδίσματός τινος καὶ προβόλου. διὸ καὶ ἐμμένων τῇ τροπῇ ἐπήγαγε καὶ τὸ *βαδίζειν*. a.

ὅσον ἦν ἐπὶ τούτῳ] ἐπειδὴ κατὰ τὸ ἀληθὲς οὐκ ἠφάνισεν οὐδὲ ἐξήλειψε, προσέθηκε τὸ *ὅσον ἦκεν εἰς τοῦτον*. a.

οὐ παραναγνοὺς] οὐ παραθεὶς τὸν νόμον τὸν ἑαυτοῦ τοῖς ἄλλοις νόμοις οἷς ἔμελλεν ἐναντιοῦσθαι, ὅπερ ποιοῦσιν οἱ εἰσφέροντες καινὸν νόμον, διὸ καὶ ἐπάγει *οὐ λύσας*. a.

175 §. 39. *εἰδῆτε*] ὅταν ἐπὶ τοῦ γινώσκειν λαμβάνηται, καὶ διὰ τῆς διφθόγγου γράφεται ἡ πρώτη συλλαβὴ καὶ παροξύνεται· ὅταν δὲ ἐπὶ τοῦ θεάσασθαι, διὰ τοῦ ι γράφεται καὶ προπαροξύνεται. a.

§. 40. *περὶ δὲ τῶν ὠνουμένων*] *ὠνουμένων* λέγει ἐνταῦθα οὐκ ἀγοραζόντων, ἀλλὰ μισθουμένων· οὐδεὶς γὰρ τὰ τέλη τὰ δημόσια ἠγόραζετο. a.

ἐγγυωμένων] ἰστέον, ὅτι ἐγγυητὰς παρεῖχον οἱ τελῶναι ἐξ ἀρχῆς, ἵνα, ἕως τῆς θ' πρυτανείας εἰ μὴ καταβάλοιεν, τὰ διπλᾶ ἀνάγκην ἔχοιεν ἢ οὗτοι ἢ ἐκεῖνοι καταβάλλειν. καὶ γὰρ καὶ πάντες οἱ χρεωστοῦντες τοῦτο ἐποίουν· ὡς εὐθὺς ἐχρεώστουν τῇ πόλει, ἀνάγκην εἶχον δοῦναι ἐγγυητάς, ὅτι πρὸ τῆς θ' πρυτανείας καταβάλλουσιν, καὶ ἔμενον ἄτιμοι, ἕως οὗ καταβαλοῦσιν. εἰ δὲ παρεγένετο ἡ θ' πρυτανεία καὶ μὴ κατέβαλον, τότε καὶ ἐδεσμοῦντο καὶ τὰ διπλᾶ κατέβαλλον, καὶ ἐγγυητὰς οὐκέτι ἐξῆν αὐτοῖς παρέχειν περὶ τῶν διπλῶν. ἅπερ νῦν βούλεται λῦσαι ὁ Τιμοκράτης, λέγων μὴ ἐγγυητὰς παρέχειν ἐξ ἀρχῆς, ἀλλ' ἐν τῇ θ' πρυτανείᾳ, ἵνα ἐν αὐτῷ τῷ μηνὶ ὅλῳ δυνηθῶσι καταβαλεῖν καὶ μὴ τὰ διπλᾶ ἀλλὰ τὰ ἁπλᾶ. ἐὰν δέ, φησί, μὴ καταβάλλωσι μηδὲ ἐν τῇ θ' πρυτανείᾳ, τότε δεσμεῖσθαι. a.

ἐκλεγόντων] ἐπιτεταγμένων τινῶν ἀπαιτεῖν αὐτοὺς τοὺς τελώνας. a.

§. 42. *Διοκλῆς εἶπεν*] ὄνομα νομοθέτου τινός. a.

πρὸ Εὐκλείδου] Εὐκλείδης ἄρχων ἐγένετο παρ' Ἀθηναίοις μετ' ὀλίγον χρόνον τῶν λ'. ἄξιον δέ ἐστι ζητῆσαι, διὰ τί εἶπε τοὺς πρὸ Εὐκλείδου νόμους καὶ τοὺς μετ' αὐτὸν ἄρχειν δεῖν καὶ κυρίους εἶναι. λέγομεν, ἐπειδή περ, ὡς εἴπαμεν, μετ' ὀλίγον χρόνον τῶν λ' οὗτος ἐγένετο· μεταξὺ δὲ αὐτοῦ καὶ τῶν λ' ἐν ἐκείνῳ τῷ ὀλίγῳ χρόνῳ δημοκρατία ἦν παρ' Ἀθηναίοις καὶ μετ' αὐτὸν πάλιν διόλου. διὰ τοῦτο οὖν εἶπε τοὺς πρὸ αὐτοῦ καὶ μετ' αὐτόν. a.

πλὴν εἴ τῳ χρόνος προσγέγραπται] τοῦτο μέμφονταί τινες, ὅτι τὸν Τιμοκράτους νόμον μεμφόμενος, αὐτὸ τοῦτο νῦν ἀποδέχεται τοῦ παλαιοῦ νόμου. λέγομεν ὅτι ἀλλ' ἐπὶ τοῦ μέλλοντος εἶπεν ὁ Δημοσθένης, ὁ δὲ Τιμοκράτης καὶ περὶ τοῦ παρελθόντος. καὶ 176 ἐπαινεῖ τὴν αἰτίαν ὁ ῥήτωρ, δι' ἣν τινες χρόνον προσγράφουσι τοῖς ἰδίοις νόμοις, τὴν ἀνάγκην προσθείς. a.

§. 43. *ἐπὶ τούτοις*] ὅ ἐστιν ἐπὶ τοῖς πράγμασι τούτοις τοῖς λέγουσι περὶ τοῦ νομοθετεῖν. a.

§. 46. *ἐπιτίμους*] τὸ ἐναντίον τοῦ ἀτίμου, ὅ ἐστιν ὁ ἐπίτιμος. κατὰ κοινοῦ δὲ τὸ *κελεύει ὁ νόμος*. a.

περὶ ἀφέσεως — ἢ τάξεως] ἄλλο καλεῖ *ἄφεσιν* καὶ ἄλλο καλεῖ *τάξιν*. ἄφεσιν μὲν οἷον ὅταν τι ὁ χρεωστῶν . . . προφασίζηται πενίαν καὶ βούληται παρακαλέσαι τὸν δῆμον μὴ περὶ παντελοῦς ἀπαλλαγῆς

---

5. ὅρα δὲ] ὁρᾶτε δὲ r. 10. οὐκ r: οὖν a. 19. ἀποφαίνῃ r. 24. uncinis inclusa ex m addidimus. 34. προβολῆς r. 35. ἐμμένων] ἐμμενῶς r. ἐπήγαγε] ἐπήνεγκε r. 42. ὅπερ] ὃ r.

3. τὰ τέλη om. r. 5. τῆς om. r. 16. ὅλῳ m: ὅλοι ar. καταβαλεῖν] καταβάλλειν r. 20. ἐπιτεταγμένων] τεταγμένων r. 31. οὖν] οὖν ὀρθῶς r. 46. προφασίζηται] quae sequuntur, ad τάξιν pertinent: exciderunt, quae ἄφεσιν explicabant.

τοῦ χρέους, ἀλλὰ περὶ μέρους, ἵνα μέρος μὲν καταβάλῃ, τὸ δὲ ἄλλο μέρος συγχωρηθῇ. τοῖς οὖν περὶ τούτων, φησί, παρακαλοῦσι, μὴ ἐξεῖναι τοὺς προέδρους τούτοις χρηματίζειν ἐκκλησίαν, ἤγουν ὑποβάλλειν τῷ δήμῳ. τὰ δύο γὰρ σημαίνει ἡ λέξις, καὶ τὸ πράττειν καὶ τὸ ὑποβάλλειν. a.

ἑξακισχιλίων] οὐ λέγει δικαστῶν, ἀλλὰ ἐκ τοῦ δήμου τινῶν, μιμουμένων δικαστάς. διὸ καὶ ἐπάγει τὸ οἰκεῖον τῶν δικαστῶν τὸ κρύβδην. a.

§. 46. οὐ προτεθέντος] οὐ συναχθείσης ἐκκλησίας ὑπὸ τῶν περὶ τὸν Τιμοκράτην. a.

§. 47. ἐν παραβύστῳ] ἀντὶ τοῦ λάθρα. ἀπὸ τῆς μεταφορᾶς τῶν παραπληρωμάτων τῶν ἐμβαλλομένων ἐν ταῖς οἰκοδομίαις ἔνδον καὶ κρύφα τοῦ φαινομένου. βύσαι τὸ στόμα τῶν ῥητόρων. a.

§. 48. τοὺς χρόνους ἀναμείναντα] τὴν γ' ἐκκλησίαν. a.

γνώμῃ διαμαρτών] ὅ ἐστιν ἀπὸ λήθης τοῦτο ποιεῖν καὶ ἐκ τοῦ ἐκκρουσθῆναι. a.

§. 49. ἐμβαλεῖν] ἐμφατικὴ ἡ λέξις, ὡς ἐπὶ ληστοῦ τινος βουλομένου λάθρα ἐμβαλεῖν τι καὶ φυγεῖν. παρενέβαλεν οὖν καὶ ὁ Τιμοκράτης τὸν αὐτοῦ νόμον, τὸν μὴ ὄντα νόμον, τοῖς οὖσι κυρίοις. a.

ἀλλὰ γὰρ αὐτίκα ἐρῶ] ὑπερτίθεται εἰς ὕστερον εἰπεῖν, εἴτε ἄκων εἴτε ἑκὼν τοῦτο ἐποίησεν. τοῦτο γὰρ ὕστερον τοῦ νομίμου ὀφείλει τάξαι· νῦν γὰρ περὶ τοῦ ὅλως εἰ ἔννομός ἐστιν αὐτοῦ ὁ νόμος πρόκειται αὐτῷ δεῖξαι. a.

τὸν ἑξῆς νόμον] ἰστέον ὅτι οὗτος ὁ νόμος οὐκ ἔστιν ἄλλος παρὰ τὸν προειρημένον, ἀλλὰ μέρος αὐτοῦ. βουλόμενος δὲ ὁ ῥήτωρ δεῖξαι τὸν Τιμοκράτην
177 ὥσπερ πολλοὺς παραβεβηκότα νόμους, μερίζει τὸν ἕνα εἰς δύο, ὥσπερ καὶ ἐν ἄλλοις. a.

§. 51. ἔργον] ἀντὶ τοῦ δυσχερές. a.

§. 54. ὅσων δίκη] δίκην καλεῖ τὴν περὶ ἐγκλημάτων, οἷον περὶ μοιχείας. εὔθυνα δὲ ἀπολογία ὧν τις δημοσίᾳ πιστευθεὶς διῴκησεν, οἷον πρεσβείαν ἢ ἱερωσύνην. περὶ δὲ τοῦ τόνου τῆς εὐθύνης ἤδη εἴπαμεν ὅτι προπαροξύνεται. a.

εὔθυνα] ἡ εὐθύνη· κυρίως, ἣν εἰσάγουσιν οἱ λογισταὶ πρὸς τοὺς δόξαντας μὴ ὀρθῶς ἄρξαι τῆς πόλεως ἢ πρεσβεῦσαι κακῶς· καὶ τὰ δικαστήρια μὲν οἱ λογισταὶ κληροῦσι, κατηγορεῖ δὲ ὁ βουλόμενος, καὶ τοῖς δικασταῖς ἐφεῖται τιμᾶσθαι τοῖς ἁλοῦσιν. Ἄλλως. εὔθυναι· ὄνομα ἀρχῆς παρ' Ἀθηναίοις· δέκα δὲ τὸν ἀριθμὸν ἄνδρες ἦσαν, παρ' οἷς ἐδίδοσαν οἱ πρεσβεύσαντες ἢ ἄρξαντες ἢ διοικήσαντές τι τῶν δημοσίων τὰς εὐθύνας, ἢ δίκας, τιμωρίας. εὐθῦναι δέ· ἐξετάσαι, ὀρθῶσαι. b.

ἐώντων] ἀντὶ τοῦ μὴ ἐάτωσαν. Ἀττικὴ δὲ ἡ φράσις. a.

§. 55. ὁ δὲ ἔγραψε τοῖς προέδροις] οἱ γὰρ πρόεδροι ἐν τῷ δήμῳ εἰσῆγον, οἱ δὲ ἄρχοντες οἱ θεσμοθέται ἐν τῷ δικαστηρίῳ. a.

§. 56. τὰς δίκας καὶ τὰς διαίτας] ἰστέον ὅτι ἐνταῦθα καταχρηστικῶς καλεῖ τὰς δίκας τὰς κριθείσας ἐν τῷ δικαστηρίῳ, εἴτε δημοσίας εἴτε ἰδιωτικάς, διαίτας δὲ τὰς παρὰ τοῖς διαιτηταῖς πέρας λαβούσας. a.

§. 57. ἐπίσχες] πρὸς τὸν γραμματέα λέγει, οἷον ὅτι· ἐπίσχες τὴν ἀνάγνωσιν. οὔτε γὰρ χρεία ἐστὶ τὸν πάντα ἀναγνῶναι νόμον, ἀλλὰ τὰ συμβαλλόμενα αὐτοῦ πρὸς τὸν νῦν ἀγῶνα. εἰσὶ δὲ αὗται προσποιήσεις ῥητορικαί. καὶ γὰρ πολλάκις καὶ μηδὲν ἔτι ἔχοντος τοῦ νόμου προσποιεῖται κωλύειν τὸν γραμματέα, ἵνα δόξῃ χαρίζεσθαι τοῖς δικασταῖς, φεύγων τὸ μῆκος τοῦ λόγου. a.

§. 58. πότερον τὰ δικαστήρια] κατ' ἐρώτησιν λαμβάνει ὧδε τὸ σχῆμα τὸ διλήμματον. a.

§. 59. χεῖρον] τὸ χεῖρον ἐνταῦθα οὐ λέγει κακόν, ἀλλὰ ἔλαττον. a.

περὶ τῶν τελωνῶν] ὁ μὲν Τιμοκράτης πάλιν καὶ ἐν τούτῳ καλῶς γράφων ἔλεγεν, περὶ τούτων μὴ ἐγγυητὰς εἶναι, ἀλλ' εὐθὺς ἀπαιτεῖσθαι, ἐπειδὴ τέλη ἀπῄτουν καὶ ἅπερ ἐλάμβανον παρεῖχον, οἱ δὲ ἄλλοι οὐκέτι ὁμοίως· ὁ δὲ ῥήτωρ πάλιν ὡς κατήγορος σοφίζεται. a.

§. 60. οἱ μὴ καθαρὰς etc.] οἷον οἱ φονεῖς. a.

§. 62. σιωπήσομαι] ἀντὶ τοῦ οὐκέτι μου ἐν τούτῳ χρεία ἐστί, τοῦ κατηγόρου. ἔνθα γὰρ αὐτὸς ἑαυτοῦ Τιμοκράτης κατηγορεῖ, καὶ τὴν ἐμὴν τάξιν ἀναπληροῖ. a.

§. 63. εἰσαγγελίαν] ἐμφανισμόν, μήνυσιν. a. εἰσαγγελία ἐστὶν ὄνομα δίκης κατὰ τῶν καταλυόντων τὴν δημοκρατίαν καθ' οἷον δήποτε τρόπον. a.

§. 64. κατηγορεῖ Τιμ. Τιμ.] ὡσανεὶ ἔλεγε· Τιμοκράτης Τιμοκράτους κατηγορεῖ, ἀντιθεὶς τῷ νόμῳ τὸν νόμον· καὶ περιττὸς ὁ κατήγορος. a. 178

§. 65. ὅς τις ἐναντία] ὃ θέλει εἰπεῖν, τοιοῦτόν ἐστιν· εἰ διὰ κέρδος, φησίν, ἠρήσατο ἐναντία ἑαυτῷ θεῖναι, τῶν νόμων κελευόντων μηδὲ ἄλλοις ἐναντία γράφειν, τί ἂν προσεδοκᾶτε αὐτὸν ποιεῖν, εἰ μηδὲ ἐκωλύετο ὑπὸ τῶν νόμων τὰ ἐναντία γράφειν; a.

τοῖς ἄλλοις] ἀντὶ τοῦ τοῖς ἤδη νομοθετήσασιν. a.

---

11. ὑπὸ τῶν m: τῶν ar. Τιμοκράτην m: ἀνδροτίωνα ar. 29. οὗτος ὁ m: οὗτος ar. 34. schol. ad §. 51. om. r. 40 sqq. Suidas p. 1496. D sq. 45. εὐθύναι r.
10. τῶν διαιτητῶν r. 13. τὸν πάντα] τὰ πάντα r. 26. ἀλλὰ r. 44. ἂν om. r.

τοὺς ὁμολογοῦντας] οὐ διὰ τῆς φωνῆς, ἀλλ' ἐξ αὐτῶν τῶν πραγμάτων. a.

θάτερον] ἕτερον τιθεὶς ἐναντίον τῷ προτέρῳ νόμῳ τῷ ἑαυτοῦ. a.

§. 66. ὅτι μὲν τοίνυν etc.] ἡ ἀνακεφαλαίωσις ἐν μέσῳ λαμβάνεται. a.

§. 69. οὐ γὰρ ἄκων etc.] χαριεντισμὸς πάλιν. a.

§. 68. Ὡς τοίνυν etc.] τὸ συμφέρον. a.

ἐπιτήδειον — συμφέροντ'] ἐκ παραλλήλου λέγει τὸ αὐτό. a.

οἶμαι ἅπαντας ὁμολογῆσαι] σημείωσαι· τοῦ Θεολόγου. b.

ἁπλῶς] τὸ ἁπλῶς ἀντὶ τοῦ σαφῶς καὶ μὴ πανούργως. a.

ἔπειτα εἶναι δυνατὰς τὰς πράξεις] περὶ νόμου. b.

§. 70. ἀπὸ τῆς πρώτης συλλαβῆς] ὑπερβολικῶς εἴρηται. οὐ γὰρ εἶπε τὰ ῥήματα ἢ τὴν διάνοιαν μόνον, ἀλλὰ καὶ καθ' ἑκάστην συλλαβήν. a.

§. 71. Μυρρινούσιος] δεῖ ὑποστίξαι ἐν τῷ Μυρρινούσιος, ἵνα τὸ Τιμοκράτης εἶπεν ἀπόλυτον καθ' ἑαυτὸ λάβωμεν. a.

§. 73. περὶ μὲν δὴ μελλόντων] κατὰ συγχώρησιν δέδωκε τοῦτο τεχνικῶς, ἵνα διὰ τούτων δείξῃ τὸ περὶ τῶν παρελθόντων νομοθετεῖν ὡς ἄτοπον. τοῦτο καὶ ἐν τῷ κατ' Ἀριστοκράτους πεποίηκε· συγχωρήσας γὰρ τῷ Χαριδήμῳ πολίτην εἶναι, ἐκ τούτου πλέον αὐτὸν ἔβλαψεν. a.

§. 77. καίτοι χρῆν αὐτὸν etc.] ἐχρῆν αὐτὸν νομοθετῆσαι, μὴ προστιμᾶν δεσμοῦ τοῖς καθιστᾶσιν ἐγγυητάς, καὶ μὴ μετὰ τὴν προστίμησιν καὶ κατάγνωσιν τῶν δικαστῶν, τηνικαῦτα κελεῦσαι διὰ τοῦ νόμου ποιεῖν τὴν διεγγύησιν, μετὰ τὸν δεσμόν. b.

εἰ τὸ δεδέσθαι δεινὸν] ἐπειδὴ οὐδὲν ἐδόκει ἄτοπον καταστήσαντι ἐγγυητὰς τοῦ δεσμοῦ ἀφεῖσθαι, ἐπάγει τι συγκρουστικόν, βουλόμενος αὐτὸν συγκροῦσαι τῷ δήμῳ. τὸ δὲ μηδενὶ προστιμᾶν ἐχρῆν αὐτόν, φησί, γράφειν, μηδὲ ὅλως τινὰ δεσμεῖσθαι, ἐὰν παράσχῃ ἐγγυητάς. a.

μὴ προλαβόντα] κατὰ κοινοῦ πάλιν τὸ ἐχρῆν. τὴν δὲ πρόθεσιν δεῖ ὑπερβιβάσαι πρὸς τὸ κατεγνωκότας, ἵνα ᾖ οὕτως· οὐδὲ ἐχρῆν αὐτόν, λαβόντα ὑμᾶς ἤδη προκατεγνωκότας τινὸς τὸν δεσμόν, τότε λέγειν ὡς δεῖ καταστῆναι ἐγγυητάς. a.

§. 78. καὶ τὰς τῶν ὀμωμοκότων] τοῖς ἀνωμότοις δὲ λέγει τοῖς νῦν δικασταῖς. καὶ διὰ τί αὐτοὺς καλεῖ ἀνωμότους; καθὸ εἰσιόντες οἱ δικασταὶ 179
περὶ ἐκείνου τοῦ πράγματος ὤμνυσαν, περὶ οὗ ἡ κρίσις ἦν, οὐ μέντοι περὶ τῶν ἤδη κριθέντων. τοῦτο οὖν θέλει εἰπεῖν ὅτι· παρακελεύεται ὑμᾶς λῦσαι τὰ πρώην γενόμενα, περὶ ὧν οὔτε εἰσήλθετε οὔτε γιγνώσκετε, ἄλλων ὀμοσάντων περὶ ἐκείνων δικαστῶν. a.

§. 79. ἀλλ' οὐδὲ ἃ δίκαια ὡρίσατο] Δημοσθενικῆς βίας τὸ νόημα, τὸ περιτρέπειν τοῦ ἀντιδίκου τὸ ἰσχυρὸν εἰς τοὐναντίον. ὁ γὰρ Τιμοκράτης ὡς φιλάνθρωπον εἰσάγων τὸν νόμον εἶπε τὴν ἄφεσιν τοῦ δεσμοῦ, εἰ καταστήσειεν ἐγγυητάς· ὁ δὲ ῥήτωρ βιαίως ἀνατρέπει τοῦτο, λέγων ὅτι· τῇ ἀληθείᾳ οὐδὲ ἐγγυητὰς βούλεται παρασχεθῆναι, ἀλλὰ ἀπατῆσαι ὑμᾶς.

§. 80. τοῖς ἕνδεκα] ἕνδεκα λέγει ἀντὶ τῶν δεσμοφυλάκων. ἐξέκλεψεν οὖν, φησί, τὸν δεσμόν, τῷ μὴ δεδέσθαι παρὰ τοῖς ια' καὶ φυλάττεσθαι, ἕως ἂν ἐγγυητὰς παράσχῃ ἐν τῷ δήμῳ, ἵνα ἐν τοσούτῳ δυνηθῇ φυγεῖν. a.

§. 82. ἐνταυθοῖ] ὅτι ἐνταῦθα καὶ ἐνταυθοῖ λέγεται, οὐ μὴν ἐνταυθί. a.

ἀντὶ μὲν τοῦ τιμήματος] τίμημα καλεῖ αὐτὸ τὸ προστιμηθὲν αὐτῷ ἐκ τοῦ χρόνου τῆς θ' πρυτανείας, ὥστε καταβαλεῖν διπλᾶ. ἀργύριον δὲ αὐτὸ τὸ κεφάλαιον καὶ τὸ ἀρχαῖον. a.

§. 83. τὸ γεγραμμένον] αὐτὸ τὸ ἀρχαῖον. a.

§. 85. φαύλους ἀνθρώπους] εὐτελεῖς κατὰ τὴν τύχην. a.

οὓς] ἀντὶ τοῦ οὕς τινας ἐγγυητάς. a.

ἐὰν ἀποχειροτονήσητε] ἀντὶ τοῦ ἀποδοκιμάσητε καὶ μὴ δέξησθε αὐτούς, ὡς μὴ ὄντας ἱκανοὺς εἰς τὸ ἐγγυήσασθαι ἀπαλλάξητε. a.

§. 87. ἐὰν δὲ μὴ etc.] πειρᾶται λῦσαι αὐτοῦ τὴν δόξαν, ἣν ἔχειν νομίζεται παρὰ τοῖς πολίταις, ὡς φιλάνθρωπον εἰσάγων νόμον. ἔστι δὲ ὥσπερ λύσις ἀντιπίπτοντος. ἵνα μὴ τις εἴπῃ „ἰδοὺ οὖν, καὶ αὐτὸς κελεύει εἶναι δεσμόν" ἐπάγει ὅτι „τῷ ὀνόματι μόνον καταλιμπάνει ὑμῖν τὴν τιμωρίαν τοῦ δεσμοῦ, τῷ λέγειν ὡς δεῖν δεσμεῖσθαι, τῇ δὲ ἀληθείᾳ καὶ τῷ ἔργῳ ἀφαιρεῖται, παρέχων καιρὸν φυγῆς τοῖς μὴ βουλομένοις καταβαλεῖν, ὡς εἶπεν ἄνω· ἀλλ' ὁ τὸν καιρὸν ἐκκλέψας. κατὰ κοινοῦ τὸ ᾤετο δεῖν. a.

καὶ παρ' ἀκόντων] ἀντὶ τοῦ καὶ ὑμῶν μὴ βουλομένων ἔδωκεν ἄφεσιν τοῦ δεσμοῦ. a. 180

§. 89. τοῦ δὲ μὴ καταστήσαντος οὐκ ἔνι

---

1. οὐ διὰ] οὐδὲ r. 6. ἐν] ὡς ἐν r. 8. Ὡς τοίνυν etc.] hoc schol. om. r. 19. μόνον om. r. 21. εἶπε r.
ῶ ῶ ῳ ῳ
33. τὸν δεσμόν] τὸν δεσμὸν b, τον δεσμὸν r. 35. ἐγγυητὰς τοῦ δεσμοῦ ἀφεῖσθαι m: τοῦ δεσμοῦ ἐγγυητὰς ar. 42. ὑμᾶς m: ἡμᾶς ar.

1. καὶ om. r. 2. εἰσιόντες οἱ] οἱ εἰσιόντες r. 6. γινώσκετε r. 15. τῶν m: τοῦ τῶν ar. 16. τῷ m: τὸ ar. 32. ἀπαλλάξητε m: ἀπαλλάξετε ar. 38. τῷ m: τὸ ar. 43. ὑμῶν m: ἡμῶν ar.

δήπουθεν] πῶς γὰρ ὁ μὴ καταστήσας ἐγγυητὰς μέλλει ἔχειν ἐγγυητάς; οὐκοῦν φησι κατὰ τοῦ μὴ καταστήσαντος ἐγγυητὰς οὐδὲν ἔγραψεν. a.

καθίζουσιν] τὸ καθίζουσιν ἀντὶ τοῦ καθίστανται. a.

§. 90. καίτοι πῶς ἂν ἀσυμφορώτερος] συμπεραίνει τὸ συμφέρον κεφάλαιον. δεύτερον δὲ ὥσπερ ἀνακεφαλαιοῦται τὰ εἰρημένα. εἰ δέ τις ζητήσοι· διὰ τί ἐν μέσῳ τῷ λόγῳ ἀνακεφαλαίωσιν ἔταξεν; ἴδιον γάρ ἐστι τῶν ἐπιλόγων τὸ ἀνακεφαλαιοῦσθαι — λέγομεν, ὅτι αὕτη λέγεται ἀνακεφαλαίωσις μερικὴ ἑνὸς ἑκάστου κεφαλαίου, οὐ τελέως αὐτοῦ τοῦ λόγου καὶ τῶν ἀγώνων. a.

§. 91. φιλοτιμίας] φιλοτιμίαν τὴν δόξαν λέγει. a.

§. 97. τῶν ἐκ τῶν τελῶν] κυρίως μὲν τέλη ἐπὶ τῶν λιμένων λέγεται, καταχρηστικῶς δὲ καὶ ἐπὶ τῶν προσόδων τῆς χώρας. a.

τὰ προσκαταβλήματα] οἷον αὐτὰ τὰ προστιμήματα τοῖς χρεωστοῦσι καὶ μὴ βουλομένοις καταβάλλειν ἕως τῆς θ' πρυτανείας, οἵ, ὡς ἤδη ἔγνωμεν, κατέβαλλον τὰ διπλᾶ. διὸ καὶ προσκαταβλήματα λέγεται διὰ τὸ καταβάλλειν. a.

§. 99. ὀκτὼ] ἀντὶ τοῦ πρυτανείας. a.

οὐ δικάσει τὰ δικαστήρια] οὐ μόνον οἱ δικασταὶ ἐλάμβανον μισθόν, ἀλλὰ καὶ ἡ βουλὴ καὶ ὁ δῆμος, ἐξ ὧν ἐπιφέρει· ἀλλὰ ἀμισθὶ ταῦτα ποιήσομεν; a.

§. 101. διὰ ταῦτ' οὐ προσέγραψε τοῦτο] ἐπειδὴ δεσμὸν ἠπείλει ὁ τῶν τελωνικῶν νόμος. a.

ἱππέας] καὶ γὰρ καὶ οἱ ἱππεῖς μισθὸν ἐλάμβανον καὶ ἐν εἰρήνῃ ὑπὲρ τοῦ τρέφειν τοὺς ἵππους. a.

§. 102. ἀλλὰ καὶ τοῖς ἀδικοῦσι] οὐχ ὅτι ὑπὲρ τούτων τέθεικεν, ἀλλὰ ἀπὸ τοῦ δεσμοῦ καὶ τοῦ καταδικάζεσθαι πολλάκις χρήματα τούτους ἠδυνήθη σοφίσασθαι. διὸ καὶ ἐπάγει τοῦτο, ἐπειδὴ σοφισμοῦ πλῆρες ἐδόκει εἶναι τὸ [ῥῆμα· τὰς γὰρ ὑπαρχούσας ἐκ τῶν νῦν καὶ τὰ ἑξῆς]. a.

§. 103. λεγόντων γὰρ τῶν νόμων] περὶ κλοπῆς. b.

§. 104. καὶ γὰρ εἰ φορτικώτερον] σημείωσαι· ὁμολογία τοῦ τολμήματος. b.

ἵνα ἐν Ἅιδου τοῖς ἀσεβέσι] οἷον τοῖς περὶ τὸν Τάνταλον καὶ Τιτυὸν καὶ τὸν Ἰξίονα. ἐπειδὴ οὖν ᾔσθετο, ὡς ὅτι τὰ τοιαῦτα τολμηρὰ ποιητικῆς μᾶλλόν
181 ἐστιν, ἀλλ' οὐ ῥητορικῆς, ὥσπερ συγγνώμην ᾔτησεν, εἰπών· καὶ γὰρ εἰ φορτικώτερον· ὅ ἐστιν ἀνόητον, ὥς φησιν Ἀθανάσιος. a.

§. 105. ἐν τῇ ποδοκάκκῃ] τὸ ξύλον τὸ ἐν τῷ δεσμωτηρίῳ οὕτως ἐκαλεῖτο, ἤτοι παρεμβεβλημένου τοῦ ἑτέρου κ ποδῶν τις κάκωσις οὖσα, ἢ κατὰ συγκοπήν, ὡς Δίδυμος, οἷον ποδοκατόχη, ὁ παρὰ Ῥωμαίοις κοῦσπος. b. βασανιστήριόν τι ἐστιν ὄργανον, εἰς ὃ στρεβλοῦταί τις, δεσμούμενος τοὺς πόδας καὶ τὰς χεῖρας. τοῦτο καλεῖται καὶ ποδοστράβη. a.

περὶ τοῦ τιμήματος] ὅ ἐστι περὶ τῆς τιμωρίας. a.

ἐὰν δ' ἁλῷ] εἴποι ἄν τις, πῶς λέγει ἐὰν ἁλῷ, καίτοι προειπὼν ὅτι εἰσαγόντων αὐτὸν εἰς τὴν Ἡλιαίαν. πῶς δὲ ἐδύναντο αὐτὸν εἰσαγαγεῖν, μὴ κατασχεθέντος αὐτοῦ; λέγομεν, ὅτι τὸ ἐὰν ἁλῷ ἐνταῦθα λέγει οὐκ· ἂν κατασχεθῇ, ἀλλ'· ἐὰν ἁλῷ διὰ τῆς κρίσεως ποιήσας ἐφ' ᾧπερ συνελήφθη. τὸ δὲ παθεῖν ἢ ἀποτῖσαι ἀντὶ τοῦ παθεῖν εἰς τὸ σῶμα, ἀποτῖσαι δὲ χρήματα. a.

§. 106. βελτίους ποιεῖ] οὐκ εἶπε κολάζει, καίτοι ἐν τοῖς προειρημένοις περὶ κολάσεως διεξερχόμενος, ἀλλὰ βελτίους ποιεῖ, σωφρονισμὸν εἰπὼν τὴν κόλασιν· ὥστε τὴν Τιμοκράτους δοκοῦσαν φιλανθρωπίαν βλαβερὰν εἶναι, τὴν δὲ Σόλωνος τιμωρίαν οὐ κόλασιν ἀλλ' ὠφέλειαν. a.

§. 107. τὰ μὲν ἄλλα ἐῶ] τὸ σχῆμα ἀποκοπή. a.

οἳ καὶ ζῶντας ἀναγκάζουσι] περὶ παίδων. b.

§. 108. βούλομαι τοίνυν] ἀνακεφαλαίωσις πάλιν τελείως τῶν β' κεφαλαίων, τοῦ τε νομίμου καὶ τοῦ συμφέροντος. a.

τρίτον δὲ] ἰστέον, ὅτι οὐ λέγει ἐνταῦθα περὶ τοῦ γ' κεφαλαίου, ὅ ἐστι τοῦ δικαίου, ἀλλὰ περὶ τοῦ συμφέροντος. τρίτον δὲ αὐτὸ ἐκάλεσεν ἐνταῦθα, τὸ συμφέρον, οὐ πρὸς τὴν τάξιν τῶν κεφαλαίων, ἀλλὰ πρὸς τὴν διαίρεσιν. τὸ γὰρ νόμιμον κεφάλαιον εἰς δύο διεῖλεν, εἴς τε τὸ παράνομον καὶ τὸ ἐναντίον τοῖς νόμοις. οὐκοῦν ὡς πρὸς τὰ δύο μέρη τοῦτο εἶπε γ'· ἐπεὶ πρὸς αὐτὴν τὴν φύσιν τοῦ νομίμου κεφαλαίου πάλιν β' λέγει τὸ συμφέρον. a.

§. 111. θαυμάζω δ'] ἐντεῦθεν τὸ δίκαιον κεφάλαιον, ὅπερ καταγίνεται καθαρῶς εἰς τὴν καταδρομὴν τῶν περὶ τὸν Ἀνδροτίωνα. ἣν ἔφησεν ὁ Μένανδρος δευτέραν εἶναι ὑπόθεσιν. a.

§. 112. ἀγορανόμος] ὁ τῆς ἀγορᾶς τῶν ὠνίων ἐπιμελούμενος, ὃν τινες καλοῦσι λογιστὴν ἢ ἔφορον. 182
ἀστυνόμος δὲ ὁ τῶν δημοσίων ἐπιμελούμενος καὶ

3. ἔγραψε r. 10. τῷ ἐπιλόγῳ r. 21. ἕως m: ἕως γὰρ ar, ita ut novum scholion incipiat. οἵ, ὡς m: ὡς ar. 22. διὸ om. r. 31. καὶ γὰρ καὶ] καὶ γὰρ r. 34. ἀλλ' r. ἀπὸ a supra versum: ὑπὲρ pr. a et r. 37. ῥῆμα] σόφισμα r. deinde uncinis inclusa ex m addidimus. 43. τοῖς mr: τοὺς a.

1. ὅ ἐστιν ἀνόητον Sauppius: ἐστιν ἀνόητον a, τουτέστιν. ἀνόητον m, ἀνόητον r. 2. ὡς] ὥσπερ r. 5 sqq. Suidas p. 3020. C.B. 14. αὐτὸν] αὐτὴν r. 25. ἀλλὰ r. 29. τελείως] τελεία r. 36. τε om. r.

τοῦ καθαρὸν εἶναι τὴν πόλιν, ὃν καλοῦσί τινες πατέρα τῆς πόλεως. a.

χρόνον πολύν] οὐχ ἁπλῶς τοῦτο λέγει, ἀλλὰ βούλεται σημῆναι τὴν θ' πρυτανείαν, ἵνα δείξῃ αὐτοὺς διὰ τούτου χρεωστοῦντας τὰ διπλᾶ. a.

§. 113. *εἰ μέν τις μεθ' ἡμέραν] περὶ κλοπῆς. b. μεθ' ἡμέραν λέγει ἀντὶ τοῦ ἐν ἡμέρᾳ. a.*

νύκτωρ] ἐν νυκτὶ μείζονα τὴν τιμωρίαν ἔδειξεν, ἐπειδήπερ μεῖζόν ἐστι τὸ ἔγκλημα τῆς νυκτός. ἐν γὰρ ἡμέρᾳ δύναταί τις καὶ βοηθοὺς καλέσαι ἑαυτῷ, ἐν δὲ νυκτὶ οὐκέτι. a.

ὧν αἱ ἀπαγωγαί εἰσιν] ἀντὶ τοῦ καθ' ὧν αἱ ἀπαγωγαί εἰσιν, ἵνα δηλώσῃ τῶν ὑπὲρ τῶν ν' δραχμῶν· οἱ γὰρ κλέπτοντες ἥττονα τῶν ν' δραχμῶν ἥττονα ἔπασχον. a.

§. 114. *ἐκ Λυκείου] Λύκειον· γυμνάσιον Ἀθήνησιν, ὅπου πρὸ τοῦ πολέμου ἐδόκει γυμνάζεσθαι· πρὸ γὰρ τῶν ἐξόδων ἐξοπλίσεις τινὲς ἐγίνοντο ἐν τῷ Λυκείῳ διὰ τὸ παρακεῖσθαι τῇ πόλει καὶ ἀποδείξεις τῶν μᾶλλον πολεμικῶν ἀνδρῶν. b.*

ἐκ Λυκείου etc.] *γ' ταῦτα γυμνάσια παρὰ τοῖς Ἀθηναίοις. ἦν δὲ καὶ ἱερά, ἐπὶ μὲν τοῦ Λυκείου Λυκοκτόνου Ἀπόλλωνος, ἐπὶ δὲ τοῦ Κυνοσάργους τοῦ Ἡρακλέους, ἐπὶ δὲ τῆς Ἀκαδημίας αὐτοῦ τοῦ Ἀκαδήμου τοῦ ἥρωος, ἐξ οὗ καὶ ὁ τόπος ἐκλήθη. ἐκλήθησαν δὲ οὕτως διὰ τοιαύτας αἰτίας. ἡ μὲν Ἀκαδήμεια ἀπὸ ἥρωός τινος Ἀκαδήμου κτίσαντος τὸν τόπον, ἔνθα καὶ διατριβὴν εἶχεν ὁ Πλάτων. ὁ δὲ τόνος τῆς εὐθείας τῆς Ἀκαδημείας προπαροξύνεται, ἐπειδὴ καὶ ἡ εὐθεῖα τοῦ Ἀκαδήμου, ἐξ οὗ ἐκλήθη, προπαροξύνεται. τὸ δὲ Κυνόσαργες ἀπὸ τοῦ ποτε θυόντων τῷ Ἡρακλεῖ κύνα λευκὸν ἁρπάξαι τὰ μηρία τοῦ ἱερείου καὶ ἀποθέσθαι αὐτὰ εἰς τὸν τόπον τοῦτον, ἔνθα ἐστὶ τὸ γυμνάσιον. ἡ δὲ εὐθεῖα τὸ Κυνόσαργες καὶ αὐτὴ προπαροξύνεται· ἡ σύνθεσις γὰρ πάλιν ἀνέπεμψε τὸν τόνον. τὸ δὲ Λύκειον Λυκοκτόνου Ἀπόλλωνος, ἢ ὅτι νόμιος ὁ θεὸς νομίζεται ἀπὸ τοῦ θητεῦσαι Ἀδμήτῳ καὶ ἀνάγκη ἦν ἀναιρεῖν ὡς νόμιον τοὺς λύκους τοὺς ἐχθροὺς ὄντας ταῖς ποίμναις, ἢ ὅτι λύκων ποτὲ ἐπελθόντων τῇ πόλει τῇ τῶν Ἀθηναίων καὶ πολλοὺς τῶν Ἀθηναίων ἀναιρούντων ἔχρησεν ὁ θεὸς θύειν μάλιστα ἐν τῷ τόπῳ, καὶ λοιπὸν ἐκ τῆς ὀσμῆς ἀπώλλυντο οἱ λύκοι, καὶ ἐκ τούτου χάριν ὁμολογοῦντες οἱ Ἀθηναῖοι τῷ Ἀπόλλωνι ἱερὸν ἐκεῖσε αὐτοῦ κατεστήσαντο, καλέσαντες αὐτὸ Λυ-* 183
κοκτόνου Ἀπόλλωνος. a.

ἐξ Ἀκαδημίας] Ἀκαδημία· γυμνάσιον ἐν Ἀθή- 104
ναις, προάστειον ἀλσῶδες, ἐν ᾧ διέτριβε Πλάτων, ἀπὸ Ἑκαδήμου τινὸς ἥρωος ὀνομασθέν, τοῦ καθιερώσαντος αὐτό. ἐκαλεῖτο δὲ καὶ Ἑκαδημία, ὡς Ἀριστοφάνης· ἀλλ' εἰς Ἑκαδημίαν κατιών. — ταῦτα δὲ τὰ τρία ἦσαν γυμνάσια. b.

ληκύθιον] ἀγγεῖον, ὅπερ οἱ ποιμένες ἐγκρεμῶσι τῇ ζώνῃ. b.

§. 119. *τοῖς λείπουσι τὰς τάξεις] ὅτι λιποτάκτης οὐ λέγεται. a.*

§. 121. *οὐκ ἀπὸ ταυτομάτου] εἴποι ἄν τις· οὐκοῦν οὐκ ἄξιοι ἐγκλήματος οἱ περὶ τὸν Ἀνδροτίωνα, εἴ γε οὐχ οὗτοι αἴτιοι, ἀλλ' ἡ θεός. λέγομεν ὅτι τοῦ τοιούτου πρῶτος ἡμῖν Ὅμηρος [μάρτυς] γεγένηται, εἶτα Πλάτων, διδάσκοντες ἡμᾶς, ὅτι, ἐπειδὰν ὁρῶσιν οἱ θεοί τινα πονηρόν, ἐμβάλλουσιν αὐτῷ τοιαύτην τινὰ ἐπιθυμίαν, πρὸς τὸ δι' αὐτῆς δοῦναι τὴν τιμωρίαν ὑπὲρ ὧν ποιῶν ἐλάνθανεν· ὥσπερ τὸν Πάνδαρον ἐπίορκον ὄντα ἀνέπεισεν ἡ Ἀθηνᾶ παρασπονδῆσαι, ὅθεν καὶ κατὰ τῆς γλώττης τέτρωται. a.*

ἀκρωτήρια] λέγει οἱονεὶ τὰ πτερά· οὕτω γὰρ γράφεται ἡ Νίκη. τινὲς δὲ ἐξηγοῦνται· Νίκης Ἀθηνᾶς ἐστιν ἄγαλμα ἐν τῇ ἀκροπόλει. ταύτης δὲ τὰς πτέρυγας χρυσᾶς οὔσας ἐπεχείρησάν τινες κακοῦργοι ἀφελέσθαι καὶ ἀπώλοντο αὐτοὶ ὑφ' ἑαυτῶν οἱ κακοῦργοι· στασιάζοντες πρὸς αὐτούς, τίς πλέον λάβοι ἀπὸ τῆς κλοπῆς, ἐμβαλούσης αὐτοῖς τοῦτο τῆς Ἀθηνᾶς, ἤλεγξαν ἑαυτούς. ἄλλοι δέ φασιν· ἕκαστος τῶν κακούργων ἐφιλονείκει τὸ πλέον λαβεῖν· οἱ μὲν γὰρ αὐτῶν ἔλεγον αὐτοῖς προσήκειν τὸ πλέον λαβεῖν, ὅτι αὐτοὶ τοὺς ἑτέρους ἐβάσταξαν πρὸς τὸ εἰσελθεῖν ἐν τῷ ἱερῷ, οἱ δὲ ἔλεγον· ἀλλ' ἡμεῖς εἰσελθόντες πλείονι κινδύνῳ ἐξηταζόμεθα· ἡμᾶς γὰρ δέος ἦν ἔνδον ὄντας μᾶλλον ἁλῶναι, ἤπερ ὑμᾶς τοὺς ἔξω. a.

§. 122. *βούλομαι δ' ὑμῖν] πάλιν αἱ προσποιήσεις αὗται ῥητορικαί εἰσιν, προσποιεῖσθαι ἐν τῷ μεταξὺ αὐτοσχεδιάζειν, ἵνα φύγῃ τῆς πανουργίας ὑποψίαν. a.*

§. 123. *ἐκκλησιάζῃ] ἀντὶ τοῦ εἰσέρχηταί τις τῶν πενήτων ἄτιμος γενόμενος ἐν τῇ ἐκκλησίᾳ, λαβεῖν βουλόμενος χρήματα ὡς ἐκκλησιάζων. a.*

2. *πόλεως* Sauppius: *πόλεως ἢ δικαστὴν κατὰ δήμους γενόμενον* ar, malo intellecto et leviter mutato lemmate novi scholii (cf. m). 5. *τούτου*] *τοῦτο* r. 8. *ἔδειξε. ἐπειδήπερ τὸ ἔγκλημα μεῖζον τῆς νυκτός* r. 12. *καθ' ὧν αἱ*] *καθ' ὧν* r. 14. *ἥττονα*] *ἧττον* r. 16 sqq. Suidas p. 2354. B. 27. *κτίσαντος*] *κτισαμένου* r. 31. *θυόντων* Sauppius: *θύοντας* ar. 34. *τὸ* m: *τοῦ* ar.

3 sqq. Suidas p. 129. D. 7. Aristoph. Nub. 1005. 9. *ἐγκρεμῶσι*] *ἐγηρεμεῖσι* r. 16. *Ὅμηρος*] Iliad. 5, 290 sqq. *μάρτυς* add. Sauppius. 17. *Πλάτων*] Civit. 2 p. 380. A. 19. *τὸ* m: *τῷ* ar. 33. *τὸ* mr: *τῷ* a. 35. *μᾶλλον* add. Sauppius. 38. *ῥητορικαὶ* Sauppius: *ῥητορικαὶ καὶ* ar. 39. *αὐτὸ σχεδιάζειν, ἵνα φανῇ τις πανουργίας ὕποψις* r. 41. *εἰσέρχηται* m: *εἰσέρχεται* ar.

οὗτοι δ'] ἀντὶ τοῦ οἱ ῥήτορες οἱ περὶ τὸν Τιμοκράτην. ὅρα δέ, πῶς ἐνταῦθα δηλοῖ, ὅτι ἰδιώτης ἐστὶν ὁ Διόδωρος, διότι τῶν ῥητόρων ἐνταῦθα κατατρέχει· οὐ γὰρ ἂν ὁ Δημοσθένης ταῦτα ἔλεγεν. a.

184 §. 125. ἀλλὰ νὴ Δί'] κατ' ἐρώτησιν· ἔστι δὲ ἀνθυποφορὰ ἐκ τοῦ ἀπρεποῦς. a.

πεντετηρίδας] οὐχ ἁπλῶς τοῦτο εἶπεν, ἀλλ' ἐπειδὴ κατὰ ε' ἔτη ἤγετο τὰ Παναθήναια. τότε δὲ ἐξῆν ἀφεῖσθαι τοῦ δεσμοῦ τοὺς δεσμώτας διὰ τὴν πανήγυριν, ὡς ἔγνωμεν ἐν τῷ κατὰ Ἀνδροτίωνος. δέον δὲ εἰπεῖν πεντετηρίδα εἶπε πληθυντικῶς, ἐπὶ τὸ ἐπαχθέστερον φέρων τὸν λόγον. a.

§. 126. τὰ ἐν τῇ ἡλικίᾳ] ἤγουν τὰ ἐν τῇ νεότητι, ἵνα πάλιν σκώψῃ αὐτὸν εἰς κιναιδίαν. a.

§. 128. εἰς Δεκέλειαν αὐτομολήσας] ἔοικεν οὗτος [αἰχμάλωτος] ὑπὸ τῶν ἐν Δεκελείᾳ Πελοποννησίων γεγενῆσθαι· εἰ γὰρ ἦν αὐτομολήσας, οὐκ ἂν ἔζησεν ὑπ' Ἀθηναίων ὕστερον ἐπανελθών. ὁ δὲ ῥήτωρ πάλιν ὡς κατήγορος τὸ ἐκ τύχης συμβὰν εἰς τὴν προαίρεσιν αὐτοῦ ἀνάγει. a.

εἰς Δεκέλειαν] δεῖ νοῆσαι τοῦτον πάνυ γεραίτατον, εἴ γε λέγει αὐτὸν γεγενῆσθαι ἐν τῷ τέλει τοῦ Πελοποννησιακοῦ πολέμου καὶ νῦν ζῆν ἐν τοῖς Φιλιππικοῖς χρόνοις. a.

παίδων καὶ γυναικῶν] ἰστέον, ὅτι βουλόμενος βιαιότερον ποιῆσαι τὸν λόγον τοῦτο εἶπεν· ὡμολογημένον γάρ ἐστιν, ὅτι καὶ τὰ τῶν παίδων καὶ τὰ τῶν γυναικῶν αὐτῶν ἦν πάλιν· ἀλλ' ἵνα τὴν ἁρπαγὴν αὐτοῦ δηλώσῃ, τοῦτο εἶπεν. δεῖ δὲ λαβεῖν κατὰ πάντων τούτων κοινὸν τὸ οὗτός ἐστιν. a.

αρμοστῇ] ὁ εἰς ὑπηκόους πόλεις ἄρχων ἐκπεμπόμενος. b.

ἁρμοστῇ] τῷ Λακωνικῷ ἄρχοντι τῷ ὄντι ἐκεῖσε. ὅτι οἱ ἐν τῇ Δεκελείᾳ ἁρμοσταὶ συνεχώρουν τοὺς αὐτῶν στρατιώτας λαμβάνειν, ὧν κλέπτουσι παρὰ τῶν Ἀθηναίων, τὰ θ' μέρη καὶ αὐτοῖς καταβάλλειν μόνον τὸ δέκατον, ὅ ἐστι, τῇ πόλει τῶν Λακεδαιμονίων, ἵνα διὰ τούτων καὶ πολλοὺς παροξύνωσι καὶ προθύμως δῃοῦν καὶ συλᾶν τὰ τῶν Ἀθηναίων. a.

τούτων ἀκριβῶς] ἀντὶ τοῦ ὑπὲρ ὧν ἐσύλα ἐξ ὑμῶν. a.

§. 129. τόν τε δίφρον] ἐπὶ τούτου ἐκαθέζετο ὁ Ξέρξης ἐν τῷ Αἰγάλεῳ ὄρει τῆς Ἀττικῆς, θεωρῶν τὴν ἐν Σαλαμῖνι ναυμαχίαν. a.

ἀκινάκην] ὄνομα ξίφους Περσικοῦ. a.

Δαρεικὸς] ὄνομα νομίσματος παρὰ τοῖς Πέρσαις. a.

§. 130. ἐγὼ μὲν γὰρ] πάλιν ἐνταῦθα εἰπὼν τὸν 185
μὲν οὐκ ἐπήγαγε τὸν δέ, διὰ τὸ ὡμολογημένον εἶναι ὅπερ ἔμελλεν ἐπιφέρειν. ἔμελλε γὰρ ἐπάγειν· νομίζω δὲ καὶ ὑμῖν τοῦτο συνδοκεῖν. τὸ ἐγὼ μὲν γὰρ οἶμαι οὐδὲν πρὸς τὸ ἄνω ἐστί, πρὸς τὸ τί κωλύσει ἅπαντας εἶναι πονηρούς; a.

§. 131. οἱ τῆς ξενίας ἁλισκόμενοι] ξενίας· δώρων. ξενίας· μαρτυρίας. ξενία· καταγώγιον, κατάλυμα. b. εἴ τις ἥλω παρὰ τοῖς Ἀθηναίοις ὑποκρινόμενος εἶναι πολίτης, μὴ ὢν Ἀθηναῖος κατὰ τὸ ἀληθές, καὶ τὰ αὐτὰ ποιῶν τοῖς πολίταις, πρὸ μὲν κρίσεως ᾤκει τὸ δεσμωτήριον, ἁλοὺς δὲ ἐν τῇ κρίσει ὕστερον ἐπωλεῖτο. a.

§. 134. τῶν ἀπὸ Πειραιῶς] ὅ ἐστι τῶν δημοτικῶν τῶν φυγόντων τὴν πόλιν ἐπὶ τῶν λ' καὶ καταλαβόντων Φυλήν. a.

ἔπειτα etc.] τόν τε Ἀγύρριον καὶ Φιλέψιον ὁ Ἀριστοφάνης ὡς ἐχθροὺς αὐτοῦ σκώπτει ἐν τῷ Πλούτῳ. a.

§. 135. Καλλίστρατος] οὗτός ἐστιν ὁ ῥήτωρ, οὗ ζηλωτὴς ἐγένετο ὁ Δημοσθένης, περὶ οὗ ἔφη ἐρωτηθεὶς ὁ Δημοσθένης, τίς ἀμείνων ῥήτωρ, σὺ ἢ Καλλίστρατος; ἐγὼ μὲν γραφόμενος, Καλλίστρατος δὲ ἀκουόμενος. ἦν γὰρ ἐπιδεικτικὸς σφόδρα ὁ Καλλίστρατος. ὅθεν καὶ ἀκούσας αὐτοῦ ἐπιδεικνυμένου ὁ Δημοσθένης εἰς ἐπιθυμίαν ἦλθε λόγων, ὡς εἰρήκαμεν ἐν τῷ βίῳ αὐτοῦ. a.

§. 136. καὶ οἱ ταμίαι] ἰστέον ὅτι χρήματα καὶ τῶν ἄλλων ἱερῶν τῶν θεῶν καὶ τῆς Ἀθηνᾶς ἔκειτο ἔν τινι οἰκήματι ὀπίσω τῆς ἀκροπόλεως, τῷ καλουμένῳ Ὀπισθοδόμῳ, καὶ ἦσάν τινες τεταγμένοι ταμίαι ἐπὶ τῇ φυλακῇ τούτων. ποτὲ οὖν πολλῶν χρημάτων ἀνενεχθέντων ἐκεῖσε ἔδοξε τοῖς ταμίαις, ὥστε λάθρα τῆς πόλεως δανεῖσαι ταῦτα τοῖς τραπεζίταις, ἵνα αὐτοὶ κερδάνωσιν ἐκ τούτου. ὡς δὲ τοῦτο ἐποίησαν, ἔτυχεν ὕστερον ἀνατραπῆναι τὰς τραπέζας. ἔδοξεν οὖν αὐτοῖς ἐμπρῆσαι τὸν Ὀπισθόδομον, ἵνα δόξῃ τὰ χρήματα ὑπὸ τοῦ πυρὸς ἀναλωθῆναι καὶ μὴ ὑπ' αὐτῶν. a.

καὶ οἱ περὶ τὸν σῖτον] ἐξηγοῦνται περὶ ἐμπόρων τινῶν Ἀθηναίων, ὅτι ἥλωσαν σιτηγοῦντες εἰς ἄλλον λιμένα παρὰ τὸν τῶν Ἀθηναίων νόμον. νόμος δὲ ἦν παρὰ Ἀθηναίοις, τιμωρεῖσθαι τὸν Ἀθηναῖον ναύκληρον σιτηγοῦντα ἀλλαχοῦ, ἐπειδὴ λεπτόγεως ἦν ἡ 186
Ἀττική. a.

§. 138. τὸν Κυδαθηναιᾶ] Κυδαθηναιεύς· δῆμός ἐστι φυλῆς τῆς Πανδιονίδος. b.

ἀντιτιμωμένου] ἤδη ἔγνωμεν ὅτι ἐν τῷ λόγῳ τῆς τιμωρίας προσετίμα ὁ διώκων, εἶτα ἐξῆν τῷ φευ-

---

5. Δία r. 8. τότε] τὸ r. 16. οὗτος αἰχμάλωτος m: οὗτος ar. 17. γεγενῆσθαι r: γεγεννῆσθαι a. 26. ὡμολόγηται γὰρ ὅτι r. 27. παιδίων r. 28. αὐτῶν (h. e. civium Atheniensium) om. r. 29. εἶπεν. δεῖ δὲ] λέγει. δὲ r. 30. οὗτος] οὐχ οὗτός r. 34. τῇ om. r. 41. ὑμῶν mr: ἡμῶν a. 43. Αἰγάλεῳ Sauppius: αἰγαλέῳ ar.

17. καὶ] καὶ τὸν r. — Aristoph. Plut. v. 176 sq. 29. τῷ καλουμένῳ Ὀπισθοδόμῳ Sauppius: τοῦ καλουμένου Ὀπισθοδόμου ar. 47. διώκων m: δικαστής ar.

γοντι ἀντιτιμῆσαι αὐτῷ ὅτι· τοῦδέ εἰμι ἄξιος. λοιπὸν παρὰ τῷ δικαστῇ ἦν ἡ κρίσις τοῦ ἀνασχέσθαι ἢ οὔ. a.

ἐκεῖνο etc.] καθ᾽ ὑπόθεσιν ἔννοια. βούλεται γὰρ ἐκ τῶν ἤδη γεγονότων δίκας αὐτὸν εἰσπράξασθαι. a.

§. 139. βούλομαι δ᾽ ὑμῖν] παραδιήγησις. b. οἱ ἐπίλογοι. a.

ὥστε ἄν τις βούληται] εὖγε τῆς ἀκριβείας. b.

ἐπισπασθέντας] ἐφελκυσθέντος. b.

§. 144. οὐδὲ δήσω Ἀθηναίων οὐδένα] τοῦτο προάγει ο Τιμοκράτης ὡς νόμον παλαιὸν συμφωνοῦντα ᾧ αὐτὸς ἔγραψε. ὁ δὲ Δημοσθένης λύει, λέγων, ὅτι ὁ μὲν Τιμοκράτης λέγει αὐτὸν εἶναι νόμον, οὐκ ἔστι δὲ νόμος, ἀλλὰ ὅρκος τῶν βουλευτῶν. ὁ γὰρ νόμος, φησί, παραγγέλματα ἔχει καθολικά, οἷον τόδε μὲν ποιεῖν, τόδε δὲ μὴ ποιεῖν. τὸ δὲ οὐ δήσω Ἀθηναῖον οὐδένα οὐκ ἔστιν ὥσπερ φωνὴ νόμου, ἀλλ᾽ ἀνθρώπου τινὸς ταῦτα λέγοντος. ἐζήτησαν δέ τινες, διὰ ποίαν αἰτίαν οὐκ ἔταξε ταύτην τὴν ἀντίθεσιν ἐν τῷ παρανόμῳ κεφαλαίῳ· ἐκεῖ γὰρ ὀφείλει ταχθῆναι. λέγομεν, ὅτι ἐκεῖ εἰ ἐτέθη, ὑπὲρ τοῦ Τιμοκράτους ἂν ἐτίθετο· ἰσχυρὰ γὰρ ἦν ἀντίθεσις. ἐνταῦθα δὲ μετὰ τοὺς ἀγῶνας καὶ μετὰ τὰς ἀποδείξεις τοῦ δειχθῆναι βλαβερὸν τὸν νόμον τὸν Τιμοκράτους σαθροτέρα ἐγίνετο ἐν τοῖς ἐπιλόγοις ταττομένη. καὶ οὕτως οὔτε ἐδόκει αὐτὴν φεύγειν ὡς ἄπορον καὶ δύσλυτον, καὶ πάλιν διὰ τῶν ἐπιλόγων εὐτελῆ αὐτὴν ἐπιδείκνυσι. a.

τὸ αὐτὸ τέλος τελοῦντας] τῶν γ᾽ ἐγγυητῶν ἐχόντων τὴν ἴσην οὐσίαν ἐκείνῳ, ᾧπερ ἐγγυῶνται, ἵνα ἔσονται ἱκανοὶ γ᾽ ἐγγυήσασθαι αὐτόν. a.

§. 145. οὐ γὰρ ἐρῶ etc.] κατὰ ἔνστασιν καὶ ἀντιπαράστασιν ἐνταῦθα λύει. ἰστέον δέ, ὅτι πρώτην ἔταξε τὴν ἀντιπαράστασιν, β᾽ δὲ τὴν ἔνστασιν, διὰ τὸ ἀναιδὲς μᾶλλον. a.

§. 146. οὔτε γάρ, ὦ ἄνδρες, — τιμᾶν] ἡ ἔνδειξις δίκη ἐστὶ κατὰ τῶν ἀτίμων καὶ πολιτευομένων, ἡ δὲ ἀπαγωγὴ ἐπὶ τῶν κλεπτῶν. a.

§. 147. ἔπειτα δ᾽] ἐνταῦθά ἐστιν ἡ ἔνστασις. a.

αὐτὸ μὲν καθ᾽ αὐτὸ] ὡσανεὶ ἔλεγεν, ἐξ αὐτῆς τῆς φωνῆς ἔξεστι στοχάσασθαι, ὅτι οὐκ ἔστι νόμος. a.

187 §. 149. ΟΡΚΟΣ ΗΛΙΑΣΤΩΝ] ἰστέον ὅτι καὶ τὸν ὅρκον τοῦτον τῶν Ἡλιαστῶν ἐν τοῖς ἐπιλόγοις τέθεικεν, ὡς ἐπιλογικὸν μᾶλλον ὄντα, ἀλλ᾽ οὐ τῆς ὑποθέσεως αὐτῆς μέρος ὄντα καὶ τῶν ἀγώνων. a.

καὶ τὰ ψηφίσματα] ἰστέον, ὅτι ψηφίσματα ἐνταῦθα λέγει τὰ παλαιὰ τὰ νομισθέντα εἶναι καλά. a.

χρεῶν ἀποκοπάς] οὐδὲ νομοθετῆσαι περὶ τῶν ἰδιωτικῶν χρημάτων, ὥστε μὴ ἀπολαμβάνειν τοὺς ἰδιώτας τὰ χρέα, ἅπερ ἐδάνεισαν· τοῦτο γὰρ τυραννίδος ἐστίν. a.

ἀναδασμὸν] οἷον ἀναμερισμόν. τοῦτο γὰρ εἴωθε γίνεσθαι ἐν ταῖς ἀτακτούσαις δημοκρατίαις. οἱ γὰρ πένητες πολλάκις καθ᾽ ἑαυτοὺς γινόμενοι στασιάζουσι πρὸς τοὺς πλουσίους, λέγοντες, ὡς οὐ δίκαιόν ἐστι τούτους μὲν ἔχειν γῆν πολλήν, αὐτοὺς δὲ μή, ἀλλὰ δίκαιον εἶναι καὶ αὐτοῖς ἐξίσου μερίσασθαι τὴν γῆν καὶ οἰκίας. a.

οὐδὲ τοὺς μένοντας] οὐδὲ τοὺς μένοντας, φησίν, ἐν τῇ πόλει καὶ μὴ ἡμαρτηκότας παρανόμως ἐκ τῆς πόλεως ἐκβαλῶ. a.

οὔτ᾽ ἄλλον οὐδένα] ἠδύνατο γάρ τις μὴ ἁμαρτάνειν αὐτός, ἄλλον δὲ ὁρῶν ἀδικοῦντα περιορᾶν. ὅπερ ἐστὶν ἀληθέστερον ἀδικεῖν, ὥς φησιν ὁ Θουκυδίδης. a.

§. 150. τοῦ ἱερομνήμονος] ἱερομνήμων ἐλέγετο ὁ πεμπόμενος σύνεδρος εἰς τοὺς Ἀμφικτύονας ὑπὲρ τῆς πόλεως. a.

ὥστ᾽ ἄρχειν ὑπεύθυνον ὄντα] νόμος ἦν δὶς τὸν αὐτὸν μὴ ἄρχειν ἐν τῷ αὐτῷ ἐνιαυτῷ, μὴ δόντα 188 εὐθύνας τῆς α᾽ ἀρχῆς, μηδὲ ἄρχειν τὴν αὐτὴν ἀρχὴν τὸν αὐτόν, διὰ τοιαύτην αἰτίαν, ἵνα μὴ οἱ βουλόμενοι κατηγορεῖν τοῦ ἄρχοντος, προσδοκῶντες αὐτὸν πάλιν ἄρχειν τὴν αὐτὴν ἀρχήν, ἀναγκάζοιντο σιωπᾶν πολλάκις, ὄντες τῆς αὐτῆς ἀρχῆς ὑπηρέται, οἱ δυνάμενοι αὐτοῦ κατηγορεῖν διὰ τὸ συνειδέναι οἷς ἔπραξεν. a.

κυαμεύονται] κυαμεύειν ἐστὶ τὸ ψηφοφορεῖν κυάμοις, ᾧ ἐχρῶντο οἱ βουλευταί. b. κληροῦνται· κύαμον γὰρ ἐκάλουν τὸν κλῆρον αὐτὸν καὶ τὴν ψῆφον ἐκ τοῦ λαμβάνειν αὐτοὺς ἐπὶ τὸ ἄρχειν. ἦσαν δὲ αὗται ποτὲ μὲν τετρημέναι καὶ ἄτρητοι, ποτὲ δὲ μέλαιναι καὶ λευκαί. αἱ μὲν τετρημέναι καὶ μέλαιναι ἦσαν καταψηφιζόμεναι· φασὶ δέ τινες τῶν ἐξηγησαμένων, ὅτι ἀπὸ χοιρείων ὀστῶν αὗται ἐγίνοντο· αἱ δὲ λευκαὶ καὶ ἄτρητοι ἦσαν αἱ σῴζουσαι. a.

καὶ κήρυκος καὶ πρεσβείας] ἀντὶ τοῦ τῶν οὕτως εὐτελῶν· εὐτελῶν δὲ πρὸς τοὺς ἄλλους ἄρχοντας τοὺς μεγάλους. ἰστέον δέ, ὅτι ἄλλος ἦν ὁ κῆρυξ τοῦ δήμου καὶ ἄλλος ὁ τοῦ πολέμου, ὁ προηγούμενος τῶν πρέσβεων πρὸς τὸ αὐτοὺς σπείσασθαι εἰρήνην πρὸς τοὺς πολεμίους, βαστάζων σύμβολον τὸ κηρύκιον. a.

οὔτ᾽ ἄλλος ἐμοὶ etc.] ἔστι γὰρ πολλάκις μὲν αὐτὸν μὴ λαμβάνειν τινὰ διὰ τὸν ὅρκον, ὑποβάλλειν

---

2. τοῦ] περὶ τοῦ r. 5. οἱ ἐπίλογοι om. r. 21. δὲ m: γὰρ ar. 23. ἐγίγνετο r. 26. εὐτελῆ m: ἐντελῆ ar. 26. αὐτὴν] αὐτὸν r. 36. τῶν om. r. 38. ἔλεγεν om. r. 40. καὶ om. r.

11. καὶ οἰκίας] ὡς οἰκείας r. quod deinde Reiskius dicit se legere non potuisse, non est nisi signum, scholion finitum esse. 18. ἱερομνήμων] ὅτι ὁ ἱερομνήμων r. ἐλέγετο] ἐκαλεῖτο r. 21 sqq. ordinem huius scholii et duorum, quae proxime sequuntur, cum codice mutavimus. 23. α᾽] προτέρας r. 25. τοῦ Sauppius: αὐτοῦ ar. 29 sq. Suidas p. 2223. A. 31. ἐκ τοῦ m: τοῦ ar. 34. τετρημέναι καὶ μέλαιναι] γὰρ μέλαιναι καὶ τετρημέναι r. 36. λευκαὶ καὶ Sauppius: λευκαὶ ar. 38. πρέσβεως r. 42. τὸ m: τῷ ar. 44. αὐτὸν μὲν r.

δὲ ἢ ἄνδρα ἢ γυναῖκα λαμβάνειν ὑπὲρ αὐτοῦ, ἢ δι' ἄλλης τέχνης ἢ μηχανῆς. a.

§. 154. ἐκφύοι] ἐνέμεινε τῇ τροπῇ τοῦ σπέρματος, ὡσανεὶ ἔλεγε· μὴ καταβάλωμεν, φησί, σπέρμα τοιοῦτον πονηρίας, εἰ καὶ μὴ μέλλει ἀναβλαστῆσαι πώποτε καὶ αὐξῆσαι. a.

§. 156. εὕρεν οὖν τοῦτο] νομίζεται γὰρ τὸ νομοθετεῖν ὑπὲρ τῆς πόλεως εἶναι· ὅμως εἰσὶ καὶ παρανόμων γραφαί. ἀλλ' οὖν γε αὐτὸ καθ' ἑαυτὸ τὸ νομοθετεῖν νομίζεται καλόν τι εἶναι. a.

§. 157. πρόεδρος] ὁ τῆς πολιτείας ἀρχηγὸς καὶ ἡγεμών. πρόεδροι ἐκληροῦντο ὑπὸ τῶν πρυτάνεων καθ' ἑκάστην πρυτανείαν, εἷς ἐξ ἑκάστης φυλῆς, πλὴν τῆς πρυτανευούσης, οἵτινες τὰ περὶ τὰς ἐκκλησίας διῴκουν. ἐκαλοῦντο δὲ πρόεδροι, ἐπειδή περ προήδρευον τῶν ἄλλων ἁπάντων· ὅτι δὲ ὁ καλούμενος ἐπιστάτης κληροῖ αὐτούς, εἴρηκεν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ. b.

πρύτανις] ὁ διοικητής. b.

§. 158. τετυφῶσθαι] ἀντὶ τοῦ ἐμβεβροντῆσθαι, ἔξω τῶν φρενῶν γενέσθαι. ἤτοι ἀπὸ τῆς βροντῆς, ἢ ἀπὸ τῶν ἐπὶ τὸν Τυφῶνα καταφερομένων σκηπτῶν, ἢ ἀπὸ τῶν Τυφωνικῶν καλουμένων πνευμάτων, ἃ δὴ καὶ αὐτὰ ἐξίστησιν ἀθρόως καταρραγέντα. καὶ γὰρ Ἀλκαῖός φησι· πάμπαν δὲ τυφὼς ἐκϜέλετο φρένας. — τετύφωμαι· ἐπήρθην. καὶ τετυφωμένος· καὶ τετυφῶσθαι, μεμηνέναι. b.

σχολὴν ἄγοντα ἐσκέφθαι περὶ πάντων] ἀντὶ τοῦ σχολάσαντα καὶ ἀργήσαντα ἀπὸ τῶν ἄλλων πραγμάτων, ἵνα σκέψηται ταῦτα. ὅρα, πῶς αὐτῷ φθόνον συνάγει διὰ τούτων. a.

§. 159. τοῦ μὲν εἰ καλεῖ] τοῦ Τιμοκράτους. a.

τοῦ δ' εἰ πάρεισι] τοῦ Ἀνδροτίωνος. a.

συναπολογήσεται] βούλεται δὲ ὥσπερ ἐκβολὴν ἐνταῦθα ποιήσασθαι συνηγόρων. διὰ τί δὲ οὐκ ἔστιν ἀκριβῶς ἐκβολὴ συνηγόρων, ἤδη εἴπαμεν ἐν τῷ κατὰ Ἀνδροτίωνος. a.

ὅμως δὲ καὶ περὶ τῶν ἐκείνῳ] παρέκβασις πάλιν ἐπὶ τὰ πολιτεύματα Ἀνδροτίωνος. a.

§. 160. καὶ πρῶτον μὲν ἐφ' ᾧ μέγιστον φρονεῖ] ἐζήτηται διὰ ποίαν αἰτίαν τὰ αὐτὰ μέλλει ἐπιφέρειν, ἅπερ εἶπεν ἐν τῷ κατὰ Ἀνδροτίωνος. οἱ μὲν λέγουσιν· οὐχ οἱ αὐτοὶ ἦσαν δικασταί, καὶ οὐδὲν ἦν ἄτοπον πρὸς τοὺς μὴ ἀκηκοότας ἐκεῖνα πάλιν τὰ αὐτὰ λέγειν ἐνταῦθα. ἄλλοι δὲ λέγουσιν, ὅτι ἠθέλησεν ἐνδείξασθαι ὁ Διόδωρος, ὅτι ἰδιώτης ἐστὶ καὶ οὐκ ἠδυνήθη ἄλλως σκέψασθαι τὰ αὐτά. βέλτιον δὲ λέγειν μᾶλλον τὴν αἰτίαν ἣν εἴπαμεν ἐν τοῖς Φιλιππικοῖς. a.

§. 161. προσαγωγεῖ] ἀντὶ τοῦ δηλάτορι, ἀπὸ τοῦ προσαγαγεῖν αὐτῷ καὶ ὑποβάλλειν τινάς, ἀπαιτῆσαι ἀδίκως. τὸ δὲ ἀποδέκτας ἀντὶ τοῦ ὑποδεχομένους τὰ χρήματα. a. 189

§. 174. οὔτε γὰρ ῥᾷον πολλοῖς] ὑπεξαίρεσις τῶν αἰτιῶν. b.

§. 175. καὶ μὴ τὸν χρόνον εἰ πολύς ἐστιν] οἶδεν ὁ ῥήτωρ παλαιὰ πράγματα ἐγκαλῶν, τὰ τῶν εἰσφορῶν καὶ ἃ προείρηκεν. ἐπειδὴ οὖν ἀνέκυπτεν αὐτῷ παραγραφικὸν ἀπὸ χρόνου, διὰ τοῦτο ἀναγκάζεται λῦσαι αὐτό. a.

οὔκουν] τὸ οὔκουν παροξύνεται, ἐπεὶ πάλιν ἐπὶ ἀρνήσεώς ἐστιν. a.

§. 180. ταῖς χοίνιξι] οὐ μόνον τὸ μέτρον, ἀλλὰ καὶ τὰς πέδας σημαίνει τὸ ὄνομα. — αἱ χοίνικες πέδαι τινές εἰσι. χοῖνιξ δὲ πᾶν τὸ περιφερές. διὸ καὶ τὸ μέτρον χοῖνιξ καλεῖται. — χοίνικες, οἷς τὰς περιόδους μετροῦσιν Αἰγύπτιοι, οἷος ἦν Ἀμοῦς καὶ Ἀντώνιος. b. 105

§. 182. ὁ δὲ παρακάθηται] νῦν περὶ Ἀνδροτίωνος λέγει, ὅπερ εἶπεν ἐν τῷ κατὰ Ἀνδροτίωνος περὶ τοῦ Τιμοκράτους. a.

§. 186. ἀλλ' Ἀνδροτίων ὑμῖν] σχῆμα ἐπανάληψις, ἐπὶ προσώπου διαβολῆς. b.

§. 187. αὐτὸν] ὁ Τιμοκράτης. — τινὲς βούλονται ἐντεῦθεν εἶναι τοὺς ἐπιλόγους, ἐπειδή, φασίν, ἐν τῷ πρὸ αὐτοῦ κώλῳ ἐπελογίσατο τὰ γ' κεφάλαια. a.

ὡς ἐκτέτισται τὰ χρήματα] τινὲς λέγουσιν ἐκ τούτου νομίζεσθαι τὸν λόγον ἀσύστατον. εἰ γὰρ ἐκτέτισται τὰ χρήματα καὶ ὁμολογεῖ καὶ ὁ Δημοσθένης ἐνταῦθα τοῦτο αὐτό, οὐκοῦν περιττῶς κατηγορεῖ. λέγομεν, πρῶτον μὲν καὶ αὐτὸς ὁ ῥήτωρ ἐπισημαίνεται τοῦτο, ὅτι οὐ περὶ τούτων ἐστὶν ὁ ἀγὼν νῦν, ἀλλὰ περὶ τοῦ εἴτε ἐννόμως ἐγράφη ὁ νόμος ὁ Τιμοκράτους εἴτε παρανόμως. a.

§. 188. οὐδὲ καθ' ἓν] ἀντὶ τοῦ οὐδὲ ὅλως. a.

εἰ μὲν γὰρ ὑπὲρ τούτων] τὸ διλημμάτον πάλιν σχῆμα. a.

§. 189. καίτοι καὶ τοῦτ' οὐκ ἀπορήσαιμι] ὅρα δέ, πῶς τὴν λύσιν ἐκ τῶν γ' παρείληφεν, ἀπὸ τοῦ αἰτίου, ἀπὸ τοῦ συνέχοντος, ἀπὸ τοῦ κρινομένου. a.

§. 190. οἶμαι τοίνυν αὐτὸν οὐδ' ἐκείνως ἀφέξεσθαι] τὸ ἀναίσχυντον αὐτοῦ δείκνυσιν. a.

πρὸς δὴ τοὺς τοιούτους λόγους] πρὸς τοὺς λόγους, οὓς λέγει ὁ Τιμοκράτης. a.

§. 192. δύο εἴδη] ὅτι εἰς δύο μεμέρισται τὰ τῶν πόλεων, εἴς τε ἰδιωτικὰ καὶ δημόσια. a.

---

4. καταβαλῶμεν r. 8. εἰσι καὶ] εἰσὶν αἱ r. 11 sqq. Suidas p. 3089. C. 12. ἐκληροῦντο Suidas: ἐκλήρουν τὴν br. ὑπὸ add. Valesius ad Harpocrationem. 16. κληροῦ r. 19 sqq. Suidas p. 3536. B. 24. ἐκϜέλετο Blomfieldius: ἐκ δ' ἐλέγετο br. — Alcaei frg. 56 apud Schneidewinum. 30. αὐτῷ m: αὐτὸ ar. 35. κατ' r.

14 sqq. Suidas p. 3939. D. 21. κατ' r. 22. τοῦ om. r. 26. φασὶν m: φησὶν ar. 40. δὲ om. r. 47. εἴς τε] εἰς τὰ r.

§. 195. *μήτ' ἄλλος*] τῶν συνηγορούντων αὐτῷ. a.

οὔτ' οἰκεῖος] ἀντὶ τοῦ οὔτε φίλος. a.

§. 196. *τὰ τούτων*] τὰ χρήματα τῶν πολιτῶν, ἅπερ ὀφείλει ἡ πόλις διπλᾶ λαβεῖν ἀπὸ τῶν περὶ τὸν 190 Ἀνδροτίωνα. a.

ποιεῖν γάρ ἐστι τοῦτό γε] ἀντὶ τοῦ καταβάλλειν μετὰ τοσοῦτον χρόνον προβάλλονται λέγοντες· δεινόν ἐστιν εἰ δεθήσονται. a.

§. 197. *καὶ διάκονον*] τὴν πόρνην, ἀπὸ τοῦ διακονεῖν ταῖς ἡδοναῖς· ἵνα αἰνίττηται εἰς τὰς περὶ Σινώπην καὶ Φανοστράτην, ὧν ἐμνήσθη ἐν τῷ κατὰ Ἀνδροτίωνος. a.

§. 198. *πράττονται*] ἀντὶ τοῦ εἰσπράττονται. a.

§. 199. *τὸν λόγον ἐγγράψαι*] τὸν λόγον λέγει, οἷον αὐτὰς τὰς εὐθύνας, περὶ ὧν ἔμελλεν ἀπαιτεῖσθαι, τί εἰσέπραξε καὶ ἐκ τίνος. a.

§. 200. *ταῦτα δ' ἐστὶ τί*] οἷον εἰς ἃ ἀνάλωσεν. a.

§. 201. *κληρονομήσειν τῆς ἀτιμίας*] νόμος γὰρ ἦν· εἴ τις ὀφείλων πρὸ τῆς ἐκτίσεως τελευτήσει, τοὺς παῖδας ἀποδιδόναι τὸ ὄφλημα, εἰ δὲ μή, καὶ αὐτοὺς ἀτίμους εἶναι, ἕως ἂν ἀποδῶσιν. a.

§. 202. *ἀλλά, νὴ Δία, τὴν ἀδελφὴν*] οὐχ ἁπλῶς κατὰ ταῦτα πάντα διαβάλλει αὐτὸν ἐκ τοῦ ἔξωθεν βίου, [μᾶλλον δὲ ὡς ἐπὶ τὸ πλεῖστον καὶ ἐν ὅλοις τοῖς λόγοις] ἀεὶ τοῦτο ποιεῖ ὁ ῥήτωρ, ἀλλ' ἐπειδὴ ἔγνω, ὅτι τινὲς τῶν κρινομένων, εἰ καὶ ἁλίσκονται ἐν τῇ κρίσει, ἀλλ' οὖν γε πολλάκις προβαλλόμενοι τὸν ἔξωθεν ἑαυτῶν βίον δύνανται σωθῆναι, εἰκότως ἐξεῦρεν ὁ ῥήτωρ τὸ καὶ τὸν ἄλλον αὐτοῦ βίον ἐν τοῖς ἐπιλόγοις διαβάλλειν, ἵνα μὴ εἰς τοῦτον καταφεύγωσιν. a.

οὐκ ἐκδέδωκεν] ἀντὶ τοῦ πρὸς γάμον οὐκ ἐκδέδωκεν ὡς ἐλευθέραν, ἀλλ' ὡς δούλην πέπρακεν. εἶτα ἐπιφέρει, πῶς αὐτὴν ἐπώλησε, καὶ τίνι; a.

καὶ νῦν ἐστιν ἐν Κερκύρᾳ] ὥσπερ σχετλιάζοντος, διότι ἐπὶ ξένης ἐκδέδοται ἀστὴ οὖσα, τοῦ νόμου τοῦτο ἀπείργοντος· τὸ δὲ *ἐπ' ἐξαγωγῇ* τὸ πραθῆναι ἔξω τῆς πόλεως. a.

§. 203. *ἐπ' ἐξαγωγῇ*] πωλήσει. b.

§. 206. *οἱ καταλύοντες τὸν δῆμον*] οἱ βουλόμενοι, φησίν, καταλῦσαι τὴν δημοκρατίαν τοὺς δεσμώτας λύουσιν, ἵνα ἔχωσιν αὐτοὺς πρὸς συμμαχίαν τοῦ καταλύειν τοὺς νόμους καὶ τὴν πολιτείαν, ἐξ οὗπερ ἐδέθησαν. a.

§. 210. *ὅτι τοὺς νόμους ἅπαντες*] σημείωσαι· τί ἐστι νόμος. b.

§. 211. *καὶ μὴν εἰ Σόλωνα καὶ Δράκοντα*] ἰστέον, ὅτι ὁ μὲν Σόλων ἐγένετο ἐπὶ τοῖς χρόνοις τῶν τυράννων ἐν ταῖς Ἀθήναις πρὸ τῶν Περσικῶν χρόνων. ὁ δὲ Δράκων πρὸ αὐτοῦ ζ' καὶ κ' ἔτεσιν, ὥς φησιν ὁ Διόδωρος. a.

§. 212. *λέγεται γὰρ τοῖς δικασταῖς*] περὶ νομίσματος. b.

φῆσαι] ἀντὶ τοῦ συνθέσθαι, ὅτι καλῶς ἔχει ὁ νόμος ὁ περὶ τοῦ νομίσματος. κατὰ κοινοῦ δὲ πάλιν τὸ *λέγεται*. a.

§. 213. *ἀργύριον μὲν*] ἀπὸ τοῦ ἥττονος τὸ ἐπιχείρημα. a. 191

δεῖν δὴ τοὺς δικαστὰς] περὶ φθορᾶς νόμου. b.

πολλῷ μᾶλλον — τοῦτο διαφθείρει] ἀντὶ τοῦ δεῖ κολάζειν ἐκεῖνον, εἴ τις διαφθείρει τὸ νόμισμα ἐκεῖνο, ὅπερ ἐστὶ τῆς πόλεως, ἀλλ' οὐκ ἐκεῖνον τὸν διαφθείροντα τὸ τῶν ἰδιωτῶν. εἰσὶ γὰρ καὶ ἰδιωτικοὶ νόμοι, οἷον μὴ λαμβάνειν πολλοὺς τόκους, καὶ ἄλλοι τοιουτότροποι· ἀλλ' οὐχ οὗτοι καταλύειν εἰσὶν ἱκανοὶ τὴν πόλιν, ἀλλ' οἱ δημόσιοι. a.

παράσημον] τὸ παρασεσημασμένον καὶ ὕποπτον. καὶ *παράσημος ῥήτωρ* ἐκ μεταφορᾶς εἴρηται ἀπὸ τῶν νομισμάτων, ἃ καλοῦσι παράσημα, ἤτοι ὅτι ὑποχαράττεται ὑπὸ τῶν ἀργυραμοιβῶν σημείῳ τινί, ὃ τὴν φαυλότητα δηλοῖ, ἢ ἐπειδὴ παρατετύπωται καὶ παρακεχάρακται. b.

§. 215. *ἢ μικρὰν ἢ μεγάλην*] *μικρὰν* μέν, ἐὰν καταλύωνται, *μεγάλην* δέ, ἐὰν σώζωνται. a.

§. 218. *ὄφελος εἴη*] δηλονότι, ἐὰν μὴ σώζωνται οἱ νόμοι. a.

δι' οὗ] νόμου, ὃν ἔγραψεν ὁ Τιμοκράτης. a.

εἰσὶν αἱ τιμωρίαι] ὑπάρχουσιν αἱ τιμωρίαι, οἷον τοῖς βουλομένοις ἐμμένειν αὐτῷ καὶ μὴ ποιοῦσιν. ὥσπερ οἱ παλαιοὶ νόμοι [κελεύουσιν]. a.

XXV. IN RELIQUAS ORATIONES.

25 §. 1. *πάλαι καθήμενος*] ὁρικὴ στάσις· ἔχει δὲ κεφάλαια ὅρον, ἀνθορισμόν, γνώμην νομοθέτου. b.

§. 3. *πολλῶν δὲ λόγων εἰρημένων*] δεύτερον προοίμιον. b.

§. 8. *βουλοίμην δ' ἂν*] τοπικὴ καταφορά. b.

§. 9. *ὧν τὰ μὲν ἄλλα ἐάσω*] περὶ ἀποσιωπήσεως. b.

---

1 sqq. *τῶν συνηγορούντων αὐτῷ*] *ἀντὶ τοῦ οὔτε φίλος.* r. 4. *τῶν* m: *τὸν* ar. 8. *ἐστιν*] *εἶναι* r. 11. *ὧν — Ἀνδροτίωνος* om. r. — or. 22 §. 56. 23. *κατὰ ταῦτα* m: *ταῦτα* ar. *αὐτὸν*] *αὐτ'* r. *ἔξωθεν βίου*] *ἐξ* r. — deinde versus dimidiatus praesectus est. supplevimus ex m. 29. *βίον*] *βίον καὶ* r. 32. *ἀλλὰ* r. 40. totus fere versus praesectus est. supplevimus ex m.

3. tertia pars versus praesecta est. supplevimus ex m. 4. *κ'*] *μ'* m. — Diodor. fragm. 24. librorum 6 — 10. 21 sqq. Suidas p. 2861. A. 25. *ἢ* add. Bekkerus ad Harpocrationem. 28. *δέ, ἐὰν*] *δέ, εἰ* r. 31. *νόμου, ὃν* m: *νόμου οὐκ* a, *νόμου* r. 33. *οἷον* om. r. 34. *κελεύουσιν* addidimus ex m.

§. 14. *περὶ τῆς ἐνδείξεως*] *ἔνδειξις· εἶδος δίκης δημοσίας, ὑφ' ἣν τοὺς ἐκ τῶν νόμων εἰργομένους τινῶν ἢ τόπων ἢ πράξεων, εἰ μὴ ἀπέχοιντο αὐτῶν, ὑπῆγον. — ἔνδειξις· δίκη κατὰ τῶν ὀφειλόντων καὶ δημηγορούντων· οὐ γὰρ ἐξῆν λέγειν· εἰ δὲ καὶ ἦρχεν ὀφείλων, ἐνεδείκνυτο.* b.

§. 16. *μάλισθ' ὅτι πᾶς ἐστι νόμος*] *τί ἐστι νόμος.* b.

§. 20. *τὰς ἕνας ἀρχάς*] *ἀρχαὶ αἱ παρῳχημέναι. — ἕνας· τὰς τριακάδας. ἐνάς· νέας. νέας· τὰς νουμηνίας.* b.

106 §. 32. *οὐχ ὁρᾶτε, ὅτι τῆς φύσεως αὐτοῦ*] *σημείωσαι· περὶ ἀπονοίας.* b.

§. 46. *παλιγκάπηλος*] *ὁ μεταπράτης.* b.

§. 48. *μοσχεύητε*] *μοσχεύω· μεταφυτεύω. μοσχεύματα· ἁπαλὰ φυτά. μοσχίδια· τὰ νέα βλαστήματα, ἐπὶ τῶν δένδρων.* b.

§. 65. *ἀποστασίου ἀπέδοσθε*] *ἀποστασίου δίκη ἡ κατὰ τῶν ἀπελευθέρων, ὅταν ἀφιστῶσι τῶν ἀπελευθερωσάντων. Ἄλλως. δίκη τίς ἐστι κατὰ τῶν ἀπελευθερωθέντων δεδομένη τοῖς ἀπελευθερώσασιν, ἐὰν ἀφιστῶνται ἀπ' αὐτῶν, ἢ προστάτην ἕτερον ἐπιγράφωνται, καὶ ἃ κελεύουσιν οἱ νόμοι μὴ ποιῶσι. καὶ τοὺς μὲν ἁλόντας δεῖ δούλους εἶναι, τοὺς δὲ νικήσαντας τελέως λοιπὸν ἐλευθέρους. Ἄλλως. ὅταν δοῦλος ὑπὲρ ἐλευθερίας ἐνίσταται, φάσκων μὴ προσήκειν τοῖς δοῦλον αὐτὸν ἀντιποιουμένοις.* b.

§. 68. *ὁ δ' ἀναιδής, ἐκ τίνος*] *περὶ ἀναιδοῦς.* b.

§. 78. *ἀπαγωγάς*] *ἀπαγωγή· μήνυσις ἔγγραφος, διδομένη τοῖς ἄρχουσιν, ἐπὶ τοῦ δεῖν ἀπαχθῆναι τὸν δεῖνα.* b.

§. 79. *τὴν μιαρὰν Θεωρίδα*] *ὄνομα κύριον. ἥτις καὶ μάντις, καὶ ἀσεβείας κριθεῖσα ἀπέθανεν.* b.

§. 98. *φυσιογνωμονήσουσι*] *ἀπὸ τῆς ὄψεως γνώσονται.* b.

εἰς τὸ μητρῷον] *μητρῷον ἱερόν ἐστι· μητρῳακαὶ δὲ ἡμέραι τινὲς ἱεραί. τὰς δὲ μητρῳακὰς παρὰ Ῥωμαίοις ἢ καὶ πρότερον παρὰ Φρυξὶ* [*σπουδασθείσας καστείας ἑκάστου μηνὸς ἥγνευε.*] b.

26 §. 1. *ἐπίτιμος*] *ἐπίτιμος· νῦν ἔντιμος, ἀνεύθυνος.* b.

§. 4. *τὸ γὰρ τιμωρησόμενον*] *τὸ ἐκδικησόμενον.* b.

§. 17. *καὶ γὰρ ταῦτα οὕτω σκαιός ἐστι*] *περὶ βουλευτοῦ.* b.

§. 26. *τῶν γὰρ πόλεων ταύτας*] *περὶ κριτοῦ* 107
καὶ νομοθέτου. b.

§. 27. *παρακαλέσαντες*] *παρακαλεῖν· τὸ καλεῖν ἢ τὸ προτρέπεσθαι· ἄκυρον γὰρ τὸ δέεσθαι.* b.

27 §. 8. *ὡς συνετιμήσαντο*] *πολλῆς τιμῆς ἐγένετο τὰ ὤνια· καὶ συντιμηθῆναι οὕτω.* b.

§. 10. *κηκῖδα*] *κηκίς· ὀξύτης. ἢ κηκίς· βάμμα τι καὶ στύμμα· ἢ καρπὸς τῆς δρυός, ἐπιτήδειος πρὸς βαφήν.* b.

ἔπιπλα] *ἔπιπλα λέγονται τὰ κατὰ τὴν οἰκίαν σκεύη· τὴν οἷον ἐπιπολαίαν κτῆσιν.* b.

28 §. 17. *ὑπογύων*] *ἐγγυτέρων, προσφάτων.* b.

29 §. 12. *ὑπὸ μάλης*] *ὑπὸ μασχάλης· κεῖται δὲ τὸ ὄνομα παρὰ τοῖς ῥήτορσιν, ἀεὶ δ' οὕτως αὐτὸ παραλαμβάνουσι μετὰ τῆς προθέσεως.* b

§. 20. *ἐξομνύειν*] *ὁ γὰρ μάρτυς ἀναγκάζεται καὶ περὶ τῶν οὐκ εἰδότων ἐξόμνυσθαι.* b.

30 §. 27. *κατὰ τὴν ὑπερημερίαν*] *ὅταν μετὰ τὴν κυρίαν, ἑορτῆς τυχὸν ἢ τινος ἄλλου ἢ συλλόγου ἢ δεδειγμένου πράγματος, ἀπαντήσῃ τις, τότε ὑπερήμερος καὶ ἐξ ὑπερημερίας ἐληλυθέναι λέγεται. καὶ κατόπιν τῆς ἑορτῆς, εἰ τύχοι πλείστου τῆς ἑορτῆς ἀπολειφθείς.* b.

§. 30. *πιθακνῶν*] *πιθάκνη· μικρὸς πίθος.* a.

31 §. 11. *ταῦτ' ἀπετιμᾶτο*] *οἱ μισθούμενοι τοὺς τῶν ὀρφανῶν οἴκους παρὰ τοῦ ἄρχοντος ἐνέχυρα τῆς
μισθώσεως παρείχοντο. ἔδει δὲ τὸν ἄρχοντα πέμπειν* 108
τινὰς ἀποτιμησομένους τὰ ἐνέχυρα. καὶ ἐλέγοντο τὰ μὲν ἐνέχυρα ἀποτιμήματα, οἱ δὲ ἀποτιμησάμενοι ἀποτιμηταί, τὸ δὲ ἔργον ἀποτιμᾶν. καὶ οἱ προῖκα γυναικὶ γαμουμένῃ δόντες ᾔτουν παρὰ τοῦ ἀνδρὸς ὑπὲρ τῆς προικὸς ἐνέχυρον οἰκίαν ἢ χωρίον ταύτης ἄξιον· ἐλέγετο δὲ ὁ μὲν δοὺς τὸ ἀποτίμημα ἐνεργητικῶς ἀποτιμᾶν, ὁ δὲ λαβὼν ἀποτιμᾶσθαι. ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων ὀφλημάτων. b.

32 §. 27. *ἵν' ἐὰν μὲν αὐτῷ ποιῶσιν*] *σημείωσαι· τῆς Ὁμήρου συντάξεως.* b.

33 §. 23. *ἔμμηνοι*] *ἐμπορικαὶ καὶ ἐρανικαί.* b.

---

1 sqq. Suidas p. 1241. B. 1240. C. 9. Suidas p. 1245. A. 10. *ἕνας*] *ἔννας* r. *τὰς τριακάδας. ἐνάς* Sauppius: *τὰς τῆς τριακάδος* br. cf. Suidas p. 1255. A. 14. in r sequitur scholion: *ἀνασείσας*] *ἀπειλησάμενος.* quod in b non habetur. 15. Suidas p. 2527. A. 17. in r sequitur scholion: *ἀνίδρυτος*] *ἀνίδρυτοι, ἀνεξίλαστοι.* quod in b non habetur. 18 sqq. Suidas p. 512. C. 20. *ἀπελευθερωσάντων* Suidas: *ἀπελευθέρων* br. 29 sqq. Suidas p. 424. A. *μήνυσις* Suidas: *κρίσις* br. *ἔγ φος, δι τοῖς* r. 30. *ἀπαχθῆναι* Suidas: *ἀποδεχθῆναι* br. 32 sq. Suidas p. 1879. A. 36 sqq. Suidas p. 2496. D. 37. *τὰς δὲ* etc.] Marinus vit. Procli c. 19. uncinis inclusa ex m addidimus.

7 sq. Suidas p. 2851. C. 9 sq. Suidas p. 3452. A. — pertinet hoc scholion ad or. 56 §. 8. 11 sq. Suidas p. 2086. D. *βάμμα τι καὶ* Harpocration: *βαμματικὸν* br. 17 sqq. Suidas p. 3721. E. 22 sqq. Suidas p. 3696. D. 23. *ἑορτῆς* Sauppius: *ἑορτὴν* br. 28. hoc scholion om. r. — *πιθακνῶν* in codd. nonnullis scriptum est pro eo, quod nunc legitur *ἀγγείων*. 29 sqq. Suidas p. 520. A. 35. *ᾔτουν* Suidas: *εἶτ' οὖν* br. 42. *ἐμπορικαὶ καὶ ἐρανικαὶ* Suidas p. 1218. A: *ἐμπορικοὶ καὶ ἐρανικοὶ* br.

§. 35. *τὴν λῆξιν*] *λῆξιν δίκης· καὶ λαχεῖν δίκην τὸ καταγγεῖλαι κρίσιν ἰδιωτικῶν πραγμάτων φασί. τὸ δ' ἀντικαλέσαι ἀντιλαχεῖν· τὸ δὲ διανείμασθαι χρήματα διαλαχεῖν.* b.

34 §. 4. *εὐθυδικίαν*] *εὐθυδικία· ὅταν εἰσάγηταί τις κριθησόμενος, περὶ ὧν μηδέπω γνῶσις ἐγένετο δικαστηρίου, τοῦτο εὐθυδικία καλεῖται. περὶ ὧν γὰρ κεκρίσθαι τίς φησι, περὶ τούτων παραγράφεσθαι ἐφεῖται. οὐκ ἀκούσαντες τῆς εὐθυδικίας. καὶ εἰκότως· οὐ γὰρ ἐπὶ τῷ δικάζειν ἐκάθηντο, ἀλλ' ἐπὶ προσχήματι καὶ προσώπῳ δικαστῶν.* b.

§. 37. *ἐν τῷ Ὠιδείῳ*] *Ὠιδεῖον Ἀθήνησιν ὥσπερ θέατρον, ὃ πεποίηκεν, ὥς φασι, Περικλῆς, εἰς τὸ ἐπιδείκνυσθαι τοῖς μουσικοῖς· διὰ τοῦτο γὰρ καὶ Ὠιδεῖον ἐκλήθη, ἀπὸ τῆς ᾠδῆς. ἔστι δὲ ἐν αὐτῷ δικαστήριον τοῦ ἄρχοντος· διεμετρεῖτο δὲ καὶ ἄλφιτα ἐκεῖ.* b.

109 §. 51. *ἡγεῖσθε γάρ, τοὺς τοιούτους*] *σημείωσαι· ἐπίκρισις.* b.

35 §. 13. *σῦλαι (sic)*] *συλλήψεις.* b.

§. 20. *διοπεύων*] *ἐπιπτεύων τὰ κατὰ τὴν ναῦν, οἷον διοπός τις ὤν, ἤγουν κατασκοπῶν.* b.

§. 31. *ἐκ Παντικαπαίου*] *Παντικάπαιον· ὄνομα πόλεως.* b.

§. 48. *ἀποστασίου γε καὶ ἀπροστασίου*] *ἀποστασίου, ὅταν δοῦλος ὑπὲρ ἐλευθερίας ἐνίσταται, [φάσκων] μὴ προσήκειν τοῖς δοῦλον αὐτὸν ἀντιποιουμένοις. ἀπροστασίου δέ· τῶν μετοίκων ἕκαστος προστάτην ἔχουσι κατὰ νόμον ἕνα τῶν ἀστῶν, καὶ δι' αὐτοῦ τό τε μετοίκιον τίθεται κατὰ ἔτος καὶ τὰ ἄλλα διοικεῖται. ὅταν οὖν τις δοκῶν εἶναι μέτοικος προστάτην μὴ ἔχῃ ἢ μὴ δῷ τὸ μετοίκιον ἢ ἀστὸς εἶναι φάσκῃ, παρεγγεγραμμένος εἰς τὴν πολιτείαν, ὁ βουλόμενος δίκην εἰσάγει πρὸς αὐτόν, ἥτις λέγεται ἀπροστασίου.* b.

36 §. 4. *ἀσπιδοπήγιον*] *γράφεται ἀσπιδοπηγεῖον. ἐν ᾧ ἡ ἀσπὶς πήγνυται, ὅπερ ἐστὶν ὅπλον σκουτάριον.* b.

§. 11. *ἀσπιδοπήγιον*] *ἀσπιδοπηγεῖον εὗρον, ἐν ᾧ ἡ ἀσπίς, ὅπερ ἐστὶ τὸ σκουτάριον, πήγνυται.* b.

§. 26. *τῆς προθεσμίας*] *ἀπὸ τοῦ προθεῖναι τὴν ἡμέραν, ἐν ᾗ τόδε γενέσθαι δεῖ, οὐκ ἀπὸ τοῦ προθεσπίζειν, ἐὰν ἡμεῖς προτιθῶμεν προθεσμίαν τινά. εἰ δὲ ὁ θεὸς ὁ προτιθείς, ἀπὸ τοῦ προθεσπίζειν εἴρηται τὸ ὄνομα, προθεσπίζοντος τοῦ θεοῦ καὶ προτάττοντος καὶ προνομοθετοῦντος περὶ τῆς ἡμέρας, ἐν ᾗ τυχὸν [τόνδε δεῖ] τῆς ζωῆς ταύτης ὑπεξελθεῖν. τὸ προθεσπίζειν καταχρηστικῶς καὶ ἐπὶ βασιλέως, κυρίως δὲ ἐπὶ θεοῦ.* b.

37 §. 4. *ἦν δὲ τοῦ δανείσματος*] *τάλαντον ἄρα ξ' μναῖ· ἡ δὲ μνᾶ μ' στατήρων.* b. 110

§. 6. *Ἐλαφηβολιῶνος μηνὸς*] *Σεπτεμβρίου* b.

§. 35. *διείρηκεν*] *διήρηκέν ἐστιν, ἤτα, ἀντὶ τοῦ διεχώρισεν.* b.

38 §. 1. *δεδωκότων*] *σημείωσαι· ἀπὸ τῆς παραγραφῆς τὸ προοίμιον τὸ πρῶτον· τὸ δεύτερον ἀπὸ τῆς εὐθυδικίας.* b.

§. 22. *αἰδέσηται*] *ἀντὶ τοῦ πεισθῇ.* b.

§. 28. *Αἰσίου*] *αἴσιον· τὸ καλόν, τὸ μέτριον, τὸ δίκαιον. καὶ ὑπεραίσιον· τὸ ὑπὲρ τὴν μοῖραν, ὑπὲρ τὸ προσῆκον. αἴσιος· ὁ καθήκων, ἀληθής. αἴσιμα· τὰ προσήκοντα. αἰσθέσθαι ἐστὶ τὸ ἀκριβῶς εἰδέναι τι· αἰσθάνεσθαι τὸ ὑπονοεῖν· διαφέρει γάρ.* b.

39 §. 12. *δυοῖν πινακίοιν*] *πινάκια· τὰ καθιέμενα ἀντὶ κλήρων ὑπὸ τῶν κληρουμένων. ἔοικε δὲ ταῦτα εἶναι χαλκᾶ, ὡς ἐνταῦθα ὁ ῥήτωρ. τὸ δ' ἐν τοῖς Φιλιππικοῖς μικρόν, ὦ Ἀθηναῖοι, πινάκιον, τυχὸν πινάκιον λέγει, εἰς ὃ ἐγγράφεται τὰ ἐγκλήματα κατὰ τῶν εἰσαγγελλομένων. — δέλτος, τιτλάριον, σχεδάριον, πυξίον. οἱ δὲ ἄρχοντες παρὰ μέσας νύκτας ἔφερον τὸ ἀπὸ τοῦ στρατηγοῦ πινάκιον.* b.

§. 17. *τῶν ἐχίνων*] *ἐχῖνοι· οἱ μὲν χαλκοῖ, οἱ δὲ ἐκ κεράμου, εἰς οὓς καθιᾶσιν οἱ διαιτηταὶ τὰ γραμματεῖα τῶν μαρτυριῶν, ἅ τινες ἐμαρτύρησαν, καὶ κατασημηνάμενοι μετὰ ταῦτα, εἰ ἐκκληθείη ἡ δίαιτα, τοῖς δικασταῖς ἐπεδίδουν. ἔστι δέ τι καὶ ζῷον καὶ θαλάσσιον ὄστρεον.* b.

§. 18. *ξενίας*] *ξενία· καταγώγιον, κατάλυμα.* b.

40 §. 48. *ὑπὲρ*] *σημείωσαι· ἡ ὑπὲρ ἀντὶ τῆς κατά· ὡς καὶ παρ' Ὁμήρῳ· ὅθ' ὑπὲρ σέθεν ἀντὶ τοῦ κατά.* b. 111

41 §. 11. *εἰς τὰ Νεμέσια*] *ἑορτή τις Νεμέσεως, καθ' ἣν τοῖς κατοιχομένοις ἐπετέλουν τὰ νομιζόμενα. Νεμέσια οὖν ἡ ἐπὶ τοῖς νεκροῖς γενομένη πανήγυρις, ἐπεὶ ἡ Νέμεσις ἐπὶ τῶν νεκρῶν τέτακται.* b.

42 §. 14. *τὴν ἀπόφασιν*] *ἀποφαίνειν διὰ γραμμάτων κατὰ μέρος, ὁπόσην οὐσίαν ἔχει, ὅπερ ἐν ταῖς ἀντιδόσεσι μάλιστα γίνεται. καλεῖται δὲ αὐτὸ καὶ ἀπογραφή.* b.

1 sqq. Suidas p. 2311. A. 2. *ἰδιωτικῶν* Suidas: *ἰδιωτικὴν* br. 5 sqq. Suidas p. 1495. C. 13 sqq. Suidas p. 2770. B. 20. cf. schol. ad or. 51 §. 13. 21. *τὰ* Sauppius: *τινι* br. 22. *διοπός* Sauppius: *διοπὶς* b, *διοπὶς* r. cf. Harpocr. p. 62, 12. 25 sqq. Suidas p. 512. D. cf. schol. ad or. 25 §. 65. 27. *φάσκων μὴ* Suidas et schol. or. 25: *μὴ* br. 30. *τό τε*] *τοτε* br. 33. *παρεγγεγραμμένος* Suidas: *παραγεγραμμενος* br. 36 sqq. Suidas p. 615. A. 37. *ἐστὶ* r. 41 sqq. Suidas p. 3094. B. 45. *προτάττοντος* Toupius ad Suidam: *προστάττοντος* br.

1. *ᾗ* Suidas: *ᾧ* br. 2. *τόνδε δεῖ* ex Suida addidimus. 5. Suidas p. 987. A. 14 sqq. Suidas p. 1114. B. 19 sqq. Suidas p. 2988. A. 20. *κληρουμένων* Photius: *κληρονόμων* br. 28 sqq. Suidas p. 1561. C. 29. *οὓς* Suidas: *ἃ* br. 31. *ἐκκληθείη* Hemsterhusius ad Suidam: *ἐγκληθείη* br. 35. *ὑπὲρ* est in a et aliis codd. nonnullis pro eo, quod vulgo legitur *περί*. 36. Homer. Il. 6, 524. 38 sqq. Suidas p. 2571. D. 40. *νεμεσία* br. 42 sqq. Suidas p. 523. B.

43 § 13. *ἐφατρίαζε*] φατρία· σύνταγμα. ἡ φυλὴ διῄρητο εἰς τέσσαρα κατὰ τὰς τέσσαρας ὥρας τοῦ ἐνιαυτοῦ, ἑκάστη δὲ διαίρεσις εἰς τρία, ὡς γίνεσθαι δώδεκα κατὰ τοὺς δώδεκα μῆνας τοῦ ἐνιαυτοῦ, καλεῖσθαι δὲ *τριττύας* καὶ *φατρίας*· ὅθεν καὶ τὸ *ἐφατρίαζεν*. b.

45 § 64. *Σόλων*] Σόλων Ἐξηκεστίδου Ἀθηναῖος, φιλόσοφος, νομοθέτης καὶ δημαγωγός. γέγονε δ' ἐπὶ μζ' Ὀλυμπιάδι. ἐπιβουλευθεὶς δ' ὑπὸ Πεισιστράτου ἀπεδήμησεν ἐν Κιλικίᾳ καὶ ἔκτισε πόλιν, ἣν Σόλους ἐκάλεσεν ἐξ αὐτοῦ· οἱ δὲ καὶ τοὺς ἐν Κύπρῳ Σόλους ἐξ αὐτοῦ φασίν, καὶ τελευτῆσαι αὐτὸν ἐν Κύπρῳ. ἔγραψε νόμους Ἀθηναίοις, οἵτινες ἄξονες ὠνομάσθησαν, διὰ τὸ γραφῆναι αὐτοὺς ἐν ξυλίνοις ἄξοσιν Ἀθήνησι· ποίημα δι' ἐλεγείων, ὃ Σαλαμὶς ἐπιγράφεται·
112 ὑποθήκας δι' ἐλεγείας· καὶ ἄλλα. ἔστι δὲ καὶ οὗτος εἷς τῶν ἑπτὰ ὀνομαζομένων σοφῶν, οὗ καὶ φέρεται ἀπόφθεγμα *μηδὲν ἄγαν* ἢ τὸ *γνῶθι σαυτόν*. οὗτος φίλων ἡττώμενος ὀφειλόντων χρεῶν εἰσηγήσατο ἀποκοπάς. τοῦτον εἵλοντο καὶ οἱ Κιρραίοις πολεμεῖν ᾑρημένοι σύμβουλον. b.

46 § 11. *ἐν μάλθῃ*] σημείωσαι· *μάλθη* ὁ μεμαλαγμένος κηρός. *μαλκίομεν* Δημοσθένης θ' Φιλιππικῶν φησιν ἀντὶ τοῦ ἀσθενοῦμεν. b.

47 § 5. *ἐκ Κηδῶν*] *κῆδος*· ἡ συναλλαγὴ τοῦ γάμου ἢ τοῦ πένθους, καὶ ἡ λύπη, ὅτι καίεσθαι ποιεῖ. *κηδεία*· ταφή, ἐκφορά. *κηδείους*· οἰκείους. *κήδομαί σου*· φροντίζω. κήδω δὲ σέ· τὸ λυπῶ. b.

§ 68. *ἦλθον ὡς τοὺς ἐξηγητάς*] ἐξηγηταί εἰσιν οἱ τοὺς νόμους τοῖς ἀγνοοῦσιν ὑποδεικνύοντες καὶ διδάσκοντες περὶ τοῦ ἀδικήματος, οὗ ἕκαστος γράφεται. — τρεῖς γίνονται πυθόχρηστοι, οἷς μέλει καθαίρειν τοὺς ἄγει ἐνισχηθέντας. — καὶ οἱ ἐξηγούμενοι τὰ πάτρια. b.

50 § 18. *ἐντελομίσθους*] τουτέστιν ἐντελῶς μεμισθωμένους. b.

§ 24. *ἐν δείγματι*] δεῖγμα τόπος ἦν ἐν τῷ Πειραιεῖ, ἔνθα συνήγοντο ξένοι καὶ πολῖται καὶ ἐλογοποίουν. Ἀττικὸν δὲ ἔθος ἐστὶ τὸ καλεῖν ἀπὸ τῶν ἐν τῷ τόπῳ καὶ αὐτοὺς τοὺς τόπους. b.

51 § 13. *ἄνευ κηρυκείου*] *κηρύκειον*· σύνθημα φιλίας ἦν τοῖς βαρβάροις, συναντᾶν στεφάνους ἔχοντας καὶ θαλλούς, ὥσπερ τὸ κηρύκειον τοῖς Ἕλλησι, διασαφοῦντες, ὅτι πάρεισι διὰ ταῦτα, βουλόμε-
113 νοι μήτε ποιῆσαι μήτε παθεῖν δυσχερὲς μηδέν. — *κηρύκειον*· ξύλον ἔχον ἑκατέρωθεν δύο ὄφεις περιπεπλεγμένους καὶ ἀντιπροσώπους ἀλλήλοις κειμένους, ὅπερ εἰώθασι φέρειν οἱ κήρυκες μετὰ αὐτῶν· καὶ οὐκ ἐξῆν αὐτοῖς ἀδικεῖν, παρ' οὓς ἀπέρχονται. σύμβολον δὲ ἦν τὸ μὲν ὀρθὸν ξύλον τοῦ ὀρθοῦ λόγου, τὸ δὲ παρ' ἑκάτερα εἶδος τοῦ ὄφεως τὰ ἀντιτασσόμενα στρατόπεδα· ὁ γὰρ ὀρθὸς λόγος δι' ἀμφοτέρων χωρεῖ. *κηρυκεία* δὲ παρ' Ἰσαίῳ ὁ διδόμενος μισθὸς τοῖς κήρυξιν ἐπὶ ταῖς γινομέναις πράξεσιν. b.

σύλας] *σύλας* δὲ λέγει τὰς συλλήψεις. b.

52 § 3. *περὶ τὸν Ἀργολικὸν κόλπον*] τὸν περὶ τὸ Ἄργος. *ἀργόλαι* δὲ εἶδος ὄφεων, οὓς ἤνεγκεν ὁ Μακεδὼν Ἀλέξανδρος ἐκ τοῦ Ἄργους τοῦ Πελασγικοῦ εἰς Ἀλεξάνδρειαν καὶ ἐνέβαλεν εἰς τὸν ποταμὸν πρὸς ἀναίρεσιν τῶν ἀσπίδων, ὅτε μετέθηκε τὰ ὀστᾶ Ἱερεμίου τοῦ προφήτου ἐξ Αἰγύπτου εἰς Ἀλεξάνδρειαν, ἃς ὁ αὐτὸς προφήτης ἀπέκτεινεν· *ἀργόλαι* οὖν ἐκ τοῦ Ἄργους λαοί. b.

54 § 1. *Ὑβρισθεὶς* etc.] ἀπὸ δ' δὲ λαμβάνονται προοίμια· ἀπὸ ἑαυτοῦ, ὡς ὧδε ὁ Δημοσθένης· *ὑβρισθείς, ὦ ἄνδρες Ἀθηναῖοι*. ἀπὸ τοῦ ἀντιδίκου, ὡς ἐν τῷ κατὰ Μειδίου· *τὴν μὲν ἀσέλγειαν, ὦ ἄνδρες*. ἀπὸ τῶν δικαστῶν, ὡς Ἰσοκράτης ἐν τῷ Πλαταϊκῷ· *εἰδότες ὑμᾶς, ὦ ἄνδρες δικασταί, καὶ τοῖς ἀδικουμένοις βοηθεῖν εἰθισμένους*. ἀπὸ τοῦ πράγματος, ὡς Λυκοῦργος ἐν τῷ κατὰ Αὐτολύκου· *πολλῶν καὶ μεγάλων ἀγώνων εἰσεληλυθότων οὐδέποτε περὶ τηλικούτου δικάσοντες ἥκετε*. a.

§ 3. *ἐξῆλθον ἔτος τουτὶ τρίτον*] τοῦτο λέγεται ἁπλῆ διήγησις ὑπὸ Ἑρμογένους. ἁπλῇ γὰρ ἐχρήσατο ὁ ῥήτωρ τῇ διηγήσει, ἐπειδή, ὅτε αὐτομάτως ἰσχύουσι τὰ πράγματα, ἰσχυρῶν οὐ δεῖται λόγων. b.

§ 7. *κατὰ τὸ Λεωκόριον*] ἡρῷον, μνημεῖον τῶν Λεωκόρων ἐν μέσῳ τῷ Κεραμεικῷ. — *Λεωκόριον*· τόπος τῆς Ἀττικῆς, ἀπὸ ἱστορίας. Λεὼς γάρ, ὁ Ὀρφέως, υἱὸν μὲν ἔσχε Κύλανθον, θυγατέρας δὲ τρεῖς, Φασιθέαν, Θεόπην, Εὐβούλην· ἃς ὑπὲρ τῆς χώρας σφαγιασθείσας ἔτι παρθένους, ἀπαλλαγέντες τε τοῦ λιμοῦ, ἐτίμησαν Ἀθηναῖοι τῷ ἡρῴῳ· καὶ ἐκ τούτου 114
ἐκλήθη ὁ τόπος Λεωκόριον. b.

§ 14. *τοὺς δὲ αὐτοληκύθους*] εὐζώνους τινὰς καὶ ἑτοίμους πᾶν ὁτιοῦν ποιεῖν καὶ ὑπομένειν· ἢ ἀντὶ τοῦ πένητας, μηδὲν ἄλλο κεκτημένους ἢ ληκύθους· ἢ αὐτουργούς· ἢ ἀντὶ τοῦ εἰς πληγὰς ἑτοίμους καὶ οἷον

1 sqq. Suidas p. 3762. B. 7 sqq. Suidas p. 3358. C. 3359. A. C. 28 sqq. Suidas p. 2384. C. 23. ϑ'] ϑ. r. — or. 9. § 35. 25 sqq. Suidas p. 2086. B. A. 29 sqq. Suidas p. 1294. C. 32. *μέλει* Suidas: *μέλλει* br. 35 sq. Suidas p. 1269. C. 37 sqq. Suidas p. 899. A. 898. F. 39. *ἐστὶν* r. 40 *αὐτοὺς τοὺς* Suidas: *αὐτοὺς* br. 41 sqq. Suidas p. 2091. B. cf. Polybius 3, 52 § 3. 5. 43. *κηρύκιον* br. 45. *παθεῖν* Polybius: *παθεῖν τι* br.

3. *μετὰ αὐτῶν* Sauppius: *μετ' αὐτῶν* br. 7. *χωρεῖ*] *χωρίων* r. 10. cf. schol. ad or. 35 § 13. 11 sqq. Suidas p. 544. B. 17. *ἃς* (h. e. *ἀσπίδας*) Kusterus ad Suidam: *οὓς* br. 19. *ὑβρισθεὶς* etc.] hoc scholion gravissimum om. r. cf. rhet. anonymum Seguerii (Paris. 1840) p. 34. 30 sqq. cf. Hermog. p. 94, 16 sqq. 34 sqq. Suidas p. 2285. A. 35. *Κεραμικῷ* r. 36 sq. cf Lobeck. Aglaoph. p. 326. 39. *σφαγισθείσας* r. *ἀπαλλαγέντος* r. 40. *ἐτίμησαν Ἀθηναῖοι τῷ* Suidas et Photius: *ἐτίμησεν αὐτὰς* br. 42 sqq. Snidas p. 663. C.

τύπτοντας καὶ μαστιγοῦντας καὶ ὑβρίζοντας· ἢ τοὺς ἐκ προχείρου διδόντας ἀργύριον καὶ ἑτοίμους πρὸς τὰς μίξεις· καὶ γὰρ εἶχον ἐν ταῖς ληκύθοις ἀργύρια, καὶ λύσαντες δὲ πολλάκις τὴν λήκυθον ἐχρῶντο τῷ ἱμάντι πρὸς τὸ μαστιγοῦν. b.

55 §. 2. δίκας ἐρήμους] ἐρήμους· ὅταν μὴ ἀπαντήσας ὁ διωκόμενος ἐπὶ τὴν δίκην καταδικασθῇ· ὅμοιον καὶ τὸ ἐρήμην ἁλῶναι. b.

§. 22. τὸν χλῆδον] πᾶν πλῆθος χλῆδος λέγεται, μάλιστα δὲ τὸ τῶν ἀποκαθαρμάτων τε καὶ ἀποψημάτων καὶ ἡ τῶν ποταμῶν πρόσχωσις, καὶ πολὺ μᾶλλον τῶν χειμάρρων, ὃ καὶ χέραδος καλεῖται· νῦν δὲ ἔοικεν ὁ ῥήτωρ λέγειν, ὅτι χοῦν καὶ φρυγανώδη τινὰ ἐκ τοῦ χωρίου σωρὸν ὁ Καλλικλῆς εἰς τὴν ὁδὸν ἐμβέβληκεν, ὡς καὶ αὐτὸς ἐν τοῖς ἑξῆς ὑποσημαίνει. b et rc. a. τὸ πλῆθος τῆς ἰλύος. pr. a.

§. 25. δίκην ἀτίμητον] ἀτίμητος ἀγών· ἐφ' ᾧ τίμημα ὡρισμένως ἐκ τῶν νόμων οὐκ ἔστιν, οἱ δὲ δικάζοντες ἐτιμῶντο, τί δεῖ παθεῖν ἢ ἀποτῖσαι· ὁ δὲ τιμητός, ᾧ πρόσεστιν ἀπὸ τῶν νόμων ὡρισμένως. a.

57. ΕΦΕΣΙΣ] ἔφεσις· ἡ ἐξ ἑτέρου δικαστηρίου εἰς ἕτερον μεταγωγή· τὸ δὲ αὐτὸ καὶ ἔκκλητος καλεῖται. τὸ οὖν ἔφεσις ἀπὸ τοῦ ἐφεῖναι ῥήματος. καὶ ἔκκλητος παρὰ τὸ ἐκκαλεῖσθαι καὶ παραιτεῖσθαι καὶ φεύγειν τὸ πρῶτον καὶ ἔλαττον δικαστήριον. — ἔφεκτος τόκος· ὁ ἐπὶ τὸ ἕκτον τοῦ κεφαλαίου. — ἐφεστρίς· χλανίς, μανδύας. b.

115 §. 1. μάλιστα μὲν εἰ δυνατὸν] σημείωσαι· ἐπίκρισις. b.

§. 2. πρὸς τὰς ἀποψηφίσεις] τὸ καταδικάζειν τινὰ μὴ εἶναι πολίτην. b.

§. 23. τοὺς γεννήτας] γεννῆται οὐχ οἱ ἐκ γένους καὶ ἀφ' αἵματος προσήκοντες, ἀλλ' οἱ ἐκ τῶν γενῶν τῶν συννενεμημένων εἰς τὰς φρατρίας· οὗτοι δέ εἰσι, καθάπερ οἱ δημόται καὶ φράτορες, νόμῳ τινὶ ἔχοντες κοινωνίαν· τὸ δὲ γένος ἔχει ἄνδρας λ'. — γεννῆται· οἱ τοῦ αὐτοῦ γένους κοινωνοῦντες. καὶ γὰρ διῄρηντο κατὰ μέρη οἱ τῶν Ἀθηναίων πολῖται, καὶ τὰ μὲν μέγιστα μέρη φυλαὶ ὠνομάζοντο, ἑκάστη δὲ φυλὴ πάλιν εἰς τρία διῄρητο, ὧν ἕκαστον μέρος τριττὺς καὶ φρατρία ὠνομάζετο. πάλιν δὲ τῶν φρατριῶν ἑκάστη εἰς γένη διῄρητο τριάκοντα· ἐξ ὧν αἱ ἱερωσύναι ἑκάστοις προσήκουσαι ἐκληροῦντο. — καὶ γεννῆται· οἱ ἐκ τοῦ αὐτοῦ καὶ πρώτου γένους τῶν τριάκοντα γενῶν, οὓς καὶ πρότερόν φησι Φιλόχορος ὁμογάλακτας καλεῖσθαι· Ἰσαῖος μέντοι τοὺς γεννήτας ἁπλῶς τοὺς ἐξ αἵματος συγγενεῖς ὀνομάζει. — γεννικῶς· ἀνδρείως. b.

§. 26. διαψηφίσεις] ἰδίως ἐπὶ τῶν ἐν τοῖς δήμοις ἐξετάσεων, αἳ γίνονται περὶ ἑκάστου τῶν δημοτευομένων, εἰ τῷ ὄντι πολίτης καὶ δημότης ἐστίν, ἢ ξένος ὢν παρεγγέγραπται. οἱ μὲν οὖν πλειόνων ψήφων τυγχάνοντες ἀναμφισβητήτως τὴν πολιτείαν ἔχουσιν, ὅσοι δ' ἂν ἐλάττονας ψήφους λάβωσιν, οὐκέτι νομίζονται· καὶ τοῦτό ἐστι ἀποψήφισις. b.

§. 35. ἐτίθευσεν] ἐτρόφει. a.

§. 67. ἠρία] μνήματα. a.

58 §. 51. ἀγραφίου] ἀγραφίου· εἶδός τι δίκης οὕτω καλουμένης κατὰ τῶν ὀφειλόντων τῷ δημοσίῳ καὶ ἐγγραφέντων, εἶτα πρὶν ἐκτῖσαι ἐξαλειφθέντων. b.

59 §. 28. κλητεύσω] κλητῆρες καὶ κλητεύειν· οἱ ἄνδρες, δι' ὧν εἰς τὰς δίκας προσκαλοῦνται οἱ δικαζόμενοί τισιν. ἔδει γὰρ παρεῖναί τινας, ὥσπερ μάρτυρας τῆς προσκλήσεως· κλητεῦσαι δέ ἐστι τὸ κλητῆρα γενέσθαι. λέγεται δὲ κλητεύεσθαι καὶ ἐκκλητεύεσθαι ἐπὶ τῶν μαρτύρων, ὅταν μὴ ὑπακούσωσι πρὸς τὴν μαρτυρίαν ἐν τοῖς δικαστηρίοις· καὶ ἐστὶν ἐπιτίμιον κατ' αὐτῶν δραχμαὶ χίλιαι. b. 116

§. 33. ἐπὶ Κωλιάδι] Κωλιὰς ἐπιθαλασσία ἄκρα τῆς Ἀττικῆς. b.

§. 46. συνεῖναι δ' ἑκατέρῳ] περὶ πορνείας ἀναιδοῦς. b.

§. 73. γεραιρὰς] γεραιά· ἡ γραῦς. καὶ γεραιαί· αἱ τῷ Διονύσῳ ἱερωμέναι γυναῖκες. b.

60 §. 1. ἐπειδὴ τοὺς] τὸ προοίμιον ἐξ ὑπολήψεως, ὁμολογουμένης τῆς εὐνοίας ὑπὲρ τοῦ ἀπολογουμένου περὶ τῶν δημοσίᾳ τὴν πόλιν εὐεργετησάντων. b.

§. 10. πρότερον] τὸν Λυσίαν λέγει. αὐτὸς γὰρ ἐπιτάφιον εἰς αὐτοὺς ἐποίησεν. b.

§. 17. ἔστι γάρ] κοινοὶ καὶ καθολικοὶ λόγοι εἰς πίστωσιν ἐλήφθησαν τοῦ ἐγκωμιάζοντος. b.

61 §. 26. προὔργου] προὔργου· πρὸ ἔργου, συμφέρον, πλέον. προυργιαίτερον· ἀναγκαιότερον, τὸ πρὸ τοῦ ἔργου αἱρετώτερον, τὸ πρὸ παντὸς ἄλλου ἔργου γινόμενον, προτιμότερον. b.

---

6 sqq. Suidas p. 1434. C. 9 sqq. Suidas p. 3908. A. χλίδον — χλίδος b. 10. καθαρμάτων a. τε καὶ] καὶ τῶν a. 11. πρόσχωσις Suidas: πρόχωσις abr. 13. δὲ ἔοικεν — λέγειν] ἴσως — λέγει a 14. σωρὸν om. a. 15. ἐμβέβηκεν br. 17 sqq. Suidas p. 640. C. 18. ᾧ] ὃ r. ἔστιν, οἱ δὲ] . . . r. 21 sqq. Suidas p. 1544. B. 1543. A. 32 sqq. Suidas p. 806. D sqq. γεννηταὶ br. 41. τῶν om. r.

2. φιλόχωρος r. frg. 91 Müll. 3. Ἰσαῖος] cf. Schoemann. ad Isaeum p. 356. 6 sqq. Suidas p. 970. D.C. 13. 14. scholia ad §. 35 et §. 67 om. r. 15 sqq. Suidas p. 66. C. 18 sqq. Suidas p. 2123. B. 19. προκαλοῦνται r. 21. προσκλήσεως Suidas: προκλήσεως br. 26 sq. Harpocrat. p. 118, 11. 30 sq Suidas p. 811. C. 33. ὑπὲρ Sauppius: ὑπὸ br. 36 sqq. scholia ad §. 10 et §. 17 om. r. 40 sqq. Suidas p. 3137. D. C.

FRAGMENTA

ORATORUM ATTICORUM.

COLLEGIT, DISPOSUIT, ADNOTAVIT

HERMANNUS SAUPPIUS.

I. ΓΟΡΓΙΑΣ.

I. Ὀλυμπικός.

1 1. *ὁ δὲ Ὀλυμπικὸς λόγος ὑπὲρ τοῦ μεγίστου αὐτῷ* (Gorgiae) *ἐπολιτεύθη· στασιάζουσαν γὰρ τὴν Ἑλλάδα ὁρῶν ὁμονοίας ξύμβουλος αὐτοῖς ἐγένετο τρέπων ἐπὶ τοὺς βαρβάρους καὶ πείθων ἆθλα ποιεῖσθαι τῶν ὅπλων μὴ τὰς ἀλλήλων πόλεις, ἀλλὰ τὴν τῶν βαρβάρων χώραν.* Philostratus Vit. Sophist. 1, 9 p. 493 Ol.

2 2. *λέγεται δὲ τὰ τῶν ἐπιδεικτικῶν προοίμια ἐξ ἐπαίνου ἢ ψόγου· οἷον Γοργίας μὲν ἐν τῷ Ὀλυμπικῷ λόγῳ· ὑπὸ πολλῶν ἄξιοι θαυμάζεσθαι, ὦ ἄνδρες Ἕλληνες· ἐπαινεῖ γὰρ τοὺς τὰς πανηγύρεις συνάγοντας· Ἰσοκράτης δὲ ψέγει, ὅτι τὰς μὲν τῶν σωμάτων ἀρετὰς δωρεαῖς ἐτίμησαν, τοῖς δ' εὖ φρονοῦσιν οὐδὲν ἆθλον ἐποίησαν.* Aristoteles rhetor. 3, 14 p. 1414 b 29 Bk. *in demonstrativis vero prooemia esse maxime libera existimat* (sc. Aristoteles). *Nam et longe a materia duci, ut in Helenae laude Isocrates fecerit, et ex aliqua rei vicinia, ut idem in Panegyrico cum queritur plus honoris corporum quam animorum virtutibus dari: et Gorgias in Olympico, laudans eos, qui primi tales instituerint conventus.* Quintilianus instit. orator. 3. 8, 8 sq.

3 3. *εὕροις δ' ἂν καὶ παρὰ Ἰσοκράτει ἐν τῷ πανηγυρικῷ τὰ ἐν τῷ Λυσίου ἐπιταφίῳ καὶ τῷ* [*Γοργίου*] *Ὀλυμπικῷ.* Theon progymnasm. c. 1 p. 155 Walz.

II. Ἐπιτάφιος.

4 1. *ὁ δὲ ἐπιτάφιος, ὃν διῆλθεν Ἀθήνησιν, εἴρηται μὲν ἐπὶ τοῖς ἐκ τῶν πολέμων πεσοῦσιν, οὓς Ἀθηναῖοι δημοσίᾳ ξὺν ἐπαίνοις ἔθαψαν, σοφίᾳ δὲ ὑπερβαλλούσῃ ξύγκειται· παροξύνων τε γὰρ τοὺς Ἀθηναίους ἐπὶ Μήδους τε καὶ Πέρσας καὶ τὸν αὐτὸν νοῦν τῷ Ὀλυμπικῷ ἀγωνιζόμενος ὑπὲρ ὁμονοίας μὲν τῆς πρὸς τοὺς Ἕλληνας οὐδὲν διῆλθεν, ἐπειδὴ πρὸς Ἀθηναίους ἦν ἀρχῆς ἐρῶντας, ἣν οὐκ ἦν κτήσασθαι μὴ τὸ δραστήριον αἱρουμένους, ἐνδιέτριψε δὲ τοῖς τῶν Μηδικῶν τροπαίων ἐπαίνοις, ἐνδεικνύμενος αὐτοῖς, ὅτι τὰ μὲν κατὰ τῶν βαρβάρων τρόπαια ὕμνους ἀπαιτεῖ, τὰ δὲ κατὰ τῶν Ἑλλήνων θρήνους.* Philostratus Vit. soph. 1, 9 p. 493 Ol.

2. *Διονύσιος ἐν τῷ δευτέρῳ περὶ χαρακτήρων περὶ Γοργίου λέγων τάδε φησίν· δικανικοῖς μὲν οὖν οὐ περιέτυχον αὐτοῦ λόγοις, δημηγορικοῖς δὲ ὀλίγοις καί τισι καὶ τέχναις, τοῖς δὲ πλείοσιν ἐπιδεικτικοῖς· τῆς δὲ ἰδέας αὐτοῦ τῶν λόγων τοιοῦτος ὁ χαρακτήρ· ἐγκωμιάζει δὲ τοὺς ἐν πολέμοις ἀριστεύσαντας Ἀθηναίων·* 5

τί γὰρ ἀπῆν τοῖς ἀνδράσι τούτοις ὧν δεῖ ἀνδράσι προσεῖναι; τί δὲ καὶ προσῆν ὧν οὐ δεῖ προσεῖναι; εἰπεῖν δυναίμην ἃ βούλομαι, βουλοίμην δ' ἃ δεῖ, λαθὼν μὲν τὴν θείαν νέμεσιν, φυγὼν δὲ τὸν ἀνθρώπινον φθόνον. οὗτοι γὰρ ἐκέκτηντο ἔνθεον μὲν τὴν ἀρετήν, ἀνθρώπινον δὲ τὸ θνητόν, πολλὰ μὲν δὴ τὸ πρᾶον ἐπιεικὲς τοῦ αὐθάδους δικαίου προκρίνοντες, πολλὰ δὲ νόμου ἀκριβείας λόγων ὀρθότητα, τοῦτον νομίζοντες θειότατον καὶ κοινότατον νόμον, τὸ δέον ἐν τῷ δέοντι καὶ λέγειν καὶ σιγᾶν καὶ ποιεῖν καὶ ἐᾶν, καὶ δισσὰ ἀσκήσαντες μάλιστα ὧν δεῖ, γνώμην καὶ ῥώμην, τὴν μὲν βουλεύοντες τὴν δ' ἀποτελοῦντες, θεράποντες μὲν τῶν ἀδίκως δυστυχούντων, κολασταὶ δὲ τῶν ἀδίκως εὐτυχούντων, αὐθάδεις πρὸς τὸ συμφέρον, εὐόργητοι πρὸς τὸ πρέπον, τῷ φρονίμῳ τῆς γνώμης παύοντες τὸ ἄφρον τῆς ῥώμης, ὑβρισταὶ εἰς τοὺς ὑβριστάς, κόσμιοι εἰς τοὺς κοσμίους, ἄφοβοι εἰς τοὺς ἀφόβους, δει-

Cf. H. E. Foss de Gorgia leontino commentatio. Halis Sax. 1828. 3. Fossius p. 63 sq. 7. *ἀλλὰ τὰς τῶν πολεμίων χώρας* cod. R apud Kayserum. 12. *ὑπὸ*] Fort. *ὑπέρ*. *ἄξιος* schol. apud L. Spengel. *συναγ.* p. 80 not. 14. Isocr. or. 4 §. 1. 20. Quintilianus sententiam Aristotelis non percepit. Ille enim prooemia orationis gorgianae et panegyrici nec longe petita nec ex vicinia ducta esse dicit, sed Gorgiam a laude, Isocratem a vituperatione orationem incepisse. Quintilianum Fossius sequitur p. 63. 26. *Γοργίου* addendum esse verisimilis est I. G. Pfundii coniectura, de Isocratis vita p. 11 not. cf. Vitae decem oratorum p. 837. F: *ὃν* (panegyricum) *μετενηνοχέναι ἐκ τῶν Γοργίου τοῦ Λεοντίνου καὶ Λυσίου.* 31. cf. Foss. Gorgiae p. 64 sqq.

4. cf. Isocrat. 4 §. 158. 14. Theopompus frg. 249 Wich. 21. *πρᾶον* L. Spengel (diurna hom. doct. monacensium 1835. 31 p. 247): erat *παρόν*. cf. Th. Bergk. in diurn. lit. ant. 1841 p. 93. 24. *τοῦτον* Weber p. 620: erat *τοῦτο*. 26. *καὶ ἐᾶν* add. Sauppius. Post v. *λέγειν* addi voluerat L. Spengel *συναγ.* p. 79. 28. *δεῖ* Walzii codd.: erat *δή*. Coniectura assecutus erat Fossius. *καὶ ῥώμην* add. H. E. Fossius p. 73. 32. *εὐόργητοι* Walzii codd.: erat *ἀόργητοι*. Coniectura assecuti erant G. Hermannus (diar. litt. lips. 1829 p. 419) et Fr. Haasius lucubr. thucyd. p. 97. cf. Thucyd. 1, 122. 34. *τῆς ῥώμης* add. Sauppius.

νοὶ ἐν τοῖς δεινοῖς. μαρτύρια δὲ τούτων τρόπαια ἐστήσαντο τῶν πολεμίων, Διὸς μὲν ἀγάλματα, αὑτῶν δὲ ἀναθήματα, οὐκ ἄπειροι οὔτε ἐμφύτου ἄρεος οὔτε νομίμων ἐρώτων, οὔτε ἐνοπλίου ἔριδος οὔτε φιλοκάλου εἰρήνης, σεμνοὶ μὲν πρὸς τοὺς θεοὺς τῷ δικαίῳ|ὅσιοι δὲ πρὸς τοὺς τοκέας τῇ θεραπείᾳ,| δίκαιοι μὲν πρὸς τοὺς ἀστοὺς τῷ ἴσῳ εὐσεβεῖς δὲ πρὸς τοὺς φίλους τῇ πίστει. τοιγαροῦν αὐτῶν ἀποθανόντων ὁ πόθος οὐ συναπέθανεν, ἀλλ' ἀθάνατος ἐν ἀσωμάτοις σώμασι ζῇ οὐ ζώντων.

σεμνὰς γὰρ ἐνταῦθα συμφορήσας λέξεις ὁ Γοργίας ἐννοίας ἐπιπολαιοτέρας ἐξαγγέλλει, τοῖς τε παρίσοις καὶ ὁμοιοτελεύτοις καὶ ὁμοιοκατάρκτοις καλλωπίζων διόλου προσκόρως τὸν λόγον. **Maximus Planudes ad Hermogenis librum 2 *περὶ ἰδεῶν* (rhetor. graec. Chr. Walzii vol. 5 p. 548 sqq.)**

6 **III.** *Πυθικός.*

ἐμπρέπων δὲ καὶ ταῖς τῶν Ἑλλήνων πανηγύρεσι τὸν μὲν λόγον τὸν Πυθικὸν ἀπὸ τοῦ βωμοῦ ἤχησεν, ἐφ' οὗ καὶ χρυσοῦς ἀνετέθη ἐν τῷ τοῦ Πυθίου ἱερῷ. **Philostratus Vit. sophist. 1, 9 p. 493 Ol.**

7 **IV.** *Ἐγκώμιον εἰς Ἠλείους.*

ὡς αὐτοκάβδαλα φαίνεται, ἐὰν μὴ ἔχῃ (sc. *προοίμιον*). *τοιοῦτον γὰρ τὸ Γοργίου ἐγκώμιον εἰς Ἠλείους· οὐδὲν γὰρ προεξαγκωνίσας οὐδὲ προανακινήσας εὐθὺς ἄρχεται· Ἦλις πόλις εὐδαίμων.* **Aristoteles rhetor. 3, 14 extr. p. 1416 a 1 Bk.**

V. *Ἐγκώμιον Ἀχιλλέως.*

ἐν δὲ τοῖς ἐπιδεικτικοῖς δεῖ τὸν λόγον ἐπεισοδιοῦν ἐπαίνοις, οἷον Ἰσοκράτης ποιεῖ· ἀεὶ γάρ τινα εἰσάγει. καὶ ὃ ἔλεγε Γοργίας, ὅτι οὐχ ὑπολείπει αὐτὸν ὁ λόγος, τοῦτό ἐστιν· εἰ γὰρ Ἀχιλλέα λέγει, Πηλέα ἐπαινεῖ, εἶτα Αἰακόν, εἶτα τὸν θεόν, ὁμοίως δὲ καὶ ἀνδρίαν, ἢ τὰ καὶ τά ποιεῖ, ὃ τοιόνδε ἐστίν. **Aristoteles rhetor. 3, 18 p. 1418 a 32 Bk.** 8

VI. *Τέχνη.*

φησὶ δὲ Σάτυρος ἐν τοῖς βίοις, ὅτι καὶ ἰατρὸς ἦν (**Empedocles**) *καὶ ῥήτωρ ἄριστος. Γοργίαν γοῦν τὸν Λεοντῖνον αὐτοῦ γενέσθαι μαθητήν, ἄνδρα ὑπερέχοντα ἐν ῥητορικῇ καὶ τέχνην ἀπολελοιπότα.* **Diogenes Laert. 8 §. 58.**

1. *Ἐκ τῶν Πλουτάρχου εἰς τὸν Πλάτωνος Γοργίαν.* 9
Ὅρος ῥητορικῆς κατὰ Γοργίαν· ῥητορική ἐστι τέχνη περὶ λόγους τὸ κῦρος ἔχουσα, πειθοῦς δημιουργὸς ἐν πολιτικοῖς λόγοις περὶ παντὸς τοῦ προτεθέντος, πιστευτικῆς καὶ οὐ διδασκαλικῆς· εἶναι δὲ αὐτῆς τὴν πραγματείαν ἰδίαν μάλιστα περὶ δίκαια καὶ ἄδικα, ἀγαθά τε καὶ κακά, καλά τε καὶ αἰσχρά. **Prolegomena commentar. in Hermogenis *Στάσεις* vol. 7 p. 33, 27 Walzii.**

2. *χειρούργημα καὶ κύρωσις οὐκ εἴρηται, αἱ δὲ λέξεις Γοργίου ἐγχώριοι· Λεοντῖνος γὰρ ἦν.* **Schol. ad Plat. Gorg. p. 339. Bk. 905 turic.** 10

3. *Τισίαν δὲ Γοργίαν τε ἐάσομεν εὕδειν; οἳ πρὸ τῶν ἀληθῶν τὰ εἰκότα εἶδον ὡς τιμητέα μᾶλλον, τά τε αὖ σμικρὰ μεγάλα καὶ τὰ μεγάλα σμικρὰ φαίνεσθαι ποιοῦσι διὰ ῥώμην λόγου, καινά τε ἀρχαίως τά τ' ἀρ-* 11

---

1. *μαρτύρια* Sauppius: *μαρτυρία* Aldus et Walzii codd. venetus, monacensis 327, paris. 2918, *μαρτυρίας* ceteri. 3. *αὑτῶν* Sauppius: erat *τούτων*. 8. *μὲν* add. Sauppius. 12. *ἐν ἀσωμάτοις* G. Hermannus (diar. lit lips. 1829 p. 420): *οὐκ ἐν ἀσωμάτοις* aldina, *ἐν οὐκ ἀσωμάτοις* codd. mon. 8 et pariss. 2916. 2918 apud Walzium, *οὐκ ἐν ἀθανάτοις* cod. ven. Walzii. Exempla similia huius antitheti collegit F. G. Schneidewin. in diurn. gotting. 1844 p. 1810. 19. Ex Aldi rhetoribus graecis (vol. 2 p. 412.) Gorgiae verba dederunt Hardion sur l'origine et les progrès de la rhétorique chez les Grecs in acad. inscript. et liter. paris. commentariorum vol. 19 p. 203 sq., I. Geel hist. criticae sophistarum p. 60 sq., C. Schönborn de authentia declam. quae Gorgiae leontini nomine exstant p. 8, H. Clinton fast. hellen. 2 p. 378, Weber in diurnis rerum scholast. 1827 p. 620 sq. et p. 704, H. E. Fossius Gorgiae p. 69, L. Spengel *συναγ. τεχνῶν* p. 78 sq. qui haec verba ad orationis finem pertinuisse suo iure arbitratur. 23. cf. Fossius p. 76 sq. 25. *ἐφ'*] immo *ἀφ'*.

3. Fossius p. 77 sq. ex h. l. Aristotelis iure videtur concludere, Gorgiam *laudes Achillis* composuisse. Neque vero sequitur etiam *fortitudinis laudes* Gorgiae tribuendas esse; in Achillis enim laudibus fortitudinis mentionem ita videtur amplificavisse: quod P. Victorius probe intellexit. cf. I. Geel in novae bibl. crit. vol. V part. 1 p. 153. 7. *ἢ* Fossius: erat *ἦ*. 13. haec Satyri verba collatis testimoniis Sopatri vol. 5 p. 7, 12 Walzii, Platonis Phaedri p. 261. B. C, Quintiliani 3. 1, 8 perspicue demonstrant Gorgiam *artem* conscripsisse. Atque quod Cicero Bruti c. 12 §. 47 tradit, *Gorgiam singularum rerum laudes vituperationesque conscripsisse*, fortasse ita cum artis memoria conciliari poterit, ut *magnam* artis gorgianae *partem* exemplis constitisse statuamus. Hoc videtur Quintilianus confirmare, qui cum 3. 1 §. 8 Gorgiam inter artium scriptores referat, §. 12 communes locos ab eo primo tractatos esse dicit. 19. cf. Plat. Gorg. p. 450. B. 455. A. 30. Platonis verba (Gorg. p. 450. B) haec sunt: *ὅτι, ὦ Σώκρατες, τῶν μὲν ἄλλων τεχνῶν περὶ χειρουργίας τε καὶ τοιαύτας πράξεις, ὡς ἔπος εἰπεῖν, πᾶσά ἐστιν ἡ ἐπιστήμη, τῆς δὲ ῥητορικῆς οὐδέν ἐστι τοιοῦτον χειρούργημα, ἀλλὰ πᾶσα ἡ πρᾶξις καὶ ἡ κύρωσις διὰ λόγων ἐστί.*

χαία καινῶς, συντομίαν τε λόγων καὶ ἄπειρα μήκη περὶ πάντων ἀνεῦρον. Plato Phaedri p. 267. B.

12 4. *τοῦτο παράγγελμα Γοργίου, τὸ τὰς σπουδὰς τῶν ἀντιδίκων γέλωτι ἐκλύειν, τὰ δὲ γελοῖα ταῖς σπουδαῖς ἐκκρούειν.* Schol. ad Plat. Gorg. p. 348 Bx. 910 turic. *καὶ δεῖν ἔφη Γοργίας τὴν μὲν σπουδὴν διαφθείρειν τῶν ἐναντίων γέλωτι, τὸν δὲ γέλωτα σπουδῇ.* Aristoteles rhetor. 3, 18 p. 1419 b 3 Bx.

13 5. *καιροῦ δ' οὔτε ῥήτωρ οὐδεὶς οὔτε φιλόσοφος εἰς τόδε χρόνου τέχνην ὥρισεν· οὐδ' ὅσπερ πρῶτος ἐπεχείρησε περὶ αὐτοῦ γράφειν Γοργίας ὁ Λεοντῖνος οὐδέν τι λόγου ἄξιον ἔγραψεν.* Dionysius de compos. verb. p. 68 Reisk.

VII. Fragmenta incertae sedis.

14 1. *ταύτῃ καὶ τὰ τοῦ Λεοντίνου Γοργίου γελᾶται, γράφοντος Ξέρξης ὁ τῶν Περσῶν Ζεὺς καὶ γῦπες ἔμψυχοι τάφοι.* Longinus *περὶ ὕψους* 3 §. 2.

15 2. *τὰ δὲ ψυχρὰ ἐν τέτταρσι γίγνεται κατὰ τὴν λέξιν, ἔν τε τοῖς διπλοῖς ὀνόμασιν, ὡς Γοργίας ὠνόμαζε πτωχόμουσος κόλαξ, ἐπιορκήσαντας καὶ κατευορκήσαντας.* Aristoteles rhetor. 3, 3 p. 1405 b 37.

16 3. *καὶ ἔτι τέταρτον τὸ ψυχρὸν ἐν ταῖς μεταφοραῖς γίγνεται· εἰσὶ γὰρ καὶ μεταφοραὶ ἀπρεπεῖς, αἱ μὲν διὰ τὸ γελοῖον (χρῶνται γὰρ καὶ οἱ κωμῳδοποιοὶ μεταφοραῖς), αἱ δὲ διὰ τὸ σεμνὸν ἄγαν καὶ τραγικόν· ἀσαφεῖς δέ, ἂν πόρρωθεν. οἷον Γοργίας· χλωρὰ καὶ ἔναιμα τὰ πράγματα· σὺ δὲ ταῦτα αἰσχρῶς μὲν ἔσπειρας, κακῶς δὲ ἐθέρισας. ποιητικῶς γὰρ ἄγαν.* Aristoteles l. d. p. 1406 b 4 Bx.

17 4. *ἢν δὲ ἡμῖν οἱ παῖδες μικραῖς κύλιξι πυκνὰ ἐπιψακάζωσιν, ἵνα καὶ ἐγὼ ἐν Γοργιείοις ῥήμασιν εἴπω, οὕτως οὐ βιαζόμενοι ὑπὸ τοῦ οἴνου μεθύειν, ἀλλ' ἀναπειθόμενοι πρὸς τὸ παιγνιωδέστερον ἀφιξόμεθα.* Xenophon. Conviv. 2, 26.

18 5. *οἰμωγή τε καὶ εὐχωλή] Θουκυδίδης πάντα ὁμοῦ ἀκοῦσαι φησίν, ὀλοφυρμὸς βοή, κρατοῦντες κρατούμενοι· καὶ Γοργίας· ἀνεμίσγοντο δὲ λιταῖς ἀπειλαὶ καὶ εὐχαῖς οἰμωγαί.* Schol. V ad Homeri Iliad. 4, 450.

6. *Ἔτι τοίνυν Γοργίας μὲν ὁ Λεοντῖνός φησι τὸν* 19
Κίμωνα τὰ χρήματα κτᾶσθαι μὲν ὡς χρῷτο, χρῆσθαι δὲ ὡς τιμῷτο. Plutarchus Cimon. c. 10.

7. *Γοργίας μὲν οὖν ὁ Λεοντῖνος τὰ μὲν ἴσως ἀπο-* 20
ρῶν τὰ δ' εἰρωνευόμενος ἔφη, καθάπερ ὅλμους εἶναι τοὺς ὑπὸ τῶν ὁλμοποιῶν πεποιημένους, οὕτω καὶ Λαρισσαίους τοὺς ὑπὸ τῶν δημιουργῶν πεποιημένους· εἶναι γάρ τινας Λαρισσοποιούς. Aristoteles 3, 2 p. 1275 b 26 Bx.

8. *ἤνθησε δὲ ἡ τραγῳδία καὶ διεβοήθη, θαυμα-* 21
στὸν ἀκρόαμα καὶ θέαμα τῶν τότ' ἀνθρώπων γενομένη καὶ παρασχοῦσα τοῖς μύθοις καὶ τοῖς πάθεσιν ἀπάτην, ὡς Γοργίας φησίν, ἣν ὅ τε ἀπατήσας δικαιότερος τοῦ μὴ ἀπατήσαντος καὶ ὁ ἀπατηθεὶς σοφώτερος τοῦ μὴ ἀπατηθέντος. Plutarchus de gloria Athen. p. 348. C. cf. de aud. poetis p. 15. D.

9. *ὥσπερ καὶ τὸν Αἰσχύλον ἱστοροῦσι τὰς τραγῳ-* 22
δίας ἐμπίνοντα ποιεῖν, καὶ οὐχ, ὡς Γοργίας εἶπεν, ἓν τῶν δραμάτων αὐτοῦ μεστὸν Ἄρεως εἶναι, τοὺς ἑπτὰ ἐπὶ Θήβας, ἀλλὰ πάντα Διονύσου. Plutarchus quaest. conviv. 7, 10 p. 715. E.

10. *Γοργίας δὲ ὁ Λεοντῖνος εἰς Μουσαῖον αὐτὸν* 23
(Homerum) *ἀνάγει.* Proclus chrestomath. p. 1 (in Bekkeri schol. homer.)

11. *καθόλου γὰρ οἱ λέγοντες ἐξαπατῶσιν ἑαυτούς,* 24
ὅτι τὸ εὖ ἔχειν τὴν ψυχὴν ἀρετή, ἢ τὸ ὀρθοπραγεῖν, ἤ τι τῶν τοιούτων. πολὺ γὰρ ἄμεινον λέγουσιν οἱ ἐξαριθμοῦντες τὰς ἀρετάς, ὥσπερ Γοργίας, τῶν οὕτω ὁριζομένων. Aristoteles politic. 3, 13 p. 1260 a 25 Bx.

12. *ἡμῖν δὲ κομψότερος μὲν ὁ Γοργίας φαίνεται,* 25
κελεύων μὴ τὸ εἶδος ἀλλὰ τὴν δόξαν εἶναι πολλοῖς γνώριμον τῆς γυναικός. Plutarchus de mul. virt. 1 p. 242. E.

13. *οὐ γὰρ ἁπλῶς ἀληθὲς ὃ λέγει Γοργίας· ἔλεγε* 26
δέ· τὸ μὲν εἶναι ἀφανές, μὴ τυχὸν τοῦ δοκεῖν, τὸ δὲ δοκεῖν ἀσθενές, μὴ τυχὸν τοῦ εἶναι. Proclus ad Hesiodi ἔ. 758.

14. *ὁ μὲν γὰρ φίλος οὐχ ὥσπερ ἀπεφαίνετο Γορ-* 27

---

3. Gorgiae verba accuratius scholiastam dedisse facile est ad intelligendum, nisi quod *τὸν δὲ γέλωτα*, quod Aristoteles habet, magis placet. 10. Recte Schoenbornius l. d. p. 10 et Fossius p. 78 haec ad artem referunt. 15. Hermogenes vol. 3 p. 226, 6 Walzii: *τάφους τε γὰρ ἐμψύχους τοὺς γῦπας λέγουσιν, ὧνπέρ εἰσι μάλιστα ἄξιοι.* ad quem locum Johannes Siceliota vol. 6 p. 228, 27 haec adnotat: *ἐπειδὴ τὰ σώματα τῶν ζώων ἀναλίσκουσι, τάφους ἐμψύχους αὐτοὺς ὀνομάζουσι, καὶ τὰ πλοῖα φαλακραίας κόρας.* Fortasse etiam haec Gorgiae tribuenda sunt. — Priora illa Weber l. d. p. 589 not. 29 et Fossius p. 68 ad orationem funebrem referunt. 23. *κόραξ* Fossius p. 53, sed Gorgias de poetis blandiendo dona aucupantibus dicere videtur. 30. cf. Fossius p. 53. 34. Cicero de senect. §. 46: *et pocula* (me delectant), *sicut in symposio Xenophontis est, minuta atque rorantia.*

23. cf. G. Hermanni opusc. 2 p. 128 sq. 33. quae quanquam ad Plat. Menon. p. 71. E referenda esse videantur, tamen ea est Platonis ratio, ut eadem fere Gorgiam ipsum scripsisse statuere debeamus.

γίας αὐτῷ μὲν ἀξιώσει τὰ δίκαια τὸν φίλον ὑπουργεῖν, ἐκείνῳ δ' αὐτὸς ὑπηρετήσει πολλὰ καὶ τῶν μὴ δικαίων. Plutarchus de discrimine adul. et amici 23 p. 64. C.

28 15. *Γοργίας ὁ ῥήτωρ ἔλεγε τοὺς φιλοσοφίας μὲν ἀμελοῦντας, περὶ δὲ τὰ ἐγκύκλια μαθήματα γινομένους ὁμοίους εἶναι τοῖς μνηστῆρσιν, οἳ τὴν Πηνελόπην ἐθέλοντες ταῖς θεραπαινίσιν αὐτῆς ἐμίγνυντο. ὁ αὐτὸς τοὺς ῥήτορας ἔφη ὁμοίους εἶναι βατράχοις· τοὺς μὲν γὰρ ἐν ὕδατι κελαδεῖν, τοὺς δὲ ἐν τῇ γῇ.* Ex cod. monac. VIII fol. 42. apud L. Spengel. *συναγ.* p. 70 not.

Omisi dicta quaedam Gorgiae de senectute sua, de morte, de luscinia (apud Fossium p. 37 sq. et p. 53), quae in libris scripta fuisse non possunt, omisi quae Gorgiam de coloribus (apud Fossium p. 13) et de rerum natura (apud Fossium p. 107 sqq.) exposuisse tradunt. Sed addendae sunt orationes vel declamationes, quae sunt de Helena et de Palamede. Quanquam enim eas J. J. Reiskius grammatici ineptae sedulitati deberi recte indicavit (8 p. 191) et H. E. Fossius Gorgiae p. 78 sqq. accurate demonstravit sophistae recentioris esse, tamen hominibus doctis non omnibus de veritate hujus sententiae persuasum esse scimus. Itaque taedium, quod earum tractatio afferret, haud defugiendum esse videbatur, ut qui vellent iis frui possent. Fundamentum huius laboris est I. Bekkeri editio berolinensis oratorum atticorum, ubi hae declamationes habentur vol. 5 p. 679 sqq.

I. *ΕΛΕΝΗΣ ΕΓΚΩΜΙΟΝ.*

679 Bkk.
Κόσμος πόλει μὲν εὐανδρία, σώματι δὲ κάλλος, ψυχῇ δὲ σοφία, πράγματι δὲ ἀρετή, λόγῳ δὲ ἀλήθεια· τὰ δ' ἐναντία τούτων ἀκοσμία. ἄνδρα δὲ καὶ γυναῖκα καὶ λόγον καὶ ἔργον καὶ πόλιν καὶ πρᾶγμα χρὴ τὸ μὲν
680
ἄξιον ἐπαίνου ἐπαίνῳ τιμᾶν, τῷ δὲ ἀναξίῳ μῶμον ἐπιθεῖναι· ἴση γὰρ ἁμαρτία καὶ ἀμαθία μέμφεσθαί
2
τε τὰ ἐπαινετὰ καὶ ἐπαινεῖν τὰ μωμητά. τοῦ δ' αὐτοῦ ἀνδρὸς λέξαι τε τὸ δέον ὀρθῶς καὶ ελεγξαι τοὺς μεμφομένους Ἑλένην, γυναῖκα περὶ ἧς ὁμόφωνος καὶ ὁμόψηφος ἥ τε τῶν ποιητῶν ἀπάντων πίστις ἥ τε τοῦ ὀνόματος φήμη [γέγονεν ἥ τε] τῶν συμφορῶν μνήμη. ἐγὼ δὲ βούλομαι λογισμόν τινα τῷ λόγῳ δοὺς τὴν μὲν κακῶς ἀκούουσαν παῦσαι τῆς αἰτίας, τοὺς δὲ μεμφομένους ψευδομένους ἐπιδεῖξαι, καὶ δεῖξαι τἀληθὲς ἢ παῦσαι τῆς ἀμαθίας.

Ὅτι μὲν οὖν φύσει καὶ γένει τὰ πρῶτα τῶν πρώ- 3
των ἀνδρῶν καὶ γυναικῶν ἡ γυνὴ περὶ ἧς ὅδε ὁ λόγος,
οὐκ ἄδηλον οὐδ' ὀλίγοις. δῆλον γὰρ ὡς μητρὸς μὲν
Λήδας, πατρὸς δὲ τοῦ μὲν γενομένου θεοῦ, λεγομένου
δὲ θνητοῦ, Τυνδάρεω καὶ Διός, ὧν ὁ μὲν διὰ τὸ εἶναι
ἔδοξεν, ὁ δὲ διὰ τὸ φάναι ἠλέγχθη, καὶ ἦν ὁ μὲν ἀν-
δρῶν κράτιστος, ὁ δὲ πάντων τύραννος. ἐκ τοιούτων 4
δὲ γενομένη ἔσχε τὸ ἰσόθεον κάλλος, ὃ λαβοῦσα οὐ
λαθοῦσα ἔσχε. πλείστας δὲ πλείστοις ἐπιθυμίας ἔρω-
τος ἐνειργάσατο, ἑνὶ δὲ σώματι πολλὰ σώματα συνή-
γαγεν ἀνδρῶν ἐπὶ μεγάλοις μέγα φρονούντων. ὧν οἱ
μὲν πλούτου μεγέθη, οἱ δὲ εὐγενείας παλαιᾶς εὐδο-
ξίαν, οἱ δὲ ἀλκῆς οἰκείας εὐεξίαν, οἱ δὲ σοφίας ἐπι-
κτήτου δύναμιν ἔσχον, καὶ ἧκον ἅπαντες ὑπ' ἔρωτός 5
τε φιλονείκου φιλοτιμίας τε ἀνικήτου. ὅστις μὲν οὖν
καὶ δι' ὅ τι καὶ ὅπως ἀπέπλησε τὸν ἔρωτα τὴν Ἑλένην
λαβών, οὐ λέξω· τὸ γὰρ τοῖς εἰδόσιν ἃ ἴσασι λέγειν
πίστιν μὲν ἔχει, τέρψιν δὲ οὐ φέρει. τὸν χρόνον δὲ
τῷ λόγῳ τὸν τότε νῦν ὑπερβὰς ἐπὶ τὴν ἀρχὴν τοῦ μέλ-
λοντος λόγου προβήσομαι, καὶ προθήσομαι τὰς αἰτίας
δι' ἃς εἰκὸς ἦν γενέσθαι τὸν τῆς Ἑλένης εἰς τὴν Τροίαν
στόλον.

Ἡ γὰρ τύχης βουλήμασι καὶ θεῶν βουλεύμασι καὶ 6
ἀνάγκης ψηφίσμασιν ἔπραξεν ἃ ἔπραξεν, ἢ βίᾳ ἁρπα- 681
σθεῖσα, ἢ λόγοις πεισθεῖσα, ἢ ἔρωτι ἁλοῦσα. εἰ μὲν
οὖν διὰ τὸ πρῶτον, οὐκ ἄξιος αἰτιᾶσθαι ὁ αἰτιώμενος·
θεοῦ γὰρ προθυμίαν ἀνθρωπίνῃ προμηθείᾳ ἀδύνατον
κωλύειν. πέφυκε γὰρ οὐ τὸ κρεῖσσον ὑπὸ τοῦ ἥσσονος
κωλύεσθαι, ἀλλὰ τὸ ἧσσον ὑπὸ τοῦ κρείσσονος ἄρχε-
σθαι καὶ ἄγεσθαι, καὶ τὸ μὲν κρεῖσσον ἡγεῖσθαι, τὸ
δὲ ἧσσον ἕπεσθαι. θεὸς δ' ἀνθρώπου κρεῖσσον καὶ
βίᾳ καὶ σοφίᾳ καὶ τοῖς ἄλλοις. εἰ οὖν τῇ τύχῃ καὶ
τῷ θεῷ τὴν αἰτίαν ἀναθετέον, τὴν Ἑλένην τῆς δυσ-
κλείας ἀπολυτέον.

Εἰ δὲ βίᾳ ἡρπάσθη καὶ ἀνόμως ἐβιάσθη καὶ ἀδί- 7
κως ὑβρίσθη, δῆλον ὅτι ὁ ἁρπάσας ἢ ὑβρίσας ἠδίκη-
σεν, ἡ δὲ ἁρπασθεῖσα ἢ ὑβρισθεῖσα ἐδυστύχησεν.
ἄξιος οὖν ὁ μὲν ἐπιχειρήσας βάρβαρος βάρβαρον ἐπι-
χείρημα καὶ λόγῳ καὶ νόμῳ καὶ ἔργῳ λόγῳ μὲν αἰτίας,

---

8. Fort. *τῇ Πηνελόπῃ.* Bait. 14. *ελεγξαι*] *ἐλέγξαι* [*τὸ ψεῦδος* . . .] Dobreeus advers. 1 p. 555. 15. *ὁμόφωνος καὶ ὁμόψηφος* Bekkerus: *ὁμόφωνος καὶ ὁμόψυχος* AB, *ὁμόψυχος καὶ ὁμόφωνος* CHRVWY, *ὁμόψυχος καὶ ὁμόφωνος* NX, *ὁμόψηφος καὶ ὁμόφωνος* ceteri.

1. *ἥ τε* EVW: *γεγονεν ἡ τῶν* Y, *γέγονεν ἥ τε* b. *ἀπάντων* Sauppius: *ἀκουσάντων* b. 2. *φήμη γέγονεν ἥ τε* Sauppius: *φήμη ὃ* AB, *φήμη* b. *μνήμη* Sauppius: *μνήμη γέγονεν* b. 10. *λεγομένου δὲ* AB: *τοῦ δὲ γενομένου* RY, *τοῦ δὲ λεγομένου* b. 11. *εἶναι*] Fort. *φάναι.* 12. *φάναι*] Fort. *εἶναι.* 14. *οὐ* Sauppius: *καὶ οὐ* b. 21. Malim *φιλονίκου.* Bait. 29. *βουλήμασι* ABK: *βουλήματι* b. *βουλεύμασι* AB: *κελεύσματι* b. 30. *ψηφίσμασιν* AB: *ψηφίσματι* b. 38. *εἰ* Dobreeus: *ἢ* b. 39. *τὴν Ἑ.* Dobreeus: *ἢ τὴν Ἑ.* b. 45. *λόγῳ καὶ νόμῳ* AB: *νόμῳ καὶ λόγῳ* b. *λόγῳ μὲν αἰτίας, νόμῳ δ' ἀτιμίας* AB: *νόμῳ μὲν ἀτιμίας* K, *νόμῳ μὲν ἀτιμίας λόγῳ δ' αἰτίας* b.

νόμῳ δ' ἀτιμίας, ἔργῳ δὲ ζημίας τυχεῖν· ἡ δὲ βια-
σθεῖσα καὶ τῆς πατρίδος στερηθεῖσα καὶ τῶν φίλων
ὀρφανισθεῖσα πῶς οὐκ ἂν εἰκότως ἐλεηθείη μᾶλλον ἢ
κακολογηθείη; ὁ μὲν γὰρ ἔδρασε δεινά, ἡ δὲ ἔπαθε·
δίκαιον οὖν τὴν μὲν οἰκτεῖραι, τὸν δὲ μισῆσαι.

8 Εἰ δὲ λόγος ὁ πείσας καὶ τὴν ψυχὴν ἀπατήσας,
οὐδὲ πρὸς τοῦτο χαλεπὸν ἀπολογήσασθαι καὶ τὴν αἰ-
τίαν ἀπολύσασθαι ὧδε. λόγος δυνάστης μέγας ἐστίν,
ὃς μικροτάτῳ σώματι καὶ ἀφανεστάτῳ θειότατα ἔργα
ἀποτελεῖ· δύναται γὰρ καὶ φόβον παῦσαι καὶ λύπην
ἀφελεῖν καὶ χαρὰν ἐνεργάσασθαι καὶ ἔλεον ἐπαυξῆσαι.
9 ταῦτα δὲ ὡς οὕτως ἔχει δείξω· δεῖ δὲ καὶ δόξῃ δεῖ-
ξαι τοῖς ἀκούουσιν. τὴν ποίησιν ἅπασαν καὶ νομίζω
καὶ ὀνομάζω λόγον ἔχοντα μέτρον· ἧς τοὺς ἀκούοντας
εἰσῆλθε καὶ φρίκη περίφοβος καὶ ἔλεος πολύδακρυς
καὶ πόθος φιλοπενθής, ἐπ' ἀλλοτρίων τε πραγμάτων
καὶ σωμάτων εὐτυχίαις καὶ δυσπραγίαις ἴδιόν τι πά-
10 θημα διὰ τῶν λόγων ἔπαθεν ἡ ψυχή. φέρε δὴ πρὸς
682 ἄλλον ἀπ' ἄλλου μεταστῶ λόγον. αἱ γὰρ ἔνθεοι διὰ
λόγων ἐπῳδαὶ ἐπαγωγοὶ ἡδονῆς, ἀπαγωγοὶ λύπης γί-
νονται· συγγινομένη γὰρ τῇ δόξῃ τῆς ψυχῆς ἡ δύνα-
μις τῆς ἐπῳδῆς ἔθελξε καὶ ἔπεισε καὶ μετέστησεν αὐ-
τὴν γοητείᾳ. γοητείας δὲ καὶ μαγείας δισσαὶ τέχναι
εὕρηνται, αἵ εἰσι ψυχῆς ἁμαρτήματα καὶ δόξης ἀπα-
11 τήματα. ὅσοι δὲ ὅσους περὶ ὅσων καὶ ἔπεισαν καὶ
πείθουσι δὲ ψευδῆ λόγον πλάσαντες! εἰ μὲν γὰρ πάν-
τας περὶ πάντων εἶχον τῶν παροιχομένων μνήμην τῶν
τε παρόντων [ἔννοιαν] τῶν τε μελλόντων πρόνοιαν, οὐκ
ἂν ὁμοίως ὅμοιος ἦν ὁ λόγος· ἐπεὶ τὰ νῦν γε οὔτε μνη-
σθῆναι τὸ παροιχόμενον οὔτε σκέψασθαι τὸ παρὸν
οὔτε μαντεύσασθαι τὸ μέλλον εὐπόρως ἔχει, ὥστε περὶ
τῶν πλείστων οἱ πλεῖστοι τὴν δόξαν σύμβουλον τῇ
ψυχῇ παρέχονται. ἡ δὲ δόξα σφαλερὰ καὶ ἀβέβαιος
οὖσα σφαλεραῖς καὶ ἀβεβαίοις εὐτυχίαις περιβάλλει
12 τοὺς αὐτῇ χρωμένους. τίς οὖν αἰτία κωλύει καὶ τὴν
Ἑλένην ὕμνος ἦλθεν ὁμοίως ἄνουν νέαν οὖσαν ὡσπερεὶ
βιατήριον βίᾳ ἡρπάσθη. τὸ γὰρ τῆς πειθοῦς ἕξειν,
ὁ δὲ νοῦς. καίτοι εἰ ἀνάγκη ὄνειδος ἕξει μὲν οὔ, τὴν
δὲ δύναμιν τὴν αὐτὴν ἔχει. λόγος γὰρ τὴν ψυχὴν ὁ
πείσας, ἣν ἔπεισεν, ἠνάγκασε καὶ πείθεσθαι τοῖς λε-
γομένοις καὶ συναινέσαι τοῖς ποιουμένοις. ὁ μὲν οὖν
πείσας ὡς ἀναγκάσας ἀδικεῖ, ἡ δὲ πεισθεῖσα ὡς ἀναγ-
κασθεῖσα τῷ λόγῳ μάτην ἀκούει κακῶς. ὅτι δ' ἡ πειθὼ 13
προσιοῦσα τῷ λόγῳ καὶ τὴν ψυχὴν ἐτυπώσατο ὅπως
ἐβούλετο, χρὴ μαθεῖν πρῶτον μὲν τοὺς τῶν μετεωρο-
λόγων λόγους, οἵ τινες δόξαν ἀντὶ δόξης τὴν μὲν ἀφε-
λόμενοι τὴν δ' ἐνεργασάμενοι τὰ ἄπιστα καὶ ἄδηλα
φαίνεσθαι τοῖς τῆς δόξης ὄμμασιν ἐποίησαν, δεύτε-
ρον δὲ τοὺς ἀναγκαίους διὰ λόγων ἀγῶνας, ἐν οἷς εἷς
λόγος πολὺν ὄχλον ἔτερψε καὶ ἔπεισε τέχνῃ γραφείς,
οὐκ ἀληθείᾳ λεχθείς, τρίτον φιλοσόφων λόγων ἁμίλ-
λας, ἐν αἷς δείκνυται καὶ γνώμης τάχος ὡς εὐμετά- 683
βολον ποιεῖ τὴν τῆς δόξης πίστιν. τὸν αὐτὸν δὲ λόγον 14
ἔχει ἥ τε τοῦ λόγου δύναμις πρὸς τὴν τῆς ψυχῆς τά-
ξιν ἥ τε τῶν φαρμάκων τάξις πρὸς τὴν τῶν σωμάτων
φύσιν. ὥσπερ γὰρ τῶν φαρμάκων ἄλλους ἄλλα χυμοὺς
ἐκ τοῦ σώματος ἐξάγει, καὶ τὰ μὲν νόσου τὰ δὲ βίου
παύει, οὕτω καὶ τῶν λόγων οἱ μὲν ἐλύπησαν, οἱ δὲ
ἔτερψαν, οἱ δὲ ἐφόβησαν, οἱ δὲ εἰς θάρσος κατέστη-
σαν τοὺς ἀκούοντας, οἱ δὲ πειθοῖ τινι κακῇ τὴν ψυ-
χὴν ἐφαρμάκευσαν καὶ ἐξεγοήτευσαν.

Καὶ ὅτι μέν, εἰ λόγῳ ἐπείσθη, οὐκ ἠδίκησεν ἀλλ' 15
ἠτύχησεν, εἴρηται· τὴν δὲ τετάρτην αἰτίαν τῷ τετάρτῳ
λόγῳ διέξειμι. εἰ γὰρ ἔρως ἦν ὁ ταῦτα πράξας, οὐ
χαλεπῶς διαφεύξεται τὴν τῆς λεγομένης γεγονέναι
ἁμαρτίας αἰτίαν. ἃ γὰρ ὁρῶμεν, ἔχει φύσιν οὐχ ἣν
ἡμεῖς θέλομεν ἀλλ' ἣν ἕκαστον ἔτυχε· διὰ δὲ τῆς ὄψεως
ἡ ψυχὴ κἀν τοῖς τρόποις τυποῦται. αὐτίκα γὰρ ὅταν 16
πολέμια σώματα καὶ πολέμιον ἐπὶ πολεμίᾳ ὁπλίσει
κόσμον χαλκοῦ καὶ σιδήρου, τοῦ μὲν ἀλεξητήριον τοῦ
δὲ προβλήματα, θεάσηται ἡ ὄψις, ἐταράχθη καὶ ἐτά-
ραξε τὴν ψυχήν, ὥστε πολλάκις ἀκινδύνου τοῦ μέλ-
λοντος ὄντος φεύγουσιν ἐκπλαγέντες· ἰσχυρὰ γὰρ ἡ
ἀλήθεια τοῦ νόμου διὰ τὸν φόβον ἐξῳκίσθη τὸν ἀπὸ

---

28. ἔννοιαν add. Reiskius. 29. ὅμοιος] Fort. δεινός. ἦν AB: ὢν b. ἐπεὶ τὰ Sauppius: ἢ τὰ MN, εἶτα post versum dimidium vacuum C, ἢ τὰ b. 36. In his quae sequuntur nihil certi invenire contigit. ἑλένην ὕμνος ἦλθεν ὁμοίως ABEHIKMNRVWXYb, ἑλένην λόγον ἐλθόντα ὁμοίως C, ἑλένην ὁμοίως aldina. ἄνουν νέαν Cb, ἀνοῦν νέαν K, ἄνουν ἐαν V, ανουνεαν X, ἄνου νέαν I, ἂν οὐ νεαν ABMN, ἀνθρώπου νέαν E, om. W et in lacuna H, νεαν aldina. οὖσαν om W. ὡσπερεὶ b: ὡς περὶ aldina. 37. βιαστήριον M, βατήριον HW. ἡρπάσθη ABHIKMNRVWXYb, ἁρπάσαι C, παρῆλθε E, ἁρπασθῆναι aldina. τὸ γὰρ τῆς πειθοῦς ἕξειν ὁ δὲ νοῦς EHIKMNRWXYb, τὸ γὰρ τῆς πειθοῦς ἐξῆν ὁ δὲ νοῦς AB, τὸ γὰρ τῆς πειθοῦς ἔσχεν ὁ νοῦς C, τῇ γὰρ πειθοῖ ὁ νοῦς παρασύρῃ aldina.

1. ει] ἡ EHRY, ἡ VW. ἀνάγκη] ἀνάγκη μὲν RY. ὄνειδος] ὁ εἰδὼς AB. οὔ] οὖν ABHIKMNRVWY, ουν X. ante τὴν δὲ in C lacuna est litterarum circiter octo. — Ne nihil tentasse videar, fere sic scribi potuisse opinor: τίς οὖν αἰτία κωλύει, εἰ καὶ τὴν Ἑλένην λέγομεν ὡς εἷλεν ὁ λόγος Ἀλεξάνδρου νέαν οὖσαν καὶ ὁ νοῦς ὡσπερεὶ βακτήριον βίᾳ ἡρπάσθη; τὸ γὰρ τῆς πειθοῦς ἐξεῖλεν, ὁ δὲ νοῦς εἶκε τῇ ἀνάγκῃ. ὄνειδος ἕξει μὲν οὖν, τὴν δὲ δύναμιν τὴν αὐτὴν ἔχει ὁ λόγος. λόγος γὰρ —. 10. ἄπιστα καὶ ἄδηλα A: ἄδηλα καὶ ἄπειστα aldina, ἄδηλα καὶ ἄπιστα b. 16. ποιεῖ Sauppius: ποιοῦν b. 30. ἕκαστον Bekkerus: ἕκαστος libri. 32. καὶ πολέμιον libri: πολέμιος b cum C. ἐπὶ πολεμίᾳ Sauppius: om. aldina, ἐπὶ πολεμίοις ABHRVWY, ἐπὶ πολεμί X, ἐπὶ πολέμιον Cb, ἐπὶ πόλεμον K, ἐπὶ πολε E (μ supra), ἐπὶ πόλεμι MN. ὁπλίσει ABR: ὁπώσει E, ὁπλίσῃς Y, ὁπλίσῃ b. 34. θεάσηται Sauppius: εἰ θεάσαιτο C, εἰ θεάσεται b. 37. ἐξῳκίσθη Reiskius: εἰσῳκίσθη. b.

τῆς ὄψεως, ἥτις ἐλθοῦσα ἐποίησεν ἀμελῆσαι καὶ τοῦ
καλοῦ τοῦ διὰ τὸν νόμον κρινομένου καὶ τοῦ ἀγαθοῦ
17 τοῦ διὰ τὴν δίκην γινομένου. ἤδη δέ τινες ἰδόντες φο-
βερὰ καὶ τοῦ παρόντος ἐν τῷ παρόντι χρόνῳ φρονή-
ματος ἐξέστησαν· οὕτως ἀπέσβεσε καὶ ἐξήλασεν ὁ φό-
βος τὸ νόημα. πολλοὶ δὲ καὶ ματαίοις πόνοις καὶ δειναῖς
νόσοις καὶ δυσιάτοις μανίαις περιέπεσον· οὕτως εἰ-
κόνας τῶν ὁρωμένων πραγμάτων ἡ ὄψις ἐνέγραψεν ἐν
684 τῷ φρονήματι. καὶ τὰ μὲν δειματοῦντα πολλὰ μὲν πα-
ραλείπεται, ὅμοια δ' ἐστὶ τὰ παραλειπόμενα οἷά περ
18 τὰ λεγόμενα. ἀλλὰ μὴν οἱ γραφεῖς ὅταν ἐκ πολλῶν
χρωμάτων καὶ σωμάτων ἓν σῶμα καὶ σχῆμα τελείως
ἀπεργάσωνται, τέρπουσι τὴν ὄψιν. ἡ δὲ τῶν ἀνδριάν-
των ποίησις καὶ ἡ τῶν ἀγαλμάτων ἐργασία ὅσον ἡδεῖαν
παρέσχετο τοῖς ὄμμασιν. οὕτω τὰ μὲν λυπεῖν τὰ δὲ
ποθεῖν πέφυκε τὴν ὄψιν. πολλὰ δὲ πολλοῖς πολλῶν
ἔρωτα καὶ πόθον ἐνεργάζεται πραγμάτων καὶ σωμά-
19 των. εἰ οὖν τῷ τοῦ Ἀλεξάνδρου σώματι τὸ τῆς Ἑλένης
ὄμμα ἡσθὲν προθυμίαν καὶ ἅμιλλαν ἔρωτος τῇ ψυχῇ
παρέδωκε, τί θαυμαστόν; ὃς εἰ μὲν θεὸς θεῶν [ἔχει]
θείαν δύναμιν, πῶς ἂν ὁ ἥσσων εἴη τοῦτον ἀπώσασθαι
καὶ ἀμύνασθαι δυνατός; εἰ δ' ἐστὶν ἀνθρώπινον νό-
σημα καὶ ψυχῆς ἀγνόημα, οὐχ ὡς ἁμάρτημα μεμ-
πτέον ἀλλ' ὡς ἀτύχημα νομιστέον· ἦλθε γάρ ὡς ἦλθε
τύχης ἀγρεύμασιν, οὐ γνώμης βουλεύμασι, καὶ ἔρωτος
ἀνάγκαις, οὐ τέχνης παρασκευαῖς.

20 Πῶς οὖν χρὴ δίκαιον ἡγήσασθαι τὸν τῆς Ἑλένης
μῶμον, ἥτις εἴτ' ἐρασθεῖσα εἴτε λόγῳ πεισθεῖσα εἴτε
βίᾳ ἁρπασθεῖσα εἴτε ὑπὸ θείας ἀνάγκης ἀναγκασθεῖσα
ἔπραξεν ἃ ἔπραξε, πάντως διαφεύγει τὴν αἰτίαν;

21 Ἀφεῖλον τῷ λόγῳ δύσκλειαν γυναικός, ἐνέμεινα τῷ
νόμῳ ὃν ἐθέμην ἐν ἀρχῇ τοῦ λόγου, ἐπειράθην κατα-
λῦσαι μώμου ἀδικίαν καὶ δόξης ἀμαθίαν, ἐβουλήθην
γράψαι τὸν λόγον Ἑλένης μὲν ἐγκώμιον, ἐμὸν δὲ
παίγνιον.

ΥΠΕΡ ΠΑΛΑΜΗΔΟΥΣ ΑΠΟΛΟΓΙΑ.

Ἡ μὲν κατηγορία καὶ ἡ ἀπολογία κρίσις οὐ περὶ
θανάτου γίγνεσθαι· θάνατον μὲν γὰρ ἡ φύσις φανερᾷ
τῇ ψήφῳ πάντων κατεψηφίσατο τῶν θνητῶν ᾗπερ
ἡμέρᾳ ἐγένετο· περὶ δὲ τῆς ἀτιμίας καὶ τῆς τιμῆς ὁ
κίνδυνός ἐστι, πότερά με χρὴ δικαίως ἀποθανεῖν ἢ
μετ' ὀνειδῶν μεγίστων καὶ τῆς αἰσχίστης αἰτίας βι-
αίως ἀποθανεῖν. δισσῶν δὲ τούτων ὄντων τοῦ μὲν ὑμεῖς 2
κρατεῖτε, τοῦ δ' ἐγώ, τῆς μὲν δίκης ἐγώ, τῆς δὲ βίας 685
ὑμεῖς. ἀποκτεῖναι γάρ με δυνήσεσθε βουλόμενοι ῥᾳ-
δίως· κρατεῖτε γὰρ καὶ τούτων, ὧν οὐδὲν ἐγὼ τυγ-
χάνω κρατῶν. εἰ μὲν οὖν ὁ κατήγορος Ὀδυσσεὺς ἢ σα- 3
φῶς ἐπιστάμενος προδιδόντα με τὴν Ἑλλάδα τοῖς βαρ-
βάροις ἢ δοξάζων γε οὕτω ταῦτα ἔχειν ἐποιεῖτο τὴν
κατηγορίαν δι' εὔνοιαν τῆς Ἑλλάδος, ἄριστος ἂν ἦν
ὁ ἀνήρ· πῶς γὰρ οὔ, ὅς γε σώζει πατρίδα, τοκέας,
τὴν πᾶσαν Ἑλλάδα, ἔτι δὲ πρὸς τούτοις τὸν ἀδικοῦντα
τιμωρούμενος; εἰ δὲ φθόνῳ ἢ κακοτεχνίᾳ ἢ πανουρ-
γίᾳ συνέθηκε ταύτην τὴν αἰτίαν, ὥσπερ δι' ἐκεῖνα
κράτιστος ἂν ἦν ἀνήρ, οὕτω διὰ ταῦτα κάκιστος ἀνήρ.
περὶ τούτων δὲ ἔγωγε πόθεν ἄρξωμαι; τί δὲ πρῶτον 4
εἴπω; ποῖ δὲ τῆς ἀπολογίας τράπωμαι; αἰτία γὰρ ἀνε-
πίδεικτος ἔκπληξιν ἐμφανῆ ἐμποιεῖ, διὰ δὲ τὴν ἔκπλη-
ξιν ἀπορεῖν ἀνάγκη τῷ λόγῳ, ἂν μή τι παρ' αὐτῆς
τῆς ἀληθείας καὶ τῆς παρούσης ἀνάγκης μάθω, διδα-
σκάλων ἐπικινδυνοτέρων ἢ ποριμωτέρων τυχών. ὅτι 5
μὲν οὖν οὐ σαφῶς ὁ κατήγορος κατηγορεῖ μου, σα-
φῶς οἶδα· σύνοιδα γὰρ ἐμαυτῷ σαφῶς οὐδὲν τοιοῦτον
πεποιηκώς· οὐδέ που ἔστιν ὅπως ἂν εἰδείη τις τὸ μὴ
γενόμενον. εἰ δὲ οἰόμενος οὕτω ταῦτα ἔχειν ἐποιεῖτο
τὴν κατηγορίαν, οὐκ ἀληθῆ λέγειν διὰ δισσῶν ὑμῖν
ἐπιδείξω τρόπων. οὔτε γὰρ βουληθεὶς ἐδυνάμην ἂν
οὔτε δυνάμενος ἐβουλήθην ἔργοις ἐπιχειρεῖν τοιούτοις.
Ἐπὶ τοῦτον δὲ τὸν λόγον εἶμι πρῶτον, ὡς ἀδύνατός 6
εἰμι τοῦτο πράττειν. ἔδει γάρ τινα πρῶτον ἀρχὴν γε-
νέσθαι τῆς προδοσίας, ἡ δὲ ἀρχὴ λόγος ἂν εἴη· πρὸ
γὰρ τῶν μελλόντων ἔργων ἀνάγκη λόγους γίγνεσθαι
πρότερον. λόγοι δὲ πῶς ἂν γένοιντο μὴ συνουσίας τι-
νὸς γενομένης; συνουσία δὲ τίνα τρόπον γένοιτ' ἂν
μήτ' ἐκείνου πρὸς ἐμὲ πέμψαντος μήτε παρ' ἐμοῦ
πρὸς ἐκεῖνον ἐλθόντος; οὐδὲ παραγγελία διὰ γραμ-
μάτων ἀφῖκται ἄνευ τοῦ φέροντος. Ἀλλὰ δὴ τοῦτο τῷ 7
λόγῳ δυνατὸν γενέσθω· καὶ δὴ τοίνυν σύνειμι καὶ σύν-
εστι, κἀκεῖνος ἐμοὶ κἀκείνῳ ἐγώ. τίνα τρόπον; τίνι
τίς ὤν; Ἕλλην βαρβάρῳ. πῶς ἀκούων καὶ λέγων; πό-
τερα μόνος μόνῳ; ἀλλ' ἀγνοήσομεν τοὺς ἀλλήλων λό-
γους. ἀλλὰ μεθ' ἑρμηνέως; τρίτος ἄρα μάρτυς γίνε-
ται τῶν κρύπτεσθαι δεομένων. Ἀλλὰ δὴ καὶ τοῦτο γε- 8
νέσθω, καίπερ οὐ γενόμενον. ἔδει δ' ἐμὲ τούτων πί-
στιν δοῦναι καὶ δέξασθαι. τίς οὖν ἂν ἦν ἡ πίστις;

---

1. ἀμελῆσαι Bekkerus: ὀσμενίσαι b. 15. ὄμμασιν] Fort. ὄμμασι τὴν ὄψιν. 16. πέφυκε τὴν ὄψιν] Fort. πεποίηκε. 20. ἔχει add. Sauppius. 25. τύχης Reiskius: ψυχῆς b. 40. κρίσις] Fort. ἔοικεν vel simile quid. 41. γίγνεσθαι libri: γίγνεται cum aldina b. 44. ἀποθανεῖν] σωθῆναι Dobreeus advers. 1 p. 556.

2. μὲν Reiskius: μὲν [ὅλου] b, μὲν ὅλου libri. 8. δοξάζων γε cum Stephano b: libri δοξάζοντά με. 10. οὔ cum Stephano add. b. 14. Fort. κάκιστος ἂν εἴη περὶ —. 15. περὶ τούτων δὲ ἔγωγε Sauppius: περὶ τούτων. ἐγὼ δὲ b (περὶ τούτων δ' ἐγὼ λέγων Reiskius). 21. post οὐ σαφῶς add. vel εἰδὼς cum Reiskio (cl. §. 20) vel ἐπιστάμενος (cl. §. 3). 23. πού ἔστιν Sauppius: οὐχ b. τις Reiskius: τις ἢ b. 34. post ἐμὲ videntur quaedam excidisse. Fort. μήτ' ἐκείνου πρὸς ἐμὲ [ἐλθόντος μήτ' ἐμοῦ πρὸς ἐκεῖνον, μήτ' ἄγγελον ἐκείνου πρὸς ἐμὲ] πέμψαντος. 37. γενέσθω Bekkerus: libri γενέσθαι. 43. δ' ἐμὲ τούτων Sauppius: δὲ μετὰ τούτους b.

πότερον ὅρκος; τίς οὖν ἐμοὶ τῷ προδότῃ πιστεύειν
ἔμελλεν; ἀλλ' ὅμηροί τινες; οἷον ἐγὼ τὸν ἀδελφὸν ἔδωκ'
ἂν (οὐ γὰρ εἶχον ἄλλον), ὁ δὲ βάρβαρος τῶν υἱέων
686 τινά· πιστότατα γὰρ ἂν ἦν οὕτως ἐμοί τε παρ' ἐκεί-
νου ἐκείνῳ τε παρ' ἐμοῦ. ταῦτα δὲ γιγνόμενα πᾶσιν
9 ὑμῖν ἂν ἦν φανερά. Φήσει τις ὡς χρήμασι τὴν πίστιν
ἐποιούμεθα, ἐκεῖνος μὲν διδούς, ἐγὼ δὲ λαμβάνων.
πότερον οὖν ὀλίγοις; ἀλλ' οὐκ εἰκὸς ἀντὶ μεγάλων
ὑπουργημάτων ὀλίγα χρήματα λαμβάνειν. ἀλλὰ πολλά;
τίς οὖν ἦν ἡ κομιδή; πῶς δ' ἂν ἐκόμισεν; εἷς ἢ πολλοί;
πολλῶν γὰρ κομιζόντων πολλοὶ ἂν ἦσαν οἱ μάρτυρες
τῆς ἐπιβουλῆς, ἑνὸς δὲ κομίζοντος οὐκ ἂν πολύ τι τὸ
10 φερόμενον ἦν. πότερα δὲ ἐκόμισαν ἡμέρας ἢ νυκτός;
νυκτός. ἀλλὰ πολλαὶ καὶ πυκναὶ φυλακαί, δι' ὧν οὐκ
ἔστι λαθεῖν. ἀλλὰ ἡμέρας; ἀλλά γε τὸ φῶς πολεμεῖ
τοῖς τοιούτοις. εἶεν. ἐγὼ δ' ἐξελθὼν ἐδεξάμην, ἢ ἐκεῖ-
νος ὁ φέρων εἰσῆλθεν; ἀμφότερα γὰρ ἄπορα. λαβὼν
δὲ δὴ πῶς ἂν ἔκρυψα καὶ τοὺς ἔνδον καὶ τοὺς ἔξω;
ποῦ δ' ἂν ἔθηκα; πῶς δ' ἂν ἐφύλαξα; χρώμενος δ'
ἂν φανερὸς ἐγενόμην· μὴ χρώμενος δὲ τί ἂν ὠφελοί-
11 μην ἀπ' αὐτῶν; καὶ δὴ τοίνυν γενέσθω καὶ τὰ μὴ γε-
νόμενα. συνήλθομεν, εἴπομεν, ἠκούσαμεν, χρήματα
παρ' αὐτοῦ ἔλαβον, ἔλαθον λαβών, ἔκρυψα. ἔδει δή-
που πράττειν ὧν ἕνεκα ταῦτα ἐγένετο. τοῦτο τοίνυν
ἔτι τῶν εἰρημένων ἀπορώτερον. πράττων μὲν γὰρ αὐ-
τὸς ἔπραττον ἢ μεθ' ἑτέρων. ἀλλ' οὐχ ἑνὸς ἡ πρᾶξις.
ἀλλὰ μεθ' ἑτέρων; τίνων; δηλονότι τῶν συνόντων. πό-
τερον ἐλευθέρων ἢ δούλων; ἐλευθέροις μὲν γὰρ ὑμῖν
σύνειμι. τίς οὖν ὑμῶν ξύνοιδε; λεγέτω. δούλοις δὲ πῶς
οὐκ ἄπιστον; ἑκόντες γὰρ ἐπ' ἐλευθερίᾳ χειμαζόμενοί
12 τε δι' ἀνάγκην κατηγοροῦσιν. ἡ δὲ πρᾶξις πῶς ἐγέ-
νετο; δηλονότι τοὺς πολεμίους εἰσαγαγεῖν ἔδει κρείτ-
τονας ὑμῶν· ὅπερ ἀδύνατον. πῶς ἂν οὖν εἰσήγαγον;
πότερα διὰ πυλῶν; ἀλλ' οὐκ ἐμὸν ταύτας οὔτε κλείειν
οὔτε ἀνοίγειν, ἀλλ' οἱ ἡγεμόνες κύριοι τούτων. ἀλλ' ὑπὲρ
τειχέων [διὰ] κλίμακος; οὐ μὲν οὖν· ἅπαντα γὰρ πλήρη
φυλάκων. ἀλλὰ διελὼν τοῦ τείχους; ἅπασιν ἄρα φα-
νερὰ γένοιτ' ἄν. ὑπαίθριος γὰρ ὁ βίος· στρατόπεδον
γάρ ἐστιν ἐν ὅπλοις, ἐν οἷς [πάντες] πάντα ὁρῶσι καὶ
πάντες ὑπὸ πάντων ὁρῶνται. πάντως ἄρα καὶ πάντῃ
πάντα πράττειν ἀδύνατον ἦν μοι.
13 Σκέψασθε κοινῇ καὶ τόδε. τίνος ἕνεκα προσῆκε
βουληθῆναι ταῦτα πράττειν, εἰ μάλιστα πάντων ἐδυ-
νάμην; οὐδεὶς γὰρ βούλεται προῖκα τοὺς μεγίστους
κινδύνους κινδυνεύειν οὐδὲ τὴν μεγίστην κακότητα εἶ-
ναι κάκιστος. ἀλλ' ἕνεκα τοῦ; καὶ αὖθις πρὸς τόδ' ἐπά- 687
νειμι. πότερον τοῦ τυραννεῖν ὑμῶν ἢ τῶν βαρβάρων;
ἀλλ' ὑμῶν ἀδύνατον τοσούτων καὶ τοιούτων, οἷς ὑπάρχει
ἅπαντα μέγιστα, προγόνων ἀρεταί, χρημάτων πλῆθος,
ἀριστεῖαι, ἀλκὴ φρονημάτων, βασιλεία πόλεων. ἀλλὰ 14
τῶν [βαρβάρων]; ὁ δὲ παραδώσων τίς; ἐγὼ δὲ ποίᾳ
δυνάμει παραλήψομαι Ἕλλην βαρβάρους, εἷς ὢν πολ-
λούς; πείσας ἢ βιασάμενος; οὔτε γὰρ ἐκεῖνοι πεισθῆ-
ναι βούλοιντ' ἄν, οὔτ' ἐγὼ βιάσασθαι δυναίμην. ἀλλ'
ἴσως ἑκόντες ἑκόντι παραδώσουσι, μισθὸν τῆς προ-
δοσίας ἀντιδιδόντες; ἀλλά γε ταῦτα πολλῆς μωρίας καὶ
πιστεῦσαι καὶ δέξασθαι· τίς γὰρ ἂν ἕλοιτο δουλείαν
ἀντ' ἐλευθερίας, ἀντὶ τοῦ κρατίστου τὸ κάκιστον; Εἴ- 15
ποι τις ἂν ὅτι πλούτου καὶ χρημάτων ἐρασθεὶς ἐπε-
χείρησα τούτοις. ἀλλὰ χρήματα μὲν μέτρια κέκτημαι,
πολλῶν δὲ οὐδὲν δέομαι. πολλῶν γὰρ δέονται χρημά-
των οἱ πολλὰ δαπανῶντες, οὐχ οἱ κρείττονες τῶν τῆς
φύσεως ἡδονῶν, ἀλλ' οἱ δουλεύοντες ταῖς ἡδοναῖς καὶ
ζητοῦντες ἀπὸ πλούτου καὶ μεγαλοπρεπείας τὰς τιμὰς
κτᾶσθαι. τούτων δὲ ἐμοὶ πρόσεστιν οὐδέν. ὡς δ' ἀληθῆ
λέγω, μάρτυρα πιστὸν παρέξομαι τὸν παροιχόμενον
βίον· τῷ δὲ μάρτυρι μάρτυρες ὑμεῖς ἦτε· σύνεστε γάρ
μοι, διὸ σύνιστε ταῦτα. Καὶ μὴν οὐδ' ἂν τιμῆς ἕνεκα 16
τοιούτοις ἔργοις ἀνὴρ ἐπιχειρήσειε καὶ μέσως φρόνι-
μος. ἀπ' ἀρετῆς γὰρ ἀλλ' οὐκ ἀπὸ κακότητος αἱ τιμαί·
προδότῃ δὲ τῆς Ἑλλάδος ἀνδρὶ πῶς ἂν γένοιτο τιμή;
πρὸς δὲ τούτοις οὐδὲ τιμῆς ἐτύγχανον ἐνδεὴς ὤν· ἐτι-
μώμην γὰρ ἐπὶ τοῖς ἐντιμοτάτοις ὑπὸ τῶν ἐντιμοτά-
των, ὑφ' ὑμῶν ἐπὶ σοφίᾳ. καὶ μὴν οὐκ ἀσφαλές, ὧν 17
οὖν ἕνεκά τις ἂν ταῦτα πράξαι. πᾶσι γὰρ ὅ γε προ-
δότης πολέμιος, τῷ νόμῳ, τῇ δίκῃ, τοῖς θεοῖς, τῷ
πλήθει τῶν ἀνθρώπων. τὸν μὲν γε νόμον παραβαίνει,
τὴν δὲ δίκην καταλύει, τὸ δὲ πλῆθος διαφθείρει, τὸ
δὲ θεῖον ἀτιμάζει· τῷ δὲ τοιούτῳ βίῳ πέρι κινδύνων
τῶν μεγίστων οὐδ' ἔχει ἀσφάλειαν. Ἀλλὰ δὴ φίλους 18
ὠφελεῖν βουλόμενος ἢ πολεμίους βλάπτειν; καὶ γὰρ
τούτων ἕνεκά τις ἂν ἀδικήσειεν. ἐμοὶ δὲ πᾶν τοὐναν-
τίον ἐγίνετο· τοὺς μὲν φίλους κακῶς ἐποίουν, τοὺς
δ' ἐχθροὺς ὠφέλουν. ἀγαθῶν μὲν οὖν κτῆσιν οὐδε-
μίαν εἶχεν ἡ πρᾶξις· κακῶς δὲ παθεῖν οὐδὲ εἷς ἐπι-
θυμῶν πανουργεῖ. Τὸ δὲ λοιπόν ἐστιν, εἴ τινα φόβον 19

---

4. ἐκείνου cum aldina b: libri ἐκείνῳ. 10. εἷς ἢ Stephanus: ἢ b. 14. νυκτός alterum cum Reiskio add. b. 23. αὐτοῦ Sauppius: αὐτῶν b. ἔλαβον Reiskius: ἐλάβομεν b. 25. πράττων μὲν cum aldina b: libri πράττομεν. 26. ἔπραττον cum Stephano b: libri ἔπραττεν. 27. συνόντων Reiskius: νῦν ὄντων b. 34. ἐμὸν cum Reiskio b: libri ἐμοί. ταύτας cum Stephano b: libri ταῦτα. 35. οἱ ἡγεμόνες Stephanus: ἡγεμόνες b. 36. διὰ cum Reiskio add. b. οὐ μὲν οὖν Bekkerus: οὔκουν b. 39. ἐν cum aldina add. b. πάντες πάντα Sauppius: πάντα b.

3. τοῦ Sauppius: τούτων b. 4. τοῦ τυραννεῖν Reiskius: τυραννεῖν b. 5. ἀδύνατον cum aldina b: libri ἀλλ' ἀδύνατον. 8. βαρβάρων cum Stephano add. b. 15. εἴποι Sauppius: εἴπῃ b. 18. οὐθὲν b. 22. οὐδέν Z: οὐθὲν b. 30. ἐπὶ cum Stephano b: libri ἐν. 32. οὖν ἕνεκά Sauppius: οὕνεκά b. 36. πέρι (h. e. περίεστι) Sauppius: περὶ b.

*ἢ πόνον ἢ κίνδυνον φεύγων ἔπραξα· ταῦτα δὲ οὐδεὶς
ἂν εἰπεῖν ἔχοι τί μοι προσήκειν. δισσῶν γὰρ τούτων
ἕνεκα πάντες πάντα πράττουσιν, ἢ κέρδος τι μετιόν-
τες ἢ ζημίαν φεύγοντες. ὅσα δὲ τούτων ἔξω πανουρ-
γεῖται . . . κακῶς ἐμαυτὸν ἐποίουν ταῦτα πράττων, οὐκ*
688 *ἄδηλον· προδιδοὺς γὰρ τὴν Ἑλλάδα προὐδίδουν ἐμαυ-
τόν, τοκέας, φίλους, ἀξίωμα προγόνων, ἱερὰ πατρῷα,
τάφους, πατρίδα τὴν μεγίστην τῆς Ἑλλάδος. ἃ δὲ πᾶσι
περὶ παντός ἐστι, ταῦτα ἂν τοῖς ἀδικηθεῖσιν ἐνεχεί-*
20 *ρισα. Σκέψασθε δὲ καὶ τόδε. πῶς οὐκ ἂν ἀβίωτος ἦν
ὁ βίος μοι πράξαντι ταῦτα; ποῖ γὰρ τραπέσθαι μ'
ἐχρῆν; πότερον εἰς τὴν Ἑλλάδα; δίκην δώσοντα τοῖς
ἠδικημένοις; τίς δ' ἂν ἀπείχετό μου τῶν κακῶς πε-
πονθότων; ἀλλὰ μένειν ἐν τοῖς βαρβάροις; παραμε-
λήσαντα πάντων τῶν μεγίστων, ἐστερημένον τῆς καλ-
λίστης τιμῆς, ἐν αἰσχίστῃ δυσκλείᾳ διάγοντα, τοὺς ἐν
τῷ παροιχομένῳ βίῳ πόνους ἐπ' ἀρετῇ πεπονημένους
ἀπορρίψαντα; καὶ ταῦτα δι' ἐμαυτόν, ὅπερ αἴσχιστον*
21 *ἀνδρί, δυστυχεῖν δι' αὑτόν. οὐ μὴν οὐδὲ παρὰ τοῖς
βαρβάροις πιστῶς ἂν διεκείμην· πῶς γάρ, οἵτινες
ἀπιστότατον ἔργον συνηπίσταντό μοι πεποιηκότι, τοὺς
φίλους τοῖς ἐχθροῖς παραδεδωκότι; βίος δὲ οὐ βιω-
τὸς πίστεως ἐστερημένῳ. χρήματα μὲν γὰρ ἀποβαλὼν
ἢ τυραννίδος ἐκπεσὼν ἢ τὴν πατρίδα φυγὼν ἀναλάβοι
τις ἄν· ὁ δὲ πίστιν ἀποβαλὼν οὐκ ἂν ἔτι κτήσαιτο.
ὅτι μὲν οὖν οὐδ' ἂν ἐβουλόμην προδοῦναι τὴν Ἑλλάδα,
διὰ τῶν προειρημένων δέδεικται.*

22 *Βούλομαι δὲ μετὰ ταῦτα πρὸς τὸν κατήγορον δια-
λεχθῆναι. Τίνι ποτὲ πιστεύσας τοιοῦτος ὢν τοιούτου
κατηγορεῖς; ἄξιον γὰρ καταμαθεῖν οἷος ὢν οἵας γε
ἴσως ἀνάξιος ἀναξίῳ. πότερα γάρ μου κατηγορεῖς εἰ-
δὼς ἀκριβῶς ἢ δοξάζων; εἰ μὲν γὰρ εἰδώς, οἶσθα ἰδὼν
ἢ μετέχων ἢ του πυθόμενος. εἰ μὲν οὖν ἰδών, φράσον
τούτοις τὸν τόπον, τὸν χρόνον, πότε, ποῦ, πῶς εἶδες·
εἰ δὲ μετέχων, ἔνοχος εἶ ταῖς αὐταῖς αἰτίαις· εἰ δὲ
τοῦ μετέχοντος ἀκούσας, ὅστις ἐστίν, αὐτὸς ἐλθέτω,
φανήτω, μαρτυρησάτω. πιστότερον γὰρ οὕτως ἔσται
τὸ κατηγόρημα μαρτυρηθέν, ἐπεὶ νῦν γε οὐδέτερος*
23 *ἡμῶν παρέχεται μάρτυρα. φήσεις ἴσως σὸν εἶναι τοὺς
γε τῶν γενομένων (ὡς σὺ φῄς) μὴ παρέχεσθαι μάρ-
τυρας, τῶν δὲ μὴ γενομένων ἐμέ. τὸ δὲ οὐκ ἴσον ἐστί·
τὰ μὲν γὰρ ἀγένητα πῶς ἂν εἴη δυνατὰ μαρτυρηθῆ-
ναι; περὶ δὲ τῶν γενομένων οὐ μόνον οὐκ ἀδύνατον,
ἀλλὰ καὶ ῥᾴδιον· οὐδὲ μόνον ῥᾴδιον, ἀλλὰ σοὶ μὲν οὐκ
ἦν οἷον μόνον μάρτυρας ἀλλὰ καὶ ψευδομάρτυρας εὑ-
ρεῖν, ἐμοὶ δὲ οὐδέτερον εὑρεῖν τούτων δυνατόν. Ὅτι* 24
*μὲν οὖν οὐκ οἶσθα ἃ κατηγορεῖς, φανερόν· τὸ δὲ λοι-
πὸν οὐκ εἰδότα σε δοξάζειν. εἶτα, ὦ πάντων ἀνθρώ-
πων τολμηρότατε, δόξῃ πιστεύσας, ἀπιστοτάτῳ πράγ-
ματι, τὴν ἀλήθειαν οὐκ εἰδώς, τολμᾷς ἄνδρα περὶ
θανάτου διώκειν; ᾧ τί τοιοῦτον ἔργον εἰργασμένῳ
σύνοισθα; ἀλλὰ μὴν τό γε δοξάσαι κοινὸν ἅπασι περὶ
πάντων, καὶ οὐδὲν ἐν τούτῳ σὺ τῶν ἄλλων σοφώτερος.* 689
*ἀλλ' οὔτε τοῖς δοξάζουσι δεῖ πιστεύειν ἀλλὰ τοῖς εἰδό-
σιν, οὔτε τὴν δόξαν τῆς ἀληθείας πιστοτέραν νομίζειν
ἀλλὰ τἀναντία τὴν ἀλήθειαν τῆς δόξης.*

Κατηγόρησας δέ μου διὰ τῶν εἰρημένων λόγων 25
*δύο τὰ ἐναντιώτατα, σοφίαν καὶ μανίαν· ὥ περ οὐχ
οἷόν τε τὸν αὐτὸν ἄνθρωπον ἔχειν. ὅπου μὲν γάρ με
φῂς εἶναι τεχνήεντά τε καὶ δεινὸν καὶ πόριμον, σο-
φίαν μου κατηγορεῖς, ὅπου δὲ λέγεις ὡς προὐδίδουν
τὴν Ἑλλάδα, μανίαν· μανία γάρ ἐστιν ἔργοις ἐπιχει-
ρεῖν ἀδυνάτοις, ἀσυμφόροις, αἰσχροῖς, ἀφ' ὧν τοὺς
μὲν φίλους βλάψει, τοὺς δ' ἐχθροὺς ὠφελήσει, τὸν δὲ
αὐτοῦ βίον ἐπονείδιστον καὶ σφαλερὸν καταστήσει.
καίτοι πῶς χρὴ ἀνδρὶ τοιούτῳ πιστεύειν, ὅστις τὸν
αὐτὸν λόγον λέγων πρὸς τοὺς αὐτοὺς ἄνδρας περὶ τῶν
αὐτῶν τὰ ἐναντιώτατα λέγει; Βουλοίμην δ' ἂν παρὰ* 26
*σοῦ πυθέσθαι πότερον τοὺς σοφοὺς ἄνδρας νομίζεις
ἀνοήτους ἢ φρονίμους. εἰ μὲν γὰρ ἀνοήτους, καινὸς
ὁ λόγος, ἀλλ' οὐκ ἀληθής· εἰ δὲ φρονίμους, οὐ δήπου
προσήκει τούς γε φρονοῦντας ἐξαμαρτάνειν τὰς μεγί-
στας ἁμαρτίας καὶ μᾶλλον αἱρεῖσθαι κακὰ πρότερον
τῶν ἀγαθῶν. εἰ μὲν οὖν εἰμι σοφός, οὐχ ἥμαρτον·
εἰ δ' ἥμαρτον, οὐ σοφός εἰμι. οὐκοῦν δι' ἀμφότερα
ἂν εἴης ψευδής.*

Ἀντικατηγορῆσαι δέ σου πολλὰ καὶ μεγάλα καὶ 27
*παλαιὰ καὶ νέα πράσσοντος δυνάμενος οὐ βούλομαι·
βούλομαι γὰρ οὐ τοῖς σοῖς κακοῖς ἀλλὰ τοῖς ἐμοῖς
ἀγαθοῖς ἀποφεύγειν τὴν αἰτίαν ταύτην. πρὸς μὲν οὖν
σὲ ταῦτα.*

Πρὸς δ' ὑμᾶς ὦ ἄνδρες κριταὶ περὶ ἐμοῦ βούλομαι 28

---

1. *οὐθεὶς* b. 5. exciderunt fere haec: *μανίας ἐστίν. ὅσα δὲ.* *κακῶς* libri: [*ὡς δὲ*] *κακῶς* b, *ὡς δὲ κακῶς* aldina. *πράττων* cum aldina b: libri *ταῦτα γὰρ πράττων.* 6. *προδιδοὺς* Reiskius: *προὐδίδουν* b. 14. *παραμελήσαντα — ἐστερημένον* Reiskius: *παραμελήσαντι — ἐστερημένῳ* b. 22. Fort. *προδεδωκότι;* 23. *ἀποβαλὼν ἢ — ἐκπεσὼν — φυγὼν* Reiskius: *ἀποβαλόντα — ἐκπεσόντα — φυγόντα* b. 24. *ἀναλάβοι* cum aldina b: libri *ἀναλάβῃ.* 26. *οὐδ' ἂν* cum aldina b: libri *οὔτ' ἄν.* Fort. *οὔτ' ἂν* [*ἐδυνάμην οὔτ'*] *ἐβουλόμην.* 30. *οἷος ὢν οἵας γε ἴσως*] *οἷος οἵῳ ὠνείδισάς γε ὡς* F. Jacobs de arte critica p. 29. Malim *οἷος οἵῳ ἐγκαλεῖς, ὡς.*
1. *ἂν εἴη δυνατὰ* cum aldina b: libri *ἀδύνατα.* 4. *μόνον* aldina: *μόνῳ* cum libris b. 5. *δυνατόν* Reiskius: *ἀδύνατον* b. 7. *οὐκ εἰδότα* Sauppius: *εἰδότα* libri, *μὴ εἰδότα* cum aldina b. 14. *οὔτε* cum aldina b: libri *οὐδὲ.* 29. *καινὸς* Sauppius: *κενὸς* b. 31. *γε* cum aldina b: libri *τε.* 37. *πράσσοντος* malim abesse. 38. *βούλομαι* alterum add. cum aldina b.

εἰπεῖν ἐπίφθονον μέν, ἀληθὲς δέ, κατηγορημένου μὲν
οὐκ ἀνεκτά, κατηγορουμένου δὲ οὐ προσήκοντα. νῦν
γὰρ ἐν ὑμῖν εὐθύνας καὶ λόγον ὑπέχω τοῦ παροιχομέ-
νου βίου. δέομαι οὖν ὑμῶν, ἂν ὑμᾶς ὑπομνήσω τῶν
ἐμοί τι πεπραγμένων καλῶν, μηδένα φθονῆσαι τοῖς
λεγομένοις, ἀλλ' ἀναγκαῖον ἡγήσασθαι κατηγορημένον
δεινὰ καὶ ψευδῆ καί τι τῶν ἀληθῶν ἀγαθῶν εἰπεῖν ἐν
29 εἰδόσιν ὑμῖν· ὅπερ ἥδιστόν μοι. πρῶτον μὲν οὖν καὶ
δεύτερον καὶ μέγιστον, διὰ παντὸς ἀπ' ἀρχῆς εἰς τέ-
λος ἀναμάρτητος ὁ παροιχόμενος βίος ἐστί μοι, κα-
θαρὸς πάσης αἰτίας· οὐδεὶς γὰρ ἂν οὐδεμίαν αἰτίαν
κακότητος ἀληθῆ πρὸς ὑμᾶς περὶ ἐμοῦ εἰπεῖν ἔχοι.
καὶ γὰρ οὐδ' αὐτὸς ὁ κατήγορος οὐδεμίαν ἀπόδειξιν
εἴρηκεν ὧν εἴρηκεν· οὕτω λοιδορίαν οὐκ ἔχουσαν ἔλεγχον
30 ὁ λόγος αὐτῷ δύναται. φήσαιμι δ' ἄν, καὶ φήσας οὐκ ἂν
ψευσαίμην οὐδ' ἂν ἐλεγχθείην, οὐ μόνον ἀναμάρτητος
ἀλλὰ καὶ μέγας εὐεργέτης ὑμῶν καὶ τῶν Ἑλλήνων καὶ
τῶν ἁπάντων ἀνθρώπων, οὐ μόνον τῶν νῦν ὄντων ἀλλὰ
τῶν μελλόντων, εἶναι. τίς γὰρ ἄλλος ἐποίησε τὸν ἀνθρώ-
πινον βίον πόριμον ἐξ ἀπόρου καὶ κεκοσμημένον ἐξ
ἀκόσμου, τάξεις τε πολεμίας εὑρών, μέγιστον εἰς πλεον-
690 εκτήματα, νόμους τε γραπτούς, φύλακας τοῦ δικαίου,
γράμματά τε, μνήμης ὄργανον, μέτρα τε καὶ σταθμά,
συναλλαγῶν εὐπόρους διαλλαγάς, ἀριθμόν τε χρημάτων
φύλακα, πυρσούς τε, κρατίστους καὶ ταχίστους ἀγγέ-
31 λους, πεσσούς τε, σχολῆς ἄλυπον διατριβήν; τίνος
οὖν ἕνεκα ταῦθ' ὑμᾶς ὑπέμνησα; δῆλον ὅτι τοῖς τοι-
ούτοις τὸν νοῦν προσέχων, σημεῖον δὲ ποιούμενος
ὅτι τῶν αἰσχρῶν καὶ τῶν κακῶν ἔργων ἀπέχομαι· τὸ
γὰρ ἐκείνοις τὸν νοῦν προσέχοντα τοῖς τοιούτοις προσέ-
χειν ἀδύνατον. ἀξιῶ δέ, εἰ μηδὲν αὐτὸς ὑμᾶς ἀδικῶ,
32 μηδὲ αὐτὸς ὑφ' ὑμῶν ἀδικηθῆναι. καὶ γὰρ οὐδὲ τῶν
ἄλλων ἐπιτηδευμάτων οὕνεκα ἄξιός εἰμι κακῶς πάσχειν,
οὔθ' ὑπὸ νεωτέρων οὔθ' ὑπὸ πρεσβυτέρων. τοῖς μὲν
γὰρ πρεσβυτέροις ἄλυπός εἰμι, τοῖς δὲ νεωτέροις οὐκ
ἀνωφελής· τοῖς εὐτυχοῦσιν οὐ φθονερός, τῶν δυστυ-
χούντων οἰκτίρμων· οὐδὲ πενίας ὑπερορῶν, οὐδὲ πλοῦ-
τον ἀρετῆς ἀλλ' ἀρετὴν πλούτου προτιμῶν· οὔτε ἐν
βουλαῖς ἄχρηστος, οὔτε ἐν μάχαις ἀργός, ποιῶν τὸ
τασσόμενον καὶ πειθόμενος τοῖς ἄρχουσιν. ἀλλὰ γὰρ
οὐκ ἐμὸν ἐμαυτὸν ἐπαινεῖν· ὁ δὲ παρὼν καιρὸς ἠνάγ-
κασε, καὶ ταῦτα κατηγορημένον, πάντως ἀπολογήσασθαι.
33 Λοιπὸς δὲ περὶ ὑμῶν πρὸς ὑμᾶς ἐστί μοι λόγος,
ὃν εἰπὼν παύσομαι τῆς ἀπολογίας. οἶκτος μὲν οὖν καὶ
λιταὶ καὶ φίλων παραίτησις ἐν ὄχλῳ μὲν οὔσης τῆς
κρίσεως χρήσιμα· παρὰ δ' ὑμῖν τοῖς πρώτοις οὖσι τῶν
Ἑλλήνων καὶ δοκοῦσιν, οὐ φίλων βοηθείαις οὐδὲ λι-
ταῖς οὐδὲ οἴκτοις δεῖ πείθειν ὑμᾶς, ἀλλὰ τῷ σαφε-
στάτῳ δικαίῳ, διδάξαντα τἀληθές, οὐκ ἀπατήσαντά
με δεῖ διαφυγεῖν τὴν αἰτίαν ταύτην. ὑμᾶς δὲ χρὴ μὴ 34
τοῖς λόγοις μᾶλλον ἢ τοῖς ἔργοις προσέχειν τὸν νοῦν,
μηδὲ τὰς αἰτίας τῶν ἐλέγχων προκρίνειν, μηδὲ τὸν
ὀλίγον χρόνον τοῦ πολλοῦ σοφώτερον ἡγεῖσθαι κριτήν,
μηδὲ τὴν διαβολὴν τῆς πείρας πιστοτέραν νομίζειν.
ἅπαντα γὰρ τοῖς ἀγαθοῖς ἀνδράσι μεγάλης εὐλαβείας
ἁμαρτάνειν, τὰ δὲ ἀνήκεστα τῶν ἀκεστῶν ἔτι μᾶλλον·
ταῦτα γὰρ προνοήσασι μὲν ἀδύνατα, μετανοήσασι δὲ
ἀνίατα. τῶν δὲ τοιούτων ἐστίν, ὅταν ἄνδρες ἄνδρα
περὶ θανάτου κρίνωσιν· ὅπερ ἐστὶ νῦν παρ' ὑμῖν. εἰ 35
μὲν οὖν ἦν διὰ τῶν λόγων τὴν ἀλήθειαν τῶν ἔργων
καθαρῶς γενέσθαι τοῖς ἀκούουσι φανεράν, εὔπορος
ἂν εἴη ἡ κρίσις ἤδη ἀπὸ τῶν εἰρημένων· ἐπειδὴ δὲ
οὐχ οὕτως ἔχει, τὸ μὲν σῶμα τοὐμὸν φυλάξατε, τὸν
δὲ πλείω χρόνον ἐπιμείνατε, μετὰ δὲ τῆς ἀληθείας τὴν
κρίσιν ποιήσατε. ὑμῖν μὲν γὰρ μέγας ὁ κίνδυνος ἀδί-
κοις φανεῖσι δόξαν τὴν μὲν καταβαλεῖν, τὴν δὲ κτή-
σασθαι. τοῖς δὲ ἀγαθοῖς ἀνδράσιν αἱρετώτερος θάνα-
τος δόξης αἰσχρᾶς· ὁ μὲν γὰρ τοῦ βίου τέλος, ἡ δὲ
τῷ βίῳ νόσος. ἐὰν δὲ ἀδίκως ἀποκτείνητέ με, πολλοῖς 36
γενήσεται φανερόν· ἐγώ τε γὰρ οὐκ ἀγνώς, ὑμῖν τε
πᾶσιν Ἕλλησι γνώριμος ἡ κακότης καὶ φανερά. καὶ
τὴν αἰτίαν φανερὰν ἅπασιν ὑμεῖς ἕξετε τῆς ἀδικίας,
οὐχ ὁ κατήγορος· ἐν ὑμῖν γὰρ τὸ τέλος ἔχει ἡ δίκη.
ἁμαρτία δ' οὐκ ἂν γένοιτο μείζων ταύτης. οὐ γὰρ μό-
νον εἰς ἐμὲ καὶ τοκέας τοὺς ἐμοὺς ἁμαρτήσεσθε δικά-
σαντες ἀδίκως, ἀλλ' ὑμῖν αὐτοῖς δεινὸν ἄθεον ἄδικον
ἄνομον ἔργον συνεπιστήσεσθε πεποιηκότες, ἀπεκτο-
νότες ἄνδρα σύμμαχον, χρήσιμον ὑμῖν, εὐεργέτην τῆς
Ἑλλάδος, Ἕλληνες Ἕλληνα, φανερὰν οὐδεμίαν ἀδικίαν
οὐδὲ πιστὴν αἰτίαν ἀποδείξαντες.
Εἴρηται τὰ παρ' ἐμοῦ, καὶ παύομαι. τὸ γὰρ ὑπο- 37
μνῆσαι τὰ διὰ μακρῶν εἰρημένα συντόμως πρὸς μὲν
φαύλους δικαστὰς ἔχει λόγον, τοὺς δὲ πρώτους τῶν
πρώτων Ἕλληνας Ἑλλήνων οὐκ ἄξιον οὐδ' ἀξιῶσαι μήτε
προσέχειν τὸν νοῦν μήτε μεμνῆσθαι τὰ λεχθέντα.

---

1. *κατηγορημένον* cum aldina b: libri *κατηγορημένῳ*. 2. *οὐ* add. cum aldina b. 7. *δεινὰ* cum Stephano b: libri *δεῖν*. 8. *ὅπερ ἥδιστον* cum Reiskio b: libri *ὑπερήδιστον*. 14. *ὧν εἴρηκεν* om. operae berol. 18 *οὐ μόνον* Reiskius: *οὐκοῦν* b. 19. *ἄλλος* Sauppius: *ἂν* b. 22. *τοῦ* cum Reiskio b: libri *τε τοῦ*. 27. *δῆλον ὅτι* Sauppius: *δῆλον οὐ* b. 39. *ἀργός* Reiskius: *ἀργῶς* b. 40. *τασσόμενον* libri: *προστασσόμενον* cum Reiskio b. *καὶ πειθόμενος* Sauppius: *πειθόμενος* b.

3. *χρήσιμα· παρὰ δ' ὑμῖν* cum aldina b: libri *χρήμασι παρὰ δύναμιν* 13. *ἀκεστῶν* cum Stephano b: libri *ἀνηκέστων*. 14. *ἀδύνατα* Sauppius: *δυνατὰ* b. 18. *καθαρῶς* Sauppius: *καθαρόν γε* libri, *καθαρὰν* cum aldina b. 19. *ἡ κρίσις* Reiskius: [ἡ] *κρίσις* b, *κρίσις* libri. 25. *ὁ μὲν* cum aldina b: libri *τὸ μέν*. 27 *οὐκ ἀγνώς* Stephanus: *ἁγνός* b. *ὑμῖν*] immo *ἐκείνου* (h. e. Ulyssis.) 28. *πᾶσιν* libri: [*παρὰ*] *πᾶσιν* b, *παρὰ πᾶσιν* aldina 29. *ἅπασιν* Stephanus: *ἅπασαν* b. Addo vel *ἐν* cum Reiskio vel *παρ'*. 30. *ἡ δίκη* Reiskius: *τῆς δίκης* b.

II. ΑΝΤΙΦΩΝ.

φέρονται δὲ τοῦ ῥήτορος λόγοι ἑ ξ ή κ ο ν τ α, ὧν κατεψευσμένους φησὶ Καικίλιος εἶναι τοὺς εἰκοσιπέντε. Vitae decem orat. p. 833. B.

I. *Περὶ τῆς μεταστάσεως.*

Haec oratio, quae est *de mutato rerum publicarum statu*, videtur ea esse, qua proditionis accusatus se ipse defendit. *καὶ αὐτὸς δὲ* (Antiphon), *ἐπειδὴ τὰ τῶν τετρακοσίων ἐν ὑστέρῳ μεταπεσόντα ὑπὸ τοῦ δήμου ἐκακοῦτο, ἄριστα φαίνεται τῶν μέχρι ἐμοῦ, ὑπὲρ αὐτῶν τούτων αἰτιαθεὶς ὡς ξυγκατέστησε, θανάτου δίκην ἀπολογησάμενος.* Thucydides 8, 68. cf Cic. Brut. §. 47. Quintil. institut. orat. 3. 1, 11. Quanquam enim L. Spengelius *συναγ. τεχν.* p. 113 sq. aliter statuit, tamen neque ea quae in Vitis x oratt. p. 833. D leguntur (*καὶ ὁ περὶ τῆς εἰσαγγελίας, ὃν περὶ ἑαυτοῦ γέγραφε*) adversantur, et ea quae ex hac oratione supersunt eam imperio quadringentorum vel durante vel everso scriptam esse ostendunt, quo tempore aliis Antiphontem orationes scripsisse parum verisimile est. Quidni Apolexis in decem synegorjs fuerit, quos a senatu designatos esse ex senatusconsulto intelligimus in vitis x oratt. p. 833. F servato? Ad eandem orationem pertinet Aristot. Eth. ad Eudem. 3, 5 p. 1232 Bk. *καὶ μᾶλλον ἂν φροντίσειεν ἀνὴρ μεγαλόψυχος τί δοκεῖ ἑνὶ σπουδαίῳ ἢ πολλοῖς τοῖς τυγχάνουσιν, ὥσπερ Ἀντιφῶν ἔφη πρὸς Ἀγάθωνα κατεψηφισμένος τὴν ἀπολογίαν ἐπαινέσαντα.* cf. F. Ritschel. de Agathone 1 p. 16.

1 1. *σ τ α σ ι ώ τ η ς. Ἀντιφῶν ἐν τῷ περὶ τῆς μεταστάσεως· π ε ρ ὶ τ ο ί ν υ ν ὧ ν Ἀ π ό λ η ξ ι ς κ α τ η γ ό ρ η κ ε ν, ὡ ς σ τ α σ ι ώ τ η ς ἦ ν ἐ γ ὼ κ α ὶ ὁ π ά π π ο ς ὁ ἐ μ ό ς. ἔοικε νῦν ὁ ῥήτωρ ἰδίως ἐπὶ τοῦ δορυφόρου κεχρῆσθαι τῷ ὀνόματι· ἐν γοῦν τοῖς ἑξῆς φησιν ὅτι· ο ὐ κ ἂ ν τ ο ὺ ς μ ὲ ν τ υ ρ α ν ν ο ῦ ν τ α ς ἠ δ υ ν ή θ η σ α ν ο ἱ π ρ ό γ ο ν ο ι κ ο λ ά σ α ι, τ ο ὺ ς δ ὲ δ ο ρ υ φ ό ρ ο υ ς ἠ δ υ ν ά τ η σ α ν.* Harpocrat.

2 2. *δ ι α σ τ ῆ σ α ι ἀντὶ τοῦ διαταράξαι καὶ οἷον ἀδύνατον ποιῆσαι Ἀντιφῶν ἐν τῷ περὶ τῆς μεταστάσεως. Μένανδρος Χήρᾳ „βοῶν ποιείτω τὴν πόλιν διάστατον.“* Harpocrat.

3. *ἐ μ π ο δ ώ ν. Ἀντιφῶν ἐν τῷ περὶ τῆς μεταστά-* 3
σεως· κ α ὶ τ ο ὺ ς ἐ μ π ο δ ὼ ν ἐ κ ο λ ά σ α τ ε, ἀντὶ τοῦ τοὺς ἐμπεσόντας, καθὰ καὶ Ἀνδοκίδης ἐν τῷ κατ' Ἀλκιβιάδου. Harpocrat. cf. Etym. M. p. 336, 35.

4. *ἐ π ε σ κ ή ψ α τ ο ἀντὶ τοῦ ἐνεκάλεσε ψευδομαρ-* 4
τυριῶν. λέγεται δὲ ἐνίοτε κατὰ τὸ σπάνιον καὶ ἐπὶ τοῦ ἐγκαλέσαι φόνου, ὡς Ἀντιφῶν ἐν τῷ περὶ τῆς μεταστάσεως. τῷ δὲ ἐνεργητικῷ τῷ ἐ π έ σ κ η ψ ε ν ἀντὶ τοῦ ἐνετείλατο Ἰσαῖος ἐν τῇ ὑπὲρ Εὐμάθους εἰς ἐλευθερίαν ἀφαιρέσει. τὸ δὲ ἐ π ι σ κ ή π τ ω ἀντὶ τοῦ μετά τινος ἐπιθειασμοῦ λέγω καὶ οἷον ἐξορκίζω Ἀνδοκίδης τε ἐν τῷ περὶ τῶν μυστηρίων καὶ Λυσίας ἐν τῷ ὑπὲρ Κτησιάρχου εἰρήκασιν. Harpocrat. cf. Etym. M. p. 355, 36.

5. *Ἠ ε τ ι ω ν ί α· Ἀντιφῶν ἐν τῷ περὶ τῆς μεταστά-* 5
σεως. οὕτως ἐκαλεῖτο ἡ ἑτέρα τοῦ Πειραιέως ἄκρα ἀπὸ τοῦ κατακτησαμένου τὴν γῆν Ἠετίωνος, ὥς φησι Φιλόχορος ἐν τῇ πρὸς Δήμωνα ἀντιγραφῇ. μνημονεύει δὲ τῆς Ἠετιωνίας καὶ Θουκυδίδης ἐν η'. Harpocrat.

6. *τ ε τ ρ α κ ό σ ι ο ι· Ἀντιφῶν ἐν τῷ περὶ τῆς με-* 6
ταστάσεως. οἱ υ' πρὸ ζ' ἐτῶν κατέστησαν τῶν λ' τυράννων παρ' Ἀθηναίοις, οἵτινες δ' μῆνας ἦρξαν τῆς πόλεως, ὥς φησιν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ. Harpocrat.

II. *Περὶ ἀνδραποδισμοῦ.*

Ἀ θ ή ν α ζ ε· Πλάτων ὡς ἐν συνηθείᾳ Παρμενίδῃ. 7
τὸ μέντοι ἐν τῷ περὶ ψυχῆς ἐπίστασιν ἔχει ὡς ἡμαρτημένον· φησὶ δ' ἐν τούτῳ· κ α ὶ γ ὰ ρ ο ὔ τ ε τ ῶ ν π ο λ ι τ ῶ ν Φ λ ι α σ ί ω ν ο ὐ δ ε ὶ ς π ά ν υ τ ι ἐ π ι χ ω ρ ι ά ζ ε ι τ ὰ ν ῦ ν Ἀ θ ή ν α ζ ε. καὶ τὸ παρὰ Ἀντιφῶντι δὲ ἐν τῷ περὶ ἀνδραποδισμοῦ λόγῳ ἐπίστασιν ἔχει ὡς ἡμαρτημένον τὴν σύνταξιν. γράφει δὲ οὕτως· ἐ π ε ι δ ὴ γ ὰ ρ ἀ π ῳ κ ί σ θ η ν Ἀ θ ή ν α ζ ε κ α ὶ ἀ π η λ λ ά γ η ν τ ῆ ς κ λ η ρ ο υ χ ί α ς. Bekk. anecd. p. 352, 23. (Bachm. an. p. 40, 19.)

---

1. *ἑξήκοντα*] cf. schol. Aeschin. 2 §. 18. et Crameri anecd. oxon. 4 p. 256. 33. cf. Harpocr. p. 28, 3: *Ἀπόληξις εἷς τῶν ι' συγγραφέων, ὃν Πλάτων κωμῳδεῖ ἐν Σοφισταῖς.* ubi cum *ν'* legeretur *ι'* restituit A. Meinek. com. gr. 2 p. 664, coll. Thucydid. 8, 67. 38. *κολάσαι* Dobreeus advers. 1 p. 588: libri *καλέσαι.* Ad sensum cf. Aristoph. Equ. 450.

2. Mein. com. gr. 4 p. 221. 6. Andoc. 4 §. 10. 14. Andoc. 1 §. 32. 18. *ἑτέρα* Photius et Suidas: libri vel *τε ἄρα* vel *γε παρά.* 21. Thucyd. 8, 90 sqq. 31. *ὡς ἐν συνηθείᾳ* Sauppius: *ἐν Ὀδυσσείᾳ* codex. cf. p. 359, 5. 394, 29. 401, 13. 33. *δ' ἐν* Sauppius: *δὲ* codex. — Plat. Phaedon. p. 57. A. 37. *ἡμαρτημένον* Bastius ad Gregor. p. 880: *ἡμαρμένῳ* codex. 38. *ἀπῳκίσθην* Sauppius: *ἀπῴκεις τὴν* codex.

III. *Πρὸς τὴν Δημοσθένους γραφὴν ἀπολογία.*

8 1. *Ἀλκιβιάδης ὁ Κλεινίου. ἦν δὲ καὶ ἕτερος, πρόπαππος τοῦ προειρημένου, ὅν φησι Λυσίας ἐν τῷ κατ' Ἀλκιβιάδου λειποταξίου, εἰ γνήσιος ὁ λόγος, αὐτόν τε καὶ τὸν πατρὸς πρὸς μητρὸς πάππον δὶς ἐξοστρακισθῆναι. ἄλλος δέ ἐστιν Ἀλκιβιάδης οὗ μνημονεύει Ἀντιφῶν ἐν τῇ πρὸς τὴν Δημοσθένους γραφὴν ἀπολογίᾳ· μνημονεύουσι δ' αὐτοῦ καὶ τῶν ἄλλων ῥητόρων τινὲς καὶ οἱ κωμικοί· ἔστι δὲ Φηγούσιος, Ἀλκιβιάδου ξένος.* Harpocrat. cf. Bekk. anecd. p. 378, 22.

9 2. *ἀποτειχίσαι τὸ ἀπολαβεῖν τείχει καὶ ἀποκλεῖσαι τῆς ἐξόδου, ἀποτετειχισμένος δὲ ὁ ἀπειλημμένος καὶ ἀποκεκλεισμένος τῷ τείχει· Ἀντιφῶν ἐν τῇ πρὸς τὴν Δημοσθένους γραφὴν ἀπολογίᾳ καὶ Θουκυδίδης.* Harpocrat. cf. Bekk. anecd. p. 437, 28.

10 3. *δεκατευτάς ἀντὶ τοῦ τελώνας τοὺς τὴν δεκάτην ἐκλέγοντας Ἀντιφῶν ἐν τῇ πρὸς Δημοσθένους γραφὴν ἀπολογίᾳ. ὅτι δὲ ἦν τελώνιον ἡ δεκάτη, δεδήλωκε Δημοσθένης ἐν τῷ περὶ τῶν ἀτελειῶν.* Harpocrat.

11 4. *κελέοντες. Ἀντιφῶν ἐν τῇ πρὸς Δημοσθένους γραφὴν ἀπολογίᾳ· ἵνα τοὺς κελέοντας κατέπηξεν. κυρίως μὲν κελέοντες εἰσιν οἱ ἱστόποδες, ὡς καὶ παρ' Ἀριστοφάνει δῆλον τῷ κωμικῷ· μεταφορικῶς δὲ νῦν ὁ ῥήτωρ λέγοι ἂν τὰ ὀρθὰ ξύλα.* Harpocrat.

12 5. *σκαφίον· Ἀντιφῶν ἐν τῇ πρὸς τὴν Δημοσθένους γραφὴν ἀπολογίᾳ. ὅτι δὲ τὸ σκαφίον εἶδος κουρᾶς, καὶ Ἀριστοφάνης Γήρᾳ.* Harpocrat.

13 6. *συνήγοροι· Ἀντιφῶν ἐν τῇ πρὸς τὴν Δημοσθένους γραφὴν ἀπολογίᾳ καὶ ἐν τῷ περὶ τοῦ Λινδίων φόρου. ἐοίκασι παρ' Ἀθηναίοις τινὲς χειροτονεῖσθαι συνήγοροι ἐπὶ τῷ συναγορεύειν.* Harpocrat. cf. Etym. M. p. 735, 28.

14 7. *Ἄνδρων· Ἀντιφῶν ἐν τῷ πρὸς τὴν Δημοσθένους ἀντιγραφήν. Ἄνδρωνά φησιν εἶναι Κρατερὸς ἐν θ' τῶν Ψηφισμάτων τὸν γράψαντα τὸ ψήφισμα τὸ περὶ Ἀντιφῶντος τοῦ ῥήτορος. ἦν δὲ εἷς τῶν υ' ὁ Ἄνδρων.* Harpocrat.

IV. *Ἐπιτροπικὸς κατὰ Καλλιστράτου.*

ὅτι οἱ ποιητοὶ παῖδες ἐπανελθεῖν εἰς τὸν πατρῷον οἶκον οὐκ ἦσαν κύριοι, εἰ μὴ παῖδας γνησίους καταλίποιεν ἐν τῷ οἴκῳ τοῦ ποιησαμένου· Ἀντιφῶν ἐπιτροπικῷ κατὰ Καλλιστράτου καὶ Σόλων ἐν κα' Νόμων. Harpocrat. 15

V. *Ἐπιτροπικὸς Τιμοκράτει.*

Σπάρτωλος· Ἀντιφῶν ἐν τῷ ἐπιγραφομένῳ ἐπιτροπικὸς Τιμοκράτει. πόλις ἐστὶ τῆς Βοττικῆς ἡ Σπάρτωλος. Harpocrat. 16

VI. *Κατὰ Ἱπποκράτους.*

ἔγραψε δὲ καὶ κατὰ Ἱπποκράτους τοῦ στρατηγοῦ λόγον καὶ εἷλεν αὐτὸν ἐξ ἐρήμου. Vitae decem oratt. p. 833. D. *τοῦ* G. Xylander: *τοῦ ἰατροῦ* libri. *ἰατροῦ* grammaticum Hippocratis nomine deceptum addidisse etiam Photius bibl. p. 486, 24 ostendit, qui *στρατηγοῦ* prorsus omisit. Quanquam enim Chr. quoque Petersen de Hippocr. 1 p. 17 sq. de medico clarissimo cogitavit, orationem Antiphontis ad civem atheniensem pertinuisse facile patet, medicum vero civitate attica donatum fuisse nego. Cur ad Hippocratem imperatorem pertinere nequeat, non video: nam quae in vitis decem oratorum deinceps habentur *ψήφισμα ἐπὶ Θεοπόμπου ἄρχοντος*, ea ad decretum illud quod sequitur referenda sunt et me auctore retulit Fr. Dübnerus. Quare ne M. Meieri quidem coniectura opus est, qui in diar. archaeol. haleus. 1838, 197 *τοῦ υἱοῦ τοῦ στρατηγοῦ* legi voluit. 17

VII. *Πρὸς τὴν Καλλίου ἔνδειξιν ἀπολογία.*

1. διάθεσις ἀντὶ τοῦ πρᾶσις Ἰσοκράτης Βουσίριδι. ἀντὶ δὲ τοῦ ἀποδεδόμεθα διεθέμεθα εἴπεν Ἀντιφῶν ἐν τῷ πρὸς τὴν Καλλίου ἔνδειξιν, καὶ ἀντὶ 18

---

1. Ad hanc orationem refero quod legitur in Vitis X oratt. p. 833. D. *ἐπαινεῖται δ' αὐτοῦ μάλιστα — καὶ ὁ πρὸς Δημοσθένην τὸν στρατηγὸν παρανόμων.* cf. ad. or. XIIII. 4. Lysias 14 §. 39. 6. *πατρὸς πρὸς μητρὸς* nos (ad Lysiam l. d.): *τοῦ πατρὸς* K, *πρὸς πατρὸς* BCFH, *πρὸς μητρὸς* b. 8. *τὴν* om. BCFH. *γραφῆς* BCH. 11. *ξένος*] an *ἀνεψιός*? cf. Xen. Hell. 1. 2, 13. 15. *τὴν* om. CF. *δημοσθένην* G, *δρόμους* F. *γραφὴν ἀπολογίᾳ* om. ABCF. 17. cf. Boeckh. oecon. publ. Ath. 1 p. 349 sqq. 18. *δημοσθένην γραφῇ* omisso *ἀπολογίᾳ* ABC, *ἀπολ.* om. etiam I. 20. *ἀτελειῶν* Valesius: *τελῶν* b. cf. Demosth. 20 §. 60. 24. *ἱστόποδες* Photius lex. p. 153, 24: *ἱνόποδες* A, *ἱνοπώλιδες* B, *οἰνοπώλιδες* C. 27. *τὴν Δημοσθένους*] *διογένους* BCG. 29 Mein. com. 2 p. 1002. 30. *ἐν τῇ*] *ἐν τῷ* C, om. BG. 31. *ἀπολογίᾳ* om. BCG. 35. *τῷ*] *τῇ* C. *ἀντιγραφὴν* om. A. Puto igitur etiam h. l. legendum esse *ἐν τῇ — γραφὴν ἀπολογίᾳ.* 36. cf. Vitae X oratt. p. 833. D. E.

6. *κατὰ* add. Sauppius. cf. exempla similium titulorum apud Meier. de lit. att. p. 443 sq. 11 et 13. *Σπαρτωλός* b. sed cf. Arcad. p. 57, 16. Goettling. de acc. gr. p. 190. 12. *τιμοκράτης* A, *τιμοκράτω* B. 37. Isocr. 11 §. 14. 38. *διεθέμεθα*] *δοσόμεθα* B, *δὴ διώσμεθα* AI.

τοῦ διοίκησις ὁ αὐτὸς ἐν τῷ περὶ ὁμονοίας· ἀλλὰ εἰδότες τὴν διάθεσιν ἀκούουσιν. Φρύνιχος Τραγῳδοῖς „τῇ διαθέσει τῶν ἐπῶν" φησί. καὶ γὰρ τὸ ῥῆμα διαθέσθαι λέγουσιν ἐπὶ τοῦ διοικῆσαι· Ἀντιφῶν Ἀληθείας α'· γυμνωθεῖσα δὲ ἀφορμῆς πολλὰ ἂν καὶ καλὰ κακῶς διαθεῖτο. διαθέσθαι ἀντὶ τοῦ συνθέσθαι Ὑπερείδης κατὰ Δημοσθένους. Harpocrat. cf. Ulpian ad Demosth. 2 §. 16.

19 2. ἕρμα· ἡ ὕφαλος πέτρα· Ἀντιφῶν ἐν τῇ πρὸς Καλλίου ἔνδειξιν ἀπολογίᾳ. ἔστι δὲ τοὔνομα καὶ παρ' Ἀνακρέοντι καὶ ἐν Γηρυτάδῃ Ἀριστοφάνους. Harpocrat.

20 3. ἤσμεν ἀντὶ τοῦ ᾔδειμεν. Ἀντιφῶν πρὸς τὴν Καλλίου ἔνδειξιν ἀπολογίᾳ· ἡμεῖς μὲν οὖν οὔτε ναυτικὸν ἤσμεν ὁπόσον δέοι. Harpocrat.

21 4. μοιροδοκῆσαι ἀντὶ τοῦ μέρους μεταλαβεῖν Ἀντιφῶν ἐν τῇ πρὸς Καλλίου ἔνδειξιν ἀπολογίᾳ. Harpocrat.

VIII. *Κατὰ Λαισποδίου.*

De Laespodia A. Meinekius accurate exposuit com. gr. 2 p. 476, qui eum vel legati vel praetoris munere Thracen aliquando obiisse suspicatur. Episcopum eum fuisse putaverim. Galepsus et Oesyme etiam a Thucydide conjunguntur 4, 107.

22 1. ἀπιστεῖν ἀντὶ τοῦ ἀπειθεῖν Ἀντιφῶν κατὰ Λαισποδίου, Ἰσοκράτης ἐν τῇ ἐπιστολῇ τῇ πρὸς Φίλιππον. λέγουσι δὲ καὶ ἀπιστίαν τὴν ἀπείθειαν, ὡς Δημοσθένης ἐν θ' Φιλιππικῶν καὶ ἄλλοι πολλοί. Harpocrat.

23 2. Γαληψός· Ἀντιφῶν κατὰ Λαισποδίου. πόλις Θρᾴκης, ὡς οἱ τὰς περιόδους γεγραφότες φασίν. ὠνομάσθη δὲ ἀπὸ Γαληψοῦ τοῦ Θάσου καὶ Τηλέφης, ὡς Μαρσύας ὁ νεώτερος ἐν πέμπτῳ Μακεδονικῶν. Harpocrat.

24 3. ἐπίσκοπος. cf. or. X frg. 5.

25 4. Οἰσύμη· Ἀντιφῶν ἐν τῷ κατὰ Λαισποδίου. πόλις ἐστὶ τῆς Θρᾴκης, καθά φασιν ἄλλοι τε καὶ Ἔφορος ἐν δ'. Harpocrat.

IX. *Περὶ τοῦ Λιμναίων φόρου.*

Orationes quae sequuntur et sextam decimam A. Boeckhius oecon. publ. Ath. 1 p. 444 sq. ad duplicationem tributorum pertinuisse coniecit, quam Alcibiadi personatus ille Andocides tribuit or. 4 §. 11. Sed huius testimonii fidem haud magnam esse et tributa illa sensim sensimque non magis Alcibiadis, quam aliorum demagogorum (Plut. Aristid. c. 24.) consilio ab Atheniensibus aucta esse videri M. Meier docuit comment. andocid. 5 p. 17 sqq. Atque quarto quoque anno tributa illa noviter describi solita esse et Xenophon testatur de rep. Ath. 3, 5 et titulus ostendit, quem nuper A. Schoellius in C. O. Mülleri itinere graeco 1 p. 54 sqq. edidit, ubi v. 4 haec leguntur: *τῶν δὲ ὀφειλημάτων ἐξαρκεῖν αὐτοῖς* (Methonensibus) *τελεῖν, ὅσον τῇ θεῷ ἀπὸ τοῦ φόρου ἐγίγνετο, ὃν τοῖς προτέροις Παναθηναίοις ἐτετάχατο φέρειν.* Cum igitur Antiphon Limnaeos, Lindios, Samothraces opera sua adiuvaret, communi demagogorum odio hoc dedisse censendus est, non inimicitiae, quam cum postea cum Alcibiade exercuisse scimus: certe in iis, quae ex his orationibus supersunt, nihil est quod ad Alcibiadem referri oporteat. Hoc vero A Boeckhius bene docuit, Samothraces et Lindios his orationibus ab Antiphonte compositis in concione Atheniensium usos esse. Eadem Limnaeorum ratio fuerit: quanquam non praestiterim hoc Limnaeorum nomen, quod ego posui, verum esse. Sed in corrupta codicum lectione hoc nomen non minus latere potest, quam Lindiorum. Quibus quomodo Amphipolis mentio conveniat non intelligo, cum Limnaeos, qui prope Sestum sedes habuisse traduntur, facile de urbe haud ita remota commemorare potuisse appareat. Limnaeos vectigales fuisse docet titulus in A. Boeckhii corp. inscr. gr. 143.

Ἀμφίπολις· Ἀντιφῶν περὶ τοῦ Λιμναίων φόρου. πόλις αὕτη τῆς Θρᾴκης. πρότερον δὲ Ἐννέα ὁδοὶ ἐκαλεῖτο, ὡς Ἀνδροτίων ἐν ιβ' Ἀτθίδος. Μαρσύας δ' ἐν Μακεδονικοῖς διὰ τὸ περιοικεῖσθαι τὸν τόπον Ἀμφίπολιν ὀνομάσθαι, πρότερον Ἄκραν καλουμένην. ἡ δὲ Ἄρεος καλουμένη πόλις • • Harpocrat. 26

---

1. v. fragm. 85. 2. Mein. com. gr. 2 p. 601. 5. v. frg. 100. 7 Ὑπερίδης b. 9. ἕρμα· ἡ Blomfieldius ad Aesch. Agam. 977: ἕρμαν b. 11. Anacr. p. 144 Bgk. – Meinek. com. 2 p. 1013. 12 et 14. ἤσμεν Valckenarius obss. critt. in N. T. p. 387: ἤσμεν B, ᾔεμεν reliqui. cf. Gaisf. ad Suid. 1, 2 p. 822, 15 Bernh. 14. immo ὁπόσου. nam ὁπόσον defendi non potest locis, quales H. Funkhaenel collegit quaest. dem. p. 30 sq. 27. Isocr. epist. 2 §. 12. 29. Demosth. 9 §. 38? Bkk. 31 et 33 Γάληψος et Γαλήψου b. cf. Goettl. acc. gr. p. 215. 32. ὡς – φασίν et ἐν πέμπτῳ Μακ. addidi ex cod. D. cf. F. Ritschel. ind. lectt. vratisl. 1836 p. 8. 39. Ephori frg. 74. Müller.

37. Λιμναίων φόρου Sauppius: ληναίων φόρου DM, λιναίου φόρου A, ληναιοφόρου C, ληναιφόρου BF, Λινδίων φόρου cum Valesio b. 40. Μακεδονικοῖς Salmasius: Μακεδονικαῖς b. cf. Ritschel. ind. lectt. vratislav. 1836 p. 8. 41. ἡ δὲ Ἄρεος καλουμένη πόλις • • cod. Cantabr.: οἱ δὲ Ἄρεος πόλις b. cf. Ritschel. l. d. De rebus amphipolitanis cf. H. Weissenbornii Hellen p. 136 sqq.

X. Περὶ τοῦ Λινδίων φόρου.

27 1. ἀπειπεῖν ἀντὶ τοῦ ἀποκαμεῖν καὶ ἀδυνατῆσαι Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Λινδίων φόρου. καὶ ἀντὶ τοῦ ἀπαρνήσασθαι παρὰ τῷ αὐτῷ. Harpocrat.

28 2. ἄττα ἀντὶ μὲν τοῦ ὅσα ἢ ἅτινα Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Λινδίων φόρου, ἀντὶ δὲ τοῦ τινὰ ἢ ποιά τινα Δημοσθένης Φιλιππικοῖς. ἐνιαχοῦ δὲ παρέλκει τὸ ἄττα· Χιωνίδου „πύθου χελιδὼν πηνίκ' ἄττα φαίνεται." Harpocrat.

29 3. δι' ἐνιαυτοῦ ἀντὶ τοῦ δι' ὅλου τοῦ ἐνιαυτοῦ Ἀντιφῶν περὶ τοῦ Λινδίων φόρου. Τηλεκλείδης δ' ἐν τοῖς Πρυτάνεσι δι' ἡμέρας εἶπεν ἀντὶ τοῦ δι' ὅλης τῆς ἡμέρας. Harpocrat.

30 4. ἐπαγγελία σημαίνει μὲν καὶ ἄλλα, ἰδίως δὲ λέγεται ἐπὶ τῶν ἐγκαλούντων τινὶ δημηγορεῖν καὶ πολιτεύεσθαι οὐκ ἐξόν, καὶ ἔστιν οἷον παραγγελία· Αἰσχίνης κατὰ Τιμάρχου. λέγεται δὲ παρ' αὐτοῖς τὸ ἐπαγγέλλεσθαι καὶ ἀντὶ τοῦ προστάττειν ἢ αἰτεῖσθαι, ὡς παρά τε Ἀντιφῶντι ἐν τῷ περὶ τοῦ Λινδίων φόρου καὶ Δημοσθένει ἐν τῷ περὶ πρεσβείας. Harpocrat.

31 5. ἐπίσκοπος· Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Λινδίων φόρου καὶ ἐν τῷ κατὰ Λαισποδίου. ἐοίκασιν ἐκπέμπεσθαί τινες ὑπὸ Ἀθηναίων εἰς τὰς ὑπηκόους πόλεις ἐπισκεπτόμενοι τὰ παρ' ἑκάστοις. Θεόφραστος γοῦν ἐν α' τῶν πολιτικῶν τῶν πρὸς καιροὺς φησὶν οὕτω „πολλῷ γὰρ κάλλιον κατά γε τὴν τοῦ ὀνόματος θέσιν, ὡς οἱ Λάκωνες, ἁρμοστὰς φάσκοντες εἰς τὰς πόλεις πέμπειν, οὐκ ἐπισκόπους οὐδὲ φύλακας, ὡς Ἀθηναῖοι." Harpocrat.

32 6. προσφορά ἀντὶ τοῦ πρόσοδος Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Λινδίων φόρου. καὶ παρ' ἄλλοις δὲ τοὔνομα. Harpocrat. cf. Crameri anecd. oxon. 2 p. 499, 5.

33 7. συνήγοροι. Vide frg. 13.

34 8. τριβωνευόμενοι· Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Λινδίων φόρου. ἤτοι ἀντὶ τοῦ τριβὰς ἐμποιοῦντες, ἢ ἀντὶ τοῦ τεχνάζοντες ἀπὸ τοῦ τρίβωνες εἶναι πραγμάτων. Harpocrat.

XI. ΥΠΕΡ ΜΥΡΡΟΥ.

35 Ἀντιφῶν τῷ ἄττα κέχρηται ἀντὶ τοῦ ἅτινα ἐν τῇ Ἀπολογίᾳ τοῦ Μύρρου· οὐ γὰρ ἐγὼ ἐπεπόνθειν ταῦτα, ἅττα νῦν πέπονθα ὑπὸ τούτου. καὶ αὖθις· Οἱ γὰρ ἄνθρωποι ἅττα ἂν ὁρῶσι τῇ 36 ὄψει πιστότερα ἡγοῦνται ἢ οἷς εἰς ἀφανὲς ἥκει ὁ ἔλεγχος τῆς ἀληθείας. Suidas 1, 1 p. 822, 14 Bernh.

XII. Πρὸς Νικοκλέα περὶ ὅρων.

Haec oratio videtur in causa publica habita esse et ad metationem urbis pertinuisse. Singulas enim urbis partes certis finibus distinctas et commentaria de his terminis publice scripta fuisse ostendit schol. Aristoph. Avv. 997: Μελέτη γὰρ ἅπαν ἐκεῖνο, ὡς ἐν τοῖς ὁρισμοῖς γέγραπται τῆς πόλεως.

37 1. ἀργυροκοπεῖον· Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα. ὅπου κόπτεται τὸ νόμισμα· ὃ νῦν σημαντήριόν τινες καλοῦσιν. Harpocrat.

38 2. διὰ μέσου τείχους· Ἀντιφῶν πρὸς Νικοκλέα. τριῶν ὄντων τειχῶν ἐν τῇ Ἀττικῇ, ὡς καὶ Ἀριστοφάνης φησὶν ἐν Τριφάλητι, τοῦ τε βορείου καὶ τοῦ νοτίου καὶ τοῦ Φαληρικοῦ, διὰ μέσου τῶν παρ' ἑκάτερα ἐλέγετο τὸ νότιον, οὗ μνημονεύει καὶ Πλάτων ἐν Γοργίᾳ. Harpocrat.

39 3. ὅτι δὲ καὶ Ἑρμῶν στοά τις ἐλέγετο, δεδήλωκε καὶ Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα. Harpocratio p. 86, 11. cf. Hyperides περὶ τῶν Εὐβούλου δωρεῶν.

40 4. εὐθύωρον τὸ κατ' εὐθεῖαν Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα. τὸ ὄνομα καὶ παρὰ Ξενοφῶντι ἐν β' Ἀναβάσεως. Harpocrat.

41 5. Κεραμεικός· Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα περὶ ὅρων. ὅτι β' εἰσὶ Κεραμεικοί, ὡς καὶ ὁ ῥήτωρ φησίν, ὁ μὲν ἔνδον τῆς πόλεως ὁ δὲ ἕτερος ἔξω, ἔνθα καὶ τοὺς ἐν πολέμῳ τελευτήσαντας ἔθαπτον δημοσίᾳ καὶ τοὺς ἐπιταφίους ἔλεγον, δηλοῖ Καλλικράτης ἢ Μενεκλῆς ἐν τῷ περὶ Ἀθηνῶν. Harpocrat.

42 6. λέσχαι· Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα. λέσχας

---

4. Coll. Suida s. v. et Cram. anecd. ox. 4 p. 490, 5 ante v. καὶ videtur aliquid excidisse, fortasse: ἀντὶ τοῦ κελεῦσαι μὴ πράττειν παρὰ τῷ Λυσίᾳ. 9. Demosth. 1 § 28. 10. Χιωνίδου Osannus: χιονίππου b. cf. Bergk: in Meinekii com. gr. 2 p. 1181 sq. 13. λινδῶν ABIN — Meinek. com. gr. 2 p. 369. 14. τοῖς Πρυτάνεσι Maussacus: τῷ Πρυτανείῳ b. 18. Aeschin. 1 § 64. Schoem. de com. Ath. p. 240 sq. 22. Demosth. 19 § 41. 23. Boeckh. oecon. publ. Ath. 1 p. 436 sq. 24. κατὰ Λ.; cf. frg. 21. 32. προφορά A.

4. Μύρου E et Med. 5. ταῦτα, ἅττα] defendi potest iis quae G. Hermannus praef. ad. S. OE. T. p. XI collegit, sed malim τότε, ἅττα. 7. ὄψει] cf. frg. 178. 19. cf. Leakius top. Ath. p. 356 sq. turic. 22. τείχους] τοῦ τείχους A. G. Dindorfius in frg. aristoph. 469 et Th. Bergkius frg. aristoph. p. 1166 habent τεῖχος, sed quidni τείχους fuerit apud Antiphontem, ut est Gorgiae l. d.? De muris illis vide H. N. Ulrichs topographia portuum atticorum in comm. acad. bav. classis 1 vol. 3 p. 645 sq. et A. Westermann in diurn. lit ant. 1843 p. 1010 sq. 25. τῶν παρ' ἑκάτερα DE et Suidas: τούτων b. 26. Plat. Gorg. p. 455. E. 28. Ἑρμῶν J. Sluiter lectt. andoc. p. 36: Θρᾳκῶν b. 32. Xen. An. 2. 2, 16. 35. Καλλικράτης AB: Καλλίστρατος b. cf. L. Preller Polemon. p. 173 sq. et Suidas 2, 1 p. 214, 6.

ἔλεγον δημοσίους τινὰς τόπους, ἐν οἷς σχολὴν ἄγοντες ἐκαθέζοντο οἱ πολλοί. Ὅμηρος „οὐδ᾽ ἐθέλεις εὕδειν χαλκήϊον ἐς δόμον ἐλθὼν ἠέ που ἐς λέσχην." Κλεάνθης ἐν τῷ περὶ θεῶν ἀπονενεμῆσθαι τῷ Ἀπόλλωνι τὰς λέσχας φησίν, ἐξέδραις δὲ ὁμοίας γίνεσθαι αὐτάς, καὶ παρ᾽ ἐνίοις τὸν θεὸν Λεσχηνόριον ἐπικαλεῖσθαι. Harpocrat.

43 7. παράβυστον. οὕτως ἐκαλεῖτό τι τῶν παρ᾽ Ἀθηναίοις δικαστηρίων, ἐν ᾧ ἐδίκαζον οἱ ια᾽· Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα περὶ ὅρων. μνημονεύουσι δ᾽ αὐτοῦ ἄλλοι τε τῶν κωμικῶν καὶ Τιμοκλῆς ἐν Ὀρεσταυτοκλείδῃ. ἐκαλεῖτο δέ τις ἐν τοῖς νυμφικοῖς δωματίοις καὶ κλίνη παράβυστος, ἧς μέμνηται Ὑπερείδης ἐν τῷ κατὰ Πατροκλέους. λέγεσθαι δ᾽ ἔοικε ταῦτα κατὰ μεταφορὰν ἀπὸ τῶν ἐν τοῖς φορτίοις παραβυσμάτων, τουτέστι παραπληρωμάτων. Harpocrat.

44 8. πρυτανείας· Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα. ἔστι δὲ ἀριθμὸς ἡμερῶν ἡ πρυτανεία ἤτοι λϛ᾽ ἢ λε᾽, ἃς ἑκάστη φυλὴ πρυτανεύει. διείλεκται δὲ περὶ τούτων Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ. Harpocrat.

45 9. Στεφανηφόρος· Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα. Στεφανηφόρου ἡρῷον, ὡς ἔοικεν, ἦν ἐν ταῖς Ἀθήναις. εἴη δ᾽ ἂν ὁ Στεφανηφόρος ἤτοι τῶν Ἡρακλέους υἱέων εἷς τῶν γενομένων ἐκ τῶν Θεστίου θυγατέρων, οὗ μνημονεύει Ἑλλάνικος ἐν ι᾽ Φορωνίδος· ἢ μήποτε τοῦ Ἀττικοῦ Στεφανηφόρου τὸ ἡρῷον ἦν, οὗ πάλιν ὁ αὐτὸς Ἑλλάνικος ἐν β᾽ Ἀτθίδος μέμνηται. Harpocrat

46 10. Ὑπέρβολος· Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα. ἦν δὲ δημαγωγός, ὃν Θουκυδίδης ἐν τῇ η᾽ ἐξωστρακίσθαι φησίν. Harpocrat.

XIII. *Παρανόμων κατηγορία.*

A. Westermannus hist. eloqu. gr. p. 276 et ad vitas X oratt. p 28 hanc orationem eam esse putat, qua auctor illarum vitarum Antiphontem *πρὸς Δημοσθένην τὸν στρατηγὸν παρανόμων* causam egisse dicit, sed quae erat *κατηγορία παρανόμων*, ea *κατὰ Δημοσθένους* dicenda erat. Diversam igitur ab illa fuisse intelligere mihi videor: cf. quae ad or tertiam annotavi.

47 δεῦρο. τοῦτο τὸ ἐπίρρημά τινες ἐπὶ χρόνου τετάχθαι νομίζουσιν, οἱ δὲ ῥήτορες ἐπὶ τόποι πάντες αὐτῷ χρῶνται. ὡς Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου „καὶ παρασχεῖν τῷ μὲν φεύγοντι θαρρεῖν, ὅταν αὐτὸς δεῦρο παρέλθῃ." Καὶ Ἀντιφῶν ἐν τῇ Παρανόμων κατηγορίᾳ· ναυμάχους ὡς περὶ δωρεῶν μὲν εἰπεῖν κατάγειν δεῦρο. καὶ Δείναρχος ἐν τῷ κατὰ Λεωχάρους· „περὶ τοῦ ταλαιπώρου Διδύμου νῦν πρὸς ὑμᾶς ἐρῶ. καί μοι δεῦρο αὐτοῦ τὸ παιδίον κάλεσον." Καὶ Δημοσθένης· „ἀπόκριναι γάρ δεῦρο ἀναστάς μοι." Καὶ ἄλλοι ἕτεροι. Suidas 1, 1 p. 1217, 16.

XIV. *Πρὸς Πολύευκτον.*

ἀνάδεξαι· οἷον ἐγγύησαι. Ἀντιφῶν πρὸς Πολύευκτον, Δεινόλοχος Ἀλθαίᾳ. Antiatticista in Bekk. anecd. p. 82, 29. 48

XV. *Κατὰ πρυτάνεως.*

ἴσως δὲ καὶ κατὰ τοῦτο ῥητορικαὶ γραφαί τινες καλοῦνται, ὅτι κατὰ διαφόρους νόμους αἱ κατὰ τῶν ῥητόρων γραφαὶ εἰσάγονται, ὡς Ἀντιφῶν ἐν τῷ κατὰ πρυτάνεως, εἰ γνήσιος, υποσημαίνει. Harpocrat. p. 164, 9. cf. Isaeus contra Euclidem. 49

XVI. *Περὶ τοῦ Σαμοθρᾳκῶν φόρου.*

Cf. quae de or. nona exposuimus.

1. Σαμοθρᾴκη νῆσος. κεῖται δὲ καταντικρὺ τῆς Θρᾴκης. φασὶ δὲ Σαμίους οἰκίσαντας αὐτὴν τὸ ὄνομα θέσθαι τοῦτο· καὶ ἔστι παρὰ Ἀντιφῶντι ἐν τῷ Σαμοθρᾳκικῷ λόγῳ οὕτως εἰρημένον· καὶ γὰρ οἱ τὴν ἀρχὴν οἰκίσαντες τὴν νῆσον ἦσαν Σάμιοι, ἐξ ὧν ἡμεῖς ἐγενόμεθα. κατῳκίσθησαν δὲ ἀνάγκῃ, οὐκ ἐπιθυμίᾳ τῆς νήσου· ἐξέπεσον γὰρ ὑπὸ τυράννων ἐκ Σάμου καὶ τύχῃ ἐχρήσαντο ταύτῃ * * καὶ λείαν λαβόντες ἀπὸ τῆς Θρᾴκης ἀφικνοῦνται εἰς τὴν νῆσον. Suidas p. 3249. C. Gaisf. 50

2. χρὴ δὲ καὶ τοῖς συνδέσμοις μὴ μάλα ἀνταποδίδοσθαι ἀκριβῶς, οἷον τῷ μὲν συνδέσμῳ τὸν δε 51

2. *οἱ πολλοί* Toupius: *πολλοὶ* b. – Homer. Od. 18, 328. 11. cf. Meinek. com. gr. 1 p. 432 et 3 p. 608. 13. *Ὑπερίδης* b. 19. *ἃς* Sauppius: *καὶ* b. 21. cf. A. Boeckh oecon. att. 2 p. 348 sq. et ad C. Inscr. 1 p. 168, a. 25. Hellan. frg. 4 Müller. 26. *ἀστικοῦ* Photius lex p. 538, 1 et Suidas, quod probant Leakius top. Ath. p. 357 turic. et C. Müller l. d. Sed Atticus opponitur Thestii filio Thespiensi. 30. Thucyd 8, 73.

2. Aeschin 1 § 174. 5. Fort *ἐκ ναυμαχίας ὡς περὶ δωρεῶν συνειπεῖν κατάγει δεῦρο.* 9. Demosth. 19 § 120. 15. *ἀνάδεξαι – ἐγγύησαι* Bekkerus: *ἀναδέξαι – ἐγγυῆσαι* codex. 31. *οἰκίσαντας* E et Bekk. an. p. 305, 10: *οἰκήσαντας* reliqui. 33. Samothraces ipsos loqui vidit A Boeckhius oecon publ. Ath. 1 p. 445. 34. *οἰκίσαντες* Boeckhius l. d.: *οικήσαντες* E, *οἰκήσαντες* reliqui. De re cf. Pausan 7. 4, 3. Schol. Hom. Il. 24, 78. Panofka de rebus Samiorum p. 20. 38. asteriscos ego addidi: apparet enim quaedam excidisse, quorum sententia fere haec fuit, [*Samios profugos ad Thraciam appulisse, cum Thracibus conflixisse, et magna praeda onustos in insulam Samothracen pervenisse.* – *καὶ* deest in AVE. 39. Wittmannus *περὶ λόγων τινῶν Ἀντιφῶντος* (Suevofurti, 1834) p. 6 etiam ea quae apud Suidam sequuntur Antiphontis esse putabat, cum Aristophanis sint Pac. 270.

(μικροπρεπὲς γὰρ ἡ ἀκρίβεια), ἀλλὰ καὶ ἀτακτοτέρως πως χρῆσθαι, καθάπερ που ὁ Ἀντιφῶν λέγει· ἡ μὲν γὰρ νῆσος, ἣν ἔχομεν, δήλη μὲν καὶ πόρρωθεν, ὅτι ἐστὶν ὑψηλὴ καὶ τραχεῖα· καὶ τὰ μὲν χρήσιμα καὶ ἐργάσιμα μικρὰ αὐτῆς ἐστι, τὰ δ' ἀργὰ πολλά, μικρᾶς αὐτῆς οὔσης. τρισὶ γὰρ τοῖς μὲν συνδέσμοις εἷς ὁ δὲ ἀνταποδίδοται. Demetrius περὶ ἑρμην. §. 53.

52 3. Ἀττικοὶ προεσκέψαντο τούτων καὶ ταῦτα. Ἀντιφῶν Σαμοθρᾳκικῷ· καίτοι οὐκ ἂν τῆς μὲν τῶν ἄλλων πολιτῶν ταλαιπωρίας προὐσκέψαντο, τῆς δὲ σφετέρας αὐτῶν σωτηρίας οὐκ ἐνεθυμήθησαν. Priscianus 18 §. 280.

53 4. ἐκλογεῖς οἱ ἐκλέγοντες καὶ εἰσπράττοντες τὰ ὀφειλόμενα τῷ δημοσίῳ. Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Σαμοθρᾳκῶν φόρου· ᾑρέθησαν γὰρ ἐκλογεῖς παρ' ἡμῖν οἷς πλεῖστα ἐδόκει χρήματα εἶναι. Λυσίας ἐν τῷ πρὸς Ἀρέσανδρον „νῦν δὲ πρὸς τοὺς ἐκλογέας τοῦ φόρου ἅπαντα ἀπογραφόμεθα.“ Harpocrat.

54 5. ἀεὶ ἀντὶ τοῦ ἕως παρ' Ἀντιφῶντι Σαμοθρᾳκικῷ. πολλὴ δὲ χρῆσις αὐτοῦ. καὶ Θουκυδίδης ἐν τῷ προοιμίῳ * * οὕτως ἤρξατο „οὕτω μὲν οὖν μοι δεῦρ' ἀεὶ τείνει λόγους.“ Harpocrat.

55 6. ἀποδιδόμενοι Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Σαμοθρᾳκῶν φόρου ἀντὶ τοῦ ἀποδιδόντες. ἑξῆς δέ φησιν ἀποδιδόμεθα ἤτοι ἀντὶ τοῦ ἀποδίδομεν ἢ ἀντὶ τοῦ πιπράσκομεν. Harpocrat. cf. Bekk. an. p. 427, 18.

56 7. ἀπόταξις τὸ χωρὶς τετάχθαι τοὺς πρότερον ἀλλήλοις συντεταγμένους εἰς τὸ ὑποτελεῖν τὸν ὡρισμένον φόρον· Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Σαμοθρᾳκῶν φόρου. Harpocrat.

8. συντελεῖς οἱ συνδαπανῶντες καὶ συνεισφέ-
57 ροντες· τὸ δὲ πρᾶγμα συντέλεια καλεῖται, ὡς ἔστιν εὑρεῖν ἐν τῷ Ἀντιφῶντος περὶ τοῦ Σαμοθρᾳκῶν φόρου. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. Harpocrat.

XVII. Πρὸς Ἐρασίστρατον περὶ τῶν ταῶν.

ἐπαινεῖται δ' αὐτοῦ μάλιστα ὁ περὶ Ἡρῴδου καὶ ὁ πρὸς Ἐρασίστρατον περὶ τῶν ταῶν καὶ ὁ περὶ τῆς εἰσαγγελίας, ὃν ὑπὲρ ἑαυτοῦ γέγραφε, καὶ ὁ πρὸς Δημοσθένην τὸν στρατηγὸν παρανόμων. Vitae decem orator. p. 833. D.

1. Ἀντιφῶντι δὲ τῷ ῥήτορι λόγος μὲν γέγρα- 58
πται ἔχων ἐπίγραμμα περὶ ταῶν καὶ ἐν αὐτῷ τῷ λόγῳ οὐδεμία μνεία τοῦ ὀνόματος γίνεται, ὄρνεις δὲ ποικίλους πολλάκις ἐν αὐτῷ ὀνομάζει, φάσκων τούτους τρέφειν Δῆμον τὸν Πυριλάμπους καὶ πολλοὺς παραγίνεσθαι κατὰ πόθον τῆς τῶν ὀρνίθων θέας ἔκ τε Λακεδαίμονος καὶ Θετταλίας καὶ σπουδὴν ποιεῖσθαι τῶν ᾠῶν μεταλαβεῖν. περὶ δὲ τῆς ἰδέας αὐτῶν λέγων γράφει· εἴ τις ἐθέλοι καταβαλεῖν εἰς πόλιν τοὺς ὄρνιθας, οἰχήσονται ἀναπτόμενοι. ἐὰν δὲ τῶν πτερύγων ἀποτέμῃ, τὸ κάλλος ἀφαιρήσεται· τὰ πτερὰ γὰρ αὐτῶν τὸ κάλλος ἐστίν, ἀλλ' οὐ τὸ σῶμα. ὅτι δὲ καὶ περισπούδαστος ἦν αὐτῶν ἡ θέα, ἐν τῷ αὐτῷ λόγῳ πάλιν φησίν· ἀλλὰ τὰς μὲν νουμηνίας ὁ βουλόμενος εἰσῄει, τὰς δ' ἄλλας ἡμέρας εἴ τις ἔλθοι βουλόμενος θεάσασθαι, οὐκ ἔστιν ὅστις ἔτυχε. καὶ ταῦτα οὐκ ἐχθὲς οὐδὲ πρώην, ἀλλ' ἔτη πλέον ἢ τριάκοντά ἐστιν. Athenaeus IX p. 397. C. D.

2. ἐτιμῶντο δὲ τὸν ἄρρενα καὶ τὸν θῆλυν δραχμῶν 59
χιλίων, ὡς Ἀντιφῶν ἐν τῷ πρὸς Ἐρασίστρατον λόγῳ φησί. Aelianus hist. anim. 5, 21.

3. εὐοφθάλμως ἀντὶ τοῦ εὐπρεπῶς Ἀντιφῶν ἐν 60
τῷ περὶ ταώνων. Harpocrat.

4. Πυριλάμπης· Ἀντιφῶν ἐν τῷ περὶ τῶν ταῶν. 61
ὄνομα κύριον. Harpocrat.

XVIII. Ὑπὲρ τῆς εἰς τὸν ἐλεύθερον παῖδα ὕβρεως.

ἀξιοῖ ἀντὶ τοῦ νομίζει Ἀντιφῶν ὑπὲρ τῆς εἰς τὸν 62
ἐλεύθερον παῖδα ὕβρεως. Harpocrat. cf. Bekk. anecd. p. 412, 28.

---

2. Verba quae sequuntur ad hanc orationem pertinere vidit P. Victorius apud Walzium rhett. gr. 9 p. 29. 3. μὲν add. Capperonerius. — de repetita particula μὲν cf. epist. crit. ad G. Hermannum p. 29. ἣν ἔχομεν libri m. b. Victorii: ceteri ἣν ἐχομένη vel ἀνεχομενη. 4. ὅτι ἐστὶν Sauppius: erat ἐστιν. 7. δυσὶ mg. b, quia μὲν illud ante v. γὰρ deerat. 10. Σαμοθρᾳκικῷ cod. paris. 7496: σιμοσοαχικωγ mon., reliqui ὀλιγαρχικῷ. Lectiones illius codicis parisini excerpsit Th. Pressel (Revue de philologie 1 p. 153). 11. προὐσκέψαντο Spengel (ad Varr. p. 630): πουσκέψαντο cod. paris. et mon., προεσκέψαντο ceteri. 12. σφετέρας cod. paris.: φετερας mon., σωτηρίας ceteri. σωτηρίας Spengel: ατηρίας cod. par. et mon., ἐχυρᾶς ceteri. 16. Hos exactores a Samothracibus ipsis electos esse apparet. Quod non intellexit Boeckhius oec. att. 1 p. 168. 23. Thucydidis verba (1 c. 18: ἐς τόνδε ἀεὶ τὸν πόλεμον) et nomen poetae, cuius versus est qui sequitur, exciderunt. cf. Th. Stanleius ad Aesch. Eumen. 599. R. Porson ad Eur. Orest. 1679. Valckenarius ad E. Phoen. 1215 versum Phrynichi esse putat, coll. Hesychio s. v. ἀεί. οὕτω] οὗτος Stanleius et Porsonus. 29. cf. Boeckh. oecon. att. 1 p. 445. 36. Demosth. 18 §. 104.

22. cf. Aelian. hist. anim. 5, 21. Eustath. ad Hom. Iliad. 2, 782. 29. χιλίων] μυρίων Mc et mg. v, ὠρίων bv. Fort. μυρίων post v. ἄρρενα addendum est. 39. ὕβρεως add. Goesiana apud Bekk. cf. Meier. de lit. att. p. 319 not.

XIX. *Κατὰ Φιλίνου.*

Choragus, cui Antiphon orationem quae est de caede saltatoris scripsit, dicit se Aristionem Philinum Ampelinum peculatus reos egisse (or. 6 §. 12. 21. 35). Quidni etiam in hac causa Antiphontis eum opera usum esse putemus? Uti vero orationem quae est *περὶ τοῦ χορευτοῦ* calamitosis reipublicae temporibus habitam esse ostendunt ea, quae de tribubus Cecropide et Erechtheide actor §. 11 dicit, sic hanc quae est contra Philinum post cladem siculam habitam esse coniicio: in illis enim rerum angustiis videntur Athenienses thetes ad arma vocasse.

63 1. *θῆτες καὶ θητικόν. Ἀντιφῶν ἐν τῷ κατὰ Φιλίνου φησί· τούς τε θῆτας ἅπαντας ὁπλίτας ποιῆσαι, καὶ Δημοσθένης ἐν τῷ περὶ Ἁγνίου κλήρου „τῶν ἐπικλήρων ὅσαι θητικὸν τελοῦσιν." εἰς τέσσαρα διῃρημένης παρ' Ἀθηναίοις τῆς πολιτείας οἱ ἀπορώτατοι ἐλέγοντο θῆτες καὶ θητικὸν τελεῖν. οὗτοι δὲ οὐδεμιᾶς μετεῖχον ἀρχῆς, ὡς καὶ Ἀριστοτέλης δηλοῖ ἐν Ἀθηναίων πολιτείᾳ. ὅτι δὲ οὐκ ἐστρατεύοντο, εἴρηκε καὶ Ἀριστοφάνης ἐν Δαιταλεῦσιν. ὁ μέντοι Δημοσθένης ἐν τοῖς προκειμένοις ἐπίκληρον ὠνόμασε τὴν πενιχρὰν κόρην, ἣν θῆσσαν ὀνομάζουσιν οἱ Ἀττικοί. ἐπάναγκες δὲ ἦν τοῖς ἔγγιστα γένους τὰς θήσσας ἢ λαμβάνειν πρὸς γάμον ἢ ε' μνᾶς διδόναι, ὡς καὶ Ποσείδιππός που ὁ κωμικός φησιν.* Harpocrat.

64 2. *ἀκροᾶσθαι ἀντὶ τοῦ ὑπακούειν Ἀντιφῶν ἐν τῷ κατὰ Φιλίνου.* Harpocrat. cf. Bekk. an. p. 366, 28.

65 3. *ἀπολαχεῖν ἀντὶ ἁπλοῦ τοῦ λαχεῖν Ἀντιφῶν ἐν τῷ κατὰ Φιλίνου, Λυσίας κατὰ Ποσειδίππου. Ἀριστοφάνης Ταγηνισταῖς „οὐ μὴν ὅ γε σος ἀδελφὸς οὐ ἀπελάγχανεν."* Harpocrat. cf. Bekk. anecd. p. 430, 9 ubi post v. *ἀπόλεμος* duos versus per errorem operarum excidisse I. Bekkerus ipse indicavit p. 1113. Adde Bachm. anecd. 1 p. 127, 9.

66 4. *διάληξις. διαλαγχάνειν τὸ κλήρῳ διαιρεῖσθαι, διάληξις δὲ τὸ πρᾶγμα· Ἀντιφῶν ἐν τῷ κατὰ Φιλίνου.* Harpocrat.

XX. *Πρὸς Φίλιππον ἀπολογία.*

67 *δημοτευόμενος. δημοτεύεσθαί ἐστι τὸ τοῦδέ τινος δήμου κοινωνεῖν καὶ χρηματίζειν ἀπ' αὐτοῦ· Ἀντιφῶν ἐν τῇ πρὸς Φίλιππον ἀπολογίᾳ, εἰ γνήσιος.* Harpocrat.

XXI. *Ἀλκιβιάδου λοιδορίαι.*

Quae Plutarchus addit *λοιδορεῖσθαί τις αὐτῷ δι' ἔχθραν ὁμολογῶν* et ostendunt eum Antiphontis libellum accuratius novisse, et illud efficiunt, ut non orationem contra Alcibiadem in iudicio habitam (cf. Meier de litt. att. p. 484), sed famosum libellum fuisse putem diffamando adversariarum partium principi scriptum. Similis est Andocidis commentarius *πρὸς τοὺς ἑταίρους*. Athenaeus facili errore de oratione cogitare poterat, nisi *ταῖς — λοιδορίαις* scribendum est.

68 1. *Ἐν δὲ ταῖς Ἀντιφῶντος λοιδορίαις γέγραπται, ὅτι παῖς ὢν ἐκ τῆς οἰκίας ἀπέδρα πρὸς Δημοκράτη τινὰ τῶν ἐραστῶν, βουλομένου δ' αὐτὸν ἀποκηρύττειν Ἀρίφρονος Περικλῆς οὐκ εἴασεν εἰπών, εἰ μὲν τέθνηκεν, ἡμέρᾳ μιᾷ διὰ τὸ κήρυγμα φανεῖσθαι πρότερον, εἰ δὲ σῶς ἐστιν, ἄσωστον αὐτῷ τὸν λοιπὸν βίον ἔσεσθαι· καὶ ὅτι τῶν ἀκολουθούντων τινὰ κτείνειεν ἐν τῇ Σιβυρτίου παλαίστρᾳ ξύλῳ πατάξας. Ἀλλὰ τούτοις μὲν οὐκ ἄξιον ἴσως πιστεύειν, ἅ γε λοιδορεῖσθαί τις αὐτῷ δι' ἔχθραν ὁμολογῶν εἶπεν.* Plutarch. Alcibiad. c. 3.

69 2. *περὶ δὲ τῶν Ἀβυδηνῶν Ἀντιφῶν ἐν τῷ κατ' Ἀλκιβιάδου λοιδορίας γράφει οὕτως· Ἐπειδὴ ἐδοκιμάσθης ὑπὸ τῶν ἐπιτρόπων, παραλαβὼν παρ' αὐτῶν τὰ σαυτοῦ χρήματα, ᾤχου ἀποπλέων εἰς Ἄβυδον, οὔτε χρέος ἴδιον σαυτοῦ πραξόμενος οὐδὲν οὔτε προξενίας οὐδεμιᾶς ἕνεκεν, ἀλλὰ τῇ σαυτοῦ παρανομίᾳ καὶ ἀκολασίᾳ τῆς γνώμης ὁμοίους ἔργων τρόπους μαθησόμενος παρὰ τῶν ἐν Ἀβύδῳ γυναικῶν, ὅπως ἐν τῷ ἐπιλοίπῳ βίῳ σαυτοῦ ἔχοις χρῆσθαι αὐτοῖς.* Athenaeus 12 p. 525. B.

XXII. *Προοίμια καὶ ἐπίλογοι.*

De his L. Spengel exposuit *συναγ. τεχνῶν* p. 105 sqq.

70 1. *αἴσθεσθαι καὶ αἰσθάνεσθαι διαφέρει. τὸ μὲν γὰρ αἴσθεσθαι ἐπὶ τοῦ ἀκριβῶς εἰδέναι τι, τὸ δὲ αἰσθάνεσθαι ἐπὶ τοῦ ὑπονοεῖν τι. καὶ περὶ μὲν τοῦ αἴσθεσθαι Ἀντιφῶν ἐν προοιμίοις· Ἐγραψάμην ταύτην τὴν γραφὴν ἠδικημένος ὑπὸ τούτου νὴ Δία πολλά, ἔτι δὲ καὶ πλείω ὑμᾶς ᾐσθημένος ἠδικημένους καὶ τοὺς ἄλλους πολίτας.*

---

16. Demosth. 43 §. 54. 22. Meinek. com. 2 p. 1047. Fritzsch. de A. Daetal. p. 132 sq. 26. Meinek. com. 4 p. 527. 29. *φιλοίνου* F. 31. *φιλοίνου* F. Meinek. com. 2 p. 1151. 33. *οὐ*] *οὐκ* Salmasius, om. N. *οὕτως ἀπέλαχεν* Dobreeus advers. 1 p. 585.

16. Meier. de lit. att. p. 432. 25. cf. Lysias Athenaei 12 p. 534. F. et Triphaletis aristophaneae frg. 2. Plut. Alcib. c. 36. 40. De v. *αἴσθεσθαι* cf. E. Schneid. ad Plat. Civit. 3 p. 248. 43. *αἴσθεσθαι* Zonaras 1 p. 94: erat *αἰσθάνεσθαι*.

τὸ δὲ αἰσθάνεσθαι ἐπὶ τοῦ ὑποπτεύειν καὶ οὐκ ἐπὶ τοῦ βεβαίως εἰδέναι Λυσίας ἐν τῷ πρὸς Ἀλκιβιάδην φησὶν „οἶμαι τοίνυν καὶ ἐκεῖνο ὑμᾶς αἰσθάνεσθαι, ὅτι Ἀρχιβιάδης οὐκ ἄλλο τι ἐζήτει κομίσασθαι, ἀλλὰ τῶν ἐμῶν ἠμφισβήτει.“ ἔταξαν δὲ αὐτὸ καὶ ἐπὶ τοῦ εἰδέναι. Ἰσαῖος· „τί δ' ἐπὶ τοιούτων δεῖ μαρτυριῶν, ὧν οἱ δικάζοντες τὰ μὲν αὐτοὶ εἰσιν εἰδότες, ὅτι ὑγίανεν ὁ παῖς, τὰ δὲ τῶν ἑωρακότων αἰσθανόμενοι μαρτυρούντων, τὰ δὲ ἀκοῇ πυνθανόμενοι.“ Suidas 1, 2 p. 54, 7. cf. Bekk. anecd. p. 359, 6.

71 2. ἅμα· δοτικῇ. Δημοσθένης ἐπὶ τοῦ εὐθέως καὶ παραχρῆμα ἔταξε . . . καὶ ἐν τῷ ὑπὲρ τῶν ῥητόρων λόγῳ εἰπὼν „οὐ γὰρ ὁ θάνατος τοῖς εὖ φρονοῦσιν οἰκτρός· τοῦτο γὰρ ἅμα τῷ γενέσθαι πάντων κατέγνωσται.“ Αἰσχίνης δὲ ἐπὶ τοῦ κατὰ τὸν αὐτὸν καιρὸν ἐν τῷ κατὰ Κτησιφῶντος „ὡς ἀπέδοτο τριάκοντα μνῶν ἅμα τήν τε εἰς αὐτὸν ὕβριν καὶ τὴν τοῦ δήμου καταχειροτονίαν.“ Καὶ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου. καὶ παρὰ τῷ Ἀντιφῶντι δὲ τὸ ἅμα κεῖται ἐπὶ τοῦ αὐτοῦ. φησὶ γὰρ ἐν Προοιμίοις· ἀλλ' εἰ τό τε πρᾶγμά μοι κρεῖττον φαίνεται ἅμα τε μαρτυρίας ἀρετῆς παρέξομαι. καὶ παρὰ Δημοσθένει ἐν τῷ περὶ Στεφάνου „πάσαις δὲ λοιδορίαις καὶ βλασφημίαις ἅμα τούτου κεχρημένου.“ Suidas 1, 1 p. 255 Bernh.

72 3. μοχθηρός· ἐπίπονος ἢ πονηρὸς ἢ κακός. καὶ μοχθηρία ἐπὶ τῆς κακίας τέτακται. οὕτω Δείναρχος. Ἀντιφῶν δὲ ὁ παλαιότατος τῶν ῥητόρων τῷ μὲν μοχθηρῷ ἐχρήσατο οὐκ ἐπὶ τοῦ κακοῦ ἀνδρὸς καὶ εἰσαγομένου εἰς δικαστήριον ἵνα κατηγορηθῇ, ἀλλ' ἐπὶ πατρὸς δίκην λαχόντος ὑπὲρ ἀπεσφαγμένου παιδὸς τὸν μοχθηρὸν ἔταξεν· καί φησιν οὕτως ἐν προοιμίοις καὶ ἐπιλόγοις· κἀγὼ μὲν ὁ μοχθηρός, ὅν τινα ἐχρῆν τεθνηκέναι, ζῶ τοῖς ἐχθροῖς κατάγελως. Photius p. 277, 25. Suidas 2, 1 p. 896, 6.

XXIII. ΡΗΤΟΡΙΚΑΙ ΤΕΧΝΑΙ.

Cf. L. Spengel συναγ. τεχνῶν p. 115 sqq. Westerm. hist. eloqu. gr. p. 141, 13. 143, 27. Mihi quidem haud improbabile videtur esse, quod L. Spengel suspicatur tetralogias quae adhuc exstant partem huius artis effecisse, eosque mihi persuadeo communes locos esse, quos ab Antiphonte tractatos esse Aristoteles apud Ciceronem Bruti §. 47 tradit Vide quae ad Gorgiae frg. 9 adnotavi.

1. Ἀντιφῶν τε ἐν ταῖς ῥητορικαῖς τέχναις τὸ μὲν 73
τὰ παρόντα ἔφη καὶ ὑπάρχοντα καὶ παρακείμενα αἰσθάνεσθαι κατὰ φύσιν εἶναι ἡμῖν, παρὰ φύσιν δὲ τὸ φυλάττειν αὐτῶν ἐκποδὼν γενομένων ἐναργῆ τὸν πόθον. Longinus Walzii 9 p. 576, 22.

2. σημεῖον καὶ τεκμήριον διαφέρει. Ἀντι- 74
φῶν ἐν τῇ τέχνῃ τὰ μὲν παρῳχημένα σημείοις πιστοῦσθαι, τὰ δὲ μέλλοντα τεκμηρίοις. Ammonius π. διαφ. λέξ. p. 127 Valck. cf. Eranius Philo p. 173 Valck., qui nomen scriptoris omisit.

3. ἀστοργία, φιλοστοργία, στοργή. Ἀντι- 75
φῶν ἐν δευτέρῳ περὶ τῆς ῥητορικῆς τέχνης. Antiatticista in Bekk. anecd. p. 78, 6.

4. ἀπαρασκεύαστον· Ἀντιφῶν τρίτῳ ῥητο- 76
ρικῆς τέχνης. Antiatticista in Bekk. anecd. p. 79, 1. ἀπαρασκεύαστον δὲ ἐν ταῖς ῥητορικαῖς τέχναις· δοκοῦσι δ' οὐ γνήσιαι. Pollux 6 §. 143. cf. Ἀληθείας frg. 23.

5. ὀλιγοφιλίαν· Ἀντιφῶν τρίτῳ. Antiatti- 77
cista in Bekk. anecd. p. 110, 33. πολυφιλίαν δὲ καὶ ὀλιγοφιλίαν Ἀντιφῶν. Pollux 3 §. 63.

6. ὅτι δὲ καὶ αὐτὸς ἕκαστος τῶν περὶ λόγους ἐχόν- 78
των ἠξίου ποιεῖν ὀνόματα καινά, δηλοῖ μὲν καὶ Ἀντιφῶν ἱκανῶς, ὅς γε ὅπως αὐτὰ ποιητέον ἐκδιδάσκει. δηλοῖ δὲ καὶ αὐτὸς οὗτος ὁ Ἀριστοφάνης. Galenus τῶν Ἱπποκρ. γλωσσῶν ἐξήγ. 5 p. 705 Bas. 19 p. 66 Kühn.

XXIV. ΠΟΛΙΤΙΚΟΣ.

Explicandum est cur huius commentarioli reliquias hoc loco posuerim. Hermogenes περὶ ἰδεῶν 2, 11 p. 387 W. haec habet: περὶ δὲ Ἀντιφῶντος λέγοντας ἀνάγκη προειπεῖν ὅτι, καθάπερ ἄλλοι τέ φασιν οὐκ ὀλίγοι καὶ Δίδυμος ὁ γραμματικός, πρὸς δὲ καὶ ἀπὸ

---

6. τί Schoemannus ad Isaeum p. 498: τὰ libri. δ' ἐπὶ Sauppius: δὲ libri. δεῖ Schoemannus: δὴ libri. 7. ὧν add. G. Bernhardy. εἰσιν εἰδότες Sauppius: συνειδότες libri. 8 τὰ δὲ add. Schoemannus. 11. Demosth. 4 §. 36. 12. Excidit nomen oratoris, qui pro oratoribus ab Alexandro expostulatis verba fecisse videtur, fortasse Democharis. Ad sententiam cf. Gorgiae Hel. §. 1. Aeschines apud Ioh. Stob. 118, 25. 15. Aeschines 3 §. 52. 17. αὐτὸν Suidas. 18. Dem. 21 §. 34. 21. τό τε Spengel συναγ. p. 105: τότε Suidas. 22. μαρτυρίας Sauppius: μαρτυρίᾳ Suidas. In ἀρετῆς videtur adiectivum latere. παρέξομαι Bernhardy: πράξομαι Suidas. 23. Demosth. 18 §. 34. 32. οὕτως Suidas: Photius οὗτος.

10. Spengel l. d. etiam ea quae sequuntur: ὅθεν ἐπειδὴ παρὰ φύσιν ἐστὶ τὸ μνημονεύειν, ἡ φροντὶς καὶ ἡ ἄσκησις κράτιστον. Antiphontis esse putat, sed Longini esse vel immutata orationis forma ostendit. 13. μὲν παρῳχημένα Eranius: παροιχόμενα Ammonius. 14. πιστοῦσθαι Eranius: πιστεύεσθαι Ammonius. 23. τῶν add. G. Dindorf. ad Aristoph. fragm. p. 42. — Ad artem haec probabiliter J. Jonsius retulit de script hist. philos. 2 p. 244. cui P. van Spaan de Antiphonte p. 807, L. Spengel l. d. p. 116, Fr. V. Fritzschius de Arist. Daetal. p. 35 assentiuntur.

τῆς ἱστορίας φαίνεται. πλείους μὲν γεγόνασιν Ἀντιφῶντες, δύο δὲ οἱ σοφιστεύσαντες, ὧν καὶ λόγον ἀνάγκη ποιήσασθαι. ὧν εἷς μέν ἐστιν ὁ ῥήτωρ, οὗπερ οἱ φονικοὶ φέρονται λόγοι καὶ δημηγορικοὶ καὶ ὅσοι τούτοις ὅμοιοι· ἕτερος δὲ ὁ καὶ τερατοσκόπος καὶ ὀνειροκρίτης λεγόμενος γενέσθαι, οὗπερ οἵ τε περὶ τῆς ἀληθείας λέγονται λόγοι καὶ ὁ περὶ ὁμονοίας καὶ οἱ δημηγορικοὶ καὶ ὁ πολιτικός. Haec, quae sunt in codd., corrupta esse apparet, cum nequeant utrique orationes concionales tribui. Quare I. Taylorus lectt. lys. p. 269 (Reisk. or. gr. vol. 6) verbis quae sunt καὶ οἱ δημηγορικοὶ καὶ ὁ πολιτικός altero loco deletis priore legi iubet καὶ δημηγορικοὶ καὶ ὁ πολιτικὸς καὶ ὅσοι τούτοις ὅμοιοι. Assensus est P. van Spaan de Antiph. p. 805. Sed cum deinde apud Hermogenem sequatur πολὺ γὰρ ὡς ὄντως τὸ παραλλάττον τῶν ἐπιγραφομένων τῆς ἀληθείας λόγων πρὸς τοὺς λοιπούς (p. 386, 6) et ὁ δ' ἕτερος Ἀντιφῶν, οὗπερ οἱ τῆς ἀληθείας εἰσὶ λεγόμενοι λόγοι (p. 387, 21), Taylori ratione reiecta L. Spengel συναγ. τεχν. p. 115 altero loco verba καὶ ὁ περὶ ὁμονοίας καὶ οἱ δημηγορικοὶ καὶ ὁ πολιτικὸς deleri, priore legi vult οὗπερ οἱ φονικοὶ φέρονται λόγοι καὶ ὁ περὶ ὁμονοίας καὶ οἱ δημηγορικοὶ καὶ ὁ πολιτικὸς καὶ ὅσοι τούτοις ὅμοιοι, ita ut Antiphonti Rhamnusio etiam libelli, qui sunt περὶ ὁμονοίας et πολιτικός, tribuantur, alteri non relinquantur nisi libri περὶ τῆς ἀληθείας. Sequuntur Walzius et Westermannus hist. eloqu. gr. p. 62, 1. Sed primum ordo verborum mirabilis displicet, quo οἱ φονικοὶ et οἱ δημηγορικοί, ὁ περὶ ὁμονοίας et ὁ πολιτικὸς divelluntur, deinde etiam particulam quae est τε deleri opus est. Ea vero quamvis minuta sit tamen graviter monet, ne hanc transponendi rationem probemus. Tales particulae addi non solent. Quod de verborum ordine dicebam, etiam Taylori coniecturae obstat. Hermogenem igitur priore loco scripsisse puto οὗπερ οἱ φονικοὶ φέρονται λόγοι καὶ οἱ δημηγορικοὶ καὶ ὅσοι τούτοις ὅμοιοι, altero οὗπερ οἵ τε περὶ τῆς ἀληθείας λέγονται λόγοι καὶ ὁ περὶ ὁμονοίας καὶ ὁ πολιτικός. Omissio articuli fecit, ut quis in margine καὶ οἱ δημηγορικοὶ poneret, quae postea falso loco inserta sunt. Eodem modo quo Hermogenes deinde alterius tantum libros de veritate nominat, etiam dicit ἐκεῖνον οὗπέρ εἰσιν οἱ φονικοί (p. 386, 12). Libellos περὶ ὁμονοίας et πολιτικὸν videtur non accuratius novisse. Quodsi Hermogenem haec tradidisse statuimus, cum ejus testimonio et ea conveniunt, quae Philostratum de libro περὶ ὁμονοίας exposuisse infra videbimus, et ea, quae ex illo opere supersunt. Eandem vero speciem etiam fragmenta Πολιτικοῦ videntur prae se ferre. Quo fit, ut libros περὶ ἀληθείας, περὶ ὁμονοίας, πολιτικὸν non oratoris esse existimem, sed sophistae, quocum Socratem disputavisse Xenophon narrat commentar. 1, 6. Eundem somniorum interpretem fuisse Hermogenes Didymi testimonio confirmat et Aristoteles apud Diog. Laert. 2, 46 dixisse traditur. Ut vero libros περὶ ἀληθείας Protagorae operi cognomini similes fuisse puto, sic Πολιτικὸν cum Protagorae libris, qui sunt περὶ πολιτείας et περὶ τῆς ἐν ἀρχῇ καταστάσεως, comparo. cf. quae J. Frei quaestt. protagor. p. 176 sq. et p. 182 sq. exposuit.

1. καταριστᾷν δὲ εἴρηκεν ἐν τῷ Πολιτικῷ Ἀντιφῶν οὕτως· ὅτ' ἄν τι πράγματα τὰ ἑαυτοῦ ἢ τὰ τῶν φίλων κατηρίστηκεν. Athenaeus X p. 423. A. 79

2. Illi (h. e. Graeci) καταμελεῖν τούτων καὶ ταῦτα. Antiphon ἐν τῷ Πολιτικῷ· μήτε φιλοπότην κληθῆναι καὶ δοκεῖν τὰ πράγματα καταμελεῖν ὑπὸ οἴνου ἡσσώμενον. Priscianus 18 §. 230. 80

3. ἀπειθαρχία· Ἀντιφῶν Πολιτικῷ. Antiatticista in Bekk. anecd. p. 78, 20. 81

4. εὐσύμβολος ἀντὶ τοῦ ῥᾳδίως καὶ εὖ συμβάλλων, τουτέστιν ἀγαθὸς συμβάλλειν, Ἀντιφῶν Πολιτικῷ. Harpocrat. cf. Etym. M. p. 398, 27. 82

5. ἡμιολιασμός. Ἀντιφῶν Πολιτικῷ· διπλασιασμοῦ καὶ ἡμιολιασμοῦ ἀντὶ τοῦ τὸ ἡμιόλιον δοῦναι ἐν τοῖς λογισμοῖς. ἡμιόλιος δ' ἐστὶν ἀριθμὸς ὁ ἔχων ἄλλον ὅλον καὶ τὸ ἥμισυ αὐτοῦ, οἷον ὁ τρία πρὸς τὸν δύο. Ξενοφῶν γοῦν ἐν τῇ Ἀναβάσει φησὶν ὅτι τοῖς στρατιώταις ἐποίησεν ἡμιόλιον τὸν μισθόν, ἀντὶ δαρεικοῦ τρία ἡμιδαρεικά. Harpocrat. διπλασιασμοῦ δὲ Ἀντιφῶν εἶπεν. Pollux 4 §. 164. 83

XXV. ΠΕΡΙ ΟΜΟΝΟΙΑΣ.

Librum περὶ ὁμονοίας Antiphontis Rhamnusii mihi non videri esse supra dixi. Philostratus (vit. sophist. p. 500 Ol.). λόγοι δ' αὐτοῦ, inquit, δικανικοὶ μὲν πλείους, ἐν οἷς ἡ δεινότης καὶ πᾶν τὸ ἐκ τέχνης ἔγκειται, σοφιστικοὶ δὲ καὶ ἕτεροι μέν, σοφιστικώτατος (vulgo σοφιστικώτερος) δὲ ὁ ὑπὲρ τῆς ὁμονοίας, ἐν ᾧ γνωμολογίαι τε λαμπραὶ καὶ φιλόσοφοι σεμνή τε ἀπαγγελία καὶ ἐπηνθισμένη ποιητικοῖς ὀνόμασι καὶ τὰ ἀποτάδην ἑρμηνευόμενα παραπλήσια τῶν πεδίων τοῖς λείοις. Huic iudicio ea quae supersunt optime conveniunt. Videtur vero Antiphon sophista hoc libro concordiae

b. 15. ὅτ' ἄν τι] ὅστις τὰ G. Dindorfius. malim ὅτι τὰ. 19. Πολιτικῷ] levitate insigni A. Krehl κατὰ Πολυεύκτου dedit. 28. ἡμιολιασμοῦ Schneiderus Saxo in lex. s. v.: ἡμιολίστου b. τὸ ἡμιόλιον δοῦναι Sauppius: τῶν ἡμιολίων A, τὰ ἡμιόλια δοῦναι Suidas et Photius, ἡμιόλια δοῦναι D, ἡμιολίων b. 30. ἄλλον ὅλον D, Photius. Suidas: αὐτόν τε b. 31. Xen. An. 1. 3, 21.

amicitiaeque, quae res hominum publicas et privatas conservet et promoveat, praestantiam et commoda praedicavisse.

84 1. *ἀναθέσθαι.* Ἀντιφῶν ἐν τῷ περὶ ὁμονοίας· *ἀναθέσθαι δὲ ὥσπερ πεττὸν τὸν βίον οὐκ ἔστιν*, ἀντὶ τοῦ ἄνωθεν βιῶναι μετανοήσαντας ἐπὶ τῷ προτέρῳ βίῳ. εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν πεττευομένων· Πλάτων ἐν Ἱππάρχῳ ἢ φιλοκερδεῖ. Harpocrat.

85 2. *διάθεσις.* – – καὶ ἀντὶ τοῦ διοίκησις ὁ αὐτὸς ἐν τῷ περὶ ὁμονοίας· *ἀλλὰ εἰδότες τὴν διάθεσιν ἀκούουσιν.* Harpocrat. cf. Antiph. frg. 18.

86 3. *θεαιδέστατον·* θεοῦ ἰδέαν ἔχον. εἶπε δὲ Ἀντιφῶν ἐν τῷ περὶ ὁμονοίας οὕτως· *ἄνθρωπος, ὃς φησὶ μὲν πάντων θηρίων θεαιδέστατον γενέσθαι.* Photius lex. p. 81, 19. Suidas 1, 2 p. 1120, 5. Etym. M. 444, 14. Eustath. ad Hom. Il. 3, 36.

87 4. *θωπεία·* κολακεία, ἡ περισσὴ πρός τινας κολακεία, καὶ τὸ μὴ ἐλευθέρως προσφέρεσθαι τοῖς ὑπερέχουσιν. Ἀντιφῶν ἐν τῷ περὶ ὁμονοίας· *πολλοὶ δ' ἔχοντες φίλους οὐ γιγνώσκουσιν, ἀλλ' ἑταίρους ποιοῦνται θῶπας, πλούτου καὶ τύχης κόλακας.* Suidas 1, 2 p. 1199, 6.

88 5. *ἵνα·* ὅπου. Ἀντιφῶν ἐν τῷ περὶ τῆς ὁμονοίας· *ὀκνεῖν, ἵνα οὐδὲν ἔργον ὀκνεῖν.* Photius p. 108, 5. Suidas 1, 2 p. 992, 9.

89 6. *ἀθεώρητος* ἀντὶ τοῦ ἀθέατος παρ' Ἀντιφῶντι ἐν τῷ περὶ ὁμονοίας. Harpocrat.

90 7. *ἀνδρεία* ἡ τῶν ἀνδρῶν ἡλικία· Ἀντιφῶν ἐν τῷ περὶ ὁμονοίας. Harpocrat.

91 8. *αὐλιζόμενοι* ἀντὶ τοῦ κοιμώμενοι Ἀντιφῶν περὶ ὁμονοίας. Harpocrat. cf. Bekk. anecd. p. 463, 24.

92 9. *βαλβῖσιν* ἀντὶ τοῦ ταῖς ἀρχαῖς· Ἀντιφῶν περὶ ὁμονοίας. εἴρηται δὲ ἀπὸ τῶν δρομέων· ἡ γὰρ ὑπὸ τὴν ὕσπληγγα γινομένη γραμμὴ διὰ τὸ ἐπὶ ταύτης βεβηκέναι τοὺς δρομέας βαλβὶς καλεῖται. Harpocrat.

93 10. *εὐηνιώτατα·* Ἀντιφῶν ἐν τῷ περὶ ὁμονοίας. εὐήνιος ὁ πρᾶος καὶ μέτριος καὶ μὴ ταραχώδης· ἡ μεταφορὰ ἀπὸ τῶν ἵππων. ἔστι τοὔνομα καὶ παρὰ Πλάτωνι ἐν θ' τῶν Νόμων. Harpocrat.

11. *Μακροκέφαλοι·* Ἀντιφῶν ἐν τῷ περὶ ὁμονοίας. ἔθνος ἐστὶν οὕτω καλούμενον, οὗ καὶ Ἡσίοδος μέμνηται ἐν γ' Γυναικῶν καταλόγῳ. Παλαίφατος δ' ἐν ζ' Τρωϊκῶν ἐν τῇ Λιβύῃ φησὶν ὑπεράνω Κόλχων οἰκεῖν τοὺς Μακροκεφάλους. Harpocrat. 94

12. *Σκιάποδες·* Ἀντιφῶν ἐν τῷ περὶ ὁμονοίας. ἔθνος ἐστὶ Λιβυκόν. Κτησίας ἐν περίπλῳ Ἀσίας φησὶν „ὑπὲρ δὲ τούτων Σκιάποδες ὄνομα τούς τε πόδας ὥσπερ οἱ χῆνες ἔχουσι κάρτα πλατέας, καὶ ὅταν θέρμη ᾖ, ὕπτιοι ἀναπεσόντες, ἄραντες τὰ σκέλη σκιάζονται τοῖς ποσίν." Harpocrat. 95

13. *ὑπὸ γῆν οἰκοῦντες·* λέγοι ἂν τοὺς ὑπὸ Σκύλακος ἐν τῷ Περίπλῳ λεγομένους Τρωγλοδύτας καὶ τοὺς ὑπὸ Ἡσιόδου ἐν γ' Καταλόγου Κατουδαίους ὀνομαζομένους. Ἀντιφῶν ἐν τῷ περὶ ὁμονοίας. Harpocrat. 96

14. *φηλώματα* Ἀντιφῶν ἐν τῷ περὶ ὁμονοίας ἐξαπάτας· φηλοῦν γὰρ τὸ ἐξαπατᾶν. Harpocrat. cf. Schol. Aristoph. Pac. 1165. 97

XXVI. *ΑΛΗΘΕΙΑΣ ΛΟΓΟΙ Β.*

Hos libros mihi videri libri protagorei, cui inscriptum erat Ἀλήθεια ἢ περὶ τοῦ ὄντος, *de rerum natura*, similes fuisse supra dixi, cum de Politico exponerem. Quam vere id dixerim, spero iis quae supersunt perlectis omnes intellecturos esse.

1. *ἀδέητος·* ὁ μηδενὸς δεόμενος καὶ πάντα ἔχων. Ἀντιφῶν ἐν α' Ἀληθείας· *διὰ τοῦτο οὐδενὸς δεῖται, οὐδὲ προσδέχεται οὐδενός τι, ἀλλ' ἄπειρος καὶ ἀδέητος.* Suidas 1, 1 p. 94. *ἀδέητος* ἀντὶ τοῦ ἀνενδεὴς παρ' Ἀντιφῶντι Ἀληθείας α'. Harpocrat. et Bekk. anecd. p. 341, 3. 98

2. μέμνημαι δὲ καὶ περὶ τοῦ *τῆς γνώμης* ὀνόματος εἰπὼν ὡς ἐπὶ τῶν παλαιῶν ἐν ἴσῳ εἴτε τῷ διανοίας εἴτε καὶ ἐννοήσεως ἐλέγετο· – – ὥσπερ καὶ ὁ Ἀντιφῶν ἐν τῷ πρώτῳ τῆς Ἀληθείας· *ἐν τῷ λόγῳ* 99

---

4. ἐν τῷ addidi ex DE. – προνοίας DE et Suidae AB, quod placet Bernhardyo. Injuria, neque enim Antiphontis liber de providentia commemoratur et idem color orationis etiam in ceteris fragmentis comparet. 5. πεττὸν τὸν] ἐπὶ τὸν περιττὸν BC. 8. Plat. Hipp. p. 229. E. 13. θεαιδέστατος Suidas, Etym., Eustath. ἔχων Suid., Etym., Eustath., Bekk. anecd. p. 263, 31. 15. μὲν om. Photius, Etym., Eust. θεαιδέστατος Suid. Etym. Eust. quod defendit R. Porson ad E. Phoen. 1730. 23. θῶκας BE. 26. ὀκνεῖν priore loco om. Phot. 30. ἐν τῷ addidi cum E. 34. βαλβῖσιν ἀντὶ τοῦ ταῖς ἀρχαῖς DE, Suidas, Etym. M. p. 186, 22: βαλβίς b. Deinde delevi quae ante εἴρηται legebantur ἡ ἀρχή. 36. γενομένη BC. quidni ἀγομένη. Bkk.

2. Plat. Legg. 9 p. 880. A. 3. μακροκεφάλους BC et Photius. – De hoc frg. et iis quae sequuntur cf. F. G. Schneidewin. conjectan. crit. p. 21 sqq. Blum. de Herod. et Ctes. p. 143. 4. Hesiod. frg. 42 Lehrs. 9. Ctesias Baehrii p. 378. 14. Scylax p. 260 Klausen. 17. καὶ Ἀντιφῶν B. immo haec Ἀντ. – ὁμονοίας ante v. λέγοι ἂν ponenda. Bkk. 32. οὐδὲ Bernhardy: οὔτε libri. ἄπειρος] εὔπορος Ruhnk. apud P. van Spaan de Ant. p. 827. Fort. ἄπηρος h. e. ἀπήρωτος, ἀβλαβής. De Deo haec dicta esse bene suspicatur Ruhnkenius. 36. μέμνημαι Sauppius: erat μέμνηται. 37. εἴτε τῷ Sauppius: erat ἐστὶ τῷ. 39. τῆς basil.: vulgo περὶ τῆς. – vv. ἐν τῷ λόγῳ videntur delenda esse.

τοῦ τάδε γνοὺς εἰς ἕν τε οὐδὲν αὐτῷ οὔτε ἦν ὄψει ορᾷ ὁ ὁρῶν μακρότητα οὔτε ἦν γνώμῃ γιγνώσκει ὁ μακρότητα γιγνώσκων. καὶ πᾶσι γὰρ ἀνθρώποις ἡ γνώμη τοῦ σώματος ἡγεῖται καὶ εἰς ὑγείαν καὶ νόσον καὶ εἰς τἀάλλα πάντα. Galenus in Hippocratis l. de medici officina vol. 18, 2 p. 656 Kühn.

100 3. *καὶ γὰρ τὸ ῥῆμα διαθέσθαι λέγουσιν ἐπὶ τοῦ διοικῆσαι· Ἀντιφῶν Ἀληθείας α΄. γυμνωθεῖσα δὲ ἀφορμῆς πολλὰ ἂν καὶ καλὰ κακῶς διαθεῖτο.* Harpocrat. p. 57, 18. cf. Antiphontis frg. 18.

101 4. *ἔμβιος. Ἀντιφῶν Ἀληθείας α΄· καὶ ἡ σηπεδὼν τοῦ ξύλου ἔμβιος γένοιτο, ἀντὶ τοῦ ἐν τῷ ζῆν, τουτέστι ζήσειε καὶ μὴ ξηρανθείη μηδ' ἀποθάνοι.* Harpocrat. *δοκεῖ δ' ἡ φύσις καὶ ἡ οὐσία τῶν φύσει ὄντων ἐνίοις εἶναι τὸ πρῶτον ενυπάρχον ἑκάστῳ ἀρρύθμιστον καθ' ἑαυτό, οἷον κλίνης φύσις τὸ ξύλον, ἀνδριάντος δ' ὁ χαλκός. σημεῖον δέ φησιν Ἀντιφῶν ὅτι εἴ τις κατορύξειε κλίνην καὶ λάβοι δύναμιν ἡ σηπεδὼν ὥστε ἀνεῖναι βλαστόν, οὐκ ἂν γενέσθαι κλίνην ἀλλὰ ξύλον, ὡς τὸ μὲν κατὰ συμβεβηκὸς ὑπάρχον, τὴν κατὰ νομον διάθεσιν καὶ τὴν τέχνην, τὴν δ' οὐσίαν οὖσαν ἐκείνην ἣ καὶ διαμένει ταῦτα πάσχουσα συνεχῶς. εἰ δὲ καὶ τούτων ἕκαστον πρὸς ἕτερόν τι ταὐτὸ τοῦτο πέπονθεν, οἷον ὁ μὲν χαλκὸς καὶ ὁ χρυσὸς πρὸς ὕδωρ, τὰ δ' ὀστᾶ καὶ ξύλα πρὸς γῆν, ὁμοίως δὲ καὶ τῶν ἄλλων ὁτιοῦν, ἐκεῖνα τὴν φύσιν εἶναι καὶ τὴν οὐσίαν αὐτῶν.* Aristoteles *φυσ. ἀκρ.* 2 p. 193 a 9 Bk. cf. Simplicius 4 p. 316 b 32. 347 a 43. Johannes Italus apud Th. Waitzium praef. ad Aristot. org. 1 p. 15. Fortasse ex libris de veritate etiam ea petita sunt, quae Antiphontem de quadratura circuli docuisse Aristoteles tradidit sophist. elench. c. 11 p. 172 a 3 et *φυσ. ἀκρ.* 1 p. 185 a 17. cf. Simplicius 4 p. 307 a 15. 327 a 30. Schol. ambros. ad analyt. priora p. 75 b 40 apud Waitzium l. d. p. 50.

102 5. *ἀναποδιζόμενα ἀντὶ τοῦ ἐξεταζόμενα ἢ ἀντὶ τοῦ ἄνωθεν τὰ αὐτὰ πολλάκις λεγόμενα ἢ πραττόμενα Ἀντιφῶν Ἀληθείας α΄.* Harpocrat. *καὶ ἀναποδιζόμενα δὲ Ἀντιφῶν, τὰ πάλιν ἐξεταζόμενα.* Pollux 2 §. 196.

103 6. *ἀνήκει παρ' Ἀντιφῶντι Ἀληθείας α΄ ἀντὶ ἁπλοῦ τοῦ ἥκει, ἢ οἷον ἀνεβιβάσθη καὶ προελήλυθεν* Harpocrat. *ἀνήκει Ἀντιφῶν μὲν ἀντὶ τοῦ καθήκει, Ἀμειψίας δὲ ἀνήκω ἀντὶ τοῦ ἀναβέβηκα καὶ προελήλυθα ἔφη.* Bekk. anecd. p. 403, 5 et Suidas.

7. *ἄοπτα ἀντὶ τοῦ ἀόρατα καὶ οὐκ ὀφθέντα ἀλλὰ δόξαντα ὁρᾶσθαι Ἀντιφῶν Ἀληθείας α΄.* Harpocrat. Bekk. anecd. p. 414, 6 cf. Pollux 2 §. 58. 104

8. *ἀπαθῆ ἀντὶ τοῦ τὰ μὴ ὡς ἀληθῶς γεγονότα πάθη Ἀντιφῶν Ἀληθείας α΄.* Harpocrat. 105

9. *Ἀφροδίτης· ἀντὶ τοῦ Ἀφροδισίων. οὕτως Ἀντιφῶν ἐν ἀληθείας πρώτῳ.* Bekk. anecd. p. 472, 14. 106

10. *δεήσεις ἀντὶ τοῦ ἐνδείας Ἀντιφῶν Ἀληθείας α΄.* Harpocrat. 107

11. *ἐπαλλάξεις ἀντὶ τοῦ συναλλαγὰς ἢ μίξεις Ἀντιφῶν Ἀληθείας α΄.* Harpocrat. 108

12. *ὀριγνηθῆναι ἀντὶ τοῦ ἐπιθυμῆσαι Ἀντιφῶν Ἀληθείας α΄.* Harpocrat. 109

13. *οὕτω δὲ καὶ παρ' Ἀντιφῶντι κατὰ τὸ δεύτερον τῆς Ἀληθείας ἔστιν εὑρεῖν γεγραμμένην τὴν προσηγορίαν ἐν τῇδε τῇ ῥήσει· ὅταν οὖν γένωνται ἐν τῷ ἀέρι ὄμβροι τε καὶ πνεύματα ὑπεναντία ἀλλήλοις, τότε συστρέφεται τὸ ὕδωρ καὶ πυκνοῦται κατὰ πολλά. ὅ τι δ' ἂν τῶν ξυμπιπτόντων κρατηθῇ, τοῦτ' ἐπυκνώθη καὶ συνεστράφη ὑπό τε τοῦ πνεύματος εἰλούμενον καὶ ὑπὸ τῆς βίας. καὶ γὰρ καὶ οὗτος τὸ κατακλειόμενον ἢ συνειλούμενον εἰς ἑαυτὸ φαίνεται δηλῶν διὰ τῆς εἰλουμένου φωνῆς.* Galenus in Hippocr. epidem. l. 3. vol. 17, 1 p 681 Kühn. 110

14. *γρυπάνιον. Ἀντιφῶν Ἀληθείας β΄. καῖον γὰρ τὴν γῆν καὶ συντῆκον γρυπάνιον ποιεῖ. καὶ Μελάνθιος ἐν β΄ Ἀτθίδος εἰπὼν σεισμὸν γεγονέναι φησὶ „καὶ ἔγρυπεν ἡ γῆ." Διονύσιος μὲν οὖν ὁ τοῦ Τρύφωνος ἐν δ΄ Ὀνομάτων „γρυπαίνειν ἐστὶ" φησι „τὸ γρυποῦσθαι, οἷον τὰ ἁπαλὰ ξυλήφια ὅταν κάμψαντες ἀφῶμεν." μήποτε δ' ἐμφαίνουσιν οἱ συγγραφεῖς ὡς γινομένης κατὰ τοὺς σεισμοὺς γρυπότητός τινος περὶ τὴν γῆν.* Harpocrat. et Etym. M. p. 242, 9. ubi v. 7 haec leguntur: *γρυπανίζειν· σείεσθαι τὴν γῆν παλλομένην καὶ ὥσπερ ῥυσοῦσθαι ἀπὸ σεισμοῦ. οὕτως Ἀντιφῶν.* 111

15. *Ἀντιφῶν δὲ τῇ διαθέσει ἐχρήσατο ἐπὶ* 112

---

1. *τοῦ τάδε*] sic basil. *ταῦτα δὲ* vulgo. Sententiam democriteae similem de sensuum et cognitionis natura fallaci verba corrupta videntur continuisse. *οὔτε ἦν* Sauppius: erat *οὐτέων*. 2. *ὄψει*] cf. frg. 36 et 178. *ὁρᾷ ὁ ὁρῶν* Sauppius: *ὁρῶν* basil., *ὁρᾷ* vulgo. *οὔτε ἦν* Sauppius: erat *οὐτιῆν*. 3. erat *καὶ πᾶσι*. 5. *εἰς τὰ* basil.: vulgo *τά*. 12. *ῆ*] *ἡ γῆ* A. *σηπεδών*] *ἐμπεδών* G. 13. *γένοιτο* om. C. 42. Harpocrationis accurata explicatio maiorem fidem facit, quam altera.

2. Meinek. fragm. com. 2 p. 713. 14. cf. Wess. ad Herodot. 1, 74. Brandis hist. philos. 1 p. 319. 16. *ὀριγνηθῆναι* A. 23. *ὅ τι*] erat *ὅτι*. 24. *κρατηθῇ* Sauppius: erat *κρατήσῃ*. 28. de v. *εἱλεῖν* et cognatis cf. Ruhnk. ad Tim. lex. p. 69 sqq. et 94 sq. Boeckh. de Plat. globorum coel. syst. p. VII sqq. Buttm. lexil. 2 p. 141 sqq. Wex. ad S. Antig. 2 p. 130. Fritzsch. ad Ar. Ran. p. 344 sqq. 30. *καίων — συντήκων* DE, Suidas, Etym. M. De re cf. A. Forbigeri geogr. ant. 1 p. 638.

γνώμης ἢ διανοίας. ὁ αὐτὸς καὶ ἐπὶ τοῦ διαθεῖναι λόγον, τουτέστιν ἐπὶ τοῦ ἐξαγγεῖλαί τι ἐν τῷ δευτέρῳ τῆς Ἀληθείας. ὁ αὐτὸς κέχρηται αὐτῷ καὶ ἐπὶ τῆς διακοσμήσεως. Suidas 1, 1 p. 1279, 11. Ulp. ad Demosth. 2 §. 16.

113 16. *διάστασις.* Ἀντιφῶν Ἀληθείας β'· *περὶ τῆς νῦν κρατούσης διαστάσεως*, ἀντὶ τοῦ διακοσμήσεως τῶν ὅλων. Harpocrat.

114 17. *δίνῳ* ἀντὶ τοῦ δινήσει Ἀντιφῶν Ἀληθείας β.' Harpocrat.

115 18. *φορίνης·* Ἀντιφῶν Ἀληθείας β.' ὅτι καὶ ἐπ' ἀνθρωπείου δέρματος ἐλέγετο ἡ φορίνη, καὶ Ἀριστομένης ἐν Γόησι δῆλον ποιεῖ. Harpocrat. p. 182, 13. cf. p. 153, 11. Etym. M. p. 798, 34.

19. *ἀειεστώ·* Ἀντιφῶν τὴν ἀϊδιότητα καὶ τὸ
116 ἐπὶ τῶν αὐτῶν ἀεὶ ἑστάναι· ὥσπερ καὶ εὐεστὼ ἡ
εὐδαιμονία καλεῖται. ἡ λέξις παρὰ τῷ Διογενιανῷ. ἐν Ἀληθείας δευτέρῳ. Suidas 1, 1 p. 124, 5. Idem s. v. αἰειεστώ 1, 2 p. 22, 13 ἡ λέξις Διογενειανοῦ ἐν Ἀληθείας δευτέρῳ τοῦ Ἀντιφῶντος. Harpocrat. p. 7, 1 non habet ea, quae post καλεῖται apud Suidam adduntur.

20. κἂν Ἀντιφῶν, ἄλλος ῥήτωρ νομιζόμενος εἶναι,
117 καὶ τὴν πρόνοιαν ἀναιρῶν ἐν τοῖς ἐπιγεγραμμένοις
περὶ Ἀληθείας παραπλησίως τῇ Κέλσου ἐπιγραφῇ. Origenes adv. Celsum l. 4. vol. 1 p. 518. D. Delarue.

21. *ἄγειν·* - - Ἀντιφῶν δ' ἐν τῷ περὶ ἀληθείας
118 φησί· *τοὺς νόμους μεγάλους ἄγοι*, ἀντὶ τοῦ
ἡγοῖτο. τούτου πολλὴ ἡ χρῆσις. Harpocrat. p. 2, 13. Bekk. anecd. p. 330, 2. cf. Isaei frg. ὑπὲρ Εὐμάθους.

22. *ἄβιος·* πλούσιος, ὡς *Ἀντιφῶν* ἐν Ἀληθείᾳ.
119 Hesychius 1 p. 17. *ἄβιος.* τὸν ἄβιον Ἀντιφῶν ἐπὶ
τοῦ πολὺν βίον κεκτημένου ἔταξεν, ὡς Ὅμηρος ἄξυλον ὕλην λέγει τὴν πολύξυλον. Harpocrat. Pollux 6 §. 196.

120 23. *ἀπαρασκεύῳ* ἐν τοῖς περὶ ἀληθείας *Ἀντιφῶν* εἶπεν, *ἀπαρασκεύαστον* δὲ ἐν ταῖς ῥητορικαῖς τέχναις· δοκοῦσι δ' οὐ γνήσιαι. Pollux 6 §. 143.

121 24. *Ἀντιφῶν* ἰδίῳ φέγγει λάμπειν τὴν σελήνην· τὸ δὲ ἀποκρυπτόμενον περὶ αὐτὴν ὑπὸ τῆς προσβολῆς τοῦ ἡλίου ἀμαυροῦσθαι, πεφυκότος τοῦ ἰσχυροτέρου πυρὸς τὸ ἀσθενέστερον ἀμαυροῦν· ὃ δὴ συμβαίνειν καὶ περὶ τὰ ἄλλα ἄστρα. Plutarchus mor. p. 891. D. et Galenus de histor. philos. vol. 19 p. 281 Kühn.

25. *Ἀντιφῶν* (sc. τὴν θάλασσάν φησιν εἶναι) 122
ἱδρῶτα θερμοῦ, ἐξ οὗ τὸ περιληφθὲν ὑγρὸν ἀπεκρίθη, τῷ καθεψηθῆναι παραλυκίσαντα, ὅπερ ἐπὶ παντὸς ἱδρῶτος συμβαίνειν. Plutarchus Mor. p. 897. A. et Galenus de hist. philos. vol. 19 p. 299 Kühn.

XXVII.

λέγουσι δέ τινες δικανικὸν λόγον εἰρηκέναι πρῶτον 123
Μενεσθέα τὸν στρατηγὸν τῶν Ἀθηναίων, ὃς καὶ ἐπὶ Τροίαν ἀφίκετο, ἄλλοι δὲ λέγουσιν Ἀντιφῶντα τοῦτον τὸν ῥήτορα, κατὰ Θησέως περὶ τῶν Παλλαντιδῶν. Walzii rhet. gr. 7 p. 5, 26. (Spengel. συναγ. τεχν. p. 211). In bis verbis M. Meierus comment. andocid. 3 p. XII inesse putat, Antiphontem exercitationis causa orationem Menesthei contra Theseum composuisse. Neque potest negari ea quae de Menesthei studiis eloquentiae a Plutarcho Thes. c. 13 et de Thesei causa, in Delphinio Pallantidarum caedis rei, a Pausania 1. 28, 10 narrantur huic Meieri coniecturae bene convenire. Haud scio tamen an rhetor scripserit: *ἀφίκετο, κατὰ Θησέως περὶ τῶν Παλλαντιδῶν. ἄλλοι δὲ λέγουσιν Ἀντιφῶντα τὸν ῥήτορα* (sc. *δικανικὸν λόγον εἰρηκέναι πρῶτον*). Antiphontem enim primum orationes iudiciales composuisse rhetores illi et grammatici saepissime tradiderunt.

XXVIII. *ΑΠΑΡΑΣΗΜΑ.*

1. Ἀντιφῶντος. *Ὅστις δὲ τῶν αἰσχρῶν ἢ τῶν* 124
κακῶν μήτε ἐπεθύμησε μήτε ἥψατο, οὐκ ἔστι σώφρων· οὐ γὰρ ἔσθ' ὅπου κρατήσας αὐτὸς ἑαυτὸν κόσμιον παρέχεται. Stobaeus floril. 5, 53 et S. Maximus ἀπομνημον. p. 167 ed. turic.

2. Ἀντιφῶντος. *Νόσος δειλοῖσιν ἑορτή. οὐ* 125

---

2. δευτέρῳ] ιϛ' Ulp. sed vv. ἐν — Ἀληθείας recte ad priora refert, cum apud Suidam cum iis quae sequuntur coniungantur: qui verborum ordo grammaticorum consuetudini adversatur. — Ultima ὁ αὐτὸς — διακοσμήσεως L. Küsterus errori vel Suidae vel alius grammatici deberi vidit, qui ad v. διάθεσις referret, quae de v. διάστασις monita erant. cf. Antiph. frg. 113. 8. δίνῳ — δινήσει G. Dindorf. ad Steph. thes. 2 p. 1507: δινῶ δινήσω N. δείνῳ — δεινήσει b. 10. φορίνη CG. 12. Meinek. com. gr. 2 p. 732. 17. Mihi et mentio Diogeniani et librorum de Veritate a lectoribus doctis Suidae verbis videtur addita esse. 24. ἀναιρῶν] erat ἀναίρων. 28. τοὺς] καὶ τοὺς K. μεγάλως Suidas. cf. Lobeck. Phryn. p. 418 sq. ἄγει B. 29. ἡγεῖτο F, ἡγεῖται BCGH. 33. Hom. Il. 11, 155. — Cf. Schweigh. ad gloss. herod. 2 p. 345 ed. Gaisf. 35. Ἀντιφῶν cod. Falckenb.: Ξενοφῶν reliqui. 38. hoc fragmentum et vicesimum quintum ad librum secundum Veritatis pertinere frg. 13 et 14 satis perspicue demonstrant.

1. συμβαίνει τὰ περὶ Galenus. 5. περιλειφθὲν Galenus. 6. παραλυκίσαντα Sauppius: παραλυκίσαν Plutarchus, παρακυλίσασα Galenus. 7. συμβαίνειν Sauppius: erat συμβαίνει. cf. frg. 121. 34. τῶν om. A. — Haec et quae sequuntur, ab Ioanne Stobaeo conservata, ex libro περὶ ὁμονοίας et politico mihi videntur excerpta esse. 36. ὅπου Sauppius: erat ὅτου. cf. frg. 129 extr.

γὰρ ἐκπορεύονται ἐπὶ πρᾶξιν. **Stobaeus floril. 8, 18.**

126 3. *Ἀντιφῶντος. Οἱ δὲ ἐργαζόμενοι μὲν καὶ φειδόμενοι καὶ ταλαιπωροῦντες καὶ προστιθέντες ἥδονται, οἷα δή τις ἂν εἰκάσειεν ἥδεσθαι, ἀφαιροῦντες δὲ καὶ χρώμενοι ἀλγοῦσιν, ὥσπερ ἀπὸ τῶν σαρκῶν ἀφαιρούμενοι.* **Stobaeus floril. 10, 40.**

127 4. *Ἀντιφῶντος. Εἰσί τινες, οἳ τὸν παρόντα μὲν βίον οὐ ζῶσιν, ἀλλὰ παρασκευάζονται πολλῇ σπουδῇ, ὡς ἕτερόν τινα βίον βιωσόμενοι, οὐ τὸν παρόντα· καὶ ἐν τούτῳ παραλειπόμενος ὁ χρόνος οἴχεται.* **Stobaeus floril. 16, 19.**

128 5. *Ἀντιφῶντος. Ἔστι δέ τις λόγος, ὡς ἄρα ἰδὼν ἀνὴρ ἄνδρα ἕτερον ἀργύριον ἀναιρούμενον πολὺ ἐδεῖτό οἱ δανεῖσαι ἐπὶ τόκῳ, ὁ δ' οὐκ ἠθέλησεν, ἀλλ' ἦν οἷος ἀπιστεῖν τε καὶ μὴ ὠφελεῖν μηδένα, φέρων δ' ἀπέθετό ποι δή· καί τις καταμαθὼν τοῦτο ποιοῦντα ὑφείλετο, ὑστέρῳ δὲ χρόνῳ ἐλθὼν οὐχ εὕρισκε τὰ χρήματα ὁ καταθέμενος. περιαλγῶν οὖν τῇ συμφορᾷ τά τε ἄλλα καὶ ὅτι οὐκ ἔχρησε τῷ δεομένῳ, ὃ ἂν αὐτῷ καὶ σῶον ἦν καὶ ἕτερον προσέφερεν, ἀπαντήσας τῷ ἀνδρὶ τῷ τότε δανειζομένῳ ἀπωλοφύρετο τὴν συμφοράν, ὅτι ἐξήμαρτε καὶ ὅτι οἱ μεταμέλει οὐ χαρισαμένῳ, ἀλλ' ἀχαριστήσαντι, καὶ πάντως οἱ ἀπολόμενον τὸ ἀργύριον. ὁ δ' αὐτὸν ἐκέλευε μὴ φροντίζειν, ἀλλὰ νομίζειν αὑτῷ εἶναι καὶ μὴ ἀπολωλέναι, καταθέμενον λίθον εἰς τὸ αὐτὸ χωρίον· πάντως γὰρ οὐδ' ὅτε ἦν σοι ἐχρῶ αὐτῷ, ὅθεν μηδὲ νῦν νόμιζε στερεσθαι μηδενός. ὅτῳ γάρ τις μὴ ἐχρήσατο μηδὲ χρήσεται, ὄντος ἢ μὴ ὄντος αὐτῷ οὐδὲν οὔτε πλέον οὔτε ἔλασσον βλάπτεται. ὅτῳ γὰρ ὁ θεὸς μὴ παντελῶς βούλεται ἀγαθὰ διδόναι ἀνδρί, χρημάτων πλοῦτον παρασχών, τοῦ φρονεῖν δὲ καλῶς πένητα ποιήσας, τὸ ἕτερον ἀφελόμενος ἑκατέρων ἀπεστέρησεν.* **Stobaeus florileg. 16, 29. cf. 104, 19.**

129 6. *Ἀντιφῶντος. Ὅστις δὲ ἰὼν ἐπὶ τὸν πλησίον κακῶς ποιήσων δειμαίνει, μή, ἃ θέλει ποιῆσαι, ἁμαρτὼν τούτων, ἃ μὴ θέλει ἀπενέγκηται, σωφρονέστερος. ἐν ᾧ γὰρ δειμαίνει, μέλλει· ἐν ᾧ δὲ μέλλει, πολλάκις ὁ διὰ μέσου χρόνος ἀπέστρεψε τὸν νοῦν τῶν θελημάτων· καὶ ἐν μὲν τῷ γεγενῆσθαι οὐκ ἔνεστιν, ἐν δὲ τῷ μέλλειν ἐνδέχεται γενέσθαι. Ὅστις δὲ δράσειν μὲν οἴεται τοὺς πέλας κακῶς, πείσεσθαι δ' οὔ, οὐ σωφρονεῖ. ἐλπίδες δ' οὐ πανταχοῦ ἀγαθόν· πολλοὺς γὰρ τοιαῦται ἐλπίδες κατέβαλον εἰς ἀνηκέστους συμφοράς, ἃ δ' ἐδόκουν τοὺς πέλας ποιήσειν, παθόντες ταῦτα ἀνεφάνησαν αὐτοί. σωφροσύνην δὲ ἀνδρὸς οὐκ ἂν ἄλλο ὀρθότερόν τις κρίνειεν, ἢ ὅστις τοῦ θυμοῦ ταῖς παραχρῆμα ἡδοναῖς ἐμφράσσει αὐτὸς ἑαυτὸν κρατεῖν τε καὶ νικᾶν ἠδυνήθη αὐτὸς ἑαυτόν· ὃς δὲ θέλει χαρίσασθαι τῷ θυμῷ, παραχρῆμα θέλει τὰ κακίω ἀντὶ τῶν ἀμεινόνων.* **Stobaeus floril. 20, 66.**

7. *Ἀντιφῶντος. Φέρε δὴ προελθέτω ὁ βίος εἰς τὸ* 130
πρόσθεν καὶ γάμων καὶ γυναικὸς ἐπιθυμησάτω. αὕτη ἡ ἡμέρα, αὕτη ἡ νὺξ καινοῦ δαίμονος ἄρχει, καινοῦ πότμου· μέγας γὰρ ἀγὼν γάμος ἀνθρώπῳ. εἰ γὰρ τύχοι μὴ ἐπιτηδεία ἡ γαμουμένη, τί χρὴ τῇ συμφορᾷ χρῆσθαι; χαλεπαὶ μὲν ἐκπομπαί, τοὺς φίλους ἐχθροὺς ποιῆσαι, ἴσα φρονεῖν ἴσα βαίνειν ἀξιώσαντα καὶ ἀξιωθέντα· χαλεπὸν δὲ κεκτῆσθαι κτῆμα τοιοῦτον, δοκοῦντα ἡδονὰς κτᾶσθαι λύπας ἄγεσθαι. φέρε δή, μὴ τὰ παλίγκοτα λέγωμεν, λεγέσθω τὰ πάντων ἐπιτηδειότατα. τί γὰρ ἥδιον ἀνθρώπῳ γυναικὸς καταθυμίας; τί δὲ γλυκύτερον, ἄλλως τε καὶ νέῳ; ἐν τῷ αὐτῷ δέ γε τούτῳ, ἔνθα τὸ ἡδὺ ἔνεστι, πλησίον που καὶ τὸ λυπηρόν· αἱ γὰρ ἡδοναὶ οὐκ ἐπὶ σφῶν αὐτῶν ἐμπορεύονται, ἀλλ' ἀκολουθοῦσιν αὐταῖς λῦπαι καὶ πόνοι. ἐπεὶ καὶ ὀλυμπιονῖκαι καὶ πυθιονῖκαι καὶ οἱ τοιοῦτοι ἀγῶνες καὶ σοφίαι καὶ πᾶσαι ἡδοναὶ ἐκ μεγάλων λυπημάτων ἐθέλουσι παραγίγνεσθαι· τιμαὶ γὰρ καὶ ἆθλα, δελέατα, ἃ ὁ θεὸς ἔδωκεν ἀνθρώποις, μεγάλων πόνων καὶ ἱδρώτων εἰς ἀνάγκας καθιστᾶσιν. ἐγὼ γὰρ οὐκ ἂν δυναίμην ζῆν, μὴ οὕτως ἐμαυτῷ πολλὰ πράγματα παρέχων ὑπέρ τε τῆς ὑγείας τοῦ σώματος ὑπέρ τε τοῦ καθ' ἡμέραν βίου ὑπέρ τε δόξης καὶ σωφροσύνης καὶ εὐκλείας καὶ τοῦ εὖ ἀκούειν. τί οὖν εἴ μοι γένοιτο σῶμα ἕτερον τοιοῦτον, ὅ γέ μοι οὕτως ἐπιμελὲς εἴη; οὐκ οὖν δῆλον, ὅτι γυνὴ ἀνδρί, ἐὰν ᾖ καταθυμία, οὐδὲν ἐλάττους τὰς φιλότητας παρέχεται καὶ τὰς ὀδύνας ἢ αὐτὸς αὑτῷ ὑπέρ τε τῆς ὑγείας δισσῶν σωμάτων ὑπέρ τε τοῦ βίου τῆς συλλογῆς ὑπέρ τε τῆς

---

9. *Ἀντιφῶντος — βιωσόμενοι* om. A. 23. *ἀπαντήσας* Sauppius: erat *ἀπαντήσας δέ*. 26. *ἀχαριστεῖν ἀντὶ τοῦ μὴ χαρίζεσθαι. οὕτως Ἀντιφῶν.* Harpocr. p. 43, 3. Bekk. anecd. p. 218, 11. 473, 17. 19. 28. erat *αὐτῷ*. 33. *ὅτῳ* Sauppius: *τῷ* A. Voss. Trinc. 104, *ὅταν* vulgo. *βούλεται* 104: *βούληται* vulgo. 34. *φρονεῖν δὲ καλῶς* Sauppius: *καλῶς φρονεῖν* (*φθονεῖν* A) 104, *φρονεῖν καλῶς* vulgo. 41 *νοῦν*] erat *νόον*.

1. Fort. *οὐκ ἔνεστι μὴ γενέσθαι, ἐν δὲ —*. 3. *δὲ οὔ* F. Jacobs anthol. vol. 11 p. 156: *δὲ ἃ* codd., *δὲ μὴ* Gaisfordius. 7. *ἄλλο* Sauppius: erat *ἄλλος*. 13. *Ἀντιφάνους* Trinc. *προελθ.* Sauppius: erat *προσελθ.* 16 *τύχῃ* A. 17. *ἡ γαμουμένη* Sauppius: erat *γενομένη*. 19. *ἴσα φρονεῖν ἴσα βαίνειν* Sauppius: erat *ἴσα φρονοῦντας ἴσα πνέοντας*. De formula proverbiali *ἴσα βαίνειν* v. Ph. Buttmann. in Friedem. miscell. crit. 2 p. 49 sqq. 21. *ἄδεσθαι* B. 24. *νέα* A, *νέας* B. 26. *ἐπὶ*] *ἐκ* Stob. 6, 7. *ἐκπορεύονται* idem. 30. *γὰρ καὶ* Sauppius: *καὶ γὰρ* A, *καὶ* B, *γὰρ* vulgo. 32. erat *καθιστῶσιν*. *ἐγὼ γὰρ* Sauppius: erat *ἐγὼ γάρ, εἴ μοι γένοιτο σῶμα ἕτερον τοιοῦτον οἷον ἐγώ, ἐμαυτῷ* cf. v. 36. 33. *μὴ* addidi. 35. *βίου* Sauppius: erat *βίου ἐς τὴν ξυλλογήν*. 36. *τί οὖν*] *τί ἂν* AB. 37. *μοι, μὴ* AB. 40. *ὠδῖνας* B. 41. *συλλογῆς* Sauppius: erat *συλλογῆς καί*.

σωφροσύνης καὶ τῆς εὐκλείας; φέρε δὴ καὶ παῖδες γενέσθωσαν· φροντίδων ἤδη πάντα πλέα καὶ ἐξοίχεται τὸ νεοτήσιον σκίρτημα ἐκ τῆς γνώμης καὶ τὸ πρόσωπον οὐκέτι τὸ αὐτό. Stobaeus florileg. 68, 37.

131 8. *Ἀντιφῶντος. Εὐκατηγόρητος πᾶς ὁ βίος θαυμαστῶς ὦ μακάριε καὶ οὐδὲν ἔχων περιττὸν οὐδὲ μέγα καὶ σεμνόν, ἀλλὰ πάντα σμικρὰ καὶ ἀσθενῆ καὶ ὀλιγοχρόνια καὶ ἀναμεμιγμένα λύπαις μεγάλαις.* Stobaeus florileg. 98, 56.

132 9. *Ἀντιφῶντος. Τὸ ζῆν ἔοικε φρουρᾷ ἐφημέρῳ τό τε μῆκος τοῦ βίου ἡμέρᾳ μιᾷ, ὡς ἔπος εἰπεῖν, ἣν ἀναβλέψαντες πρὸς τὸ φῶς παρεγγυῶμεν τοῖς ἐπιγιγνομένοις ἑτέροις.* Stobaeus floril. 98, 63.

133 10. *Ἀντιφῶντος. Πρῶτον οἶμαι τῶν ἐν ἀνθρώποις ἐστὶ παίδευσις· ὅταν γάρ τις πράγματος κἂν ὁτουοῦν τὴν ἀρχὴν ὀρθῶς ποιήσηται, εἰκὸς καὶ τὴν τελευτὴν ὀρθῶς γίγνεσθαι· καὶ γὰρ τῇ γῇ οἷον ἄν τις τὸ σπέρμα ἐναρόσῃ, τοιαῦτα καὶ τὰ ἔκφορα δεῖ προσδοκᾶν, καὶ ἐν νέῳ σώματι ὅταν τις τὴν παίδευσιν γενναίαν ἐναρόσῃ, ζῇ τοῦτο καὶ θάλλει διὰ παντὸς τοῦ βίου καὶ αὐτὸ οὔτε ὄμβρος οὔτε ἀνομβρία ἀφαιρεῖται.* Stobaeus florileg. append. flor. 16, 36. (4 p 37 Gaisf.)

134 11. *Τοῦ αὐτοῦ. Ἀναρχίας δ' οὐδὲν κάκιον ἀνθρώποις· τοῦτο γιγνώσκοντες οἱ πρόσθεν ἄνθρωποι ἀπὸ τῆς ἀρχῆς εἴθιζον τοὺς παῖδας ἄρχεσθαι καὶ τὸ κελευόμενον ποιεῖν, ἵνα μὴ ἐξανδρούμενοι εἰς μεγάλην μεταβολὴν ἰόντες ἐκπλήσσοιντο.* Stobaeus florileg. append. flor. 16, 37.

135 12. *Ἀντιφῶν ὁ ῥήτωρ λέγει· γηροτροφία γὰρ προσέοικε παιδοτροφίᾳ.* Clemens Alex. Strom. 6 p. 265, 45 Sylb. Schol. Aristoph. Nub. 1417.

136 13. *διαλαχεῖν δὲ τὸ διανείμασθαι οἱ ῥήτορες εἰρήκασι. Ἀντιφῶν· ὁπότ' ἄνθρωποι βούλοιντο χρήματα διαλαχεῖν.* Suidas 1, 1 p. 611, 16.

137 14. *ἱκετεία· ἡ ἱκεσία. ἱκετεία δὲ ἱκετηρίας διαφέρει. ἱκετεία μέν ἐστιν ἣν ποιεῖταί τις διὰ τῶν λόγων, ὅταν δέηται συγγνώμης τυχεῖν ἢ ἐλέους. Ἀντιφῶν· περὶ τοῦ μὴ ἐλεεῖν ὑμᾶς ἐμὲ ἐδεήθη, δείσας μὴ ἐγὼ δάκρυσι καὶ ἱκετείαις πειρῶμαι ὑμᾶς ἀναπείθειν. ἱκετηρία δέ ἐστιν ἣν οἱ δεόμενοι κατατίθενταί που ἢ μετὰ χεῖρας ἔχουσιν.* Suidas 1, 2 p. 977, 1.

138 15. *ὀκνῶ· φοβοῦμαι. καὶ πυκνῶς τούτῳ κέχρηται Σοφοκλῆς ἐπὶ τοῦ φοβεῖσθαι·*

φρονοῦντα γάρ νιν οὐκ ἂν ἐξέστην ὄκνῳ.

καὶ οἱ ῥήτορες οὐκ ἐπὶ δειλίας καὶ ῥᾳθυμίας ἐχρήσαντο τῷ ὀνόματι, ἀλλ' ἐπὶ τοῦ φόβου καὶ τοῦ φοβεῖσθαι. Ἀντιφῶν· κακῶν δ' ἂν εἴη ἐπ' ἀποῦσι μὲν καὶ μέλλουσι τοῖς κινδύνοις τῇ γλώττῃ θρασύνεσθαι καὶ τῷ θέλειν ἐπείγειν, τὸ δὲ ἔργον ἂν παρῇ, ὀκνεῖν. καὶ Δημοσθένης ἐν Φιλιππικῶν πρώτῳ κ. τ. λ. Suidas 2, 1 p. 1074, 14.

139 16. *πατρῴων. πατρῷα λέγουσιν οἱ ῥήτορες, ὅταν αὐτοῖς ὁ λόγος ᾖ περὶ χρημάτων ἢ τόπων. Ἰσαῖος· ἀποφαίνω γὰρ ὑμῖν, ὡς οὐκ ἔστι τῆς ἐπικλήρου τὸ χωρίον τοῦτο οὐδ' ἐγένετο πώποτε, ἀλλ' ὡς ἦν πατρῷον Λυσιμένει, τῷ πατρὶ Μενεκράτους, ὁ δὲ Λυσιμένης ἔσχε τὰ πατρῷα πάντα. Πάτρια δὲ λέγουσι τὰ ἔθη καὶ τὰ νόμιμα καὶ τὰ μυστήρια καὶ τὰς ἑορτάς. Ἀντιφῶν· τοῦτο δὲ τοὺς νόμους εἰδὼς πατρίους καὶ παλαιοὺς ὄντας ὑμῖν.* Suidas 2, 2 p. 146, 4. cf. frg. Isaei or. c. Dioclem.

140 17. *Κλαζομένιον* (sc. *σχῆμα*) *ὡς τὸ πορεύομαι σὺν ἀγῶνι ἀντὶ τοῦ εἰς ἀγῶνα. ἀλλάσσον τὴν αἰτιατικὴν εἰς δοτικὴν καὶ τὴν πρόθεσιν εἰς εἰς τὴν πρόθεσιν σύν. ὡς τὸ σὺν πατρίδι ἔβη ἀντὶ τοῦ εἰς τὴν πατρίδα· οὕτως Ἀντιφῶν.* Lesbonax π. σχημ. p. 180 Valck.

141 18. *Ἀντιφῶν δὲ καὶ ἐξεληλάσθαι πανοικεσίᾳ.* Pollux 6 §. 163.

142 19. *τέως· οἱ ῥήτορες ἐπὶ τοῦ πρότερον ἢ πάλαι, μέχρι τούτου, ὡς Ἀντιφῶν· τέως μὲν γὰρ ὁ πολὺς χρόνος τοῦ ὀλίγου πιστότερος ἦν. καὶ ἐπὶ τοῦ ἐν τοσούτῳ. καὶ αὖθις· ἀποκαλύψαντες τὰ ὅπλα τέως ἐσκεπασμένα. καὶ αὖθις· καὶ διέφθειρε τοὺς τέως νενικηκότας.* Suidas p. 3524. B. Gaisf.

143 20. *καὶ ὡς Ἀντιφῶν· μὴ φιλοχρηματεῖν.* Pollux 3 §. 113.

144 21. *Οὕτω δ' οὖν τὸν Ἀντώνιον ἥρπασεν* (Cleopatra), *ὥστε — — μειρακίου σχολὴν ἄγοντος διατριβαῖς καὶ παιδιαῖς χρώμενον ἀναλίσκειν καὶ καθηδυπαθεῖν τὸ πολυτελέστατον, ὡς Ἀντιφῶν εἶπεν, ἀνάλωμα, τὸν χρόνον.* Plutarchus Antonii c. 28.

145 22. *Ἀντιφῶν δὲ ἐπὶ τούτου (ἀγνοίας) καὶ ἀγνωμοσύνην λέγει.* Pollux 4 §. 9. *Ἀντιφῶν δὲ καὶ ἀγνώμων λέγει.* idem 5 §. 145. etiam in his verbis 5 §. 141 *ἀχαριστία, ἀδικία, ἀγνωμοσύνη, ὡς Ἀντιφῶν.*

---

3. *καὶ τὸ* Sauppius: erat *καί*. 5. *Ἀντιφώνης* A. Malim *θαυμαστὸν ὦ μ. οὐδὲν ἔχων καὶ περιττόν*. 7. *πάντα* Sauppius: erat *ταῦτα*. 11. *ἣν* codd. praeter B: *ἡ* B, *ᾗ* Gaisf. 14. *ἀνθρώποις* J. Pflugk sched. crit. p. 12: erat *οὐρανοῖς*. 32. Hoc fragmentum et quae sequuntur usque ad 19 ex orationibus petita esse apparet. — *διανείμασθαι* Bernhardy: *διανεμεῖσθαι* libri. 33. *ὁπότ'* Bernhardy: *ὁπόταν* libri. 38. *μὴ* addidit Bernhardy cum *V.

1. Sophocl. Aiac. 82. 4. *κακῶν* G. Hermannus: *κακὸς* AB, *κακῶς* reliqui. *εἴη ἐπ'* Sauppius: *εἰ* libri. 6. *θρασύνεσθαι* G. Herm.: *θρασύνεται* libri. 7. *ὀκνεῖν* ABE: *ὀκνεῖ* reliqui. — Demosth 1 §. 17. 22. *εἰς τὴν* et *σὺν* addidi. 23. *ἔβη* Salmasius: *ἴσῃ* codex. cf. Bernh. synt. gr. p 214. 26. *ἐξεληλάσθαι* Sauppius: erat *ἐξηλᾶσθαι*. 29. *τούτου ὡς* Sauppius: erat *τοῦ τέως*. *μὲν γὰρ*] *μὲν οὖν* E, *μὲν* V. 31. quae sequuntur duo exempla non videntur ad Antiphontem referenda esse.

ἀποστέρησις. Antiphontis mentionem ad prius vocabulum referre malim quam ad id quod sequitur.

146 23. *ἀδυναμία ἐρεῖς, ὡς Δημοσθένης, καὶ ἀδυνασία, ὡς Ἀντιφῶν καὶ Θουκυδίδης, καὶ ἀδυνατία, ὡς Δεινόλοχος.* Bekk. an. p. 345, 26.

147 24. *ἀδιάστατον τὸ μήπω διεστηκὸς μηδὲ διακεκριμένον Ἀντιφῶν εἶπεν.* Harpocrat. cf. Bekk. anecd. p. 341, 27.

148 25. *ἀθυμοῦσιν, ὡς Ἀντιφῶν.* Pollux 2 §. 230.

149 26. *ἀκαρῆ ἀντὶ τοῦ μικρὸν ἢ οὐδὲν παρ' Ἀντιφῶντι.* Harpocrat. cf. Bekk. an. p. 363, 31.

150 27. *ἀκόλουθα Ἀντιφῶν τὰ ἑπόμενα καὶ σύμφωνα.* Bekk. anecd. p. 367, 31.

151 28. *καὶ ἄμβλωμα, ὡς Ἀντιφῶν.* Pollux. 2 §. 7.

152 29. *Ἀντιφῶν δὲ ἀντιλογούμενοι.* Pollux 2 §. 120.

153 30. *ἀπάλαμνον· ἀμήχανον. οὕτως Ἀντιφῶν.* Bekk. anecd. p. 418, 6.

154 31. *Ἀντιφῶν δὲ ἀπαρτιλογία, ὥσπερ καὶ Ἡρόδοτος.* Pollux 2 §. 120. cf. Harp. p. 25, 1 *ἀπαρτιλογία Λυσίας ἐν τῷ πρὸς Ἀρέσανδρον καὶ Ἡρόδοτος ἀντὶ τοῦ ἀπηρτισμένος καὶ πλήρης ἀριθμός.* adde Bekk. an. p. 416, 20.

155 32. *ἀπεγένετο· ἀντὶ τοῦ ἀπέθανεν. οὕτως Ἀντιφῶν καὶ Θουκυδίδης.* Bekk. anecd. p. 419, 18. cf. p. 426, 14 et p. 82, 33. Suidas 1, 1 p. 537, 9 (et 591, 12).

156 33. *ἀπελύθη, ὡς Ἀντιφῶν.* Pollux 8 §. 68.

157 34. *ἀποδικεῖν· ἀντὶ τοῦ ἀπολογεῖσθαι. οὕτως Ἀντιφῶν.* Bekk. anecd. p. 427, 9.

158 35. *ἀπόψηφοι ἐγένοντο τοῦ ἀποκτεῖναι. σημαίνει τὸ οἷον οὐκ ἤνεγκαν ψῆφον. τὸ ἀτίμως. χρῶ πανταχοῦ.* Phrynichus in Bekk. anecd. p. 9, 21.

159 36. *καὶ ἀρρησία παρὰ Ἀντιφῶντι ἡ σιωπή.* Pollux 2 §. 128.

160 37. *ἀφήκοντος· Ἀντιφῶν, ἀντὶ τοῦ διήκοντος.* Bekk. anecd. p. 470, 25.

161 38. *βάσανος· Ἀντιφῶν. λίθος οὕτω καλεῖται, ᾗ τὸ χρυσίον παρατριβόμενον δοκιμάζεται. Ὑπερείδης δ' ἐν τῷ κατ' Ἀντίου τὰ εν ταῖς βασανοις ειρημενα ὑπὸ τῶν βασανιζομένων καὶ ἀναγραφέντα „βασάνους" ὠνόμασε.* Harpocrat.

39. *Ἀντιφῶν δὲ βάψιν χαλκοῦ καὶ σιδήρου.* 162
Pollux 7 §. 169.

40. *βιομήχανοι, ὡς Ἀντιφῶν.* Pollux 7 §. 189. 163

41. *καὶ ἀπόφασις δὲ ἐπὶ διαιτητοῦ· ἣν καὶ γνῶ-* 164
σιν καλεῖ Δημοσθένης καὶ Πλάτων καὶ Ἀντιφῶν. Pollux 2 §. 129.

42. *διάθεσις. — Ἀντιφῶν δὲ τῇ διαθέσει εχρή-* 165
σατο ἐπὶ γνώμης ἢ διανοίας. Suidas. cf. Antiph. frg. 112.

43. *δυσάνιος· Ἀντιφῶν. ὁ ἐπὶ παντὶ ἀνιώμενος,* 166
κἂν μικρὸν καὶ εὐκαταφρόνητον ᾖ. καὶ Ἱπποκράτης ἐχρήσατό που τῷ ὀνόματι καὶ Μενανδρος. Harpocrat.

44. *εἰσφρήσειν εἰσάξειν, εἰσδεξεσθαι· Ἀντιφῶν* 167
κἀι Δημοσθένης ἐν Φιλιππικῷ.' πολὺ δὲ τοὔνομα ει τῇ ἀρχαίᾳ κωμῳδίᾳ. Harpocrat.

45. *ἐμβραχεῖ ἀντὶ τοῦ ἁπλῶς καὶ ἐν κεφαλαίῳ* 168
Ἀντιφῶν. Harpocrat.

46. *καὶ ἐν ταῖς σιτοδοσίαις ἐγίγνοντο σίτου ἐπι-* 169
γραφεῖς, ὡς Ἀντιφῶν. Pollux 8 §. 103.

47. *Ἀντιφῶν δὲ ἐπιθύμημα.* Pollux 6 §. 183. 170

48. *καθὼς Ἀντιφῶν, ἐπινόημα.* Pollux 2 §. 228. 171

49. *προστίμημα, ὡς Ἀντιφῶν.* Pollux 8 §. 21. 172

50. *κακόνους, ὡς Ἀντιφῶν.* Pollux 6 §. 169. 173

51. *τὸ δὲ λιθοκόπος ἀδόκιμον, εἰ καὶ Ἀντι-* 174
φῶν λέγει. Thomas Magister p. 221, 7 R. *λιθουργοὺς Θουκυδίδης, λιθοκόπους Ἀντιφῶν.* Moeris.

52. *μεθέορτοι ἡμέραι κατὰ Ἀντιφῶντα.* Pol- 175
lux 1 §. 34.

53. *καὶ ὡς Ἀντιφῶν ἡδυλόγος τε καὶ μετριο-* 176
λόγος. Pollux 2 §. 123.

54. *παρὰ δὲ Ἀντιφῶντι μόνῳ ὀσμὰς καὶ εὐο-* 177
σμίαν εὕροι τις ἄν. Pollux 2 §. 76.

55. *Ἀντιφῶν δὲ καὶ τὸ ὀψόμενος εἶπε καὶ τῇ* 178
ὄψει, οἷον τοῖς ὀφθαλμοῖς. Pollux 2 §. 57.

56. *ὁ δὲ ἐπὶ τῶν οἰάκων καθήμενος καλεῖται κυ-* 179
βερνήτης — καὶ κατ' Ἀντιφῶντα ὁ ποδοχῶν, ἢ μᾶλλον κατ' ἐμὲ ὁ ποδηγῶν. Pollux 1 §. 98.

---

3. *ἀδυναμία* habet Antiph. or. 5 §. 2. cf. Lob. ad Phryn. p. 508. — Dem. 19 §. 186. *ἀδυνασία* fortasse sophista dixit. 6. in libris *ἀληθείας* dictum fuisse puto. cf. frg. 113. 10. *ἀκαρῆ* N et rc. E (pr. enim *ἀκαρ* .): ceteri *ἀκαρεί*. cf. Pierson. Moer. p. 43. Bkk. *ἀκαρ* etiam Suidas et anecd. 14. Cf. Mullach. ad Democrit. p. 149. Ad ll. *ἀληθείας* retulerim. 19. Herodot. 7, 29. 24. cf. F. Poppo ad Thucyd 2, 34. 27. Fort. Pollux scripsit *ἀπελογήθη*: nam praecedit *ἀπελογήσατο*. cf. Antiph. 2. γ §. 1. Maetzner p 161. 29. *Ἀντιφῶν* habet Ruhnk. apud P. van Spaan p. 823 et T. Hemsterh. ad Suidam. Sed *Ἀντιφάνης* et in libris Suidae omnibus et ab I. Bekkero et L. Bachmanno (anecd. 1 p. 123, 30) in cod. coisl. *συναγωγῆς* inventum est. cf. Meinek. com. gr. 3 p 159 et Schneid. ad X. histor. 1. 7, 20. 30. Huc retuli, quod in vv. corruptis *τὸ ἀτίμως* mihi videtur *Ἀντιφῶν* latere. 34. In cod. Iungermanni est *Νικοφῶντι*. cf. Mein. com. 2 p. 854. 39. *Ὑπερείδης* N: *Ὑπερίδης* b.

6. *βιομήχανοι* cod. Iungermanni: erat *βιομηχανία*. 8. Demosth. 40 §. 42. 13. *Ἱπποκρ.*] cf. Critias apud Galenum vol. 17, 1 p. 778 Kühn. 14. *Μένανδρ.*] Mein. com. 4 p. 290. 15. *εἰσδεξεσθαι* Sauppius: erat *εισδέξασθαι*. 16. Demosth. 8 §. 15. *ἐν η* B, *ἐν η* O. 18. *ἐμ* Sauppius: erat *ἐν*. Postulabat ordo literarum. 20. Errat A. Boeckh. oecon. publ. Ath. 1 p. 97 sq. 23. Priore loco *καὶ ὡς Ἀντιφῶν, ἐπινοημα* delenda sunt. 24. *προστίμημα* cod. Iungerm.: erat *προστίμημα, ἐπιτίμημα, καὶ*. ita ut Antiphontis commemoratio ad id quod sequitur *ἐπιτίμιον* pertineret, quod est in or. 4. β §. 3. δ §. 7. 33. *ἡδυλόγως — μετριολόγως* MS. Iungerm. 35. *ὀψόμενον* MS Iungerm. 36. *ὄψει*] cf. frg. 36 et 99

180 57. *καὶ πολιτοκοπεῖν παρ' Ἀντιφῶντι.* Pollux 9 §. 26.

181 58. *προδικασίας, ὡς Ἀντιφῶν.* Pollux 8 §. 24.

182 59. *καὶ συμμετρίας Ἀντιφῶν. — καὶ δυσμέτρητον Ἀντιφῶν.* Pollux 4 §. 167.

183 60. *ἡ μὲν γὰρ Ἀντιφῶντος ταλάντωσις τὸ βάρος δηλοῖ.* Pollux 9 §. 53.

184 61. *τελεσθῆναι· τὸ ἀναλωθῆναι· οὕτως Ἀντιφῶν.* Photius p. 574, 13. Bekk. an. p. 114, 28. Suidas p. 3515. A.

185 62. *τίμιον· ἀντὶ τοῦ ἔντιμον· οὕτως Ἀντιφῶν· ὁ δὲ Δημοσθένης ἐχρήσατο ἐπὶ τοῦ πιπρασκομένου πολλῆς τιμῆς.* Photius p. 590, 11.

186 63. *τρίτῳ καὶ τετάρτῳ ἔτει· ἀντὶ τοῦ πρὸ τριῶν καὶ τεσσάρων ἐτῶν· οὕτως Ἀντιφῶν.* Photius p. 605, 23. et Suidas p. 3622. A.

187 64. *χρημάτων· — κεῖται δὲ ἡ λέξις καὶ ἐπὶ πράγματος ἢ προσώπου ἢ λόγου, ὡς Ἀντιφῶν.* Suidas. p. 3925. D.

Neque ea addidi quae Athenaeus 14 p. 650 E ex libro *περὶ γεωργικῶν* desumsit neque quae J. Pollux 2 §. 224. 41. 215. 223 ex libro, cui inscriptum erat *σύνοψις τῶν κατ' ἄνθρωπον*, excerpsit neque ea, quae ad librum *περὶ κρίσεως ὀνείρων* pertinere viderentur. quanquam ea a sophista eiusque studiis haud aliena esse intelligo. Sed de sophista alio loco accuratius exponam; ea quae ex libris de concordia, politico, de veritate supersunt addenda putavi, et quod a multis dubitari videbam oratorisne an sophistae essent, et ut intelligeretur sophistae tribuendos esse. Ex iis qui ad oratorem haec omnia referenda esse existimant G. Bernhardyum nominasse satis habeo (synt. gr. p. 452) et Ph. Buttmannum (gr. gr. 2 p. 468).

III. ΦΑΙΑΞ.

φέρεται δὲ καὶ λόγος τις κατ' Ἀλκιβιάδου καὶ Φαίακος γεγραμμένος, ἐν ᾧ μετὰ τῶν ἄλλων γέγραπται καὶ ὅτι τῆς πόλεως πολλὰ πομπεῖα χρυσᾶ καὶ ἀργυρᾶ κεκτημένης Ἀλκιβιάδης ἐχρῆτο πᾶσιν αὐτοῖς ὥσπερ ἰδίοις πρὸς τὴν καθ' ἡμέραν δίαιταν. Plutarch. Alcib. 13. Nota sunt, quae Io. Taylorus lectt. lysiac. c. VI (or. gr. Reiskii vol. 6 p. 267), C. L. Valckenaerius in J. Sluiteri lectt. andoc. p. 22 sq., D. Ruhnkenius hist. crit. or. gr. p. 56 de hoc loco disputaverunt. Quod Taylorus collatis iis, quae Andocides or. 4 §. 29 dixisse perhibetur, loco Plutarchi putabat demonstrari posse, illam orationem Phaeacis esse, id Valckenaerius et Ruhnkenius recte refutaverunt, cum ea quae utroque loco narrentur satis inter se differant. Sed nec Phaeacis nec Andocidis illam orationem esse, sed in rhetorum scholis postea confictam, et ego firmo argumento docui in Zimmermanni diurn. scholl. 1835 p. 328 et M. Meierus accuratissime exposuit commentatt. andocideis (Halae 1836 sqq.). Ne Plutarchus quidem genuinam Phaeacis orationem videtur manibus tenuisse, sed declamationem, quarum magnum numerum in rhetorum scholis contra Alcibiadem elaboratum esse scimus. Eadem opprobria paullum immutata in iis repetebantur. Pro eo quod ante *Φαίακος* legitur *καὶ* Taylorus cum Xylandro *ὑπὸ* legi voluit. Quanquam hoc non probo, tamen etiam ea ratio displicet, qua Valckenaerius l. d. et C. Sintenis (ad Plut. Periclem p. 279) *καὶ* defendere studuerunt. Mihi videtur *Ἀλκιβιάδου Φαίακος ἐπιγεγραμμένος* scribendum esse.

IV. ΑΝΔΡΟΚΛΗΣ.

Th. Bergkius de Androcle exposuit in epist. ad Schillerum p. 116 sqq.

ἄλλος (sc. *τόπος τῶν δεικτικῶν ἐνθυμημάτων*) *ἐκ τῶν δοκούντων μὲν γίγνεσθαι ἀπίστων δέ· ὅτι οὐκ ἂν ἔδοξεν, εἰ μὴ ἦν ἢ ἐγγὺς ἦν. καὶ ὅτι μᾶλλον· ἢ γὰρ τὰ ὄντα ἢ τὰ εἰκότα ὑπολαμβάνουσιν· εἰ οὖν ἄπιστον καὶ μὴ εἰκός, ἀληθὲς ἂν εἴη· οὐ γὰρ διά γε τὸ εἰκὸς καὶ πιθανὸν δοκεῖ οὕτως. οἷον Ἀνδροκλῆς ἔλεγεν ὁ*

---

3. *προδικασίας* MS. Jungerm.: erat *προδικασία*. 15. initio in cod. fuisse *ἀντιφῶ*, ut p. 402, 26 habeat, et *ἀντιφᾶ* correctoris antiqui esse testatur P. P. Dobreeus p. 719. Suidas habet *Ἀντιφάνης*. cf. Mein. com. gr. 3 p. 159. Equidem in quo metri genere haec dici potuerint non intelligo: oratori optime convenire apparet. Antiphonti etiam Schaeferus tribuit app. dem. 1 p. 280.

(IV.) b. 1. *ἔδοξεν* Sauppius: erat *ἔδοξαν*.

Πιτθεὺς κατηγορῶν τοῦ νόμου, ἐπεὶ ἐθορύβησαν αὐτῷ εἰπόντι δέονται οἱ νόμοι νόμου τοῦ διορθώσοντος· „καὶ γὰρ οἱ ἰχθύες ἁλός, καίτοι οὐκ εἰκὸς οὐδὲ πιθανὸν ἐν ἅλμῃ τρεφομένους δεῖσθαι ἁλός· καὶ τὰ στέμφυλα ἐλαίου· καίτοι ἄπιστον, ἐξ ὧν ἔλαιον γίνεται, ταῦτα δεῖσθαι ἐλαίου." Aristoteles rhetor. 2, 23 p. 1400 a 5 Bkk.

V. ΚΛΕΟΦΩΝ.

De Cleophonte exposuerunt M. Meier de bonis damn. p. 218 sq., A. Meinekius com. gr. 1 p. 171, Fr. V. Fritzschius ad Ar. Thesmophor. p. 298 sqq.

1. *λέγω δὲ παλαιοὺς μὲν* (sc. *μάρτυρας*) *τούς τε ποιητὰς καὶ ὅσων ἄλλων γνωρίμων εἰσὶ κρίσεις φανεραί, οἷον Ἀθηναῖοι Ὁμήρῳ μάρτυρι ἐχρήσαντο περὶ Σαλαμῖνος — —, καὶ Κλεοφῶν κατὰ Κριτίου τοῖς Σόλωνος ἐλεγείοις ἐχρήσατο, λέγων ὅτι πάλαι ἀσελγὴς ἡ οἰκία· οὐ γὰρ ἄν ποτε ἐποίησε Σόλων „εἰπεῖν τοι Κριτίᾳ πυρρότριχι πατρὸς ἀκούειν.*" Aristoteles rhetor. 1, 15 p. 1375 b 28.

2. *τὸ δ' ἀνάλογόν ἐστιν, ἐὰν μήτε περὶ εὐόγκων αὐτοκαβδάλως λέγηται μήτε περὶ εὐτελῶν σεμνῶς, μηδ' ἐπὶ τῷ εὐτελεῖ ὀνόματι ἐπῇ κόσμος· εἰ δὲ μή, κωμῳδία φαίνεται, οἷον ποιεῖ Κλεοφῶν· ὁμοίως γὰρ ἔνια ἔλεγε καὶ εἰ εἴπειεν ἄν „πότνια συκῆ.*" Aristoteles rhetor. 3, 7 p. 1408 a 11.

3. *Κλεοφῶν δὲ ὁ λυροποιὸς — ἀποκόψειν ἠπείλει μαχαίρᾳ τὸν τράχηλον, εἴ τις τῆς εἰρήνης μνησθήσεται.* Aeschines or. 2 §. 76.

VI. ΑΛΚΙΔΑΜΑΣ.

I. *ΜΕΣΣΗΝΙΑΚΟΣ.*

1 1. *ἔστι γάρ, ὃ μαντεύονταί τι πάντες, φύσει κοινὸν δίκαιον καὶ ἄδικον, κἂν μηδεμία κοινωνία πρὸς ἀλλήλους ᾖ μηδὲ συνθήκη, οἷον καὶ ἡ Σοφοκλέους Ἀντιγόνη φαίνεται λέγουσα, ὅτι δίκαιον, ἀπειρημένον, θάψαι τὸν Πολυνείκη, ὡς φύσει ὂν τοῦτο δίκαιον·*

„οὐ γάρ τι νῦν γε κἀχθές, ἀλλ' ἀεί ποτε
ζῇ τοῦτο κοὐδεὶς οἶδεν ἐξ ὅτου 'φάνη."

— — καὶ ὡς ἐν τῷ Μεσσηνιακῷ λέγει Ἀλκιδάμας Aristot. rhetor. 1, 13 p. 1373 b 6. Verba Alcidamantis ipsa servavit scholiastes (fol. 25 versi v. 27. Paris. 1539): *ὑπὲρ Μεσσηνίων ἀποστατησάντων Λακεδαιμονίων καὶ μὴ πειθομένων δουλεύειν μελετᾷ καὶ λέγει Ἀλκιδάμας· ἐλευθέρους ἀφῆκε πάντας θεός, οὐδένα δοῦλον ἡ φύσις πεποίηκεν.* L. Spengel *συναγ. τεχνῶν* p. 175 sq. haec verba Alcidamantis etiam ab Aristotele ipso addita et incuria librariorum omissa esse statuit. De qua re dubito: puto enim Alcidamantis declamationem totam lege illa naturae non scripta nisam esse, scholiasten vero singula quaedam verba, quae inprimis apta viderentur, ab antiquo artis aristotelicae interprete accepta, adscripsisse.

2. *ἔστι δ' εἷς μὲν τόπος τῶν δεικτικῶν* (sc. *ἐνθυ-* 2 *μημάτων*) *ἐκ τῶν ἐναντίων· — οἷον ὅτι τὸ σωφρονεῖν ἀγαθόν· τὸ γὰρ ἀκολασταίνειν βλαβερόν. ἢ ὡς ἐν τῷ Μεσσηνιακῷ· εἰ γὰρ ὁ πόλεμος αἴτιος τῶν παρόντων κακῶν, μετὰ τῆς εἰρήνης δεῖ ἐπανορθώσασθαι.* Aristot. rhetor. 2, 23 p. 1397 a 7. *οἱ Μεσσηνιᾶται ἄποικοί εἰσι τῶν Λακεδαιμονίων. καὶ διότι συνεμάχησαν καὶ προσετέθησαν τοῖς Ἀθηναίοις, ὡρμήθησαν οἱ Λακεδαιμόνιοι καταδουλῶσαι αὐτούς· συμβουλεύει οὖν ὁ Ἀλκιδάμας τοῖς Λακεδαιμονίοις μὴ*

---

1. *τοι* Bergkius p. 118: erat *τοῦ*. 3. verba *καίτοι — ἁλός* et *καίτοι — ἐλαίου* Aristotelis esse putant P. Victorius (commentarii in Ar. rhet. Basil. 1549 p. 568 sq.) et Th. Bergkius. Mihi ita demum Androclis locus explicandis iis, quae Aristoteles exposuerat, idoneus videtur esse, si haec quoque Androcli tribuuntur. Quare I. Bekkerum secutus sum.

(V.) a. 9. Solonis frg. 22 Schneidewin. 10. *εἰπεῖν τοι* Sauppius: *εἰπεῖν τῷ* schol. aristot. fol. 27 versi v. 35.), *εἰπέμεναι* schol. platon. p. 424 Bk., erat *εἰπεῖν μοι*. — b. 5. *εἴπειεν ἄν*] immo *εἴπειε*.

(VI.) 8. Soph. Antig. 452 sq. 16. *θεός* cod. monacensis apud Spengel.: *θεοὺς* ed. paris.

b. 14. erat *μεσηνιᾶται* et p. 155 v. 1 *μεσήνῃ*. 17. *μὴ* ego addidi.

καταδουλῶσαι τοῖς ἐν Μεσσήνῃ, ἐπιχειρῶν ἐκ τοῦ ἐναντίου· εἰ γὰρ ὁ πόλεμος, φησί, προὐξένησε τάδε τὰ κακά, εἰρήνη πάλιν ταῦτα ἐπανορθώσεται. Schol. fol. 43 recti v. 32. Verba ipsa Alcidamantis scholiastes videtur conservasse.

II. ΕΓΚΩΜΙΟΝ ΝΑΪΔΟΣ.

3 καθάπερ καὶ Ἀλκιδάμας ὁ Ἐλαίτης, ὁ Γοργίου μαθητής, ἔγραψε καὶ αὐτὸς ἐγκώμιον Ναΐδος τῆς ἑταίρας. Athenaeus 13 p. 592 C.

III. ΜΟΥΣΕΙΟΝ.

4 1. διατριβῆς δ' αὐτῷ (Hesiodo) πλείονος γενομένης ἐν τοῖς Οἰνεωνεῦσιν ὑποτοπήσαντες οἱ νεανίσκοι (Amphiphanes et Ganyctor, Phegei filii) τὴν ἀδελφὴν αὐτῶν μοιχεύειν τὸν Ἡσίοδον, ἀποκτείναντες εἰς τὸ μεταξὺ τῆς Εὐβοίας καὶ τῆς Λοκρίδος πέλαγος κατεπόντισαν. τοῦ δὲ νεκροῦ τριταίου πρὸς τὴν γῆν ὑπὸ δελφίνων προσενεχθέντος, ἑορτῆς τινος ἐπιχωρίου παρ' αὐτοῖς οὔσης Ἀριαδνείας, πάντες ἐπὶ τὸν αἰγιαλὸν ἔδραμον καὶ τὸ σῶμα γνωρίσαντες ἐκεῖνο μὲν πενθήσαντες ἔθαψαν, τοὺς δὲ φονεῖς ἀνεζήτουν. οἱ δὲ φοβηθέντες τὴν τῶν πολιτῶν ὀργήν, κατασπάσαντες ἁλιευτικὸν σκάφος διέπλευσαν εἰς Κρήτην. οὓς κατὰ μέσον τὸν πλοῦν ὁ Ζεὺς κεραυνώσας κατεπόντωσεν, ὥς φησιν Ἀλκιδάμας ἐν Μουσείῳ. Certamen Homeri et Hesiodi §. 13 (Ant. Westermanni βιογρ. p. 41, 27).

5 2. ἄλλος (sc. τόπος τῶν δεικτικῶν ἐνθυμημάτων) ἐξ ἐπαγωγῆς. — — καὶ ὡς Ἀλκιδάμας, ὅτι πάντες τοὺς σοφοὺς τιμῶσιν· Πάριοι γοῦν Ἀρχίλοχον καίπερ βλάσφημον ὄντα τετιμήκασι, καὶ Χῖοι Ὅμηρον οὐκ ὄντα πολίτην, καὶ Μυτιληναῖοι Σαπφὼ καίπερ γυναῖκα οὖσαν, καὶ Λακεδαιμόνιοι Χίλωνα, καὶ τῶν γερόντων ἐποίησαν ἥκιστα φιλόλογοι ὄντες, καὶ Ἰταλιῶται Πυθαγόραν, καὶ Λαμψακηνοὶ Ἀναξαγόραν ξένον ὄντα ἔθαψαν καὶ τιμῶσιν ἔτι καὶ νῦν· καὶ Ἀθηναῖοι τοῖς Σόλωνος νόμοις χρησάμενοι εὐδαιμόνησαν καὶ Λακεδαιμόνιοι τοῖς Λυκούργου, καὶ Θήβησιν ἅμα οἱ προστάται φιλόσοφοι ἐγένοντο καὶ εὐδαιμόνησεν ἡ πόλις. Aristoteles rhet. 2, 23 p. 1398 b 9.

6 3. Ἐκ τοῦ Ἀλκιδάμαντος Μουσείου·

Ἀρχὴν μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον·
φύντα δ' ὅπως ὤκιστα πύλας Ἀΐδαο περῆσαι. —
Θάνατος γὰρ ἀνθρώποισι νεικέων τέλος
ἔχει. —
Θανεῖν δὲ πᾶσίν ἐστιν εὔμαρες.

Stobaeus floril. tit. 120 (cui inscriptum est Ἔπαινος θανάτου), 3. Bene Th. Gaisfordius in indice (vol. 4 p. 282 ed. lips.) „Versus, inquit, sunt proculdubio Theognidis, ab Alcidamante citati." Vide Theognidis v. 425. 427. Idem vero etiam de iis versibus, qui in codice A sequuntur, videtur valere. Primum eorum Euripidis esse ex Antigone Stobaeus ipse docet 125, 6 (Euripid. Antig. frg. XVII). Cuius alter sit, nescimus. Utrumque autem Alcidamas sententiam suam poetarum testimoniis confirmaturus pariter atque theognideos adscripsisse censendus est. Quare nescio, cur H. Grotius et Th. Gaisfordius eos omiserint. Neque negligendum est theognideis versibus iisdem, eodem modo scriptis, auctorem certaminis Hesiodi uti, cui supra vidimus Alcidamantis Museum notum fuisse (cf. Westerm. βιογρ. p. 36, 75). Ita vero ad eam sententiam deveni, ut Alcidamantis Μουσεῖον promptuarium quoddam rhetoricum fuisse putem, quod declamationes de variis rebus contineret. Musei igitur partem etiam *Mortis laudationem* fuisse iudico.

4. *Alcidamas quidem, rhetor antiquus in primis nobilis, scripsit etiam laudationem mortis, quae constat ex enumeratione malorum humanorum. Cui rationes eae, quae exquisitius a philosophis colliguntur, defuerunt, ubertas orationis non defuit.* Cicero tuscul. disput. 1, 48 §. 116. Cf. Menander Walzii 9 p. 163: παράδοξα δὲ οἷον Ἀλκιδάμαντος τὸ τοῦ θανάτου ἐγκώμιον. et I. Tzetzes Chil. 11, 747. 7

IV. ΤΕΧΝΗ.

Cf. L. Spengel συναγ. τ. p. 172 sq

1. Ἀλκιδάμας δὲ τέτταρας λόγους φησί, φάσιν, ἀπόφασιν, ἐρώτησιν, προσαγόρευσιν. Diogenes L. 9 §. 54. Suidas 2, 2 p. 511 Bernh. 8

2. οἱ μὲν γὰρ αὐτὴν (sc. τὴν ῥητορικὴν) ἐκάλεσαν ἐπιστήμην, ἀπὸ τοῦ μείζονος ὁριζόμενοι, ἐπιστήμην τοῦ εὖ λέγειν, οἱ Στωικοί· τὸ δὲ εὖ λέγειν ἔλεγον τὸ ἀληθῆ λέγειν· οἱ δὲ ἀπὸ τοῦ ἐλάττονος ὡρίζοντο, λέγοντες αὐτὴν διαλογικὴν εἶναι· ἡ δὲ διαλογικὴ οὕτως ὁρίζεται· δύναμις τοῦ ὄντος πιθανοῦ. τοῦτον δὲ τὸν ὅρον οἱ περὶ τὸν Ἀλκιδάμαντα ἔλεγον. Schol. Hermog. 7 p. 8, 18 Walzii (cf. Spengel l. d. p. 172. 213). 9

---

2. erat προὐξένησε. 3. erat ἐπανορθώσατο. 15. Οἰνεωνεῦσιν Sauppius: erat Οἰνῶσιν. cf. Steph. Byz. s. v. Οἰνεών. 27. Nescio cur C. Goettlingius (Hesiodi p. XXXI) vel Καλλίμαχος vel ἐν Μεσσηνιακῷ legi voluerit. 30. huc retuli ob argumenti similitudinem. 35. καὶ τῶν Ac: τῶν b. 45. Ἀλκιδάμαντος Μουσείου Gaisfordius: χαλκιδάμαντος μουσίου libri.

3. θανεῖν Sauppius: μαθεῖν A.

V. ΑΠΑΡΑΣΗΜΑ.

1—4. Τὰ δὲ ψυχρὰ ἐν τέτταρσι γίγνεται κατὰ τὴν
λέξιν· ἔν τε τοῖς διπλοῖς ὀνόμασιν, — — καὶ ὡς Ἀλ-
10 κιδάμας· μένους μὲν τὴν ψυχὴν πληρουμένην,
11 πυρίχρων δὲ τὴν ὄψιν γιγνομένην, καὶ τελεσ-
φόρον ᾠήθη τὴν προθυμίαν αὐτῶν γενήσε-
12 σθαι, καὶ τελεσφόρον τὴν πειθὼ τῶν λόγων
13 κατέστησεν, καὶ κυανόχρων τὸ τῆς θαλάτ-
της ἔδαφος. πάντα γὰρ ταῦτα ποιητικὰ διὰ τὴν δί-
πλωσιν φαίνεται.

5. a. μία μὲν οὖν αὕτη αἰτία, μία δὲ τὸ χρῆσθαι
γλώτταις· οἷον Λυκόφρων „Ξέρξην πέλωρον ἄνδρα“
14 καὶ „Σκίρων σίννις ἀνήρ“ καὶ Ἀλκιδάμας ἄθυρμα
τῇ ποιήσει, καὶ τὴν τῆς φύσεως ατασθαλίαν,
14. a. καὶ ἀκράτῳ τῆς διανοίας ὀργῇ τεθηγμένον.

6—16. τρίτον δ' ἐν τοῖς ἐπιθέτοις τὸ ἢ μακροῖς
ἢ ακαίροις ἢ πυκνοῖς χρῆσθαι· — — διὸ τὰ Ἀλκιδά-
μαντος ψυχρὰ φαίνεται· οὐ γὰρ ἡδύσματι χρῆται ἀλλ'
ὡς ἐδέσματι τοῖς ἐπιθέτοις, οὕτω πυκνοῖς καὶ μείζοσι
15 καὶ ἐπιδήλοις· οἷον οὐχ ἱδρῶτα, ἀλλὰ τὸν ὑγρὸν
16 ἱδρῶτα, καὶ οὐκ εἰς Ἴσθμια, ἀλλ' εἰς τὴν τῶν
17 Ἰσθμίων πανήγυριν, καὶ οὐχὶ νόμους, ἀλλὰ τοὺς
τῶν πόλεων βασιλεῖς νόμους, καὶ οὐ δρόμῳ,
18 ἀλλὰ δρομαίᾳ τῇ τῆς ψυχῆς ὁρμῇ, καὶ οὐχὶ
19 μουσεῖον, ἀλλὰ τὸ τῆς φύσεως παραλαβὼν μου-
20 σεῖον, καὶ [οὐχὶ φροντίδα, ἀλλὰ] σκυθρωπὸν τὴν
21 φροντίδα τῆς ψυχῆς, καὶ οὐ χάριτος, ἀλλὰ παν-
δήμου χάριτος δημιουργὸς καὶ οἰκονόμος
τῆς τῶν ἀκουόντων ἡδονῆς, καὶ οὐ κλάδοις, ἀλλὰ
22 τοῖς τῆς ὕλης κλάδοις ἀπέκρυψεν, καὶ οὐ τὸ
23 σῶμα παρήμπισχεν, ἀλλὰ τὴν τοῦ σώματος
24 αἰσχύνην, καὶ [οὐκ ἐπιθυμίαν, ἀλλ'] ἀντίμιμον
τὴν τῆς ψυχῆς ἐπιθυμίαν (τοῦτο δ' ἅμα καὶ
25 διπλοῦν καὶ ἐπίθετον, ὥστε ποίημα γίνεται), καὶ οὕ-
τως ἔξεδρον τὴν τῆς μοχθηρίας ὑπερβολήν.

17—19. καὶ ἔτι τέταρτον τὸ ψυχρὸν ἐν ταῖς
μεταφοραῖς γίγνεται· εἰσὶ γὰρ καὶ μεταφοραὶ ἀπρε-
πεῖς, αἱ μὲν διὰ τὸ γελοῖον (χρῶνται γὰρ καὶ οἱ κω-
μῳδοποιοὶ μεταφοραῖς), αἱ δὲ διὰ τὸ σεμνὸν ἄγαν
καὶ τραγικόν· ἀσαφεῖς δέ, ἂν πόρρωθεν. — — καὶ
26 ὡς Ἀλκιδάμας τὴν φιλοσοφίαν ἐπιτείχισμα
27 τῶν νόμων, καὶ τὴν Ὀδύσσειαν καλὸν ἀνθρω-
28 πίνου βίου κάτοπτρον, καὶ οὐδὲν τοιοῦτον
ἄθυρμα τῇ ποιήσει προσφέρων. ἅπαντα γὰρ
ταῦτα ἀπίθανα διὰ τὰ εἰρημένα. Haec omnia Aristoteles habet rhetoric. 3, 3 p. 1405 b 34 sqq.

Praeterea Diogenes L. 8 §. 56: Ἀλκιδάμας δ' ἐν τῷ φυσικῷ φησι, — ubi ἐν τῷ μουσείῳ vel μουσικῷ legendum esse H. E. Fossius de Gorgia p. 17 nemini persuadebit. Verum ut Gorgiae, sic Alcidamantis quoque quae feruntur declamationes addendas esse putavi, quanquam eas non magis genuinas esse credo quam gorgianas. Priorem Alcidamantis non esse bene docuit H. E. Fossius l. d. p. 81 sqq., secundam acriter defendit L. Spengel συναγ. τεχνῶν p. 173 sqq. I. Bekkerus eas edidit in orat. gr. vol. 5 p. 667 sqq.

---

1. Ὀδυσσεὺς κατὰ Παλαμήδους προδοσίας.

Πολλάκις ἤδη ἐνεθυμήθην καὶ ἐθαύμασα, ὦ ἄνδρες 667
Ἕλληνες, τὰς γνώμας τῶν λεγόντων, τί ποτε ἄρα βου- Bkk
λόμενοι ῥᾳδίως δεῦρο παριόντες συμβουλεύουσιν ὑμῖν,
ἀφ' ὧν ὠφέλεια μὲν οὐδεμία ἐστὶ τῷ κοινῷ, λοιδορίαι 668
δὲ πλεῖσται γίνονται ἀλλήλοις, εἰκῇ τε λόγους ἀνα-
λίσκουσιν ἀκαίρους περὶ ὧν ἂν τύχωσι. λέγουσι δὲ 2
τὴν αὐτῶν δόξαν ἕκαστος βουλόμενοί τι λαβεῖν· οἱ δὲ
καὶ μισθὸν πραττόμενοι συναγορεύουσι παρ' ὁποτέρων
ἂν νομίζωσι πλεῖον λήψεσθαι. καὶ εἰ μέν τις ἐν τῷ
στρατοπέδῳ πλημμελεῖ ἢ βλάπτει τὸ κοινὸν χρήματα
ἑαυτῷ πορίζόμενος, τούτων μὲν ὁρῶμεν| μηδένα τὸν
φροντίζοντα εἶναι· εἰ δέ τις ἡμῶν αἰχμάλωτον ἀγαγὼν
ἐκ τῶν πολεμίων, ἢ γέρας εἴληφε πλέον ἕτερος ἑτέρου,
τούτων ἕνεκα μεγάλας διαφορὰς ἐν ἡμῖν αὐτοῖς ἔχο-
μεν διὰ τὰς τούτων σπουδάς. ἐγὼ δὲ ἡγοῦμαι τὸν ἄνδρα 3
τὸν ἀγαθὸν καὶ δίκαιον μήτε ἔχθρας ἰδίας φροντίζειν
μήτε ἰδίας φιλεταιρίας, φιλοτιμίᾳ χρησάμενον ἕνεκα ἀν-
δρὸς ἑνός, ἢ χρήματα περὶ πλείονος ποιήσασθαι, καὶ μὴ ὅ
τι ἂν μέλλῃ τῷ πλήθει συνοίσειν. οἱ μὲν δὴ ἄλλα παρα-
λιπὼν τοὺς ἀρχαίους πόνους τε καὶ λόγους, πειράσομαι
Παλαμήδη τόνδε ἐν ὑμῖν εἰς κρίσιν δικαίως καταστῆ-
σαι. ἔστι δὲ τὸ πρᾶγμα, ὡς ἂν εἰδῆτε, προδοσία· ἐφ' 4
ᾗ δεκαπλασία τῶν ἄλλων ζημία ἐστὶν ἐπικειμένη. καί-
τοι, ὡς ὑμεῖς ἴστε πάντες, ἐμοὶ καὶ τούτῳ οὐδεμία
πώποτ' ἔχθρα οὐδ' ἔρις ἐνεγίνετο περὶ οὐδενὸς πράγμα-

---

14. cf. frg. 28. 21. cf. Demetrius π. ἑρμ. §. 116: ὡς Ἀλκιδάμας, ὑγρὸν ἱδρῶτα. 27. οὐχὶ φροντίδα ἀλλὰ add. Spengel συναγ. p. 178. 33. οὐκ ἐπιθυμίαν, ἀλλ' ego addidi. 35. οὕτως] Fort. οὐ μοχθηρίαν, ἀλλ'. 44. cf. frg. 14. Ex Museo desumta esse coniecit H. E. Fossius de Gorgia p. 83.

Codd. Bekkeri ABCIMNXZ.

25. ἀλλήλοις Sauppius: ἐν ἀλλήλοις b. εἰκῇ τε λόγους AB: εἰκῇ, λόγους τε b. 31. μὲν ὁρῶμεν Reiskius: μὲν b. 37. ἰδίας φιλεταιρίας Sauppius: ἰδίαν φιλεταιρίαν AB, ἰδίᾳ φιλεταιρίᾳ b. φιλοτιμίᾳ χρησάμενον AB: χρησάμενοι b. 38. ἢ ego addidi. 41. εἰς κρίσιν δικαίως] δικαίως εἰς κρίσιν b cum CZ. 46. ἐνεγίνετο AB: ἐγίνετο b.

τος, καὶ μὴν οὐδ' ἐν παλαίστρᾳ οὐδ' ἐν συμποσίῳ, ἔνθα φιλεῖ ἔριδας πλείστας καὶ λοιδορίας γίνεσθαι. ὁ δὲ ἀνὴρ ἐστι φιλόσοφός τε καὶ δεινός, οὗ μέλλω κατηγορεῖν· ὥστε εἰκότως τὸν νοῦν προσέχειν ὑμᾶς καὶ μὴ ἀμελῆσαι περὶ τῶν νυνὶ λεγομένων.

5 *Σχεδὸν μὲν γὰρ ἴστε καὶ αὐτοὶ ἐν οἵῳ κινδύνῳ ἐγενόμεθα, ὅτε ἡμῶν οἱ μὲν εἰς τὰς ναῦς καταπεφευγότες ἦσαν, οἱ δὲ εἰς τὰς τάφρους ἐνέπιπτον, εἴς τε τὰς σκηνὰς οἱ πολέμιοι, πᾶσά τε ἀπορία ἦν ποῖ ποτε προβήσοιτο ἡ τοῦ μέλλοντος κακοῦ τελευτή. εἶχε δὲ ὧδε ὑμῖν καὶ ἐτυγχάνομεν πλησίον τῶν πυλῶν ἐν τῷ αὐτῷ συντασσόμενοι ἐγώ τε καὶ Διομήδης, πλησίον δ' ἦν*
6 *Παλαμήδης καὶ Πολυποίτης. συνιόντων δὲ ἡμῶν ὁμόσε τοῖς ἀνδράσιν, ἐκδραμὼν τοξότης ἐκ τῶν πολεμίων εστοχάσατο τούτου, ἁμαρτὼν δὲ αὐτοῦ βάλλει εγγὺς εμοῦ. οὗτός τε λόγχην ἀφίησιν ἐπ' αὐτόν, καὶ ἐκεῖνος ἀνελόμενος ᾤχετο εἰς τὸ στρατόπεδον. εγὼ δὲ ἀνελὼν τὸν οιστὸν δίδωμι Εὐρυβάτῃ δοῦναι Τεύκρῳ, ἵνα χρῷτο. ἀνοχῆς δὲ γενομένης ἀπὸ τῆς μάχης ὀλίγον χρόνον, δεικνυσί μοι τὸν οἰστὸν ὑπὸ τοῖς πτεροῖς γράμματα*
669 7 *ἔχοντα. ἐκπλαγεὶς δὲ ἐγὼ τῷ πράγματι, προσκαλεσάμενος Σθενελόν τε καὶ Διομήδην ἐδείκνυον αὐτοῖς τὰ ἐνόντα. ἡ δὲ γραφὴ ἐδήλου τάδε „Ἀλέξανδρος Παλαμήδει. ὅσα συνέθου Τηλέφῳ, πάντα σοι ἔσται, ὅ τε πατὴρ Κασσάνδραν γυναῖκα δίδωσί σοι, καθάπερ ἐπέστειλας· ἀλλὰ τὰ ἀπὸ σοῦ πραττέσθω διὰ τάχους.“ ενεγεγραπτο μὲν ταῦτα· καί μοι προσελθόντες μαρτυρήσατε οἱ λαβόντες τὸ τόξευμα.*

ΜΑΡΤΥΡΕΣ.

8 *Ἐπέδειξα δὲ ἂν καὶ αὐτὸ τὸ τόξευμα ὑμῖν, ὡς ἀληθὲς ἦν· νῦν δὲ ἐν τῷ θορύβῳ ἔλαθεν αὐτὸ Τεῦκρος ἀποτοξεύσας. δεῖ δε με καὶ τὰ λοιπὰ διελθεῖν ὡς ἔχει, μηδ' εἰκῇ οὕτως ἄνδρα σύμμαχον περὶ θανάτου κρίνειν, αἰσχίστην αἰτίαν προστιθέντα, καὶ ταῦτα πρό-*
9 *τερον εν ὑμῖν εὐδοκιμηκότα. Ἡμεῖς μὲν γὰρ πρὶν ἐμβαλεῖν δεῦρο πολὺν χρόνον ἐν ταὐτῷ ἐγενόμεθα, καὶ οὐδεὶς ἡμῶν εἶδεν ἔχοντα τοῦτον σημεῖον ἐν τῇ ἀσπίδι· επειδὴ δὲ κατεπλεύσαμεν δεῦρο, τρίαιναν ἐπεγράψατο. τίνος ἕνεκα; ἵνα δῆλος εἴη τῷ ἐπιγράμματι, ὅ τε ἀντιτεταγμένος τοῦτον τοξεύοι διὰ τὸ σύνθημα, οὗτός τε εἰς ἐκεῖνον ἐσακοντίζοι. Τεκμαίρεσθαι δὲ δεῖ καὶ* 10
ἐκ τούτων εἰκότως τὴν ἄφεσιν τῆς λόγχης. φημὶ γὰρ καὶ ἐν ἐκείνῃ γράμματα εἶναι, ἡνίκα τε καὶ πότε προδώσει· πιστὰ γὰρ ἦν οὕτω παρ' ἀλλήλων τὰ πεμπόμενα, οὗτός τε ἐκείνοις ἐκεῖνοί τε τούτῳ πέμποντες διὰ τοιούτου εἴδους καὶ μὴ δι' ἀγγέλων. Ἔτι 11
δὲ καὶ τόδε σκεψώμεθα. ψήφισμα ἡμῖν ἐγένετο, ὃς ἂν βέλος τι λάβῃ ἐκ τῶν πολεμίων, ἀποφέρειν πρὸς τοὺς ἡγεμόνας, διὰ τὸ σπανίοις αὐτοῖς χρῆσθαι ἡμᾶς· καὶ οἱ μὲν ἄλλοι πειθαρχοῦσι τοῖς ἐψηφισμένοις, αὐτὸς δὲ βέλη ἀνελόμενος πέντε φανερός ἐστιν οὐδὲ ἓν πρὸς ὑμᾶς ἐνηνοχώς, ὥστε καὶ διὰ ταῦτα δικαίως ἄν μοι δοκεῖ θανάτῳ ζημιωθῆναι. ἆρά γε ἐν- 12
θυμεῖσθε, ὦ ἄνδρες Ἕλληνες, ὅτι ταῦτα τοῦ σοφιστοῦ τῆς διανοίας καὶ τοῦ φρονήματος αὐτοῦ, ὃς τυγχάνει φιλοσοφῶν ἐφ' οἷς ἥκιστα εχρῆν αὐτὸν ταῦτα πράττειν; τά τε γὰρ πράγματα τὰ παρεστηκότα καὶ τὴν 670
στρατείαν πᾶσαν επιδείξω αἴτιον γεγονότα ἡμῖν τόν τε πατερα αὐτοῦ καὶ τοῦτον αὐτόν. ἀνάγκη δὲ διὰ μακροτερων λόγων ῥηθῆναι τὰ γενόμενα.

Τούτῳ πατὴρ ἐστι πένης, ὄνομα Ναύπλιος, τεχνην 13
ἔχων ἁλιείαν. οὗτος πλείστους τῶν Ἑλλήνων ἠφάνικε, χρήματά τε πολλὰ ἐκ τῶν νεῶν ὑφῄρηται, κακά τε πλεῖστα τοῖς ναυτίλους εἴργασται, πανουργίας τε ουδεμιᾶς λείπεται· γνώσεσθε δὲ προϊόντος τοῦ λόγου, τὰς ἀληθείας ἀκούσαντες τῶν γενομένων. Ἀλεῳ γὰρ τῷ 14
Τεγεας βασιλεῖ ἀφικομένῳ εἰς Δελφοὺς ἐχρήσθη ὑπὸ τοῦ θεοῦ ὅτι αὐτῷ ἔκγονος ἐκ τῆς θυγατρὸς εἰ γένοιτο, ὑπὸ τούτου δεῖν τοὺς υἱοὺς αὐτοῦ ἀπολέσθαι. ἀκούσας δὲ ταῦτα ὁ Ἄλεως διὰ τάχους ἀφικνεῖται οἴκαδε, καὶ καθίστησι τὴν θυγατέρα ἱερειαν τῆς Ἀθηνᾶς, εἰπών, εἴ ποτε ἀνδρὶ συγγενήσεται, θανατώσειν αὐτήν. τύχης 15
δὲ γενομένης ἀφικνεῖται Ἡρακλῆς στρατευόμενος ἐπ' Αὐγέαν εις Ἦλιν, καὶ αὐτὸν ξενίζει ὁ Ἄλεως ἐν τῷ ἱερῷ τῆς Ἀθηνᾶς. ἰδὼν δὲ ὁ Ἡρακλῆς τὴν παῖδα ἐν τῷ νεῷ ὑπὸ μεθης συνεγένετο. ἐπεὶ δὲ κύουσαν αὐτὴν ὁ πατὴρ ᾔσθετο Ἄλεως, μεταπέμπεται τὸν τούτου πατέρα, πυθόμενος πορθμέα τε εἶναι αὐτὸν καὶ δεινόν. ἀφικομενου δὲ τοῦ Ναυπλίου δίδωσιν αὐτῷ τὴν παῖδα καταποντίσαι. ὁ δὲ παραλαβὼν ἦγεν αὐτήν· καὶ ὡς 16
γίνονται ἐν τῷ Παρθενίῳ ὄρει, τίκτει Τήλεφον. ἀμελήσας δὲ ὧν ὁ Ἄλεως αὐτῷ ἐπέστειλεν, ἄγων αὐτὴν

---

10. *εἶχε δὲ ὧδε* **Sauppius**: *ἔχει δὲ ὧδε* **b cum AB**, *ὡς δ'* **libri reliqui.** 11. *καὶ* **ego addidi.** 32. *δὲ ἂν* **AB**: *ἂν* **b.** 34. *δεῖ* **Reiskius**: *ἔδει* **b.** 35. *μηδ' εἰκῇ οὕτως* **Bekkerus**: *μηδ' εικὸς οὕτως* **AB**, *μὴ ἀδίκως* **CIMNXZ**, *μὴ δόξωμεν ἀδίκως* **reliqui.** 37. *πρὶν*] *καὶ πρὶν* **b cum C.** 41. *ὅ τε* **b cum C**: *ὅτε* **AB**, *ὅταν* **reliqui. Malim** *ὅτε ὅ τε.*

4. *προδώσοι* **b cum C.** 5. *ἐκεῖνοί τε* **AB**: *καὶ ἐκεῖνοι* **b.** 9. *σπανίοις* **Bekkerus**: **libri** *σπανίως.* 11. *φανερός* **Sauppius**: *τοξεύειν φανερός* **b.** 17. *τά τε γάρ* **Sauppius**: *τά τε* **libri**, *τοῦ τε τὰ* **cum aldina b.** *πράγματα τὰ παρεστηκότα* **b cum BI**: *πράγματα τὰ περεστηκότα* **A**, *πράγματα παρεστηκότα* **MNXZ**, *παρεστηκότα πράγματα* **C**, *πράγματα τὰ νῦν παρεστηκότα* **aldina.** *καὶ τὴν στρ. πᾶσαν* **libri (praeter C)**: *καὶ τὴν στρ. πᾶσαν γενέσθαι* **C**, *γενεσθαι καὶ τὴν στρ. πᾶσαν* **cum aldina b.** **Fort.** *πράγματα ταῦτα παρεστηκέναι.* 37. *ὁ πατηρ ᾔσθετο* **AB**: *ᾔσθετο ὁ πατὴρ* **b.** 38. *εἶναι αὐτὸν* **AB**: *αὐτὸν εἶναι* **b.**

ἀπέδοτο καὶ τὸ παιδίον ἐς Μυσίαν Τεύθραντι τῷ βα-
σιλεῖ. ὁ δὲ Τεύθρας ἄπαις ὢν τὴν μὲν Αὔγην γυναῖκα
ποιεῖται, τὸν δὲ παῖδα αὐτῆς ἐπονομάσας Τήλεφον τί-
θεται υἱὸν ἑαυτοῦ, δίδωσί τε Πριάμῳ αὐτὸν εἰς τὸ
17 ὀλίγον παιδεῦσαι. χρόνου δὲ προϊόντος Ἀλέξανδρος
ἐπεθύμησεν εἰς τὴν Ἑλλάδ' ἀφικέσθαι, τό τε ἱερὸν τὸ
ἐν Δελφοῖς θεωρῆσαι βουλόμενος, ἅμα δὲ καὶ τὸ κάλ-
λος τῆς Ἑλένης ἀκούων δηλονότι, καὶ τὴν τοῦ Τηλέ-
φου γέννησιν ἀκηκοώς, ὁπόθεν τε εἴη καὶ τίνα τρό-
671 πον καὶ ὑπὸ τίνος ἐπράθη. ὥστε Ἀλέξανδρος οὕτω τὴν
ἀποδημίαν ἐποιεῖτο διὰ προφάσεως τοιαύτης εἰς τὴν
Ἑλλάδα. ἐν δὲ τῷ καιρῷ τούτῳ οἱ Μόλου παῖδες ἀφι-
κνοῦνται ἐκ Κρήτης, δεόμενοι Μενελάου αὐτοῖς τε διαλ-
λάξαι καὶ διελεῖν τὴν κτῆσιν αὐτοῖς, ὅτι εἴη ὁ πατὴρ
τετελευτηκὼς αὐτοί τε στασιάζοιεν περὶ τῶν πατρῴων
18 χρημάτων. εἶεν· τί οὖν γίνεται; πλεῖν αὐτῷ ἔδοξε,
καὶ ἐπιστείλας τῇ γυναικὶ καὶ τοῖς ἀδελφοῖς ἐπιμε-
λεῖσθαι τῶν ξένων, ἵνα μηδενὸς ἔσοιντο ἐνδεεῖς, ἕως
ἂν αὐτὸς ἔλθῃ ἐκ Κρήτης, ὁ μὲν ᾤχετο· Ἀλέξανδρος
δὲ αὐτοῦ τὴν γυναῖκα ἐξαπατήσας, καὶ λαβὼν ἐκ τῶν
οἴκων ὅσα πλεῖστα ἐδύνατο, ἀποπλέων ᾤχετο, οὐκ
αἰδεσθεὶς οὔτε Δία ξένιον οὔτε θεῶν οὐδένα, ἄνομα
καὶ βάρβαρα ἔργα διαπραξάμενος, ἄπιστα πᾶσι καὶ
19 τοῖς ἐπιγινομένοις ἀκοῦσαι. ἀφικομένου δὲ αὐτοῦ πά-
λιν εἰς Ἀσίαν, ἄγοντος τὰ χρήματα καὶ τὴν γυναῖκα,
ἔστιν ὅπου ἀντελάβου τινὸς ἢ βοῇ ἐσήμηνας τοῖς πε-
ριοίκοις ἢ βοήθειαν συνέλεξας; οὐκ ἂν ἔχοις εἰπεῖν,
ἀλλὰ περιεῖδες Ἕλληνας ὑπὸ βαρβάρων ὑβρισθέντας.
20 ἐπεὶ δ' ἐπύθοντο οἱ Ἕλληνες τὴν ἁρπαγὴν καὶ Μενε-
λεως ᾔσθετο, ἤγειρε τὴν στρατιὰν καὶ διέπεμπεν ἡμῶν
ἄλλον ἄλλοσε εἰς τὰς πόλεις αἰτήσοντας στρατόν. καὶ
δὴ τοῦτον ἔπεμψεν εἰς Χίον πρὸς Οἰνοπίωνα καὶ
εἰς Κύπρον πρὸς Κινύραν. ὁ δὲ Κινύραν τε ἔπεισε μὴ
συστρατεύειν ἡμῖν, δῶρά τε πολλὰ παρ' αὐτοῦ λαβὼν
21 ἀποπλέων ᾤχετο· καὶ Ἀγαμέμνονι μὲν ἀποδίδωσι χαλ-
κοῦν θώρακα, ὅστις οὐδενὸς ἄξιος ἦν, τὰ δὲ ἄλλα
αὐτὸς εἶχε χρήματα. ἀπηγγέλλετο δὲ ὅτι ἑκατὸν ναῦς
ἀποπέμψει ὁ Κινύρας, ὁρᾶτε δὲ καὶ αὐτοὶ οὐδεμίαν
παρ' αὐτοῦ ἥκουσαν. ὥστε καὶ διὰ ταῦτα δικαίως ἄν
μοι δοκεῖ θανάτῳ ζημιωθῆναι, εἰ ἄρα γε κολάσα-
σθαι ἄξιόν ἐστι τὸν σοφιστήν, ὃς ἐπὶ τοῖς φίλοις τὰ
αἴσχιστα μηχανώμενος πέφανται.

Ἄξιον δὲ καταμαθεῖν ἃ καὶ φιλοσοφεῖν ἐπικεχείρηκεν 22
ἐξαπατῶν τοὺς νέους καὶ παραπείθων, φάσκων τάξεις
ἐξευρηκέναι πολεμικάς, γράμματα, ἀριθμούς, μέτρα,
σταθμούς, πεττούς, κύβους, μουσικήν, νόμισμα, πυρ-
σούς. καὶ οὐδὲ αἰσχύνεται ὅταν αὐτίκα ἐλέγχηται φα-
νερῶς ἐν ὑμῖν ψευδόμενος. Νέστωρ γὰρ ὅδε, πρεσβύτε- 23 672
ρος ἡμῶν ἁπάντων, καὶ αὐτὸς ἐν τοῖς Πειρίθου γάμοις
μετὰ Λαπιθῶν ἐμαχέσατο Κενταύροις ἐν φάλαγγι καὶ
ἐν τάξει· Μενεσθεὺς δὲ πρῶτος λέγεται κοσμῆσαι τά-
ξεις καὶ λόχους καὶ φάλαγγας συστῆσαι, ἡνίκα Εὔ-
μολπος ὁ Ποσειδῶνος ἐπ' Ἀθηναίους ἐστράτευσε Θρᾷ-
κας ἄγων, ὥστ' οὐ Παλαμήδους τὸ ἐξεύρημά ἐστιν,
ἀλλ' ἄλλων πρότερον. γράμματα μὲν δὴ πρῶτος Ὀρ- 24
φεὺς ἐξήνεγκε, παρὰ Μουσῶν μαθών, ὡς καὶ ἐπὶ τῷ
μνήματι αὐτοῦ δηλοῖ τὰ ἐπιγράμματα,

Μουσάων πρόπολον τῇδ' Ὀρφέα Θρῇκες ἔθηκαν,
ὃν κτάνεν ὑψιμέδων Ζεὺς ψολόεντι βέλει,
Οἰάγρου φίλον υἱόν, ὃς Ἡρακλῆ' ἐξεδίδαξεν,
εὑρὼν ἀνθρώποις γράμματα καὶ σοφίην.

μουσικὴν δὲ Λίνος ὁ Καλλιόπης, ὃν Ἡρακλῆς φο- 25
νεύει. ἀριθμούς γε μὴν Μουσαῖος ὁ τῶν Εὐμολπιδῶν,
Ἀθηναῖος, ὡς καὶ τὰ ποιήματα αὐτοῦ δηλοῖ,

ὄρθιον ἑξαμερὲς τετόρων καὶ εἴκοσι μέτρων. –
ὡς δεκάτην γενεὴν ἑκατὸν βιοτεύειν ἄνδρας.

νομίσματα δὲ οἱ Φοίνικες ἐξεῦρον, λογιώτατοι καὶ 26
δεινότατοι ὄντες τῶν βαρβάρων· ἐξ ὁλοσφύρου γὰρ
ἴσον μερισμὸν διείλοντο, καὶ πρῶτοι χαρακτῆρα ἔβα-
λον εἰς τὸν σταθμόν, τὸ πλέον καὶ τὸ ἔλαττον.
παρ' ὧν οὗτος ἑλὼν σοφίζεται τὸν ῥυθμόν, ὥστε
αὐτοῦ ταῦτα πάντα πρεσβύτερα φαίνεται, ὧν οὗ-
τος προσποιεῖται εὑρετὴς εἶναι. μέτρα δὲ καὶ σταθμὰ 27
ἐξεῦρε, καπήλοις καὶ ἀγοραίοις ἀνθρώποις ἀπά-
τας καὶ ἐπιορκίας, πεττούς γε μήν, τοῖς ἀργοῖς
τῶν ἀνδρῶν ἔριδας καὶ λοιδορίας. καὶ κύβους αὖ μέ-
γιστον κακὸν κατέδειξε, τοῖς μὲν ἡττηθεῖσι λύπας καὶ
ζημίας, τοῖς δὲ νενικηκόσι καταγέλωτα καὶ ὄνειδος·
τὰ γὰρ ἀπὸ τῶν κύβων γενόμενα ἀνόνητα γίνεται, τὰ
δὲ πλεῖστα καταναλίσκεται παραχρῆμα. πυρσοὺς αὖ 28

2. ἄπαις ὢν cum Reiskio b: libri ἀπαίδων. 4. Πριάμῳ αὐτὸν Sauppius: πριάμω αὐτῶ AB, αὐτὸν Πριάμῳ b. εἰς τὸ] εἴς τι AB, εἰς τὸν IMN. Fort. ὥστε. 13. αὐτοῖς τε AB: αὐτοὺς b. 22. οὐδένα CZ: οὐθένα b. 32. καὶ δὴ] καὶ δὴ καὶ b cum C. 36. τὰ δὲ ἄλλα αὐτὸς AB: αὐτὸς δὲ τὰ ἄλλα b 40. δοκεῖ Reiskius: δοκῇ ABC, δοκοίη b. cf. §. 11 εἰ ἄρα γε κολάσασθαι ἄξιόν ἐστι AB: ἄξιον γὰρ κολάσαι b.

6. verba μουσικήν, νόμισμα videntur loco movenda et v. 5. post ἀριθμούς inserenda esse. cf. §. 25 sqq. 8. ὅδε πρεσβύτερος AB: ὁ πρεσβύτατος b 16. καὶ AB: καὶ τὰ b. 17. δηλοῖ τὰ AB: δηλοῖ b. 22. Λίνος AB: Τρίτος Z, Τεῦκρος b 25. μέτρων. – Sauppius: μέτρων b. cf. Longini frg. 3 §. 7. Fr. Passow ad Musaeum p. 213. Lobeck. Aglaoph. p. 235 26. βιοτεύειν Sauppius: βιοῦν b. Cuiusdam progeniem decima aetate centum viros fore. 27. λογιώτατοι I. Fr. Fischer animadvv. ad Veller. 1 p. 7: λογικώτατοι b. cf. Lobeck. ad Phrynich. p. 198 29. καὶ πρῶτοι AB: πρῶτοί τε b cum C. πρῶτοι reliqui. 31. ἑλὼν Sauppius: ἐλθὼν b. τὸν ῥυθμὸν AB: τὸν αὐτοῦ ῥυθμὸν Z, τὸν αὐτὸν ῥυθμὸν ceteri (praeter Cb), τῶν αὐτῶν δὲ καὶ ὁ ῥυθμὸς b cum C. 39. τῶν κύβων γενόμενα AB: κύβων προσγινόμενα b.

ἐσοφίσατο, ἀλλ' ἐπὶ τῷ ἡμετέρῳ κακῷ, ἃ διενοεῖτο ποι-
εῖν, χρήσιμα δὲ τοῖς πολεμίοις. ἀρετὴ δέ ἐστιν ἀν-
673 δρὸς τοῖς ἡγεμόσι προσέχειν καὶ τὸ προσταττόμενον
ποιεῖν καὶ τῷ πλήθει ἀρέσκειν παντί, αὑτόν τε παρ-
έχειν ἄνδρα πανταχοῦ ἀγαθόν, τούς τε φίλους εὖ ποι-
οῦντα καὶ τοὺς ἐχθροὺς κακῶς. ὧν τἀναντία πάντων
οὗτος ἐπίσταται, τοὺς μὲν ἐχθροὺς ὠφελεῖν, τοὺς δὲ
φίλους κακῶς ποιεῖν.

29 Ἀξιῶ δ' ὑμᾶς ἔγωγε κοινῇ σκεψαμένους βουλεύ-
σασθαι περὶ αὐτοῦ καὶ μὴ ἀφεῖναι αὐτὸν ὑποχεί-
ριον λαβόντας. εἰ δὲ κατελεήσαντες αὐτὸν διὰ τὴν
δεινότητα τῶν λόγων ἀφήσετε, θαυμαστὴ παρανο-
μία γενήσεται ἐν τῷ στρατεύματι· εἰδὼς γὰρ αὐτῶν
ἕκαστος ὅτι καὶ Παλαμήδης περιφανῶς τοσαῦτα ἡμαρ-
τηκὼς οὐδεμίαν δίκην ἔδωκε, καὶ αὐτοὶ πειράσονται
ἀδικεῖν. ὥστε ἐὰν νοῦν ἔχητε, ψηφιεῖσθε τὰ βέλτισθ'
ὑμῖν αὐτοῖς. καὶ τῶν λοιπῶν οὕνεκα παράδειγμα ποι-
ήσεσθε τοῦτον τιμωρησάμενοι.

2. ΠΕΡΙ ΤΩΝ ΤΟΥΣ ΓΡΑΠΤΟΥΣ ΛΟΓΟΥΣ ΓΡΑΦΟΝΤΩΝ Η ΠΕΡΙ ΣΟΦΙΣΤΩΝ.

Ἐπειδή τινες τῶν καλουμένων σοφιστῶν ἱστορίας
μὲν καὶ παιδείας ἠμελήκασι καὶ τοῦ δύνασθαι λέγειν
ὁμοίως τοῖς ἰδιώταις ἀπείρως ἔχουσι, γράφειν δὲ με-
μελετηκότες λόγους καὶ διὰ βιβλίων δεικνύντες τὴν
αὑτῶν σοφίαν σεμνύνονται καὶ μέγα φρονοῦσι καὶ
πολλοστὸν μέρος τῆς ῥητορικῆς κεκτημένοι δυνάμεως
τῆς ὅλης τέχνης ἀμφισβητοῦσι, διὰ ταύτην τὴν αἰτίαν
2 ἐπιχειρήσω κατηγορίαν ποιήσασθαι τῶν γραπτῶν λό-
γων, οὐχ ὡς ἀλλοτρίαν ἐμαυτοῦ τὴν δύναμιν αὐτῶν
ἡγούμενος, ἀλλ' ὡς ἐφ' ἑτέροις μεῖζον φρονῶν καὶ τὸ
γράφειν ἐν παρέργῳ μελετᾶν οἰόμενος χρῆναι, καὶ
τοὺς ἐπ' αὐτὸ τοῦτο τὸν βίον καταναλίσκοντας ἀπολε-
λεῖφθαι πολὺ καὶ ῥητορικῆς καὶ φιλοσοφίας ὑπειλη-
φώς, καὶ πολὺ δικαιότερον ἂν ποιητὰς ἢ σοφιστὰς
προσαγορεύεσθαι νομίζων.

3 Πρῶτον μὲν οὖν ἐντεῦθεν ἄν τις καταφρονήσειε
τοῦ γράφειν, ἐξ ὧν ἐστιν εὐεπίθετον καὶ ῥᾴδιον καὶ
τῇ τυχούσῃ φύσει πρόχειρον. εἰπεῖν μὲν γὰρ ἐκ τοῦ
παραχρῆμα περὶ τοῦ παρατυχόντος ἐπιεικῶς, καὶ τα-
χείᾳ χρήσασθαι τῶν ἐνθυμημάτων καὶ τῶν ὀνομάτων
εὐπορίᾳ, καὶ τῷ καιρῷ τῶν πραγμάτων καὶ ταῖς ἐπι-
θυμίαις τῶν ἀνθρώπων εὐστόχως ἀκολουθῆσαι καὶ τὸν
προσήκοντα λόγον εἰπεῖν οὔτε φύσεως ἁπάσης οὔτε παι-
δείας τῆς τυχούσης ἐστίν· ἐν πολλῷ δὲ χρόνῳ γράψαι καὶ 4
κατὰ σχολὴν ἐπανορθῶσαι, καὶ παραθέμενον τὰ τῶν προ-
γεγονότων σοφιστῶν συγγράμματα πολλαχόθεν εἰς ταὐ-
674 τὸν ἐνθυμήματα συναγεῖραι, καὶ μιμήσασθαι τὰς τῶν
εὖ λεγομένων ἐπιτυχίας, καὶ τὰ μὲν ἐκ τῆς τῶν ἰδιω-
τῶν συμβουλίας ἐπανορθώσασθαι, τὰ δὲ αὐτὸν ἐν
ἑαυτῷ πολλάκις ἐπισκεψάμενον ἀνακαθᾶραι καὶ μετα-
γράψαι καὶ τοῖς ἀπαιδεύτοις ῥᾴδιον πέφυκεν. ἔστι δ' 5
ἅπαντα τὰ μὲν ἀγαθὰ καὶ καλὰ σπάνια καὶ χαλεπὰ
καὶ διὰ πόνων εἰωθότα γίγνεσθαι, τὰ δὲ ταπεινὰ καὶ
φαῦλα ῥᾳδίαν ἔχει κτῆσιν, ὥστ' ἐπειδὴ τὸ γράφειν τοῦ
λέγειν ἑτοιμότερον ἡμῖν ἐστιν, εἰκότως ἂν αὐτοῦ καὶ
τὴν κτῆσιν ἐλάττονος ἀξίαν νομίζοιμεν.

Ἔπειτα τοῖς μὲν λέγειν δεινοῖς οὐδεὶς ἂν φρονῶν 6
ἀπιστήσειεν ὡς οὐ μικρὸν τὴν τῆς ψυχῆς ἕξιν μεταρ-
ρυθμίσαντες ἐπιεικῶς λογογραφήσουσι, τοῖς δὲ γρά-
φειν ἠσκημένοις οὐδεὶς ἂν πιστεύσειεν ὡς ἀπὸ τῆς αὐ-
τῆς δυνάμεως καὶ λέγειν οἷοί τε ἔσονται. τοῖς μὲν
γὰρ τὰ χαλεπὰ τῶν ἔργων ἐπιτελοῦντας εἰκός, ὅταν
ἐπὶ τὰ ῥᾴω τὴν γνώμην μεταστήσωσιν, εὐπόρως με-
ταχειριεῖσθαι τὴν τῶν πραγμάτων ἀπεργασίαν· τοῖς 7
δὲ τὰ ῥᾴδια γεγυμνασμένοις ἀντίτυπος καὶ προσάντης
ἡ τῶν χαλεπωτέρων ἐπιμέλεια καθίσταται. γνοίη δ'
ἄν τις ἐκ τῶνδε τῶν παραδειγμάτων. ὁ μὲν γὰρ ἄραι
μέγα φορτίον δυνάμενος ἐπὶ τὰ κουφότερα μετελθὼν
ῥᾳδίως μεταχειρίσαιτ' ἄν· ὁ δὲ πρὸς τὰ κοῦφα τῇ δυ-
νάμει διικνούμενος οὐδὲν ἂν τῶν βαρυτέρων οἷός τε
εἴη φέρειν. καὶ πάλιν ὁ μὲν ποδώκης δρομεὺς ῥᾳδίως
παρέπεσθαι τοῖς βραδυτέροις δύναιτ' ἄν· ὁ δὲ βραδὺς
οὐκ ἂν οἷός τε εἴη τοῖς θάσσοσιν ὁμοδρομεῖν. ἔτι δὲ
πρὸς τούτοις ὁ μὲν τὰ πόρρω δυνάμενος ἐπισκόπως
ἀκοντίζειν ἢ τοξεύειν καὶ τῶν ἐγγὺς τεύξεται ῥᾳδίως,
ὁ δὲ τὰ πλησίον βάλλειν ἐπιστάμενος οὔπω δῆλον εἰ
καὶ τῶν πόρρω δυνήσεται τυγχάνειν. τὸν αὐτὸν δὴ 8
τρόπον καὶ περὶ τοὺς λόγους ὁ μὲν ἐκ τοῦ παραυτίκα
καλῶς αὐτοῖς χρώμενος οὐκ ἄδηλον ὅτι μετὰ χρόνου
καὶ σχολῆς ἐν τῷ γράφειν διαφέρων ἔσται λογοποιός·
ὁ δ' ἐπὶ τοῦ γράφειν τὰς διατριβὰς ποιούμενος οὐκ
ἀφανὲς ὅτι μεταβὰς ἐπὶ τοὺς αὐτοσχεδιαστικοὺς λό-
γους ἀπορίας καὶ πλάνου καὶ ταραχῆς ἕξει πλήρη τὴν
γνώμην.

Ἡγοῦμαι δὲ καὶ τῷ βίῳ τῶν ἀνθρώπων τὸ μὲν λέ- 9
γειν ἀεί τε καὶ διὰ παντὸς χρήσιμον εἶναι, τοῦ δὲ
γράφειν ὀλιγάκις εὔκαιρον τὴν δύναμιν αὐτῷ καθί-
στασθαι. τίς γὰρ οὐκ οἶδεν ὅτι λέγειν μὲν ἐκ τοῦ πα-
ραυτίκα καὶ δημηγοροῦσι καὶ δικαζομένοις καὶ τὰς

---

1. ἐπὶ τῷ AB: ἐφ' b. 17. οὕνεκα ABl: οὕνεκεν b.

Codd. Bekkeri CKMTX (ab initio et in extrema parte etiam N).

27. διὰ βιβλίων cum Reiskio b: διὰ βεβαίων KMN, δι' ἀβεβαίων CX. 34. μελετᾶν J. Strangius (Jahnii tabular. philol. vol. 3 p. 596): τοῦ μελετᾶν b. cf. §. 35.

1. γράψαι Sauppius: γράψαι ἂν b. 3. ταὐτὸ Reiskius: τὰ αὐτῶν b. 17. ἀπὸ Reiskius: ἐπὶ b. 28 et 30. εἴη Sauppius: ἢ b. 43. τὴν δύναμιν αὐτῷ Reiskius: αὐτῷ τὴν δύναμιν Bekkerus, αὐτοῦ τὴν δύναμιν C, τὴν δύναμιν αὐτοῦ ceteri.

ἰδίας ὁμιλίας ποιοῦσιν ἀναγκαῖόν ἐστι, καὶ πολλάκις
ἀπροσδοκήτως καιροὶ πραγμάτων παραπίπτουσιν, ἐν
οἷς οἱ μὲν σιωπῶντες εὐκαταφρόνητοι δόξουσιν εἶναι,
τοὺς δὲ λέγοντας ὡς ἰσόθεον τὴν γνώμην ἔχοντας ὑπὸ
τῶν ἄλλων τιμωμένους ὁρῶμεν. ὅταν γὰρ νουθετῆσαι
675 *δέῃ τοὺς ἁμαρτάνοντας ἢ παραμυθήσασθαι τοὺς δυσ-*
τυχοῦντας ἢ πρᾶϋναι τοὺς ἀπολλυμένους ἢ τὰς ἐξαί-
φνης επενεχθείσας αἰτίας ἀπολύσασθαι, τηνικαῦθ'
ἡ τοῦ λέγειν δύναμις τῇ χρείᾳ τῶν ἀνθρώπων ἐπικου-
ρεῖν οἵα τέ εστιν, ἡ δὲ γραφὴ σχολῆς δεῖται καὶ μα-
κροτέρους ποιεῖται τοὺς χρόνους τῶν καιρῶν· οἱ μὲν
γὰρ ταχεῖαν τὴν ἐπικουρίαν ἐπὶ τῶν ἀγώνων ἀπαιτοῦ-
σιν, ἡ δὲ κατὰ σχολὴν καὶ βραδέως ἐπιτελεῖ τοὺς λό-
γους. ὥστε τίς ἂν φρονῶν ταύτην τὴν δύναμιν ζηλώ-
11 *σειεν, ἣ τῶν καιρῶν τοσοῦτον ἀπολείπεται; πῶς δ' οὐ*
καταγέλαστον, εἰ τοῦ κήρυκος παρακαλοῦντος „τίς
ἀγορεύειν βούλεται τῶν πολιτῶν;" ἢ τοῦ ὕδατος ἐν τοῖς
δικαστηρίοις ἤδη ῥέοντος, ἐπὶ τὸ γραμματεῖον ὁ ῥή-
τωρ πορεύοιτο συνθήσων καὶ μαθησόμενος λόγον; ὡς
ἀληθῶς γὰρ εἰ μὲν ἦμεν τύραννοι τῶν πόλεων, ἐφ'
ἡμῖν ἂν ἦν καὶ δικαστήρια συλλέγειν καὶ περὶ τῶν
κοινῶν βουλεύεσθαι πραγμάτων, ὥστε ὁπότε γράψαι-
μεν τοὺς λόγους, τηνικαῦτα τοὺς ἄλλους πολίτας ἐπὶ
τὴν ἀκρόασιν παρακαλεῖν· ἐπεὶ δ' ἕτεροι τούτων κύ-
ριοί εἰσιν, ἆρ' οὐκ εὔηθες ἡμᾶς ἄλλην τινὰ ποιεῖσθαι
12 *μελέτην λόγων ἐναντίως ἔχουσαν ἀκριβῶς; εἰ γὰρ οἱ*
τοῖς ὀνόμασιν ἐξειργασμένοι καὶ μᾶλλον ποιήμασιν ἢ
λόγοις ἐοικότες, καὶ τὸ μὲν αὐτόματον καὶ πλέον
ἀληθείας ὅμοιον ἀποβεβληκότες, μετὰ παρασκευῆς
δὲ πεπλάσθαι καὶ συγκεῖσθαι δοκοῦντες ἀπιστίας καὶ
φθόνου τὰς τῶν ἀκουόντων γνώμας ἐμπιπλᾶσι, —
13 *τεκμήριον δὲ μέγιστον· οἱ γὰρ εἰς τὰ δικαστήρια τοὺς*
λόγους γράφοντες φεύγουσι τὰς ἀκριβείας καὶ μι-
μοῦνται τὰς τῶν αὐτοσχεδιαζόντων ἑρμηνείας, καὶ τότε
κάλλιστα γράφειν δοκοῦσιν, ὅταν ἥκιστα γεγραμμένοις
ὁμοίους πορίσωνται λόγους. ὁπότε δὲ καὶ τοῖς λογο-
γράφοις τοῦτο πέρας τῆς ἐπιεικείας ἐστίν, ὅταν τοὺς
αὐτοσχεδιάζοντας μιμήσωνται, πῶς οὐ χρὴ καὶ τῆς
παιδείας ἐκείνην μάλιστα τιμᾶν, ἀφ' ἧς πρὸς τοῦτο
τὸ γένος τῶν λόγων εὐπόρως ἕξομεν;

14 *Οἶμαι δὲ καὶ διὰ τοῦτ' ἄξιον εἶναι τοὺς γραπτοὺς*
λόγους ἀποδοκιμάζειν, ὅτι τὸν βίον τῶν μεταχειριζο-
μένων ἀνώμαλον καθιστᾶσι. περὶ πάντων μὲν γὰρ τῶν
πραγμάτων γεγραμμένους ἐπίστασθαι λόγους ἕν τι
τῶν ἀδυνάτων πέφυκεν, ἀνάγκη δ' ἐστίν, ὅταν τις
τὰ μὲν αὐτοσχεδιάζῃ τὰ δὲ τυποῖ, τὸν λόγον ἀνόμοιον
ὄντα ψόγον τῷ λέγοντι παρασκευάζειν, καὶ τὰ μὲν
ὑποκρίσει καὶ ῥαψῳδίᾳ παραπλήσια δοκεῖν εἶναι, τὰ
δὲ ταπεινὰ καὶ φαῦλα φαίνεσθαι παρὰ τὴν ἐκείνων
ἀκρίβειαν.

Δεινὸν δ' ἐστὶ τὸν ἀντιποιούμενον φιλοσοφίας τῆς 15 676
τοῦ λέγειν καὶ παιδεύσειν ἑτέρους ὑπισχνούμενον, ἂν
μὲν ἔχῃ γραμματεῖον ἢ βιβλίον, δεικνύναι δύνασθαι
τὴν αὑτοῦ σοφίαν, ἂν δὲ τούτων ἄμοιρος γένηται,
μηδὲν τῶν ἀπαιδεύτων βελτίω καθεστάναι, καὶ χρό-
νου μὲν δοθέντος δύνασθαι λόγον ἐξενεγκεῖν, εὐθέως
δὲ περὶ τοῦ προτεθέντος ἀφωνότερον εἶναι τῶν ἰδιω-
τῶν, καὶ λόγων μὲν τέχνας ἐπαγγέλλεσθαι, τοῦ δὲ
λέγειν μηδὲ μικρὰν δύναμιν ἔχοντα ἐν ἑαυτῷ φαίνε-
σθαι. καὶ γὰρ ἡ μελέτη τοῦ γράφειν ἀπορίαν τοῦ λέ-
γειν πλείστην παραδίδωσιν. ὅταν γάρ τις ἐθισθῇ κατὰ 16
μικρὸν ἐξεργάζεσθαι τοὺς λόγους καὶ μετὰ ἀκριβείας
καὶ ῥυθμοῦ τὰ ῥήματα συντιθέναι καὶ βραδείᾳ τῇ
τῆς διανοίας κινήσει χρώμενος ἐπιτελεῖν τὴν ἑρμη-
νείαν, ἀναγκαῖόν ἐστι τοῦτον, ὅταν εἰς τοὺς αὐτοσχε-
διαστοὺς ἔλθῃ λόγους, ἐναντία πράσσοντα ταῖς συνη-
θείαις ἀπορίας καὶ θορύβου πλήρη τὴν γνώμην ἔχειν,
καὶ πρὸς ἅπαντα μὲν δυσχεραίνειν, μηδὲν δὲ διαφέ-
ρειν τῶν ἰσχνοφώνων, οὐδέποτε δ' εὐλύτῳ τῇ τῆς ψυ-
χῆς ἀγχινοίᾳ χρώμενον ὑγρῶς καὶ φιλανθρώπως με-
ταχειρίζεσθαι τοὺς λόγους, ἀλλ' ὥσπερ οἱ διὰ μακρῶν 17
χρόνων ἐκ δεσμῶν λυθέντες οὐ δύνανται τοῖς ἄλλοις
ὁμοίαν ποιήσασθαι τὴν ὁδοιπορίαν, ἀλλ' εἰς ἐκεῖνα
τὰ σχήματα καὶ τοὺς ῥυθμοὺς ἀποφέρονται μεθ' ὧν
καὶ δεδεμένοις αὐτοῖς ἀναγκαῖον ἦν πορεύεσθαι, τὸν
αὐτὸν τρόπον ἡ γραφὴ βραδείας τὰς διαβάσεις τῇ
γνώμῃ παρασκευάζουσα καὶ τοῦ λέγειν ἐν τοῖς ἐναν-
τίοις ἔθεσι ποιουμένη τὴν ἄσκησιν ἄπορον καὶ δεσ-
μώτιν τὴν ψυχὴν καθίστησι καὶ τῆς ἐν τοῖς αὐτο-
σχεδιαστοῖς εὐροίας ἁπάσης ἐπίπροσθεν γίνεται.

Νομίζω δὲ καὶ τὴν μάθησιν τῶν γραπτῶν λόγων 18
χαλεπὴν καὶ τὴν μνήμην ἐπίπονον καὶ τὴν λήθην αἰ-
σχρὰν ἐν τοῖς ἀγῶσι γίνεσθαι. πάντες γὰρ ἂν ὁμολο-
γήσειαν τὰ μικρὰ τῶν μεγάλων καὶ τὰ πολλὰ τῶν ὀλί-
γων χαλεπώτερον εἶναι μαθεῖν καὶ μνημονεῦσαι. περὶ
μὲν οὖν τοὺς αὐτοσχεδιασμοὺς ἐπὶ τῶν ἐνθυμημάτων
δεῖ μόνον τὴν γνώμην ἔχειν, τοῖς δὲ ὀνόμασιν ἐκ τοῦ
παραυτίκα δηλοῦν· ἐν δὲ τοῖς γραπτοῖς λόγοις καὶ
τῶν ὀνομάτων καὶ τῶν ἐνθυμημάτων καὶ συλλαβῶν
ἀναγκαῖόν ἐστι ποιεῖσθαι τὴν μνήμην καὶ τὴν μάθη-
σιν ἀκριβῆ. ἐνθυμήματα μὲν οὖν ὀλίγα καὶ μεγάλα 19
τοῖς λόγοις ἔνεστιν, ὀνόματα δὲ καὶ ῥήματα πολλὰ

---

7. *ἀπολλυμένους* KMTX: *ὀργιζομένους* b cum C., *ἀπολυμένους* aldina. Fort. *ἐπιτεθυμένους*. 15. *ἀπολείπεται* Bekkerus: libri *ἀπολείπεται*. 25. *ποιεῖσθαι μελέτην λόγων*] *ποιεῖσθαι τῶν λόγων μελέτην* K, *μελέτην ποιεῖσθαι λόγων* b cum C. Fort. *λόγων* delendum est. 26. *ἔχουσαν* cum aldina b: libri *ἔχουσιν*. 35. *κάλλιστα* Bekkerus: libri *μάλιστα*.

5. *τῆς τοῦ λέγειν* cum aldina b: *ἐν τῷ λέγειν* C, *ἀντιλέγειν* ceteri. 24. *φιλανθρώπως*] h. e. *φιλάνως*. Fort. *ἱλαρῶς*. 42. Immo *καὶ τῶν ἐνθυμημάτων καὶ τῶν ὀνομάτων*. Dobreeus advers. 1 p. 555 verba *καὶ τῶν ἐνθυμημάτων* vult deleri.

καὶ ταπεινὰ καὶ μικρὸν ἀλλήλων διαφέροντα. καὶ τῶν μὲν ἐνθυμημάτων ἅπαξ ἕκαστον δηλοῦται, τοῖς δ' ὀνόμασι πολλάκις τοῖς αὐτοῖς ἀναγκαζόμεθα χρῆσθαι· διὸ τῶν μὲν εὔπορος ἡ μνήμη, τοῖς δὲ δυσανάληπτος ἡ μνήμη καὶ δυσφύλακτος ἡ μάθησις καθέστηκεν. ἔτι τοίνυν αἱ λῆθαι περὶ μὲν τοὺς αὐτοσχεδιασμοὺς
677 ἄδηλον τὴν αἰσχύνην ἔχουσιν. εὐλύτου γὰρ τῆς ἑρμηνείας οὔσης καὶ τῶν ὀνομάτων οὐκ ἀκριβῶς συνεξεσμένων, ἂν ἄρα καὶ διαφύγῃ τι τῶν ἐνθυμημάτων, οὐ χαλεπὸν ὑπερβῆναι τῷ ῥήτορι καὶ τῶν ἐφεξῆς ἐνθυμημάτων ἀψάμενον μηδεμιᾷ τὸν λόγον αἰσχύνῃ πε-
21 ριβαλεῖν· ἀλλὰ καὶ τῶν διαφυγόντων, ἂν ὕστερον ἀναμνησθῇ, ῥᾴδιον ποιήσασθαι τὴν δήλωσιν. τοῖς δὲ γεγραμμένα λέγουσιν, ἂν κατὰ μικρὸν ὑπὸ τῆς ἀγωνίας ἐκλίπωσί τι καὶ παραλλάξωσιν, ἀπορίαν ἀνάγκη καὶ πλάνον καὶ ζήτησιν ἐγγίνεσθαι, καὶ μακροὺς μὲν χρόνους ἐπίσχειν, πολλάκις δὲ τῇ σιωπῇ διαλαμβάνειν τὸν λόγον, ἀσχήμονα δὲ καὶ καταγέλαστον καὶ δυσεπικούρητον καθεστάναι τὴν ἀπορίαν.

22 Ἡγοῦμαι δὲ καὶ ταῖς ἐπιθυμίαις τῶν ἀκροατῶν ἄμεινον χρῆσθαι τοὺς αὐτοσχεδιάζοντας τῶν τὰ γεγραμμένα λεγόντων. οἱ μὲν γὰρ πολὺ πρὸ τῶν ἀγώνων τὰ συγγράμματα διαπονήσαντες ἐνίοτε τῶν καιρῶν ἁμαρτάνουσιν· ἢ γὰρ μακρότερα τῆς ἐπιθυμίας λέγοντες ἀπεχθάνονται τοῖς ἀκούουσιν, ἢ βουλομένων ἔτι τῶν ἀνθρώπων ἀκροᾶσθαι προαπολείπουσι τοὺς λόγους.
23 χαλεπὸν γάρ, ἴσως δ' ἀδύνατόν ἐστιν ἀνθρωπίνην πρόνοιαν ἐφικέσθαι τοῦ μέλλοντος, ὥστε προϊδεῖν ἀκριβῶς τίνα τρόπον αἱ γνῶμαι τῶν ἀκουόντων πρὸς τὰ μήκη τῶν λεγομένων ἕξουσιν· ἐν δὲ τοῖς αὐτοσχεδιασμοῖς ἐπὶ τῷ λέγοντι γίνεται ταμιεύεσθαι τοὺς λόγους πρὸς τὰς δυνάμεις τῶν γνωμῶν ἀποβλέποντι καὶ τὰ μήκη συντέμνειν καὶ τὰ συντόμως ἐσκεμμένα διὰ μακροτέρων δηλοῦν.

24 Χωρὶς τοίνυν τούτων οὐδὲ τοῖς παρ' αὐτῶν τῶν ἀγώνων ἐνθυμήμασι διδομένοις ὁμοίως ὁρῶμεν ἑκατέρους χρῆσθαι δυναμένους. τοῖς μὲν γὰρ ἄγραφα λέγουσιν, ἄν τι παρὰ τῶν ἀντιδίκων ἐνθύμημα λάβωσιν ἢ διὰ τὴν συντονίαν τῆς διανοίας αὐτῶν παρὰ σφῶν αὐτῶν διανοηθῶσιν, εὔπορόν ἐστιν ἐν τάξει θεῖναι· τοῖς γὰρ ὀνόμασιν ἐκ τοῦ παραυτίκα περὶ ἁπάντων δηλοῦντες, οὐδ' ὅταν πλείω τῶν ἐσκεμμένων λέγωσιν, οὐδαμῇ τὸν λόγον ἀνώμαλον καὶ ταραχώδη καθιστᾶσι·
25 τοῖς δὲ μετὰ τῶν γραπτῶν λόγων ἀγωνιζομένοις ἂν ἄρα τι χωρὶς τῆς παρασκευῆς ἐνθύμημα δοθῇ, χαλεπὸν ἐναρμόσαι καὶ χρῆσθαι κατὰ τρόπον· αἱ γὰρ ἀκρίβειαι τῆς τῶν ὀνομάτων ἐξεργασίας οὐ παραδέχονται τοὺς αὐτοματισμούς, ἀλλ' ἀναγκαῖον ἢ μηδὲν χρῆσθαι τοῖς ἀπὸ τῆς τύχης ἐνθυμήμασι δοθεῖσιν ἢ χρώμενον διαλύειν καὶ συνερείπειν τὴν τῶν ὀνομάτων οἰκονομίαν, καὶ τὰ μὲν ἀκριβῶς τὰ δ' εἰκῇ λέγοντα ταραχώδη καὶ διάφωνον καθιστάναι τὴν ἑρμηνείαν. καίτοι τίς ἂν εὖ φρονῶν ἀποδέξαιτο τὴν τοιαύτην με- 26
λέτην, ἥ τις καὶ τῶν αὐτομάτων ἀγαθῶν ἐπίπροσθεν
τῇ χρήσει καθέστηκε καὶ χείρω τῆς τύχης ἐνίοτε τοῖς 678
ἀγωνιζομένοις τὴν ἐπικουρίαν παραδίδωσι, καὶ τῶν ἄλλων τεχνῶν ἐπὶ τὸ βέλτιον ἄγειν τὸν τῶν ἀνθρώπων βίον εἰθισμένων αὐτὴ καὶ τοῖς αὐτομάτοις εὐπορήμασιν ἐμποδών ἐστιν.

Ἡγοῦμαι δ' οὐδὲ λόγους δίκαιον εἶναι καλεῖσθαι 27
τοὺς γεγραμμένους, ἀλλ' ὥσπερ εἴδωλα καὶ σχήματα καὶ μιμήματα λόγων, καὶ τὴν αὐτὴν κατ' αὐτῶν εἰκότως ἂν δόξαν ἔχοιμεν, ἥνπερ καὶ κατὰ τῶν χαλκῶν ἀνδριάντων καὶ λιθίνων ἀγαλμάτων καὶ γεγραμμένων ζῴων. ὥσπερ γὰρ ταῦτα μιμήματα τῶν ἀληθινῶν σωμάτων ἐστί, καὶ τέρψιν μὲν ἐπὶ τῆς θεωρίας ἔχει, χρῆσιν δ' οὐδεμίαν τῷ τῶν ἀνθρώπων βίῳ παραδίδωσι, τὸν αὐτὸν τρόπον ὁ γεγραμμένος λόγος, ἑνὶ σχήματι 28
καὶ τάξει κεχρημένος, ἐκ βιβλίου θεωρούμενος ἔχει τινὰς ἐκπλήξεις, ἐπὶ δὲ τῶν καιρῶν ἀκίνητος ὢν οὐδεμίαν ὠφέλειαν τοῖς κεκτημένοις παραδίδωσιν· ἀλλ' ὥσπερ ἀνδριάντων καλῶν ἀληθινὰ σώματα πολὺ χείρους τὰς εὐπορίας ἔχοντα πολλαπλασίους ἐπὶ τῶν ἔργων τὰς ὠφελείας παραδίδωσιν, οὕτω καὶ λόγος ὁ μὲν ἀπ' αὐτῆς τῆς διανοίας ἐν τῷ παραυτίκα λεγόμενος ἔμψυχός ἐστι καὶ ζῇ καὶ τοῖς πράγμασιν ἕπεται καὶ τοῖς ἀληθέσιν ἀφωμοίωται σώμασιν, ὁ δὲ γεγραμμένος εἰκόνι λόγου τὴν φύσιν ὁμοίαν ἔχων ἁπάσης ἐνεργείας ἄμοιρος καθέστηκεν.

Ἴσως ἂν οὖν εἴποι τις ὡς ἄλογόν ἐστι κατηγορεῖν 29
μὲν τῆς γραφικῆς δυνάμεως, αὐτὸν δὲ διὰ ταύτης φαίνεσθαι τὰς ἐπιδείξεις ποιούμενον, καὶ προδιαβάλλειν τὴν πραγματείαν ταύτην δι' ἧς εὐδοκιμεῖν παρασκευάζεται παρὰ τοῖς Ἕλλησιν, ἔτι δὲ περὶ φιλοσοφίαν διατρίβοντα τοὺς αὐτοσχεδιαστικοὺς λόγους ἐπαινεῖν καὶ προυργιαίτερον ἡγεῖσθαι τὴν τύχην τῆς προνοίας καὶ φρονιμωτέρους τοὺς εἰκῇ λέγοντας τῶν μετὰ παρασκευῆς γραφόντων. ἐγὼ δὲ πρῶτον μὲν οὐ παντελῶς 30
ἀποδοκιμάζων τὴν γραφικὴν δύναμιν ἀλλὰ χείρω τῆς αὐτοσχεδιαστικῆς ἡγούμενος εἶναι, καὶ τοῦ δύνασθαι λέγειν πλείστην ἐπιμέλειαν οἰόμενος χρῆναι ποιεῖσθαι, τούτους εἴρηκα τοὺς λόγους· ἔπειτα προσχρῶμαι τῷ

4. δυσανάληπτος ἡ μνήμη libri: δυσανάληπτος cum aldina b. 16. ἐγγίνεσθαι Bekkerus: ἐγγενέσθαι b. 32. γνωμῶν b cum C: λόγων ceteri. Malim καιρῶν.

6. διάφωνον Reiskius: ἄφωνον b. 12. αὐτὴ Sauppius: αὕτη b. 17. ἔχοιμι b cum C. ἥνπερ καὶ] ἥνπερ b cum C. 23. Fort. βιβλίου μὲν θεωρούμενος. 27. πολλαπλασίας Reiskius, sed v. Antiphont. 3. β §. 10. sensus requirit ἀνάγκης vel simile quid. 32. ἐνεργείας Reiskius: εὐεργεσίας b. 35. αὐτὸν Bekkerus: ἑαυτὸν b. 39. διανοίας] 36. ἐπιδείξεις Bekkerus: libri ἀποδείξεις.

γράφειν οὐκ ἐπὶ τούτῳ μέγιστον φρονῶν, ἀλλ' ἵν' ἐπι-
δείξω τοῖς ἐπὶ ταύτῃ τῇ δυνάμει σεμνυνομένοις ὅτι
μικρὰ πονήσαντες ἡμεῖς ἀποκρύψαι καὶ καταλῦσαι
31 *τοὺς λόγους αὐτῶν οἷοί τ' ἐσόμεθα. πρὸς δὲ τούτοις*
καὶ τῶν ἐπιδείξεων ἕνεκα τῶν εἰς τοὺς ὄχλους ἐκφε-
ρομένων ἅπτομαι τοῦ γράφειν. τοῖς μὲν γὰρ πολλάκις
ἡμῖν ἐντυγχάνουσιν ἐξ ἐκείνου τοῦ τρόπου παρακε-
679 *λεύομαι πεῖραν ἡμῶν λαμβάνειν, ὅταν ὑπὲρ ἅπαντος*
τοῦ προτεθέντος εὐκαίρως καὶ μουσικῶς εἰπεῖν οἷοί
τ' ὦμεν· τοῖς δὲ διὰ χρόνου μὲν ἐπὶ τὰς ἀκροάσεις
ἀφιγμένοις μηδεπώποτε δὲ πρότερον ἡμῖν ἐντετυχηκό-
σιν ἐπιχειροῦμέν τι δεικνύναι τῶν γεγραμμένων· εἰθι-
σμένοι γὰρ ἀκροᾶσθαι τῶν ἄλλων τοὺς λόγους ἴσως
ἂν ἡμῶν αὐτοσχεδιαζόντων ἀκούοντες ἐλάττονα τῆς
32 *ἀξίας δόξαν καθ' ἡμῶν λάβοιεν. χωρὶς δὲ τούτων καὶ*
σημεῖα τῆς ἐπιδόσεως, ἣν εἰκὸς ἐν τῇ διανοίᾳ γίνε-
σθαι, παρὰ τῶν γραπτῶν λόγων ἐναργέστατα κατιδεῖν
ἔστιν. εἰ μὲν γὰρ βέλτιον αὐτοσχεδιάζομεν νῦν ἢ πρό-
τερον, οὐ ῥᾴδιον ἐπικρίνειν ἐστί· χαλεπαὶ γὰρ αἱ μνῆ-
μαι τῶν προειρημένων λόγων καθεστήκασιν· εἰς δὲ τὰ
γεγραμμένα κατιδόντας ὥσπερ ἐν κατόπτρῳ θεωρῆσαι
τὰς τῆς ψυχῆς ἐπιδόσεις ῥᾴδιόν ἐστιν. ἔτι δὲ καὶ μνη-
μεῖα καταλιπεῖν ἡμῶν αὐτῶν σπουδάζοντες καὶ τῇ φι-
λοτιμίᾳ χαριζόμενοι λόγους γράφειν ἐπιχειροῦμεν.
Ἀλλὰ μὴν οὐδ' ὡς εἰκῇ λέγειν παρακελευόμεθα, τὴν 33
αὐτοσχεδιαστικὴν δύναμιν τῆς γραφικῆς προτιμῶντες,
ἄξιόν ἐστι πιστεύειν. τοῖς μὲν γὰρ ἐνθυμήμασι καὶ
τῇ τάξει μετὰ προνοίας ἡγούμεθα δεῖν χρῆσθαι τοὺς
ῥήτορας, περὶ δὲ τὴν τῶν ὀνομάτων δήλωσιν αὐτοσχε-
διάζειν· οὐ γὰρ τοσαύτην ὠφέλειαν αἱ τῶν γραπτῶν
λόγων ἀκρίβειαι παραδιδόασιν, ὅσην εὐκαιρίαν αἱ τῶν
ἐκ τοῦ παραχρῆμα λεγομένων δηλώσεις ἔχουσιν. ὅστις 34
οὖν ἐπιθυμεῖ ῥήτωρ γενέσθαι δεινὸς ἀλλὰ μὴ ποιητὴς
λόγων ἱκανός, καὶ βούλεται μᾶλλον τοῖς καιροῖς χρῆ-
σθαι καλῶς ἢ τοῖς ὀνόμασι λέγειν ἀκριβῶς, καὶ τὴν
εὔνοιαν τῶν ἀκροωμένων ἐπίκουρον ἔχειν σπουδάζει
μᾶλλον ἢ τὸν φθόνον ἀνταγωνιστήν, ἔτι δὲ καὶ τὴν
γνώμην εὔπορον καὶ τὴν μνήμην εὔλυτον καὶ τὴν λή-
θην ἄδηλον καθεστάναι βούλεται, καὶ τῇ χρείᾳ τοῦ
βίου σύμμετρον τὴν δύναμιν τῶν λόγων κεκτῆσθαι
πρόθυμός ἐστιν, οὗτος εἰκότως ἂν τοῦ μὲν αὐτοσχε- 35
διάζειν ἀεί τε καὶ διὰ παντὸς ἐνεργὸν τὴν μελέτην
ποιοῖτο, τοῦ δὲ γράφειν ἐν παιδιᾷ καὶ παρέργῳ ἐπι-
μελόμενος εὖ φρονεῖν κριθείη παρὰ τοῖς εὖ φρονοῦσιν.

VII. ΘΡΑΣΥΜΑΧΟΣ.

Θρασύμαχος, *Χαλκηδόνιος σοφιστής, τῆς ἐν Βιθυνίᾳ Χαλκηδόνος, ὃς πρῶτος περίοδον καὶ κῶλον κατέδειξε καὶ τὸν νῦν τῆς ῥητορικῆς τρόπον εἰσηγήσατο, μαθητὴς Πλάτωνος τοῦ φιλοσόφου καὶ Ἰσοκράτους τοῦ ῥήτορος. ἔγραψε Συμβουλευτικούς, Τέχνην ῥητορικήν, Παίγνια, Ἀφορμὰς ῥητορικάς.* Suidas 1, 2 p. 1204, 12. Cf. J. Geelius histor. sophist. p. 201 sqq. L. Spengel. *συναγ. τεχν.* p. 93 sqq. A. Westermannus hist. eloqu. gr. §. 30, 15. 68, 6. A. Winckelm. ad Plat. Euthyd. p. XXXIV sqq. E. Leutschius in diar. lit. halens. 1834, 198 p. 378 sqq.

I. ΛΟΓΟΙ ΔΗΜΗΓΟΡΙΚΟΙ Η ΣΥΜΒΟΥΛΕΥΤΙΚΟΙ.

1. ΥΠΕΡ ΛΑΡΙΣΑΙΩΝ.

1 *καὶ μὴν ἐν Τηλέφῳ εἰπόντος Εὐριπίδου*

Ἕλληνες ὄντες βαρβάροις δουλεύσομεν;

Θρασύμαχος ἐν τῷ ὑπὲρ Λαρισαίων λέγει· Ἀρχελάῳ δουλεύσομεν, Ἕλληνες ὄντες βαρβάρῳ; Clemens Alex. Stromat. p. 624. C. Sylb. — Cum Aleuadae, optimatium larisaeorum principes, ad Archelaum, Macedonum regem, confugissent et hic illos reducturus esse putaretur, videntur populares Atheniensium opem imploravisse. Legatis Larisaeorum Thrasymachus orationem vel re vera scripsit vel quasi scribenda esset composuit, ut exemplum discipulis exstaret. Leve illarum rerum indicium exstat apud Aristotelem polit. 5, 10 p. 1311, 17 Bk.

2. ΑΠΑΡΑΣΗΜΟΣ.

ἡ μὲν οὖν Θρασυμάχου λέξις τῶν λοιπῶν τῆς ὄντως μεσότητος αὐτὴν τὴν προαίρεσιν ἔοικεν ἔχειν σπουδῆς ἀξίαν· κέκραται γὰρ εὖ πως καὶ αὐτὸ τὸ χρήσιμον εἴληφεν ἑκατέρας· δυνάμει δ' ὡς οὐκ ἴσῃ τῇ βουλήσει κέχρηται, παράδειγμα ἐξ ἑνὸς [θήσω] τῶν δημηγορικῶν λόγων τόδε·

---

13. τοῖς] *γραπτοῖς* Dobreeus l. d.
16. *γνώμην*] Fort. *μνήμην*. *μνήμην*] Fort. *ἑρμηνείαν*. cf. §. 19. 19. *οὗτος εἰκότως* cum aldina b: *εἰκότως* C., *οὐκ εἰκότως* libri ceteri.

16. Eurip. Telephi frg. 17. cf. Valck. diatr. eurip. p. 211. b. 18. erat *Λαρισσαίων*.

13. *τῶν λοιπῶν* Sauppius: erat *ἡ λοιπή*. 15. *εὖ πως* Sylburgius: libri *εἴ πως*. 16. *δυνάμει δ' ὡς οὐκ ἴσῃ τῇ* Sauppius: erat *δυνάμεως ὡς δ' οὐκ ἴσῃ*. 17. *θήσω* add. Sylburgius (ex schedis Lollini) et cod. D apud E. Grosium. de quo codice videatur Dionysii reiskiani vol. 6 p. 1170 sq. Iis temporibus videtur oratio convenire, ubi de quadringentorum imperio agebatur. cf. Thucyd. 8, 67. H. Büttner de sodalitiis politicis Ath. p. 75 sqq.

2 *Ἐβουλόμην μὲν ὦ Ἀθηναῖοι μετασχεῖν ἐκείνου τοῦ χρόνου τοῦ παλαιοῦ καὶ τῶν πραγμάτων, ἡνίκα σιωπᾶν ἀπέχρη τοῖς νεωτέροις, τῶν τε πραγμάτων οὐκ ἀναγκαζόντων ἀγορεύειν καὶ τῶν πρεσβυτέρων ὀρθῶς τὴν πόλιν ἐπιτροπευόντων· ἐπειδὴ δ' εἰς τοιοῦτον ἡμᾶς ἀνέθετο χρόνον ὁ δαίμων, ὥστε ..... τῆς πόλεως ἀκούειν, τὰς δὲ συμφορὰς .. αὐτούς, καὶ τούτων τὰ μέγιστα μὴ θεῶν ἔργα εἶναι μηδὲ τῆς τύχης, ἀλλὰ τῶν ἐπιμεληθέντων, ἀνάγκη δὴ λέγειν. ἢ γὰρ ἀναίσθητος ἢ καρτερώτατός ἐστιν, ὅστις ἐξαμαρτάνειν ἑαυτὸν ἔτι παρέξει τοῖς βουλομένοις καὶ τῆς ἑτέρων ἐπιβουλῆς τε καὶ κακίας αὐτὸς ὑποσχήσει τὰς αἰτίας. ἅλις γὰρ ἡμῖν ὁ παρελθὼν χρόνος, ἀντὶ μὲν εἰρήνης ἐν πολέμῳ γενέσθαι καὶ διὰ κινδύνων εἰς τόνδε τὸν χρόνον .., τὴν μὲν παρελθοῦσαν ἡμέραν ἀγαπῶσι τὴν δ' ἐπιοῦσαν δεδιώσιν, ἀντὶ δ' ὁμονοίας εἰς ἔχθραν καὶ ταραχὰς πρὸς ἀλλήλους ἀφικέσθαι. καὶ τοὺς μὲν ἄλλους τὸ πλῆθος τῶν ἀγαθῶν [ὑβρίζειν τε ποιεῖ καὶ στασιάζειν, ἡμεῖς δὲ μετὰ μὲν τῶν ἀγαθῶν] ἐσωφρονοῦμεν, ἐν δὲ τοῖς κακοῖς μεμήναμεν, ἃ τοὺς ἄλλους σωφρονίζειν εἴωθεν. τί δῆτα μέλλοι τις ἂν γιγνώσκειν ἢ εἰπεῖν, ὅτῳ γε λυπεῖσθαι ἐπὶ τοῖς ἀεὶ παροῦσι [παρέστη] καὶ .... νομίζειν εἴωθε; τί δῆτα ἔχει τοιοῦτον, ὡς μηδὲν ἔτι τοιοῦτον ἔσται; πρῶτον μὲν οὖν τοὺς διαφερομένους πρὸς ἀλλήλους καὶ τῶν ῥητόρων καὶ τῶν ἄλλων ἀποδείξω γε πρὸς λέγοντας πεπονθότας πρὸς ἀλλήλους, ὅπερ ἀνάγκη τοὺς ἄνευ γνώμης φιλονεικοῦντας πάσχειν. οἰόμενοι γὰρ ἐναντία λέγειν ἀλλήλοις οὐκ αἰσθάνονται τὰ αὐτὰ πράττοντες οὐδὲ τὸν τῶν ἑτέρων λόγον ἐν τῷ ἑαυτῶν λόγῳ ἐνόντα. σκέψασθε γὰρ ἐξ ἀρχῆς ἃ ζητοῦσιν ἑκάτεροι. πρῶτον μὲν ἡ πάτριος πολιτεία ταραχὴν αὐτοῖς παρέχει, ῥᾴστη γνωσθῆναι καὶ κοινοτάτη τοῖς πολίταις οὖσα πᾶσιν. ὁπόσα μὲν οὖν ἐπέκεινα τῆς ἡμετέρας γνώμης ἐστίν, ἀκούειν ἀνάγκη λεγόντων τῶν παλαιοτέρων, ὁπόσα δ' οὐδ' αὐτοὶ ἐπεῖδον οἱ πρεσβύτεροι, ταῦτα δὲ παρὰ τῶν εἰδότων πυνθάνεσθαι.*

τοιαύτη μὲν οὖν τις ἡ Θρασυμάχειος ἑρμηνεία, μέση τοῖν δυεῖν καὶ εὔκρατος καὶ εἰς [ἀμφο]τέρους τοὺς χαρακτῆρας ἐπίκαιρον ἀφετήριον. Dionysius de adm. vi dicendi in Demosthene c. 3 p. 959 sqq. Reisk.

II. *ΤΕΧΝΟΓΡΑΦΙΚΑ.*

1. *ΠΡΟΟΙΜΙΑ.*

3 *Θρασύμαχος δ' ὁ Χαλκηδόνιος ἔν τινι τῶν προοιμίων τὸν Τιμοκρέοντά φησιν ὡς μέγαν βασιλέα ἀφικόμενον καὶ ξενιζόμενον παρ' αὐτῷ πολλὰ ἐμφορεῖσθαι. πυθομένου δὲ τοῦ βασιλέως ὅ τι ἀπὸ τούτων ἐργάζοιτο, εἶπε Περσῶν ἀναριθμήτους συγκόψειν. καὶ τῇ ὑστεραίᾳ πολλοὺς καθ' ἕνα νικήσας μετὰ τοῦτο ἐχειρονόμησε. πυνθανομένου δὲ τὴν πρόφασιν ἀπολείπεσθαι ἔφη τοσαύτας, εἰ προσίοι τις, πληγάς.* Athenaeus 10 p. 416. A. Fortasse haec prooemia partem efficiebant eius operis, cui Suida teste titulus fuit *Ἀφορμαὶ ῥητορικαί.*

2. *Μεγάλη τέχνη.*

4 1. *ηὔχοντο γὰρ Ἀθηναῖοι κοινῇ ἐπὶ τῶν θυσιῶν ἑαυτοῖς τε καὶ Χίοις, ἐπειδὴ ἔπεμπον οἱ Χῖοι συμμάχους εἰς Ἀθήνας, ὅτε χρεία πολέμου προσῆν. καθάπερ Θεόπομπος ἐν τῷ ιβ' τῶν Φιλιππικῶν φησιν οὕτως· „οἱ δὲ πολλοὶ τοῦ ταῦτα πράττειν ἀπεῖχον· „ὥστε τὰς εὐχὰς κοινὰς καὶ περὶ ἐκείνων καὶ σφῶν „αὐτῶν ἐποιοῦντο, καὶ σπένδοντες ἐπὶ ταῖς θυσίαις „ταῖς δημοτελέσιν ὁμοίως ηὔχοντο τοῖς θεοῖς Χίοις „διδόναι τἀγαθὰ καὶ σφίσιν αὐτοῖς." — — τὰ αὐτὰ τοῖς Θεοπόμπου καὶ Θρασύμαχός φησιν ἐν τῇ μεγάλῃ τέχνῃ. ὁ δὲ Ὑπερείδης ἐν τῷ Χιακῷ καὶ ὅτι Χῖοι ηὔχοντο Ἀθηναίοις δεδήλωκεν.* Schol. Aristoph. Avium v. 880.

---

2. Verba *καὶ τῶν πραγμάτων* videntur delenda esse. 5. *ἐπειδὴ δ'* Sylburgius et D: *καὶ ἐπειδὴ* reliqui. 6. *τοιοῦτον* Sylburgius et D: *τοσοῦτον* reliqui. 7. Reiskius fere haec excidisse putat: *ὥστε τὴν μὲν προτέραν τῆς πόλεως εὐδαιμονίαν παρ' ἄλλων ἀκούειν, τὰς δὲ συμφορὰς ἐπιδεῖν αὐτούς.* 10. *δὴ* Sylburgius: libri *δέ.* 11. *ἐνεξαμαρτάνειν* Reiskius. 14. *ἀντὶ* Sauppius: erat *καὶ ἀντί.* 16. excidit *διεξελθεῖν* vel simile verbum. Aliquid excidisse Reiskius vidit. 20. quae uncis inclusa sunt, e cod D addidi. quanquam enim nihil nisi coniecturam hominis docti esse iudico, tamen sensui bene convenit. 22. *μεμήναμεν, ἃ* Sauppius: *ἐμάνημεν ἃ* Reiskius et D, *ἡμάνη μὲν ὃς* ceteri. 23. *ἢ* add. Reiskius. 24. *ἀεὶ* et *παρέστη* ego addidi. 25. puncta ego addidi. Sensus eorum quae exciderunt hic fuerit: *καὶ τὰ ἀεὶ ἀπόντα καὶ μέλλοντα τῶν παρόντων βελτίω νομίζειν εἴωθε.* *ἔχει* Sauppius: erat *ἔχειν.* 30. erat *φιλονικοῦντας.* 32. *πράττοντες* Sylburgius: libri *πράττειν πράττοντες.* *ἑαυτῶν* Reiskius: libri *ἑτέρῳ.* 37. *ἐπέκεινα* Reiskius: libri *ἐκείνων.* Fort. *μνήμης.* 38. *λεγόντων* Reiskius: libri *λέγειν.* *οὐδ'* Reiskius addidit.

4. *ἀμφο* add. Sylburgius. 13. De Timocreonte Ialysensi, poëta et athleta, cf. C. Sintenis ad Plut. Themistocl. p. 133 sq. et Bodii hist. poes. gr. 2, 2 p. 275 sqq. 18. Fort. *ἀπολείπεσθαι.* 36. *Χιακῷ* A. Boeckhius in comment. acad. berol. anni 1834 p. 19: libri *χαλκῷ,* vulgo *Δηλιακῷ* cum J. Meursio et D. Ruhnkenio (hist. crit. orat. gr. p. 70).

5 2. *τῶν γε μὴν οἰκτρογόων ἐπὶ γῆρας καὶ πενίαν ἑλκομένων λόγων κεκρατηκέναι τέχνῃ μοι φαίνεται τὸ τοῦ Χαλκηδονίου σθένος. ὀργίσαι τε αὖ πολλοὺς ἅμα δεινὸς ἀνὴρ γέγονε καὶ πάλιν ὠργισμένοις ἐπᾴδων κηλεῖν, ὡς ἔφη· διαβάλλειν τε καὶ ἀπολύσασθαι διαβολὰς ὁθενδὴ κράτιστος.* Plato Phaedri p. 267. C. ad quem l. haec habet Hermias p. 192 Astii (anecd. Siebenkeesii p. 70): *ὁ γὰρ Χαλκηδόνιος, τουτέστιν ὁ Θρασύμαχος, ταῦτα ἐδίδαξεν, ὡς δεῖ οἶκτον ἐγεῖραι τῶν δικαστῶν καὶ ἐπισπᾶσθαι ἔλεον, γῆρας πενίαν τέκνα ἀποδυρόμενον καὶ τὰ ὅμοια.* Cf. Quintil. inst. orat. 3. 1, 12: *Horum* (*τῶν λογοδαιδάλων* quos Plato dicit) *primi communes locos tractasse dicuntur Protagoras, Gorgias, affectus Prodicus, et Hippias, et idem Protagoras, et Thrasymachus.*

6 3. *ἀλλ' οὐδ' εὐχερὴς ἡ διάκρισίς ἐστι* (convivarum certo ordine disponendorum), *τῶν μὲν ἡλικίᾳ, τῶν δὲ δυνάμει, τῶν δὲ χρείᾳ, τῶν δ' οἰκειότητι διαφερόντων· ἀλλὰ δεῖ, καθάπερ ὑπόθεσιν μελετῶντα συγκριτικήν, τοὺς Ἀριστοτέλους τόπους ἢ τοὺς Θρασυμάχου ὑπερβάλλοντας ἔχειν προχείρους, οὐδὲν τῶν χρησίμων διαπραττόμενον, ἀλλὰ τὴν κενὴν δόξαν ἐκ τῆς ἀγορᾶς καὶ τῶν θεάτρων εἰς τὰ συμπόσια μετάγοντα.* Plutarchus quaest. conviv. 1, 2 p. 616. E. — J. Geelius l. d. p. 206 sq. hunc singularem librum fuisse opinabatur. Sed cum Plutarchus eos Aristotelis locis composuerit, apparet eos fuisse locos artificiose excogitatos, quibus praestantia hominis alicuius vel rei demonstrari posset. Verisimile igitur est eos in arte tractatos esse.

7 4. *ἐκείνη μὲν οὖν* (sc. *ἡ λέξις*) *ὅταν ἔλθῃ ταὐτὸ ποιήσει τῇ ὑποκριτικῇ, ἐγκεχειρήκασι δὲ ἐπ' ὀλίγον περὶ αὐτῆς εἰπεῖν τινες, οἷον Θρασύμαχος ἐν τοῖς ἐλέοις.* Aristoteles rhetor. 3, 1 p. 1404 a 14. Puto etiam *Ἐλέους* partem artis effecisse, Thrasymachum vero, cum explicaret quomodo misericordia auditorum moveri posset, pauca etiam de dictione praecepisse, qui intelligeret in hac orationis parte dicendi genere elaborato et venusto maxime opus esse. cf. Cic. orator. 12 §. 39.

5. Postquam exposuit rhythmum heroicum, iambi- 8
cum, trochaicum orationi pedestri non convenire, Aristoteles: *λείπεται δέ*, inquit, *παιάν, ᾧ ἐχρῶντο μὲν ἀπὸ Θρασυμάχου ἀρξάμενοι, οὐκ εἶχον δὲ λέγειν τίς ἦν.* Aristoteles rhetor. 3, 8 p. 1409 a 1. *Licet igitur paeona sequatur Ephorus, inventum a Thrasymacho, probatum ab Aristotele, dactylumque, ut temperatiores brevibus ac longis, fugiat molossum et trochaeum, alterius tarditate, alterius celeritate damnata — —: irrumpent etiam ad invitos.* Quintil. instit. orat. 9. 4 §. 87 sq.

6. *Omnis autem orandi ratio — quinque partibus* 9
constat, inventione, dispositione, elocutione, memoria, pronuntiatione sive actione; utroque enim modo dicitur. — — Nec audiendi quidam, quorum est Albutius, qui tris modo primas esse partes volunt, quoniam memoria atque actio natura, non arte, contingant (quarum nos praecepta suo loco dabimus), licet Thrasymachus quoque idem de actione crediderit. Quintil. inst. orat. 3. 3, 1 sqq. Non temere videor statuere, Quintilianum Aristotelis loco male intellecto haec falso tradidisse. Apud Aristotelem enim rhetor. 3, 1 (cf. supra frg. 4) post verba *Θρασύμαχος ἐν τοῖς ἐλέοις* haec sequuntur: *καὶ ἔστι φύσεως τὸ ὑποκριτικὸν εἶναι καὶ ἀτεχνότερον, περὶ δὲ τὴν λέξιν ἔντεχνον.* quae Aristotelis ipsius esse apparet, sed ad Thrasymachum referenda esse putabat etiam L. Spengel *συναγ.* p. 10. Aristotelis esse bene monuit H. Meyerus ad Quintil. 1 p. 273.

VIII. ΘΕΟΔΩΡΟΣ.

Θεόδωρος, Βυζάντιος, σοφιστής, ὃς ὑπὸ Πλάτωνος λογοδαίδαλος ἐκλήθη. ἔγραψε κατὰ Θρασυβούλου, κατὰ Ἀνδοκίδου, καὶ ἄλλα τινά. Suidas 1, 2 p. 1137, 6. — De arte Theodori accurate exposuit L. Spengel *συναγ. τεχν.* p. 98 sqq. cf. quae ego monui in Zimmerm. diurn. lit. antiquar. 1835 p. 406.

---

4. cf. Winckelm. l. d. p. XXXVI. 9. *δεῖ*] erat *δεῖ ὡς*. et deinde *τὸν δικαστὴν* et v. 11 *ἀποδυρόμενα*. 31. P. Victorius, L. Spengel l. d. p. 97, J. Geel l. d. p. 207 errant, quod Aristotelis verba ad actionem pertinere putant.

(VIII.) 2. Plato Phaedri p. 266. E.

IX. ΣΟΦΟΚΛΗΣ.

Cf. Ruhnk. hist. crit. orat. graec. p. 43.

ἀδίκημα δὲ μεῖζον, – – *καὶ εἰ ὁ παθὼν καὶ ἀδικηθεὶς αὐτὸς αὐτὸν μεγάλως ἐκόλασεν· ἔτι γὰρ μείζονι ὁ ποιήσας δίκαιος κολασθῆναι. οἷον Σοφοκλῆς ὑπὲρ Εὐκτήμονος συνηγορῶν, ἐπεὶ ἀπέσφαξεν ἑαυτὸν ὑβρισθείς, οὐ τιμήσειν ἔφη ἐλάττονος ἢ οὗ ὁ παθὼν ἑαυτῷ ἐτίμησεν.* Aristotel. rhet. 1, 14 p. 1374 b 34.

X. ΑΝΔΟΚΙΔΗΣ.

δηλοῖ δὲ (Andocides) *περὶ πάντων* (quae ipsi evenerint) *ἐν τοῖς λόγοις οἷς συγγέγραφεν· οἱ μὲν γὰρ ἀπολογουμένου περὶ τῶν μυστηρίων εἰσίν, οἱ δὲ καθόδου δεομένου. σώζεται δὲ αὐτοῦ καὶ ὁ περὶ τῆς ἐνδείξεως λόγος καὶ ἀπολογία πρὸς Φαίακα καὶ περὶ τῆς εἰρήνης.* Vitae decem oratt. p. 835. A. *τῶν δέκα ῥητόρων ὁ σκάριφος·* – – *Λυκοῦργος λόγους η', Ἀνδοκίδης λόγους μδ',* – –. Schol. Aeschin. 2 §. 18. cl. Cramer. anecd. oxon. 4 p. 256. sed videtur scribendum esse *Λυκοῦργος λόγους ιδ', Ἀνδοκίδης λόγους η'*. qua de re conferenda sunt quae infra de orationum Lycurgi numero dicentur. Octo orationes habebimus, si his quae adhuc exstant, de mysteriis, de reditu, de pace, contra Alcibiadem addiderimus *τὸν περὶ τῆς ἐνδείξεως λόγον, ἀπολογίαν πρὸς Φαίακα, συμβουλευτικόν, τὸν πρὸς τοὺς ἑταίρους.* Nihil enim impedit, quominus orationem quae est contra Alcibiadem iam ab antiquis illis grammaticis, qui quot orationes cuique oratorum tribuendae essent tradiderunt, pro genuina habitam esse statuamus.

I. *ΠΕΡΙ ΤΗΣ ΕΝΔΕΙΞΕΩΣ.*

1 *Ζητητής· ἀρχή τις Ἀθήνησι κατὰ καιροὺς καθισταμένη, εἴ ποτε τοὺς ἀδικοῦντάς τι δημοσίᾳ δέοι ζητεῖν· Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους καὶ Ἀνδοκίδης ἐν τῷ περὶ ἐνδείξεως. οὗτος δὲ ὁ ῥήτωρ καὶ ζητητής ποτε ἐγένετο, ὥς φησι Λυσίας καὶ Ἰσοκράτης καὶ Πλάτων ὁ κωμικὸς Πρέσβεσιν.* Harpocrat. Cum in orationis de mysteriis §. 36 *ζητηταί* commemorentur et causa, in qua illa oratio habita est, eiusdem generis sit (conf. locos a Jano Sluitero lectt. andocidearum p. 102 collectos), J. Taylorus lectionum lysiac. cap. 6 (orator. reisk. 6 p. 259) Harpocrationem ad hanc ipsam respexisse putabat. Cautius vero indicaverunt H. Valesius ad Harpocrat. l. d. p. 85 et J. Sluiterus l. d. p. 238 sq. Cum enim primum Harpocratio ceteris locis omnibus (p. 19, 6. 77, 16. 87, 22. 97, 24. 121, 18) orationem primam hoc titulo afferat: *περὶ τῶν μυστηρίων*, cum deinde auctor vitarum decem oratorum hanc orationem ab ea, quae erat *περὶ τῆς ἐνδείξεως*, diserte distinguat, cum porro Lysias or. 6 §. 30 haec habeat: *τὸ δὲ τελευταῖον νῦν ἀφικόμενος εἰς τὴν πόλιν δὶς ἐν τῷ αὐτῷ ἐνιαυτῷ ἐνδέδεικται.* et Andocides ipse or. 1 §. 1 illud confirmet, multo satius est statuere orationes *περὶ τῆς ἐνδείξεως* et *περὶ τῶν μυστηρίων* diversas fuisse. Neque enim intelligitur, cur *ζητηταί* ideo, quod in oratione *περὶ τῶν μυστηρίων* commemorantur, in alia oratione commemorari non potuerint.

II. *ΣΥΜΒΟΥΛΕΥΤΙΚΟΣ.*

1. *Εὐωχεῖν. ἀντὶ τοῦ εὐωχεῖσθαι. Ἀνδοκίδης Συμβουλευτικῷ.* Antiatticista in Bekk. anecd. p. 94, 21. 2

2. *Ναυκρατίαν· Ἀνδοκίδης συμβουλευτικῷ.* Photius p. 288, 23. 3

III. *ΠΡΟΣ ΤΟΥΣ ΕΤΑΙΡΟΥΣ.*

1. *Καὶ τάφον μὲν αὐτοῦ* (Themistoclis) *λαμπρὸν* 4 *ἐν τῇ ἀγορᾷ Μάγνητες ἔχουσι· περὶ δὲ τῶν λειψάνων οὔτ' Ἀνδοκίδῃ προσέχειν ἄξιον ἐν τῷ Πρὸς τοὺς ἑταίρους λέγοντι, φωράσαντας τὰ λείψανα διαρρῖψαι τοὺς Ἀθηναίους· ψεύδεται γὰρ ἐπὶ τὸν δῆμον παροξύνων τοὺς ὀλιγαρχικούς.* Plutarchus Themist. c. 32. – D. Ruhnkenius hist. crit. or. graec. p. 52 epistolam intelligendam esse coniecit, scriptam ad Pisandri in statu populari evertendo socios. Recte: cum enim optimates, quorum antea multa sodalitia fuerant, Pisandro auctore coniuncti omnes populari statu everso quadringentorum imperium constituerent, eos, quorum

29. Meinekii com. gr. 2 p. 658.

ἑταιρεῖαι coaluerant, vulgo *ἑταίροις* dictos esse Thucydides locupletissimus testis est: cf. quae ego dixi comment. de magnitudine Athenarum part. 1 p. 24 et W. Vischer exposuit, die oligarchische Partei etc. p. 25 sqq. Horum odium in plebem Andocides exsul epistola incendere studuit, reditum ipse impetraturus. Quod vero C. Sintenis ad Plutarchi l. d. miratur, Andocidi cum in patriam redisset Pisandrum maxime infestum fuisse, ita explicari potest. Cum Andocides de optimatium conatibus audisset, epistolam scripsit. Deinde classem, primum optimatium partes secutam, alimentis et remis adjuvit. Nesciverat enim classem non jam idem sentire, sed quadringentis infestam esse. Cum igitur Athenas venisset, hoc ipsum ei Pisander crimini vertit, odii fortasse privati saturandi publicam occasionem captans: cf. Andoc. or. 2 §. 13 sqq.

5 2. Argumenti natura efficit, ut etiam haec ex illa epistola desumta esse existimem: *σκάνδικα οὖν λάχανα οὐ τὰ ἐκ τῶν κηπίων, ἀλλὰ τὰ αὐτομάτως φυόμενα, ὥς φησιν Ἀνδοκίδης· μὴ γὰρ ἴδοιμεν ποτε πάλιν ἐκ τῶν ὀρέων τοὺς ἀνθρακευτὰς ἥκοντας καὶ πρόβατα καὶ βοῦς καὶ τὰς ἁμάξας εἰς τὸ ἄστυ, καὶ γύναια καὶ πρεσβυτέρους ἄνδρας καὶ ἐργάτας ἐξοπλιζομένους· μηδὲ ἄγρια λάχανα καὶ σκάνδικας ἔτι φάγοιμεν.* Suidas p. 3327. B (ex scholio iis quae nunc habemus pleniori ad Arist. Ach. 477: *σκανδικά μοι δὸς μητρόθεν δεδεγμένος*). Andocides prima belli peloponnesiaci tempora significat, quibus Pericle auctore Athenienses agris relictis in urbem confugerant (Thuc. 2, 14 sq.).

IV. *ΑΠΑΡΑΣΗΜΑ.*

1. *Ἀνδοκίδης φησὶ τοίνυν· περὶ Ὑπερβόλου* 6 *λέγειν αἰσχύνομαι· οὗ ὁ μὲν πατὴρ ἐστιγμένος ἔτι καὶ νῦν ἐν τῷ ἀργυροκοπείῳ δουλεύει τῷ δημοσίῳ, αὐτὸς δὲ ξένος ὢν καὶ βάρβαρος λυχνοποιεῖ.* Schol. Aristoph. Vesp. 1007. *ὁ δὲ αὐτὸς* (Hyperbolus) *καὶ λυχνοποιὸς ἦν καὶ ἐλυχνοπώλει, ὡς Ἀνδοκίδης ἱστορεῖ, ὃς καὶ ξένον αὐτὸν εἶναι καὶ βάρβαρον βούλεται.* Schol. Luciani p. 46 ed. Jacobitz.

2. *καὶ σύνοπτον, ὡς Ἀνδοκίδης, καὶ συνοπτα.* 7 Pollux 2 §. 58.

XI. ΑΡΧΙΝΟΣ.

Cf. D. Ruhnkenius hist. crit. or. gr. p. 42 sq. Sievers hist. Graeciae p. 107.

I. *ΚΑΤΑ ΘΡΑΣΥΒΟΥΛΟΥ ΠΑΡΑΝΟΜΩΝ.*

Θρασύβουλος μετὰ τὴν τῶν τριάκοντα κατάλυσιν ἔγραψε τῷ Λυσίᾳ ψήφισμα περὶ τοῦ δεῖν αὐτὸν γενέσθαι πολίτην καὶ κατηγορηθεὶς ὡς ἀπροβούλευτον ψήφισμα εἰσενεγκὼν (οὐ γὰρ ἦν πω καταστᾶσα ἡ βουλή) κατεδικάσθη χρημάτων· ὁ δὲ „οὐ μὰ Δία“ ἔφη „ἀλλὰ θανάτου· τί γὰρ τοιούτους ἔσωζον;“ Maximus Planudes ad Hermog. vol. 5 p. 343, 11 Walzii. *ἐφ᾿ οὗ γράψαντος αὐτῷ Θρασυβούλου πολιτείαν μετὰ τὴν κάθοδον ἐπὶ ἀναρχίας τῆς πρὸ Εὐκλείδου ὁ μὲν δῆμος ἐκύρωσε τὴν δωρεάν, ἀπενεγκαμένου δὲ Ἀρχίνου γραφὴν παρανόμων διὰ τὸ ἀπροβούλευτον εἰσαχθῆναι ἑάλω τὸ ψήφισμα.* Vitae decem oratt. p. 835. F. Aeschinis verba or. 3 §. 195 *Ἀρχῖνος γὰρ ὁ ἐκ Κοίλης ἐγράψατο παρανόμων Θρασύβουλον τὸν Στειριέα γράψαντά τι παρὰ τοὺς νόμους, ἕνα τῶν συγκατελθόντων αὐτῷ ἀπὸ Φυλῆς, καὶ εἷλε.* ad eandem causam pertinere epistol. crit. ad G. Hermannum p. 128 sq. docui.

Ex hac igitur oratione videtur id petitum esse, quod Phaedrus in Platonis dialogo cognomine habet (p. 257. C): *καὶ γάρ τις αὐτὸν* (Lysiam), *ὦ θαυμάσιε* 1 *ἔναγχος τῶν πολιτικῶν τοῦτ᾿ αὐτὸ λοιδορῶν ὠνείδιζε, καὶ διὰ πάσης τῆς λοιδορίας ἐκάλει λογογράφον.*

II. *ΕΠΙΤΑΦΙΟΣ.*

τάχα δ᾿ ἄν τις αὐτὸν αἰτιάσαιτο κλοπῆς, ἐξ ὧν ἐν τῷ πανηγυρικῷ λόγῳ αὐτοῦ πολλὰ τῶν κατὰ τοὺς ἐπιταφίους λόγους εἰρημένων Ἀρχίνῳ τε καὶ Θουκυδίδῃ καὶ Λυσίᾳ ὑπεβάλετο. Photius biblioth. cod. 260 p. 487 b 32 Bkk. Hoc testimonium veritati convenire

22. Acharnenses: cf. Leakii dem. att. p. 29 West. 23. Fort. verba *εἰς τὸ ἄστυ καὶ γύναια* post *ἥκοντας* ponenda sunt, ita ut *καὶ παῖδας* post *γύναια* et deinde post *ἁμάξας* addatur *ἄγοντας*.

13. cf. J. Sluiter lectt. andoc. p. 240. A. Meinekius com gr. 1 p. 188. — Haec ex oratione desumta esse patet ante a. 417/6 habita, quo anno Hyperbolus testarum suffragiis Athenis pulsus est: cf. Meinek. l. d. p. 193. Fortasse *συμβουλευτικός* ante hoc tempus habitus est. 16. *αὐτὸς* Sluiterus l. d.: *ὡς* libri.

et in Platonis verbis, quae sunt in Menexeno p. 234. B *οἶμαι μέντοι Ἀρχῖνον ἢ Δίωνα αἱρεθήσεσθαι* (sc. *ὥστε λέγειν ἐπὶ τοῖς ἀποθανοῦσιν*), eam vim inesse, ut orationem funebrem ab Archino revera habitam esse doceant, luculenter demonstravit C. G. Kruegerus de vita Thucydidis p. 36 sq. et in studiis historicis et philologicis p. 241 sqq.

Ad orationem funebrem iure videtur D. Ruhnkenius l. d. retulisse, quae Clemens Alexandrinus Strom. 6 p. 627 Sylb. tradit: *Ὁμήρου πάλιν ποιήσαντος „μοῖραν δ' οὔ τινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν.“ ὅ τε Ἀρχῖνος λέγει· πᾶσι μὲν ἀνθρώποις ὀφείλεται ἀποθανεῖν, ἢ πρότερον ἢ εἰς ὕστερον. ὅ τε Δημοσθένης· „πᾶσι μὲν γὰρ ἀνθρώποις τέλος τοῦ βίου θάνατος, κἂν ἐν οἰκίσκῳ τις αὑτὸν καθείρξας τηρῇ.“*

XII. ΑΝΤΙΣΘΕΝΗΣ.

Φέρονται δ' αὐτοῦ συγγράμματα τόμοι δέκα. πρῶτος ἐν ᾧ περὶ λέξεως ἢ περὶ χαρακτήρων, Αἴας ἢ Αἴαντος λόγος, Ὀδυσσεὺς ἢ ὑπὲρ Ὀδυσσέως, Ὀρέστου ἀπολογία, Περὶ τῶν δικογράφων, Ἰσογραφὴ ἢ Λυσίας καὶ Ἰσοκράτης, πρὸς τὸν Ἰσοκράτους ἀμάρτυρον. Diogenes Laert 6 §. 15. Quam postremo loco Diogenes commemorat orationem vel declamationem, ea videtur esse, quam Isocrates tangit or. 4 §. 188. Hic vero Antistheni locum concessi, quod declamationes, quae Antistheni in libris manuscriptis tribuuntur, pariter addendas esse videbam, atque Gorgiae et Alcidamantis libellos supra repeti iussi. Magna enim de his quoque declamationibus inter homines doctos est dissensio, et cum mihi H. E. Fossius Gorgiae p. 94 rectissime iudicavisse videatur, A. G. Winckelmannus nuper Antisthenis sui p. 40 sibi eas genuinas videri professus est. I. Bekkerus eas dedit oratt. gr. vol. 5 p. 663 sqq., Winckelmannus l. d. p. 38 sqq.

I. *ΑΙΑΣ.*

663 *Ἐβουλόμην ἂν τοῖς αὐτοῖς ὑμῖν δικάζειν οἵπερ*
Bkk. *καὶ ἐν τοῖς πράγμασι παρῆσαν· οἶδα γὰρ ὅτι ἐμὲ μὲν*
664 *ἔδει σιωπᾶν, τούτῳ δ' οὐδὲν ἂν ἦν πλέον λέγοντι· νῦν*
δὲ οἱ μὲν παραγενόμενοι αὐτοῖς τοῖς ἔργοις ἄπεισιν,
ὑμεῖς δὲ οἱ οὐδὲν εἰδότες δικάζετε. καίτοι ποία τις ἂν
δίκη δικαστῶν μὴ εἰδότων γένοιτο, καὶ ταῦτα διὰ λό-
2 *γων; τὸ δὲ πρᾶγμα ἐγίνετο ἔργῳ. τὸ μὲν οὖν σῶμα*
τοῦ Ἀχιλλέως ἐκόμισα ἐγὼ φέρων, τὰ δὲ ὅπλα ὅδε,
ἐπιστάμενος ὅτι οὐ τῶν ὅπλων μᾶλλον ἐπεθύμουν
οἱ Τρῶες ἀλλὰ τοῦ νεκροῦ κρατῆσαι. τοῦ μὲν γὰρ εἰ
ἐκράτησαν, ᾐκίσαντό τι ἂν τὸ σῶμα καὶ τὰ λύτρα τοῦ
Ἕκτορος ἐκομίσαντο· τὰ δὲ ὅπλα τάδε οὐκ ἂν ἀνέθε-
σαν τοῖς θεοῖς, ἀλλ' ἀπέκρυψαν, δεδιότες τόνδε τὸν 3
ἀγαθὸν ἄνδρα, ὃς καὶ πρότερον ἱεροσυλήσας αὐτῶν
τὸ ἄγαλμα τῆς θεοῦ νύκτωρ ὥσπερ τι καλὸν ἐργασά-
μενος ἐπεδείκνυτο τοῖς Ἀχαιοῖς. κἀγὼ μὲν ἀξιῶ λα-
βεῖν ἵν' ἀποδῶ τὰ ὅπλα τοῖς φίλοις, οὗτος δὲ ἵν' ἀπο-
δῶται, ἐπεὶ χρῆσθαί γε αὐτοῖς οὐκ ἂν τολμήσειε·
δειλὸς γὰρ οὐδεὶς ἂν ἐπισήμοις ὅπλοις χρήσαιτο, εἰ-
δὼς ὅτι τὴν δειλίαν αὐτοῦ ἐκφαίνει τὰ ὅπλα.
Σχεδὸν μὲν οὖν ἐστιν ἅπαντα ὅμοια. οἵ τε γὰρ 4
διαθέντες τὸν ἀγῶνα ἑκόντες εἶναι περὶ ἀρετῆς κρίνειν
ἐπέτρεψαν ἄλλοις, οἵ τε οὐδὲν εἰδότες δικάσειν ὑπι-
σχνεῖσθε περὶ ὧν οὐκ ἴστε. ἐγὼ δὲ ἐπίσταμαι τοῦτο,
ὅτι οὐδεὶς ἂν βασιλεὺς ἱκανὸς ὢν περὶ ἀρετῆς κρίνειν
ἐπιτρέψειεν ἄλλοις μᾶλλον ἤ περ ἀγαθὸς ἰατρὸς δια-
γνῶναι νοσήματα ἄλλῳ παρείη.
Καὶ εἰ μὲν ἦν μοι πρὸς ἄνδρα ὁμοιότροπον, οὐδ' 5
ἂν ἡττᾶσθαί μοι διέφερε· νῦν δ' οὐκ ἔστιν ὃ διαφέρει
πλέον ἐμοῦ καὶ τοῦδε. ὁ μὲν γὰρ οὐκ ἔστιν ὅ τι ἂν
δράσειε φανερῶς, ἐγὼ δὲ οὐδὲν ἂν λάθρᾳ τολμήσαιμι
πρᾶξαι. κἀγὼ μὲν οὐκ ἂν ἀνασχοίμην κακῶς ἀκούων,
οὐδὲ γὰρ κακῶς πάσχων, ὁ δὲ κἂν κρεμάμενος, εἴ γε
κερδαίνειν τι μέλλοι, ὅστις γε μαστιγοῦν παρεῖχε τοῖς 6
δούλοις καὶ τύπτειν ξύλοις τὰ νῶτα καὶ πυγμαῖς τὸ
πρόσωπον, κἄπειτα περιβαλόμενος ῥάκη, τῆς νυκτὸς
εἰς τὸ τεῖχος εἰσδὺς τῶν πολεμίων, ἱεροσυλήσας ἀπῆλθε.

---

b. 2. Homer. Il. 6, 488. 6. Demosth. 18 §. 97.

(XII.) 3. *ὑπὲρ* Is. Casaubonus: libri *περὶ*. *ἀπολογία, Περὶ* Aldobrandinus: *ἀπολογία ἢ περὶ* cum Io. Kuhnio Hubnerus, *ἀπολογία περὶ* libri. 4. *Λυσίας* D. Wyttenbachius ad Plutarchi mor. p. 390: libri *Δεσίας*. Quod praecedit *ἰσογραφή*, vocabulum suspectum, videtur delendum esse, ut Antisthenes libro inscripserit *περὶ τῶν δικογράφων ἢ Λυσίας καὶ Ἰσοκράτης*. Nisi fallor ex eo ipso, quod praecedit, v. *δικογράφων* male lecto ortum est.

Codd. Bekkeri CIMNX.

25. *αὐτοῖς τοῖς* Bekkerus: *τοῖς αὐτοῖς* b.

3. *ἀλλὰ* Sauppius: *ἀλλ' ἢ* b. 14. *ἑκόντες εἶναι* Sauppius: *οὐκ ὄντες εἶναι βασιλεῖς* libri, *βασιλεῖς ἑκόντες εἶναι* cum aldina b. 20. *ἦν μοι πρὸς*] *ἦν μοι διαφορὰ πρὸς* Winckelmannus, sed v. Isocrat 4 §. 12.

καὶ ταῦτα ὁμολογήσει ποιεῖν. ἴσως δὲ καὶ πείσει λέ-
γων ὡς καλῶς πέπρακται. ἔπειτα τῶν Ἀχιλλέως ὅπλων
ὅδε ὁ μαστιγίας καὶ ἱερόσυλος ἀξιοῖ κρατῆσαι;
7 Ἐγὼ μὲν οὖν ὑμῖν λέγω τοῖς οὐδὲν εἰδόσι κριταῖς
καὶ δικασταῖς, μὴ εἰς τοὺς λόγους σκοπεῖν περὶ ἀρε-
τῆς κρίνοντας, ἀλλ' εἰς τὰ ἔργα μᾶλλον. καὶ γὰρ ὁ
πόλεμος οὐ λόγῳ κρίνεται ἀλλ' ἔργῳ· οὐδ' ἀντιλέγειν
ἔξεστι πρὸς τοὺς πολεμίους, ἀλλ' ἢ μαχομένους κρα-
τεῖν ἢ δουλεύειν σιωπῇ. πρὸς ταῦτα ἀθρεῖτε, καὶ σκο-
πεῖτε ὡς, εἰ μὴ δικάσετε καλῶς, γνώσεσθε ὅτι οὐδε-
μίαν ἔχει λόγος πρὸς ἔργον ἰσχύν, οὐδ' ἔστιν ὑμᾶς ὅ
8 τι λέγων ἀνὴρ ὠφελήσει, εἴσεσθε δὲ ἀκριβῶς ὅτι δι'
665 ἀπορίαν ἔργων πολλοὶ καὶ μακροὶ λόγοι λέγονται. ἀλλ'
ἢ λέγετε ὅτι οὐ ξυνίετε τὰ λεγόμενα, καὶ ἀνίστασθε,
ἢ δικάζετε ὀρθῶς. καὶ ταῦτα μὴ κρύβδην φέρετε, ἀλλὰ
φανερῶς, ἵνα γνῶτε ὅτι καὶ αὐτοῖς τοῖς δικάζουσι δυ-
τέα δίκη ἐστίν, ἂν μὴ δικάσωσιν ὀρθῶς. κἄπειτ' ἴσως
γνώσεσθε ὅτι οὐ κριταὶ τῶν λεγομένων ἀλλὰ δοξασταὶ
9 κάθησθε. ἐγὼ δὲ διαγιγνώσκειν μὲν ὑμῖν περὶ ἐμοῦ καὶ
τῶν ἐμῶν ἐπιτρέπω, διαδοξάζειν δὲ ἅπασιν ἀπαγορεύω,
καὶ ταῦτα περὶ ἀνδρὸς ὃς οὐχ ἑκὼν ἀλλ' ἄκων ἀφῖκται
εἰς Τροίαν, καὶ περὶ ἐμοῦ ὃς πρῶτος ἀεὶ καὶ μόνος
καὶ ἄνευ τείχους τέταγμαι.

II. ΟΔΥΣΣΕΥΣ.

Οὐ πρὸς σέ μοι μόνον ὁ λόγος, δι' ὃν ἀνέστην,
ἀλλὰ καὶ πρὸς τοὺς ἄλλους ἅπαντας· πλείω γὰρ ἀγαθὰ
πεποίηκα τὸ στρατόπεδον ἐγὼ ἢ ὑμεῖς ἅπαντες. καὶ
ταῦτα καὶ ζῶντος ἂν ἔλεγον Ἀχιλλέως, καὶ νῦν τεθνεῶ-
τος λέγω πρὸς ὑμᾶς. ὑμεῖς μὲν γὰρ οὐδεμίαν ἄλλην
μάχην μεμάχησθε, ἣν οὐχὶ καὶ ἐγὼ μεθ' ὑμῶν· ἐμοὶ
2 δὲ τῶν ἰδίων κινδύνων οὐδεὶς ὑμῶν οὐδὲν ξύνοιδε. καί-
τοι ἐν μὲν ταῖς κοιναῖς μάχαις, οὐδὲ εἰ καλῶς ἀγωνί-
ζοισθε, πλέον ἐγίγνετο οὐδέν· ἐν δὲ τοῖς ἐμοῖς κιν-
δύνοις, οὓς ἐγὼ μόνος ἐκινδύνευον, εἰ μὲν κατορθώ-
σαιμι, ἅπαντα ἡμῖν ἐπετελεῖτο ὧν ἕνεκα δεῦρο ἀφίγ-
μεθα, εἰ δὲ σφαλείην, ἐμοῦ ἂν ἑνὸς ἀνδρὸς ἐστερή-
σθε. οὐ γὰρ ἵνα μαχοίμεθα τοῖς Τρωσὶ δεῦρο ἀφίγ-
μεθα, ἀλλ' ἵνα τήν τε Ἑλένην ἀπολάβοιμεν καὶ τὴν
3 Τροίαν ἕλοιμεν. ταῦτα δ' ἐν τοῖς ἐμοῖς κινδύνοις ἐνῆν
ἅπαντα. ὅπου γὰρ ἦν κεχρημένον ἀνάλωτον εἶναι τὴν
Τροίαν, εἰ μὴ πρότερον τὸ ἄγαλμα τῆς θεοῦ λάβοι-
μεν τὸ κλαπὲν παρ' ἡμῶν, τίς ἐστιν ὁ κομίσας δεῦρο
τὸ ἄγαλμα ἄλλος ἢ ἐγώ; ὃν σύ γε ἱεροσυλίας κρίνεις.
σὺ γὰρ οὐδὲν οἶσθα, ὅστις τὸν ἄνδρα τὸν ἀνασώσαντα
τὸ ἄγαλμα τῆς θεοῦ, ἀλλ' οὐ τὸν ὑφελόμενον παρ'
ἡμῶν Ἀλέξανδρον, ἀποκαλεῖς ἱερόσυλον. καὶ τὴν Τροίαν 4
μὲν ἁλῶναι ἅπαντες εὔχεσθε, ἐμὲ δὲ τὸν ἐξευρόντα
ὅπως ἔσται τοῦτο ἀποκαλεῖς ἱερόσυλον; καίτοι εἴπερ
καλόν γε ἦν ἑλεῖν τὸ Ἴλιον, καλὸν καὶ τὸ εὑρεῖν τὸ
τούτου αἴτιον. καὶ οἱ μὲν ἄλλοι χάριν ἔχουσι. σὺ δὲ
καὶ ὀνειδίζεις ἐμοί· ὑπὸ γὰρ ἀμαθίας ὧν εὖ πέπονθας
οὐδὲν οἶσθα. κἀγὼ μὲν οὐκ ὀνειδίζω σοι τὴν ἀμαθίαν· 5
ἄκων γὰρ αὐτὸ καὶ σὲ καὶ οἱ ἄλλοι πεπόνθασιν ἅπαντες·
ἀλλ' ὅτι διὰ τὰ ὀνείδη τὰ ἐμὰ σῳζόμενος οὐχ οἷός τε
εἶ πείθεσθαι, ἀλλὰ καὶ προσαπειλεῖς ὡς κακόν δρά-
σων τι τούσδε, ἐὰν ἐμοὶ τὰ ὅπλα ψηφίσωνται. καὶ 666
πολλάκις δὲ ἀπειλήσεις καὶ πολλά, πρὶν καὶ σμικρόν
τι ἐργάσασθαι· ἀλλ' εἴπερ ἐκ τῶν εἰκότων τι χρὴ τεκ-
μαίρεσθαι, ὑπὸ τῆς κακῆς ὀργῆς οἴομαί σε κακόν τι
σαυτὸν ἐργάσασθαι.
Καὶ ἐμοὶ μέν, ὅτι τοὺς πολεμίους κακῶς ἐποίησα, 6
δειλίαν ὀνειδίζεις· σὺ δὲ ὅτι φανερῶς ἐμόχθεις καὶ
μάτην ἠλίθιος ἦσθα, μετὰ πάντων τοῦτο δράσας οἴει
βελτίων εἶναι. ἔπειτα περὶ ἀρετῆς πρὸς ἐμὲ λέγεις·
ὃς πρῶτον μὲν οὐκ οἶσθα οὐδ' ὅπως ἔδει μάχεσθαι,
ἀλλ' ὥσπερ ὗς ἄγριος ὀργῇ φερόμενος τάχ' ἄν ποτε
ἀποκτενεῖς σεαυτὸν κακῷ περιπεσών τῳ, οὐδ' οἶσθα
ὅτι τὸν ἄνδρα τὸν ἀγαθὸν οὔθ' ὑπ' αὑτοῦ χρὴ οὔθ' ὑφ'
ἑτέρου οὔθ' ὑπὸ τῶν πολεμίων κακὸν οὐδ' ὁτιοῦν πά-
σχειν; σὺ δὲ ὥσπερ οἱ παῖδες χαίρεις ὅτι σέ φασιν 7
οἵδε ἀνδρεῖον εἶναι· ἐγὼ δὲ δειλότατόν γε ἁπάντων τε
καὶ δεδιότα τὸν θάνατον μάλιστα, ὅστις γε πρῶτοι
ὅπλα ἔχεις ἄρρηκτα καὶ ἄτρωτα, δι' ἅπερ σέ φασιν
οὐ τρωτὸν εἶναι. καίτοι τί ἂν δράσαις εἴ τίς σοι τῶν
πολεμίων τοιαῦτα ὅπλα ἔχων προσέλθοι; ἦ που καλόν
τι καὶ θαυμαστὸν ἂν εἴη, εἰ μηδέτερος ὑμῶν μηδὲν
δρᾶσαι δύναιτο. ἔπειτα οἴει τι διαφέρειν τοιαῦτα ὅπλα
ἔχειν ἢ ἐντὸς τείχους καθῆσθαι; καὶ σοὶ μόνῳ δὴ
τεῖχος οὐκ ἔστιν, ὡς σὺ φῄς· μόνος μὲν οὖν σύ γε
ἑπταβόειον περιέρχῃ τεῖχος προβαλλόμενος ἑαυτοῦ·
ἐγὼ δὲ ἄοπλος οὐ πρὸς τὰ τείχη τῶν πολεμίων ἀλλ' 8
εἰς αὐτὰ εἰσέρχομαι τὰ τείχη, καὶ τῶν πολεμίων τοὺς
προφύλακας ἐγρηγορότας αὐτοῖς ὅπλοις αἱρῶ, καὶ εἰμὶ
στρατηγὸς καὶ φύλαξ καὶ σοῦ καὶ τῶν ἄλλων ἁπάντων,
καὶ οἶδα τά τ' ἐνθάδε καὶ τὰ ἐν τοῖς πολεμίοις, οὐχὶ
πέμπων κατασκεψόμενον ἄλλον, ἀλλ' αὐτός, ὥσπερ οἱ
κυβερνῆται τὴν νύκτα καὶ τὴν ἡμέραν σκοποῦσιν ὅπως
σώσουσι τοὺς ναύτας, οὕτω δὲ καὶ ἔγωγε καὶ σὲ καὶ

Codd Bekkeri CIMNX.

34. οὐδὲ cum **Reiskio b: libri** οὔτε. 37. ἡμῖν **Reiskius:** ὑμῖν **b.** 38. δ' ἐσφάλην **L. Spengel ad Anaxim. p. 209.** 39 δεῦρο] δεῦρ' **b cum C.**

1. γὰρ **Reiskius:** γε **b.** 10 οἱ ἄλλοι **Bekkerus:** ἄλλοι **b.** πεπόνθασιν] πεπόνθαται **M,** πέπονθα **N,** πεπόνθατε **b cum I.** 12. δράσων τι **cum H. Stephano b: libri** δράσαντι. 13. καὶ πολλάκις δὲ **Sauppius:** ἐγὼ δ' οἶδα ὡς καὶ πολλάκις **b cum C,** καὶ πολλάκις γε **ceteri.** 20. μετὰ **Sauppius:** ὅτι μετὰ **b.** τοῦτο δράσας] τοῦτ' ἔδρασας **b cum C.** 24. κακῷ **cum aldina b: libri** κακῶς. οὐδ' **Sauppius:** οὐκ **b.** 28. τε **om. b cum C.** 31. δράσαις **cum aldina b: libri** δράσῃς. 35. ἔχειν **Reiskius:** ἔχων **b.**

9 τοὺς ἄλλους ἅπαντας σώζω. οὐδ' ἔστιν ὅντινα κίνδυνον
ἔφυγον αἰσχρὸν ἡγησάμενος, ἐν ᾧ μέλλοιμι τοὺς πο-
λεμίους κακόν τι δράσειν· οὐδ' εἰ μὲν ὄψεσθαί μέ τι-
νες ἔμελλον, γλιχόμενος ἂν τοῦ δοκεῖν ἐτόλμων· ἀλλ'
εἴτε δοῦλος εἴτε πτωχὸς καὶ μαστιγίας ὢν μέλλοιμι
τοὺς πολεμίους κακόν τι δράσειν, ἐπεχείρουν ἄν, καὶ
εἰ μηδεὶς ὁρῴη. οὐ γὰρ δοκεῖν ὁ πόλεμος, ἀλλὰ δρᾶν
ἀεὶ καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ φιλεῖ τι. οὐδὲ ὅπλα
ἔστι μοι τεταγμένα, ἐν οἷς προκαλοῦμαι τοὺς πολε-
μίους μάχεσθαι, ἀλλ' ὅντινα ἐθέλει τις τρόπον, καὶ
667 10 πρὸς ἕνα καὶ πρὸς πολλοὺς ἕτοιμός εἰμ' ἀεί. οὐδ' ἡνίκα
κάμνω μαχόμενος, ὥσπερ σύ, τὰ ὅπλα ἑτέροις παρα-
δίδωμι, ἀλλ' ὁπόταν ἀναπαύωνται οἱ πολέμιοι, τότε
αὐτοῖς τῆς νυκτὸς ἐπιτίθεμαι, ἔχων τοιαῦτα ὅπλα ἃ
ἐκείνους βλάψει μάλιστα. καὶ οὐδὲ νύξ πώποτέ με
ἀφείλετο, ὥσπερ σὲ πολλάκις μαχόμενον ἄσμενον
πέπαυκεν· ἀλλ' ἡνίκα ἂν ῥέγχῃς σύ, τηνικαῦτα ἐγὼ
σώζω σε, καὶ τοὺς πολεμίους ἀεὶ κακόν τι ποιῶ, ἔχων
τὰ δουλοπρεπῆ ταῦτα ὅπλα καὶ τὰ ῥάκη καὶ τὰς μά-
στιγας, δι' ἃς σὺ ἀσφαλῶς καθεύδεις.

11 Σὺ δ' ὅτι φέρων ἐκόμισας τὸν νεκρόν, ἀνδρεῖος
οἴει εἶναι; ὃν εἰ μὴ ἠδύνω φέρειν, δύο ἄνδρες ἂν ἐφε-
ρέτην. κἄπειτα κἀκεῖνοι περὶ ἀρετῆς πως ἂν ἡμῖν ἠμ-
φισβήτουν, κἀμοὶ μὲν ὁ αὐτὸς ἂν πρὸς αὐτοὺς ἦν λό-
γος, σὺ δὲ τί ἂν ἔλεγες ἀμφισβητῶν πρὸς αὐτούς; ἢ
δυοῖν μὲν οὐκ ἂν φροντίσαις, ἑνὸς δ' ἂν αἰσχύνοιο
ὁμολογῶν δειλότερος εἶναι; οὐκ οἶσθ' ὅτι οὐ τοῦ νε- 12
κροῦ τοῖς Τρωσὶν ἀλλὰ τῶν ὅπλων ἔμελεν ὅπως λά-
βοιεν; τὸν μὲν γὰρ ἀποδώσειν ἔμελλον, τὰ δὲ ὅπλα
ἀναθήσειν εἰς τὰ ἱερὰ τοῖς θεοῖς. τοὺς γὰρ νεκροὺς
οὐ τοῖς οὐκ ἀναιρουμένοις αἰσχρόν, ἀλλὰ τοῖς μὴ ἀπο-
διδοῦσι θάπτειν. σὺ μὲν οὖν τὰ ἕτοιμα ἐκόμισας, ἐγὼ
δὲ τὰ ὀνειδιζόμενα ἀφειλόμην ἐκείνους.

Φθόνον δὲ καὶ ἀμαθίαν νοσεῖς, κακῶ ἐναντιωτάτω 13
αὐτοῖς· καὶ ὁ μέν σε ἐπιθυμεῖν ποιεῖ τῶν καλῶν, ἡ
δὲ ἀποτρέπει. ἀνθρώπινον μὲν οὖν τι πέπονθας· διότι
γὰρ ἰσχυρὸς εἶ, οἴει καὶ ἀνδρεῖος εἶναι, καὶ οὐκ οἶ-
σθα ὅτι σοφίᾳ περὶ πόλεμον καὶ ἀνδρείᾳ οὐ ταὐτὸν
ἔστιν ἰσχῦσαι, ἀμαθία δὲ κακὸν μέγιστον τοῖς ἔχου-
σιν. οἶμαι δέ, ἄν ποτέ τις ἄρα σοφὸς ποιητὴς περὶ 14
ἀρετῆς γένηται, ἐμὲ μὲν ποιήσει πολύτλαντα καὶ πο-
λύμητιν καὶ πολυμήχανον καὶ πτολίπορθον καὶ μόνον
τὴν Τροίαν ἑλόντα, σὲ δέ, ὡς ἐγῷμαι, τὴν φύσιν ἀπει-
κάζων τοῖς τε νωθέσιν ὄνοις καὶ βουσὶ ταῖς φορβάσιν,
ἄλλοις παρέχουσι δεσμεύειν καὶ ζευγνύναι αὐτούς.

XIII. ΑΙΣΧΙΝΗΣ.

φασὶ δ' αὐτὸν — συγγράφειν λόγους δικανικοὺς τοῖς ἀδικουμένοις· διὸ καὶ τὸν Τίμωνα εἰπεῖν ἐπ' αὐτῷ·

— — ἴς τ' Αἰσχίνου οὐκ ἐπιπειθὴς
γράψαι.

Diogenes Laert. 2 §. 62. ἦν δὲ καὶ ἐν τοῖς ῥητορικοῖς ἱκανῶς γεγυμνασμένος, ὡς δῆλον ἔκ τε τῆς ἀπολογίας [Ἐρασιστράτου] τοῦ πατρὸς Φαίακος τοῦ στρατηγοῦ καὶ τῆς Δίωνος· μάλιστα δὲ μιμεῖται Γοργίαν τὸν Λεοντῖνον. καὶ Λυσίας δὲ κατ' αὐτοῦ γέγραφε λόγον περὶ συκοφαντίας ἐπιγράψας· ἐξ ὧν δῆλον ὅτι καὶ ῥητορικός τις ἦν. Diogenes l. d. §. 63.

καὶ Αἰσχίνης δὲ ὁ ἀπὸ τοῦ Σωκράτους, ὑπὲρ οὗ πρώην ἐσπούδαζες ὡς οὐκ ἀφανῶς τοὺς διαλόγους κολάζοντος, οὐκ ὤκνει γοργιάζειν ἐν τῷ περὶ τῆς Θαργηλίας λόγῳ· φησὶ γάρ που ὧδε· Θαργηλία ἐλθοῦσα εἰς Θετταλίαν ξυνῆν Ἀντιόχῳ Θετταλῷ, βασιλεύοντι πάντων Θετταλῶν. Philostratus epist. 73 p. 364, 14 Kays. — Quid in his verbis insit coloris gorgiani non perspicio, nec patet, quomodo Aeschines pro Thargelia illa, quacum Antiochus Larisaeus consueverat (cf. G. Schneidewinus Simonidis p. 66. C. Sintenis ad Plut. Periclem p. 173) et cujus exemplum Plutarchus Periclis c. 24 Aspasiam secutam esse tradit, verba facere potuerit, nisi declamationem fuisse dixeris. Sed ea ipsa, quae Plutarchus l. d. habet, efficiunt, ut Welckeri coniecturam haud improbabilem esse putem, haec verba ex Aeschinis Aspasia desumta esse coniicientis (opusc. 1 p. 421). Quanquam non intelligo, quo ille iure v. λόγῳ deleri voluerit: nihil enim impedit quominus Philostratum, cui Aeschinis libellum ipsum praesto fuisse negaverim, de oratione, cui περὶ τῆς Θαργηλίας inscriptum esset, cogitasse putemus.

---

9. τοὺς πολεμίους Reiskius: τοῖς πολεμίοις b. 15. οὐδὲ Sauppius: οὔτε b.
18. πολύτλαντα Bekkerus: πολύτλαν τε b 22. παρέχουσι Reiskius: ὑπάρχουσι b. αὐτούς Reiskius: αὐτοῖς b.
(XIII) 3 ἴς τ' Is. Casaubonus: ἦτ' libri. 7. Ἐρασιστράτου ego addidi, coll. Thucyd. 5, 4. 8. τῆς Δίωνος· μάλιστα δὲ codd. H. Stephani: δίων μάλιστα codd. Arund. et Mon., δι' ὧν μάλιστα reliqui. F. Th. Welckerus opuscul 1 p 421 de Dione Syracusano cogitat, ita ut hanc posteriorem orationem declamationem fuisse putet. Sed quidni Dionem Atheniensem ab Aeschine defensum esse statuamus? Fortasse eum, quem Plato Menexeni p. 234. B commemorat.

XIV. ΛΥΣΙΑΣ.

Lysiae fragmenta collegerunt J. Taylorus (Lysiae reiskiani vol. 2 p. 3 sqq.) et L. Hoelscherus de vita et scriptis Lysiae oratoris (Berolini, 1837) p. 124 sqq., ea quae paulo ampliora essent orationibus superstitibus addiderunt I. Bekkerus, C. Foertschius, J. Franzius, indicem orationum deperditarum eorumque locorum, quibus illae commemorantur, A. Westermannus hist. eloqu. gr. p. 281 sqq. dedit. Haec ego auxi, emendavi, ex parte aliter disposui.

φέρονται δ' αὐτοῦ λόγοι υκε΄. τούτων γνησίους φασὶν οἱ περὶ Διονύσιον καὶ Κεκίλιον εἶναι σλγ΄, ἐν οἷς δὶς μόνον ἡττῆσθαι λέγεται. ἔστι δ' αὐτοῦ καὶ ὁ περὶ τοῦ ψηφίσματος, ὃ ἐγράψατο Ἀρχῖνος τὴν πολιτείαν αὐτοῦ περιελών, καὶ κατὰ τῶν λ΄ ἕτερος. ἐγένετο δὲ πιθανώτατος καὶ βραχύτατος, τοῖς ἰδιώταις τοῖς πολλοῖς λόγους ἐκδούς. εἰσὶ δ' αὐτῷ καὶ τέχναι ῥητορικαὶ πεποιημέναι καὶ δημηγορίαι, ἐπιστολαί τε καὶ ἐγκώμια καὶ ἐπιτάφιοι καὶ ἐρωτικοὶ καὶ Σωκράτους ἀπολογία ἐστοχασμένη τῶν δικαστῶν. Vitae decem oratorum p. 836. A. *ἀνεγνώσθησαν Λυσίου λόγοι διάφοροι. φέρονται δὲ αὐτοῦ κε΄ καὶ υ΄, ὧν τοῖς γνησίοις γ΄ καὶ λ΄ καὶ διακοσίους ἐγκρίνουσιν, ἐν οἷς δὶς μόνον τὸ ἔλαττον ἐνεγκεῖν τῇ λέξει πρὸς τοὺς ἀνταγωνιστὰς πολλάκις ἀγωνισάμενος λέγεται. ἔστι δὲ τοῖς λόγοις βραχύτατός τε καὶ πιθανώτατος καὶ τῷ δοκεῖν μὴ δεινὸς λέγειν εἴπερ τις ἄλλος δεινότατος· ἀλλὰ γὰρ καὶ εὔκολος εἶναι δοκῶν οὐδὲν ἔλαττον δυσμίμητος ἐπιδείκνυται. τοὺς μέντοι γε τῶν λόγων πλείους ἰδιώταις ἐκδεδωκέναι λέγεται. συγκεφαλαιοῦσι δὲ τοὺς λόγους αὐτοῦ δημηγορίαι, ἐπιστολαί, ἐγκώμια, ἐπιτάφιοι, ἐρωτικοὶ καὶ Σωκράτους ἀπολογία.* Photius bibl. 262 p. 488 b 14 Bk. *λόγοι δὲ αὐτοῦ λέγονται εἶναι γνήσιοι ὑπὲρ τοὺς τ΄ καὶ ἕτεροι πρὸς τούτοις ἀμφιδοξούμενοι. — — ἔγραψε δὲ καὶ τέχνας ῥητορικὰς καὶ δημηγορίας, ἐγκώμιά τε καὶ ἐπιταφίους, καὶ ἐπιστολὰς ζ΄, μίαν μὲν πραγματικήν, τὰς δὲ λοιπὰς ἐρωτικάς, ὧν αἱ πέντε πρὸς μειράκια.* Suidas 2, 1 p. 647 Bernh. *πλείστους δὲ γράψας λόγους εἴς δικαστήριά τε καὶ βουλὰς καὶ πρὸς ἐκκλησίας εὐθέτους, πρὸς δὲ τούτοις πανηγυρικούς, ἐρωτικούς, ἐπιστολικούς, τῶν μὲν ἔμπροσθεν γενομένων ῥητόρων ἢ κατὰ τὸν αὐτὸν χρόνον ἀκμασάντων ἠφάνισε τὰς δόξας.* Dionysius 5 p. 453, 11. *Λυσίας δὲ τοιοῦτον οὐδὲν ἤσκησεν ἐν γοῦν τοῖς σπουδῇ γραφομένοις δικανικοῖς καὶ συμβουλευτικοῖς λόγοις ποιῆσαι, πλὴν εἴ τι μικρὸν ἐν τοῖς πανηγυρικοῖς· περὶ γὰρ δὴ τῶν ἐπιστολικῶν αὐτοῦ καὶ ἑταιρικῶν καὶ τῶν ἄλλων, οὓς μετὰ παιδιᾶς ἔγραψεν, οὐδὲν δέομαι λέγειν.* Dionysius 5 p. 459, 7. *μάλιστα δ' ἄν τις αὐτοῦ θαυμάσειε τὴν ἐν τοῖς προοιμίοις αὐτοῦ δύναμιν, ἐνθυμηθεὶς ὅτι διακοσίων οὐκ ἐλάττους δικανικοὺς γράψας λόγους ἐν οὐδενὶ πέφηνεν οὔτε ἀπιθάνως προοιμιαζόμενος οὔτε ἀπηρτημένῃ τῶν πραγμάτων ἀρχῇ χρώμενος.* Dionysius 5 p. 491, 4. Cum his testimoniis de numero orationum non convenit grammatico, cuius *σκάριφον* quem dicit in schol. aeschineis ad or. 2 §. 18 habemus: ibi enim legitur *Λυσίας λόγους* ϙ. Eadem in cod. parisino 2991 habentur teste Fr. Boissonadio ad Eunapium vol. 1 p. 134. Etiam in cod. barocciano 125 exstare testatur J. A. Cramerus anecd. oxon. 4 p. 256, sed ita ut scribatur *Λυσίας λόγους* ϛ΄. Eadem tradit Manuel Moschopulus p. 60, a Fr. N. Titzio male ita expressa: *Λυσίας λόγους* 4. Hoc aut grammatico illi relinquendum est, cuius numeri omnes mirum in modum vel turbati sunt vel veritati adversantur, aut in iis, quae praecedunt: *Δείναρχος λόγους υ΄*, vestigia veri ita latent, ut hic numerus ad Lysiam pertineat, cum plus quadringentas orationes Lysiae tributas esse supra viderimus.

I. *Πρὸς Αἰσχίνην τὸν Σωκρατικὸν χρέως.*

F. Th. Welckeri exstat de hac oratione commentatio in musei rhenani a F. Th. Welckero et A. F. Naekio editi vol. 2 p. 391—410, quam repeti iussit in opusculorum vol. 1 p. 412—430: *Unächtheit der Rede des Lysias gegen den Sokratiker Aeschines.* Huius commentarioli summa haec est, ut primum orationes, quae sunt *πρὸς Αἰσχίνην βλάβης* et *κατ' Αἰσχίνου περὶ τῆς δημεύσεως τῶν Ἀριστοφάνους χρημάτων* ad alios homines cognomines pertinere iudicet, deinde Lysiam orationem contra Aeschinem scripsisse *περὶ*

---

11. *Κεκίλιον* parisini 1672 et 1957: *κικέλιον* paris. 1671, *Καικίλιον* Reiskius. cf. Sintenis ad Plut. vol. 2 p. 268. *σλγ΄* cum Photio F. Dübnerus: *σ̄ τριάκοντα τρία ἔτη* cod. paris. 1957, *διακοσίους τριάκοντα* ceteri. 12. *ὁ* J. Taylorus: libri *ὄν*. 13. *ὃ* add. Taylorus. 14. *αὐτοῦ περιελών* Taylorus: libri *αὐτῷ περιεχων*. 15. *τοῖς πολλοῖς* cod. paris. 1957 a pr. m.: ceteri *τοῖς πολλοῖς*. 17. *δημηγορίαι* Photius: libri *δημηγορία*. 26. *δεινὸς* Bekkerus: *δεινῶς* b. 41. *γενομενων* ACD Grosii et helmst.: erat *γεγενημένων*. 33. τ΄] immo σ΄.
5. *γὰρ δὴ* AB Grosii et helmst.: erat *γάρ*.

συκοφαντίας Diogene auctore 2 §. 64 statuat, sed eam declamationem fuisse similem eius, qua Lysias Socratem defendisse dicitur, denique eam, cui Athenaeus inscriptum fuisse dicat *Πρὸς Αἰσχίνην τὸν Σωκρατικὸν χρέως*, rhetoris recentioris odio philosophorum ducti opus veteri oratori suppositum esse, Aspasiae mentionem ad declamationem illam genuinam pertinere videri, reliquae voces, quas Harpocratio afferat, utrum orationi suppositae tribuendae sint an declamationi dubitari posse. Welckerum sequitur Hoelscherus. Atque orationes, quae sunt *βλάβης* et *περὶ τῆς δημεύσεως*, iure contra alium vel alios homines habitas esse censet. Sed quod orationem, quae est *χρέως*, suppositam esse statuit, argumenta, quae protulit, parum sufficiunt. In rebus singulis nihil est, quod suspicionem moveat. Aeschinem vero in egestate maxima vitam degisse constat: ex ea facile incommoda tanta oriri poterant, ut malitiosa solertia exornata eam speciem induerent, quam in hac oratione miramur. Cauponiam exercere vel unguentariam facere Athenis vile quidem erat neque vero infamiam ferebat, ut ab Aeschine alienum iudicari necesse esset, cuius patrem fartorem fuisse scimus. Adde quae de temporum necessitatibus Euxitheus dicit apud Demosthenem or. 57 §. 45. Quomodo vero causidici vitam et mores reorum tractaverint et aliis exemplis constat permultis et causa huius, de qua exponimus, simillima Timothei, in quem auctor orationis quae est inter demosthenicas 49 convicia acerbissima iactat (§. 65 sqq.). Nihil igitur causae esse puto, ut orationem quae est *περὶ χρέως* suppositam esse credamus. Atque ad hanc ipsam etiam ea, quae Diogenes 2 §. 63 ait: *καὶ Λυσίας δὲ κατ᾽ αὐτοῦ γέγραφε λόγον περὶ συκοφαντίας ἐπιγράψας* refero, nam prima verba *νομίζω δ᾽ οὐκ ἂν ῥᾳδίως αὐτὸν ἑτέραν ταύτης συκοφαντωδεστέραν ἐξευρεῖν* facile grammaticum inducere poterant, ut *περὶ συκοφαντίας* titulo adderet. Si vero plures fuissent Lysiae orationes contra Aeschinem Socraticum, Harpocratio nomen causae addidisset quo distinguerentur. Unam igitur orationem adversus Aeschinem Socraticum a Lysia scriptam esse arbitror, aliam in Aeschinem alium de bonis Aristophanis publicatis, tertiam in Aeschinem aliquem *περὶ βλάβης*.

1. *οὐδὲν γάρ ἐστι τῶν καλουμένων φιλοσόφων ἀφιλοσοφώτερον. τίς γὰρ ἤλπισεν Αἰσχίνην τὸν Σωκρατικὸν τοιοῦτον γεγενῆσθαι τοὺς τρόπους, ὁποῖόν φησι Λυσίας ὁ ῥήτωρ ἐν τοῖς τῶν συμβολαίων λόγοις; ὃν ἐκ τῶν φερομένων ὡς αὐτοῦ διαλόγων θαυμάζομεν ὡς ἐπιεικῆ καὶ μέτριον, πλὴν εἰ μὴ ὡς ἀληθῶς τοῦ σοφοῦ Σωκράτους ἐστὶ συγγράμματα, ἐχαρίσθη δὲ αὐτῷ ὑπὸ Ξανθίππης τῆς Σωκράτους γυναικὸς μετὰ τὸν ἐκείνου θάνατον, ὡς οἱ ἀμφὶ τὸν Ἰδομενέα φασίν. ἀλλ᾽ ὅ γε Λυσίας ἐν τῷ ἐπιγραφομένῳ λόγῳ οὑτωσί· Πρὸς Αἰσχίνην τὸν Σωκρατικὸν χρέως — ἀπομνημονεύσω δ᾽ ἐγώ, εἰ καὶ πολλά ἐστι τὰ λεχθέντα, διὰ τὸν βρένθον ὑμῶν τὸν πολύν, ὦ φιλόσοφοι — ἄρχεται δ᾽ οὕτως ὁ ῥήτωρ·*

Οὐκ ἄν ποτ᾽ ᾠήθην, ἄνδρες δικασταί, Αἰσχίνην τολμῆσαι οὕτως αἰσχρὰν δίκην δικάσασθαι, νομίζω δ᾽ οὐκ ἂν ῥᾳδίως αὐτὸν ἑτέραν ταύτης συκοφαντωδεστέραν ἐξευρεῖν. οὗτος γάρ, ὦ ἄνδρες δικασταί, ὀφείλων ἀργύριον ἐπὶ τρισὶ δραχμαῖς Σωσινόμῳ τῷ τραπεζίτῃ καὶ Ἀριστογείτονι, προσελθὼν πρὸς ἐμὲ ἐδεῖτο μὴ περιιδεῖν αὐτὸν διὰ τοὺς τόκους ἐκ τῶν ὄντων ἐκπεσόντα. „κατασκευάζομαι δ᾽," ἔφη, „τέχνην μυρεψικήν· ἀφορμῆς δὲ δέομαι, καὶ οἴσω δέ σοι ἐννε᾽ ὀβολοὺς τῆς μνᾶς τόκους."

καλόν γε τὸ τέλος τῆς εὐδαιμονίας τῷ φιλοσόφῳ ἡ μυρεψικὴ τέχνη ἀκόλουθός τε τῇ Σωκράτους φιλοσοφίᾳ, ἀνδρὸς τοῦ καὶ τὴν τοιαύτην χρῆσιν τῶν μύρων ἀποδοκιμάσαντος, Σόλωνος δὲ τοῦ νομοθέτου οὐδ᾽ ἐπιτρέποντος ἀνδρὶ τοιαύτης προΐστασθαι τέχνης. — — ἑξῆς δὲ τούτοις ὁ ῥήτωρ τάδε λέγει·

πεισθεὶς δ᾽ ὑπ᾽ αὐτοῦ τοιαῦτα λέγοντος καὶ ἅμα οἰόμενος τοῦτον Αἰσχίνην Σωκράτους γεγονότα μαθητὴν καὶ περὶ δικαιοσύνης καὶ ἀρετῆς πολλοὺς καὶ σεμνοὺς λέγοντα λόγους οὐκ ἄν ποτε ἐπιχειρῆσαι οὐδὲ τολμῆσαι ἅπερ οἱ πονηρότατοι καὶ ἀδικώτατοι ἄνθρωποι ἐπιχειροῦσι πράττειν, ...

καὶ μετὰ ταῦτα πάλιν καταδρομὴν αὐτοῦ ποιησάμενος ὡς ἐδανείσατο, ὡς οὔτε τόκους οὔτε τἀρχαῖον ἀπεδίδου, καὶ ὅτι ὑπερήμερος ἐγένετο γνώμῃ δικαστηρίου ἐρήμην καταδικασθείς, καὶ ὡς ἠνεχυράσθη οἰκέτης αὐτοῦ στιγματίας, καὶ πολλὰ ἄλλα κατειπὼν αὐτοῦ ἐπιλέγει ταῦτα·

Ἀλλὰ γάρ, ὦ ἄνδρες δικασταί, οὐκ εἰς ἐμὲ μόνον τοιοῦτός ἐστιν, ἀλλὰ καὶ εἰς τοὺς ἄλλους ἅπαντας τοὺς αὐτῷ κεχρημένους. οὐχ οἱ μὲν κάπηλοι οἱ ἐγγὺς οἰκοῦντες, παρ᾽ ὧν

b. 5. *χρεους* codd. Dindorfii VL. cf. Lobeck. ad Phryn. p. 391. 12. *Αισχινης* Dindorfii operae. 14. *νομίζω δ᾽* Sauppius: erat *νομίζων*. 17. *σωσίμῳ* PVL. 18. *ἀριστογείτωνι* PVL. 19. *αὐτὸν* Sauppius: erat *αὐτὸν*. 20. *κατασκευάσομαι* PVL. 22. *ἐννέα* PVL. 32. *γεγονότα* Sauppius: erat *γεγονεναι*. 46. *παρ᾽ ὧν*] *παριὼν* P, *ἐξ ὧν* Bekkeri operae.

προδοσεις λαμβάνων οὐκ ἀποδίδωσι, δικάζονται αὐτῷ συγκλείσαντες τὰ καπηλεῖα, οἱ δὲ γείτονες οὕτως ὑπ' αὐτοῦ δεινὰ πάσχουσιν ὥστ' ἐκλιπόντες τὰς αὑτῶν οἰκίας ἑτέρας πόρρω μισθοῦνται· ὅσους δ' ἐράνους συνείλεκται, τὰς μὲν ἐπολοίπους φορὰς οὐ κατατίθησιν, ἀλλὰ περὶ τοῦτον τὸν κάπηλον ὡς περὶ στήλην διαφθείρονται. τοσοῦτοι δὲ ἐπὶ τὴν οἰκίαν ἅμα τῇ ἡμέρᾳ ἀπαιτήσοντες τὰ ὀφειλόμενα ἔρχονται, ὥστε οἴεσθαι τοὺς παριόντας ἐπ' ἐκφορὰν αὐτοὺς ἥκειν τοῦ τεθνεῶτος· οὕτω δ' οἱ ἐν τῷ Πειραιεῖ διάκεινται, ὥστε πολὺ ἀσφαλέστερον εἶναι δοκεῖν εἰς τὸν Ἀδρίαν πλεῖν ἢ τούτῳ συμβάλλειν. πολὺ γὰρ μᾶλλον ἃ ἂν δανείσηται αὑτοῦ νομίζει εἶναι ἢ ἃ ὁ πατὴρ αὐτῷ κατέλιπεν. ἀλλὰ γὰρ οὐ τὴν οὐσίαν κέκτηται Ἑρμαίου τοῦ μυροπώλου, τὴν γυναῖκα διαφθείρας ἑβδομήκοντα ἔτη γεγονυῖαν; ἧς ἐρᾶν προσποιησάμενος οὕτω διέθηκεν ὥστε τὸν μὲν ἄνδρα αὐτῆς καὶ τοὺς υἱοὺς πτωχοὺς ἐποίησεν, αὐτὸν δὲ ἀντὶ καπήλου μυροπώλην ἀπέδειξεν. οὕτως ἐρωτικῶς τὸ κόριον μετεχειρίζετο, τῆς ἡλικίας αὐτῆς ἀπολαύων, ἧς ῥᾷον τοὺς ὀδόντας ἀριθμῆσαι ἢ τῆς χειρὸς τοὺς δακτύλους. Καί μοι ἀνάβητε τούτων μάρτυρες.

ΜΑΡΤΥΡΕΣ.

ὁ μὲν οὖν βίος τοῦ σοφιστοῦ τοιοῦτος. ὁ μὲν οὖν Λυσίας, ὦ Κύνουλκε, οὕτως. **Athenaeus 13 p. 611 D.**

2 **2.** *Ἀσπασία· Λυσίας ἐν τῷ πρὸς Αἰσχίνην τὸν Σωκρατικόν, οὗ διάλογος ἐπιγραφόμενος Ἀσπασία. μνημονεύουσι δ' αὐτῆς πολλάκις καὶ οἱ ἄλλοι Σωκρατικοί, καὶ Πλάτων ἐν τῷ Μενεξένῳ τὸν Σωκράτην παρ' αὐτῆς φησὶ μαθεῖν τὰ πολιτικά. ἦν δὲ τὸ μὲν γένος Μιλησία, δεινὴ δὲ περὶ λόγους· Περικλέους δέ φασιν αὐτὴν διδάσκαλόν τε ἅμα καὶ ἐρωμένην εἶναι. δοκεῖ δὲ δυοῖν πολέμων αἰτία γεγονέναι, τοῦ τε Σαμιακοῦ καὶ τοῦ Πελοποννησιακοῦ, ὡς ἔστι μαθεῖν παρά τε Δούριδος τοῦ Σαμίου καὶ Θεοφράστου ἐκ τοῦ δ' τῶν Πολιτικῶν καὶ ἐκ τῶν Ἀριστοφάνους Ἀχαρνέων. δοκεῖ δὲ καὶ ἐξ αὐτῆς ἐσχηκέναι ὁ Περικλῆς τὸν ὁμώνυμον αὐτῷ Περικλέα τὸν νόθον, ὡς ἐμφαίνει καὶ Εὔπολις ἐν τοῖς Δήμοις. Λυσικλεῖ δὲ τῷ δημαγωγῷ συνοικήσασα Πορίστην ἔσχεν, ὡς ὁ Σωκρατικὸς Αἰσχίνης φησίν.* **Harpocrat. — C. F. Hermannus de Socratis magistris (Marburgi 1837) p. 22 sibi intelligere videtur, „Lysiam, ut Socratis amicitiam adversario suo in invidiam verteret, inter alia etiam ipso teste usum Socraticis exprobrasse, quod eorum magister in mulieris sese disciplinam tradidisset." Non perspicio, quomodo hoc ex Harpocrationis verbis erui possit. Mihi Welckerus verum videtur vidisse, qui l. d. p. 426 malignitatem a Lysia notatam esse putat, qua Aeschines Aspasiam tractavisset.**

3. *ἄστικτον χωρίον τὸ μὴ ὑποκείμενον δανειστῇ· ὅταν γὰρ ὑποκέηται, εἴωθεν ὁ δανείσας αὐτὸ τοῦτο δηλοῦν διὰ γραμμάτων ἐπόντων τῷ χωρίῳ· τὸ δ' αὐτὸ καὶ ἐπ' οἰκίας γίνεται. Λυσίας ἐν τῷ πρὸς Αἰσχίνην τὸν Σωκρατικόν.* **Harpocrat.** 3

4. *καταπλήξ ὁ συνεχῶς πεπληγμένος· Λυσίας ἐν τῷ πρὸς Αἰσχίνην τὸν Σωκρατικὸν καὶ ἐν τῷ κατ' Ἀνδοκίδου ἀσεβείας, εἰ γνήσιος ὁ λόγος. Θεόπομπος Τισαμενῷ „ἀλλ' ἡ μὲν Εἰλείθυια συγγνώμην ἔχει, ὑπὸ τῶν γυναικῶν οὖσα καταπλήξ, τὴν τέχνην."* **Harpocrat.** 4

Huic orationi solent etiam ea tribui, quae apud Demetrium *π. ἑρμην.* **§. 128 leguntur** *ὅσας ἄξιος ἦν λαβεῖν πληγάς, τοσαύτας εἴληφε δραχμάς*, **et C. F. Hermannus l. d. p. 22 ex Aristidis loco ad v. 31 adscripto colligit etiam Platonis in hac oratione mentionem factam esse. Cum neque hoc neque illud fundamento quoquam nitatur, utrumque testimonium in fragmentis incerti loci ponam.**

---

1. *προδόσεις* AP: *παροδόσεις* B, *προπόσεις* ceteri. 4. *ὥστ'*] *ὡς* B. *αὐτῶν* PVL. 5. *συνείλεκται*] *collegit* (cf. Dem. 59 §. 18. 50). cf. Harpocrat. s. v. *πληρωτής*. 6. post *μὲν* aliquid excidisse videtur, ut sensus hic fuerit: *symbolas ceterorum eranistarum surripit et perdit, suas ipse non pendit.* Quae I. I. van Holst de eranis Graec. p. 56 sq. et Welckerus l. d. p. 413 sq. proposuerunt, ferri non possunt. 8. *στήλην*] cf. intpp. Soph. El. 713. Krausii gymn. Graec. p. 576 sqq. 10. *τοὺς* om. B. 11. *τοῦ* B: ceteri *τούτου*. 12. *τεθνηῶτος* P, *τεθνειῶτος* VL. 14. *ἀδρίαν* PV, *ἀνδρίαν* B. 15. *αὐτοῦ* PV. 22. *αὐτὸν* I. Bekkerus: erat *αὑτὸν*. 25. *ἀριθμῆσαι* Is. Casaubonus: *ἀριθμῆσαι ὅσοι* (*ὅσους* B) *ἐλάττους ἦσαν* (*ἐλαττοίσης ἂν* BP) libri. cf. Demetr. *περὶ ἑρμ.* §. 128 et 262. Photius lex. p. 483, 21. Suidas 2, 2 p. 593. Versum comici poetae esse putabat A. Meinekius com. 4 p. 660. 29. *ΜΑΡΤΥΡΕΣ* ego addidi. 29. Aristides or. 46 p. 407 Ddf.: *οὐ Λυσίας Πλάτωνα σοφιστὴν καλεῖ καὶ πάλιν Αἰσχίνην;* 33. *οὗ διάλογος* T. Hemsterhusius anecdot. 1 p. 230: erat *διαλεγόμενος*. *ἐπιγραφόμενος*
ω
ABF cum Hemsterhusio: *ἐπιγραφόμενος* M, *ἐπιγραφομένῳ* b. *Ἀσπασίᾳ* b, nescio unde. 35. Plato Menex. p. 235. E.

4. Duris Hullemanni p. 125. 5. Aristoph. Ach. 527. 8. Meinek. com. gr. 2 p. 462. 9. *Πορίστην* A. Coraes ad Plut. Pericl. 24: *Ποριστὴν* b. cf. schol. Platon. p. 391 Bk. 20. cf. Boeckh. oecon. publ. Ath. 1 p. 142. 26. *τὸν Σωκρατικὸν*] *τὸ ναυκρατιτικὸν* A. *καὶ* ego addidi. — Lysiae or. 6 §. 50. 27. Meinek. com. gr. 2 p. 815 sq.

II. ΚΑΤ' ΑΙΣΧΙΝΟΥ ΠΕΡΙ ΤΗΣ ΔΗΜΕΥΣΕΩΣ ΤΩΝ ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΧΡΗΜΑΤΩΝ.

Ad eandem causam Lysiae oratio undevicesima pertinet. Quae cum socero Aristophanis scripta sit vel, socero ipso mortuo, eius filio, haec filiis Aristophanis ipsius contra Aeschinem, qui indicem bonorum publicandorum fecisset vel de bonis publicandis ad populum tulisset, videtur composita fuisse: cf. or. 19 §. 8: *οἱ παῖδες οἱ Ἀριστοφάνους — τὰ πατρῷα ἀπολωλέκασι παρὰ τοὺς νόμους τοὺς ὑμετέρους.*

5 *Χύτροι· Λυσίας ἐν τῷ κατ' Αἰσχίνου περὶ τῆς δημεύσεως τῶν Ἀριστοφάνους χρημάτων· ἐπειδὴ τοίνυν τοὺς Χύτρους ὁ Δημάρατος ἑάλω προδιδούς. πόλις ἐστὶν ἐν Κύπρῳ οὕτω καλουμένη, καθά φησι Ξεναγόρας ἐν ταῖς Νήσοις. ἔστι δὲ καὶ Ἀττική τις ἑορτὴ Χύτροι, ἧς μνημονεύει Δείναρχος ἐν τῷ κατὰ Πυθέου. ἤγετο δὲ ἡ ἑορτὴ Ἀνθεστηριῶνος τρίτῃ ἐπὶ δέκα, ὥς φησι Φιλόχορος ἐν τῷ περὶ ἑορτῶν.* Harpocrat.

III. ΠΡΟΣ ΑΙΣΧΙΝΗΝ ΒΛΑΒΗΣ.

6 *δικάζω· ἀντὶ τοῦ ἐγκαλῶ, δοτικῇ. — Λυσίας ἐν τῷ πρὸς Αἰσχίνην βλάβης· οὗτος ἐμοὶ βλάβης δεδίκασται.* Bekk. anecd. p. 132, 23.

IV. ΠΡΟΣ ΑΛΕΞΙΔΗΜΟΝ, εἰ γνήσιος.

Videtur coram archonte habita esse in actione communi dividundo: cf. M. Meierus de lit. att. p. 377 sqq.

7 *δατεῖσθαι τὸ μερίζεσθαι, οἱ δὲ δατηταὶ οἱονεὶ μερισταί. τὸ δὲ εἰς δατητῶν αἵρεσιν εἶδός τι δίκης ἐστίν· ὁπότε γὰρ κοινωνοῖέν τινες ἀλλήλοις καὶ οἱ μὲν βούλοιντο διανέμεσθαι τὰ κοινὰ οἱ δὲ μή, ἐδικάζοντο οἱ βουλόμενοι τοῖς μὴ βουλομένοις προκαλούμενοι εἰς δατητῶν αἵρεσιν· Λυσίας ἐν τῷ πρὸς Ἀλεξίδημον, εἰ γνήσιος, καὶ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ.* Harpocrat. cf. lex. cantabrig. p. 667, 29 Dobr.: *εἰς δατητῶν αἵρεσιν πρόκλησις νεμήσεως ἢ κληρονομίας ἢ κοινοῦ τινος ἀγορασμοῦ· ἐπὶ τῶν διανεμόντων τὰ κοινά τισιν· ὡς Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ· „δίκαι λαγχάνονται πρὸς τὸν ἄρχοντα ἄλλαι τε καὶ εἰς δατητῶν αἵρεσιν, ὅταν μὴ θέλῃ κοινά τις ὄντα νέμεσθαι.“*

V. ΠΡΟΣ ΑΛΚΙΒΙΑΔΗΝ ΠΕΡΙ ΟΙΚΙΑΣ. εἰ γνήσιος.

Scripta est adversus Alcibiadis magni filium cognominem, qui imperio triginta virorum everso in patriam redierat et post reditum multum in iudiciis versabatur: cf. Isocr. or. 16 §. 1. Lysiae or. 14 et 15. De domo vel publicata vel publicanda actum esse fragmentum quartum ostendit. Itaque Alcibiades minor aut domum cuiusdam publicandam vel publicam esse dixerat, qui in jus vocatus se defendit, aut alium, qui domum Alcibiadis publicari vellet, accusaverat legum violatarum, ita ut hunc causam suam adversus Alcibiadem agere oporteret. Errat enim Meierus, qui (de litibus att. p. 492 sq.) causas, quae essent *περὶ οἰκίας*, privatas fuisse dicit. Adversarios de patre suo multa verba facere Alcibiades minor apud Isocratem queritur or. 16 §. 2 sqq.

1. *Ἀλκιβιάδης δ' ὁ καλὸς — ὑπὸ τῆς Ἄγιδος ἀγαπώμενος γυναικὸς ἐπὶ τὰς τῶν ἑταιρίδων θύρας ἐκώμαζεν, ἀπολιπὼν τὰς Λακαίνας καὶ τὰς Ἀττικάς. Μεδοντίδος γοῦν τῆς Ἀβυδηνῆς ἐξ ἀκοῆς ἐρασθεὶς ἔστερξε καὶ πλεύσας εἰς Ἑλλήσποντον σὺν Ἀξιόχῳ, ὃς ἦν αὐτοῦ τῆς ὥρας ἐραστής, ὥς φησι Λυσίας ὁ ῥήτωρ ἐν τῷ κατ' αὐτοῦ λόγῳ, καὶ ταύτης ἐκοινώνησεν αὐτῷ.* 8 Athenaeus 13 p. 574. D. *Λυσίας δὲ ὁ ῥήτωρ περὶ τῆς τρυφῆς αὐτοῦ λέγων φησίν· Ἐκπλεύσαντες γὰρ κοινῇ Ἀξίοχος καὶ Ἀλκιβιάδης εἰς Ἑλλήσποντον ἔγημαν ἐν Ἀβύδῳ δύο ὄντε Μεδοντιάδα τὴν Ἀβυδηνὴν καὶ ξυνῳκείτην. ἔπειτα αὐτοῖν γίγνεται θυγάτηρ, ἣν οὐκ ἔφαντο δύνασθαι γνῶναι ὁποτέρου εἴη. ἐπεὶ δὲ ἦν ἀνδρὸς ὡραία, ξυνεκοιμῶντο καὶ ταύτῃ καὶ εἰ μὲν χρῷτο καὶ ἔχοι Ἀλκιβιάδης, Ἀξιόχου ἔφασκεν εἶναι θυγατέρα, εἰ δὲ Ἀξίοχος, Ἀλκιβιάδου.* Athenaeus 12 p. 534. F.

---

13 et 18. *χύτρῃ* A. Apud Stephanum Byz. male legitur *Χυτροί.* 20. Philochori frg. 163 Müll. 39. *προκαλούμενοι εἰς* Meierus ad fragm. lex. rhet. cantabr. p. XIII: *εἰς* Cram. anecd. 2 p. 492 et Suidas et DE, *προσκαλούμενοι εἰς* ceteri. 41. *εἰ γνήσιος* om. BCI. 43. *δατητῶν αἵρεσιν* Meierus: liber *δατητῶν.* *νεμήσεως* Bekk. anecd. p. 310, 19: erat *νεμέσεως.*

4. *ἄλλαι τε* Dobreeus (lex. rhet. cantabr. 1834): liber *ἀλλ' εἴ τις.* liber *δατήτων.* 5. *τις* Sauppius: liber *τά.* cf .v. 4. 28. de nomine Abydenae cf. Lobeck. patholog. p 468, de Axiocho Plat. Euthyd. p. 275. A. 37. *καὶ* deleri voluerunt Schweighaeuserus et Scheibius (in Iahnii annall. 31 p. 374), sed ante hanc vocem fere haec excidisse: *ἐκοινώνει τούτῳ αὐτῆς καὶ ἐπειδὴ αὐτοῖν ἐγένετο θυγάτηρ ἐξ αὐτῆς*, ostendunt ea, quae Lysiam narravisse Athenaeus eo qui sequitur loco testatur. — Cf. Antiphontis frg. 69. 40. cf. Lysiae or. 14 §. 41: *τοῖς δ' ἐκ θυγατέρων παῖδες γεγόνασιν.*

9 2. *Λευκὴ ἀκτή·* Λυσίας ἐν τῷ πρὸς Ἀλκιβιάδην. πλειόνων οὐσῶν Λευκῶν, ὡς Δημήτριος ὁ Μάγνης δηλοῖ, ἔοικε τῆς ἐν Προποντίδι μνημονεύειν ὁ ῥήτωρ νῦν. Harpocrat.

10 3. *ναυτοδίκαι·* Λυσίας ἐν τῷ πρὸς Ἀλκιβιάδην, εἰ γνήσιος ὁ λόγος. ἀρχή τις ἦν Ἀθήνησιν οἱ ναυτοδίκαι· Κρατερὸς γοῦν ἐν τῷ δ΄ τῶν Ψηφισμάτων φησὶν „ἐὰν δέ τις ἐξ ἀμφοῖν ξένοιν γεγονὼς φρατρίζῃ, διώκειν εἶναι τῷ βουλομένῳ Ἀθηναίων, οἷς δίκαι εἰσί, λαγχάνειν δὲ τῇ ἕνῃ καὶ νέᾳ πρὸς τοὺς ναυτοδίκας.“ Ἀριστοφάνης Δαιταλεῦσιν „ἐθέλω βάψας πρὸς ναυτοδίκας ξένην ἐξαίφνης.“ Harpocrat.

11 4. *παρακαταβολὴ καὶ παρακαταβάλλειν.* οἱ ἀμφισβητοῦντες χρημάτων τινῶν δεδημευμένων πρὸς τὴν πόλιν καὶ οἱ περὶ κλήρων ἢ ἐπικλήρων πρὸς ἰδιώτας ἀντιδικοῦντες ἀργύριόν τι κατετίθεσαν· καὶ τοῦτο εχρῆν αὐτοὺς στέρεσθαι, εἰ τὴν δίκην ἡττηθεῖεν. ἐπὶ μὲν οὖν τῶν πρὸς τὸ δημόσιον ἀμφισβητήσεων δῆλόν ἐστιν ὅτι τὸ ε΄ μέρος τοῦ ἀμφισβητουμένου κατετίθετο. περὶ μὲν οὖν τῶν δημοσίων πολλαχοῦ εἴρηται τῷ Λυσίᾳ, ὥσπερ ἔν τε τῷ πρὸς Ἀλκιβιάδην περὶ οἰκίας καὶ ἐν τῷ πρὸς Ἀσωπόδωρον περὶ οἰκίας, περὶ δὲ τῶν κληρικῶν ἄλλοι τε πάλιν εἰρήκασι ῥήτορες καὶ Τπερείδης ἐν τῷ περὶ Ἱππέως κλήρου δευτέρῳ. Δημοσθένης μέντοι ἐν τῇ πρὸς Πανταίνετον παραγραφῇ περὶ ἰδίας τινὸς δίκης φησὶ „καὶ μετὰ ταῦτα προσκαλεῖται μέν με τὴν δίκην πάλιν, ἐπειδὴ θᾶττον ἀνείλετο τὰς παρακαταβολάς.“ Harpocrat.

12 5. τὸ δὲ *αἰσθάνεσθαι* ἐπὶ τοῦ ὑποπτεύειν καὶ οὐκ ἐπὶ τοῦ βεβαίως εἰδέναι Λυσίας ἐν τῷ πρὸς Ἀλκιβιάδην φησίν· *οἶμαι τοίνυν καὶ ἐκεῖνο ὑμᾶς αἰσθάνεσθαι, ὅτι Ἀρχιβιάδης οὐκ ἄλλο τι ἐζήτει κομίσασθαι, ἀλλὰ τῶν ἐμῶν ἠμφισβήτει.* Suidas 1, 2 p. 54. Vide Antiphontis frg. 70. J. Taylorus p. 7 πρὸς Ἀρχεβιάδην legi iubet. Recte: cf. fragm. 45; haec vero nomina saepissime commutantur. Quanquam Archebiadem et Alcibiadem minorem familiaritate coniunctos fuisse docet Lysiae or. 14 §. 26. 27, ut Andocidis 1 §. 13 non commemorem.

6. Ἀττικοὶ δὲ χερνίβιον λεγουσιν, ὡς Λυσίας ἐν τῷ κατὰ Ἀλκιβιάδου, λεγων οὕτως· *τοῖς χρυσοῖς χερνιβίοις καὶ θυμιατηρίοις.* Athenaeus 9 p. 408. C. Haec verba in Andocidis quae fertur or. 4 §. 29 legi, Athenaeum igitur erravisse vidit Valckenaerius apud Sluiterum lectt. andoc. p. 231.

VI. ΠΡΟΣ ΑΛΚΙΒΙΟΝ.

παλαιόν· οἱ ῥήτορες ἐχρήσαντο τῷ *παλαιὸν* 13
ἐπὶ ἀργυρίου ἐκ δανείσματος ὀφειλομένου. οὕτως Λυσίας ἐν τῷ πρὸς Ἀλκίβιον· *καίτοι εἰ ἀποδεδώκει τῷ Κτησικλεῖ τὰς ν΄ παλαιάς, ὥσπερ οὗτός φησιν.* Photius lex. p. 370, 26.

VII. ΠΕΡΙ ΤΩΝ ΑΝΑΚΑΛΥΠΤΗΡΙΩΝ.

Ἤδη δέ τινα καὶ παρὰ ῥήτορσιν εἴρηται θετικὰ 14
κεφάλαια· καὶ δὴ καὶ ὅλοι λόγοι νομίζοιντ΄ ἂν σχεδὸν εἶναι θέσεως, ὡς ὅ τε περὶ τῶν ἀνακαλυπτηρίων ἐπιγραφόμενος Λυσίου καὶ ὁ περὶ τῆς ἀμβλώσεως· εἰ μὲν γὰρ θατέρῳ ζητεῖται, εἰ τὰ δοθέντα ἀνακαλυπτήρια γυναικὶ γαμουμένῃ βεβαίως ἔχειν αὐτὴν δεῖ, ἐν θατέρῳ δέ, εἰ τὸ ἔτι ἐγκυούμενον ἄνθρωπός ἐστι καὶ εἰ ἀνεύθυνα τὰ τῶν ἀμβλώσεων ταῖς γυναιξί. Λυσίου μὲν οὔ φασιν εἶναι τούτους τοὺς λόγους, ὅμως δὲ οὐκ ἀχάριστον τοῖς νέοις γυμνασίας ἕνεκα καὶ τούτοις ἐντυγχάνειν. Theo progymnasm. c. 2 p. 165 Walzii. Ad hanc Lysiae exercitationem (cf. L. Spengel συναγ. p. 136 et infra fragmenta τῶν παρασκευῶν) pertinent etiam quae Harpocratio habet p. 17, 20. De muneribus illis cf. G. A. Becker. Chariclis 2 p. 471 sqq.

VIII. ΠΡΟΣ ΑΝΔΟΚΙΔΗΝ ΑΠΟΣΤΑΣΙΟΥ.

εἰ γνήσιος.

1. Τὸ δὲ ἀνατιμᾶσθαι καὶ τὸ τῷ πλέον δόντι ἐθέ- 15
λειν πιπράσκειν *πλειστηριάζειν* λέγοις ἄν, ὡς Ἰσαῖος ἐν τῷ πρὸς Ἀνδοκίδην, εἰπών· *οὔτε τιμῆς τεταγμένης πωλοῦσιν, ἀλλ΄ ὡς ἂν δύναιντο πλειστηριάσαντες πλεῖστον ἀπέδοντο.* Pollux 7 §. 14. *πλειστηριάσαντες* ἀντὶ τοῦ ὑπερβαλόντες ἐν τῇ τιμῇ τῶν πιπρασκομένων Λυσίας ἐν τῷ πρὸς

---

1. Commemoratur or. 14 §. 27. Dixeris igitur Harpocrationem ἐν τῷ πρὸς Ἀλκιβιάδην errore posuisse contrario ei, quo Athenaeum κατ΄ αὐτοῦ dixisse modo vidimus. Sed nihil obstat, quominus eadem in utraque oratione narrata esse putemus. 5. cf. Meier. de lit. att. p. 83 sq. Sed plebiscitum a Cratero exscriptum ad alterum tantum nautodicarum munus, de peregrinitate iudicandi, videtur pertinuisse. 11. Meinek. com. 2 p. 1041. F. V. Fritzschius de Daetal. p. 111 sqq. 12. Fort. ξένον ἐξαίφνης σ΄ ἐπιδεῖξαι. 21. περὶ] περὶ τῆς C. 22. ἀσυμπόδωρον BC, ἀσωπίδωρον A. περὶ] περὶ τῆς A. 24. erat Τπερίδης. Demosth. or. 37 §. 41. 32. immo Ἀρχεβιάδης: ita enim constanter hoc nomen scribitur.

10. apud Suidam ἀλκύβιον C, ἀλκιβίδιον BE. Ἀλκιβιάδην Fabricius et Westermannus. Ἀρχίβιον Valesius ad Harpocr. p. 351. Sine caussa. ἀπεδώκει Suidae BE et Med. 11. τὰς om. Suidae codd. praeter C. οὕτω C Suidae. 21. βεβαίως cum mg. Victorii Walzius: βιαίως celeri. 35. ἐθέλειν MS. Jungerm.: erat θέλειν. 36. libri πληστηριάζειν, πληστηριάσαντες, πλῆστοι. λέγοις ἂν MS. Jung.: erat ἂν λέγοιτο. 37. οὔτε libri: erat οὐ Kühnio auctore. 38. δύναιντο Scheibius obss. in orat. att. p. 57: erat δύνανται.

Ἀνδοκίδην, εἰ γνήσιος. κέχρηται τῷ ὀνόματι καὶ Πλάτων ὁ κωμικὸς ἐν Γρυψίν. Harpocrat. Hoc testimonium homines doctos iure movit, ut nomen Isaei, quod apud Pollucem est, vel eius ipsius vel librariorum errori tribuendum esse existimarent, praesertim cum Isaei oratio adversus Andocidem hoc uno loco commemoretur. De actione, quae dicebatur *ἀποστασίου*, cf. Meierus de bonis damnat. p. 33 sqq. et de lit. att. p. 473 sq.

16 2. *ἐπίγειον· Λυσίας ἐν τῷ πρὸς Ἀνδοκίδην ἀποστασίου, εἰ γνήσιος. τὰ πρυμνήσια ἐπίγεια ἔλεγον. κέχρηνται τῷ ὀνόματι καὶ οἱ τῆς ἀρχαίας κωμῳδίας ποιηταί· Ἀριστοφάνης Ὁλκάσιν.* Harpocrat.

IX. *ΚΑΤ' ΑΝΔΡΟΤΙΩΝΟΣ.*

17 1. *Σηράγγιον· Λυσίας ἐν τῷ κατ' Ἀνδροτίωνος. χωρίον τι τοῦ Πειραιῶς οὕτως ἐκαλεῖτο. μνημονεύει δ' αὐτοῦ καὶ Ἀριστοφάνης ἐν Γεωργοῖς.* Harpocrat.

18 2. *Ἀρχιδάμιος πόλεμος· Λυσίας ἐν τῷ κατὰ Ἀνδροτίωνος καὶ [Δείναρχος κατὰ] Πυθέου ξενίας. τὰ πρῶτα ι' ἔτη τοῦ Πελοποννησιακοῦ πολέμου Ἀρχιδάμιος ἐκλήθη πόλεμος, ὡς ἔοικεν, ἀπὸ τοῦ τὸν Ἀρχίδαμον εἰς τὴν Ἀττικὴν ἐμβαλεῖν, καθὰ Θουκυδίδης καὶ Ἔφορος καὶ Ἀναξιμένης φασίν.* Harpocrat. *Ἀρχιδάμειος πόλεμος] ἐπὶ τῶν λίαν πικρῶν πολέμων. Ἀρχιδάμειος δὲ ἐκλήθη ἀπὸ τοῦ τὸν Ἀρχίδαμον ἐς τὴν Ἀττικὴν ἐμβαλεῖν, καθάπερ Θουκυδίδης καὶ Ἔφορος καὶ Ἀναξιμένης καὶ Λυσίας ἐν τῷ κατὰ Ἀνδροτίωνος καὶ Πυθίου ξενίας.* M. Apostolius proverb. cent. 4, 30 et Arsenius violet. p. 77.

X. *ΚΑΤΑ ΑΝΤΙΓΕΝΟΥΣ ΑΜΒΛΩΣΕΩΣ, εἰ γνήσιος.*

Ex iis, quae Theo, Sopater, anonymus habent (frg. 2), apparet, Antigenem ob id ipsum ab actore de caede accusatum esse, quod soror actoris fetum abortivum peperisset. Quod quia vel medicamentis vel verberibus Antigenis effectum esse videbatur, caedis reus agebatur. Hoc certum est nec intelligo, quomodo Hoelscherus aliter statuere possit. Cum vero Lysiam artificiose demonstrare oporteret, fetum etiam matris utero inclusum animal esse et vivere, intelligitur abortus auctorem non pro homicida haberi solitum esse (cf. Meier. de lit. att. p. 310 sq.), licet ea quae Galenus vol. 19 p. 177 sqq. Kühn. de Solone tradit in eam nos opinionem deducere possint. Quomodo amphidromiorum mentio fieri potuerit, non liquet, quanquam haud una ratio cogitari potest. Cum Theonis verba demonstrare videaatur orationem non vere habitam esse, sed declamationem fuisse (cf. L. Spengel *συναγ.* p. 137), Lysias Antigenis nomen fortasse ex Hippocratis libris desumsit, qui *ἐπιδημιῶν* l. 2 c. 21 narrat Antigenis cuiusdam uxorem monstrum peperisse, ad quem Hippocratis locum Galenus t. 17, 1 p. 371 K. haec adnotat: *θαυμαστὸς ἂν εἴη ὁ τόκος οὗτος, εἰ μὴ ὑποψίαν παρεῖχεν αὐτὸν ἐξ ἀμβλώσεως γεγονέναι.*

1. *ἐπιτίμιόν τι ἦν κατὰ τῶν ὀλιγωρησάντων γραφήν. Λυσίας ἐν τῷ κατὰ Ἀντιγένους ἀμβλώσεως· σκέψασθε δὲ καὶ ὡς Ἀντιγένης πεποίηκεν οὗτος· γραψάμενος τὴν μητέρα ἡμῶν ἀξιοῖ λαβεῖν τὴν ἀδελφὴν καὶ ἀγωνίσασθαι μέν, ἵνα μὴ ἀποτίσῃ τὰς χιλίας δραχμάς, ἃς δεῖ ἀποτίνειν, ἐάν τις μὴ ἐπεξέλθῃ γραψάμενος. τὸ δ' αὐτό φησι καὶ Δημοσθένης ἐν τῷ κατὰ Θεοκρίνους.* Fragm. lex. rhetor. cantabr. p. 669, 20 Dobr. 19

2. *ἐν θατέρῳ δὲ* (sc. *τῷ περὶ τῆς ἀμβλώσεως ζητεῖται*), *εἰ τὸ ἔτι ἐγκυούμενον ἄνθρωπός ἐστι καὶ εἰ ἀνεύθυνα τὰ τῶν ἀμβλώσεων ταῖς γυναιξί.* Theo progymn. c. 2 p. 165 W. cf. frg. 14. *νόησις μὲν εἰς τρία διαιρεῖται, γνῶναί τε τὸ πρόβλημα εἰ πολιτικὸν ἢ μή· τῶν γὰρ προβλημάτων τὰ μέν ἐστι πολιτικά, τὰ δὲ φιλόσοφα, τὰ δὲ ἰατρικά, τὰ δὲ μέσα τούτων, ἃ πολιτικὴν μὲν ἔχει τὴν ζήτησιν, ὕλην δὲ ἢ ἰατρικὴν ἢ φιλόσοφον. καὶ περὶ μὲν πολιτικῶν εὔδηλόν ἐστι, τίνα φύσιν ἐπιδέχεται, τὰ δὲ ἰατρικὰ τοιαῦτά ἐστιν· οἷον διὰ τί τὸ βρέφος ἓξ μὲν ὂν μηνῶν οὐ ζῇ, ἑβδόμῳ δὲ γεννώμενον ἢ ἐννάτῳ ζῇ· φιλόσοφον δέ, εἰ ἡ ψυχὴ ἀθάνατος· τὰ δὲ μικτά, οἷον ἐγκύμονά τις ἔτυψε κατὰ γαστρὸς καὶ κρίνεται φόνου. ἐνταῦθα γὰρ τὸ μὲν πλά-* 20

ἐ

2. Meinek. com. 2 p. 619. 10. *ἐπίγυον* A, *ἀπόγυιον* N. sed cf. Elmsl. ad S. OEC. 1193. Fritzsch. de Ar. Babyl. p. 12. *ἀνδροκίδην* C. *ὑποστασίου* C. 13. Meinek. com. 2 p. 1125. 17. *σησάγγιον* BG. — cf. de hac regione Piraeei Schoemannus ad Isaeum p. 339. Leakius top. Ath. p. 280 ed. turic. Ulrichs de portubus Ath. in comment. acad. bavar. sect. 1 t. 3 p. 665, qui nescio quo auctore tradat maleficos ibi delituisse. 19. Meinek. com. 2 p. 993. 20. de bello archidamio cf. Krüger. ad Dionys. histor. p. 246 21. *Ἀνδροτίωνος* BCF: *Ἀνδρωτίωνος* Varinus Phavorinus p. 292 40, Apostolius, Arsenius, *αὔτανδρον* A, *αὐτάνδρου* b cum Maussaco et, ut videtur, cod. M. *αὐτ* videtur facile ex prothesi *κατὰ* oriri potuisse. cf. fragm. 102. *Δείναρχος κατὰ* addidi J. Maussaco auctore. *πυθίου* BC. 22. *ἰ* om. BCF et Varinus.

19. *τι ἦν* Sauppius: liber *τὴν*. cf. p. 677, 7. (Dobreeus *τί ἦν*). *ὀλιγωρησάντων* Sauppius: liber *σιωπησάντων*. cf. Bekk. anecd. p. 193, 24. 21. *πεποίηκεν οὗτος· γρ.* Sauppius: liber *πεποίηκεν· οὗτος γρ.* 25. *ἀποτίνειν* Meierus: liber *ἀποτείνειν*. 26. *Θεοκρίνους* Meierus: liber *Θεοκρίνην*. cf. Demosth. or. 58 §. 6. Schoemann. de lit. att. p. 702 sq. 31. *τρία* Sauppius: erat *τέσσαρα*. 38. *μηνῶν*] fort. *μηνῶν ἢ ὀκτὼ*

σμα ἤγουν ἡ ζήτησις πολιτική, ἡ δὲ ὕλη ἰατρική. ἐκ δὲ φιλοσοφίας μικτά, οἷον ζωγράφῳ φιλόσοφος δοὺς χρήματα εἶπε τὸ κάλλιστον τῶν ζώων γράψαι, ὁ δὲ τὸν κύκλον ἐποίησε καὶ κρίνεται βλάβης· ἐνταῦθα γὰρ ζητητέον, εἰ ζῶον ὁ κύκλος, ὅπερ ἴδιον φιλοσοφίας, ἡ μέντοι ζήτησις ἡ περὶ τῆς βλάβης πολιτική. ἐνταῦθα μέντοι δεῖ τὸν μελετῶντα τοῖς ἐπισταμένοις ἀνατιθέναι τὰς αἰτίας, ὡς καὶ ὁ Λυσίας ἐν τῷ περὶ ἀμβλώσεως, κρίνων φόνου τὸν αἴτιον, βιάζεται ζῶον τὸ βρέφος ἀποδεικνύναι καὶ πανταχοῦ φησιν, ὥσπερ οἱ ἰατροὶ καὶ αἱ μαῖαι ἀπεφήναντο. Auctor prolegom. στάσεων vol. 7 p. 15 sq. Walzii (coll. Spengelii συναγ. p. 137). ἔργα δὲ ῥήτορος νόησις, εὕρεσις, διάθεσις. νόησις μέν, ὅτι δεῖ τρία ταῦτα νοῆσαι, πρῶτον μὲν εἰ πολιτικόν ἐστι τὸ ζήτημα· εἰσὶ γὰρ καὶ ἰατρικὰ καὶ φιλόσοφα ζητήματα· καὶ ἰατρικοῦ μὲν ζητήματος παράδειγμα, ὃ καὶ μεμελέτηται τῷ Λυσίᾳ, εἰ ὁ ποιήσας ἐξαμβλῶσαι γυναῖκα φόνον ἐποίησεν· δεῖ γὰρ γνῶναι πρῶτον, εἰ ἔζη, πρὶν ἐτέχθη· ὅπερ φυσικῶν καὶ ἰατρικῶν ἐστι. Sopater ad Hermog. vol. 5 p. 3 Walzii.

21 3. ὑπόλογον. Λυσίας περὶ ἀμβλώσεως, εἰ γνήσιος· οὐχ ὑπόλογον ὄντα ἀντὶ τοῦ οὐκ ἐν λόγῳ. Δείναρχος ἐν τῷ κατὰ Πυθέου „οὐδεὶς ὑπόλογος βουλῇ γέγονεν“ ἀντὶ τοῦ οὐδεμία συγγνώμη, οὐδεμία παραίτησις. Harpocrat. cf. Bekk. anecd. p. 312, 8.

22 4. ἀμφιδρόμια· Λυσίας ἐν τῷ περὶ τῆς ἀμβλώσεως, εἰ γνήσιος ὁ λόγος. ἡμέρα τις ἤγετο ἐπὶ τοῖς νεογνοῖς παιδίοις, ἐν ᾗ τὸ βρέφος περὶ τὴν ἑστίαν ἔφερον τρέχοντες, καὶ ὑπὸ τῶν οἰκείων καὶ φίλων πουλύποδας καὶ σηπίας ἐλάμβανον. Harpocrat. ἀμφιδρόμια ἄγεις] τὴν πέμπτην ἄγουσιν ἐπὶ τοῖς βρέφεσιν, ἐν ᾗ ἀποκαθαίρονται τὰς χεῖρας αἱ ἀψάμεναι τῆς μαιώσεως· τὸ δὲ βρέφος φέρουσι περὶ τὴν ἑστίαν τρέχοντες καὶ δῶρα πέμπουσιν οἱ προσήκοντες, ὡς ἐπὶ τὸ πλεῖστον πολύποδας. — λέγεται ἐπὶ τῶν καθαιρομένων. καὶ Λυσίας ἐν τῷ περὶ τῆς ἀμβλώσεως. ἡμέρα τις ἤγετο κ. τ. λ. M. Apostolius proverb. 2, 89. Arsenius viol. p. 53 Walz.

23 5. θεμιστεύειν ἀντὶ τοῦ χρησμῳδεῖν Λυσίας ἐν τῷ περὶ τῆς ἀμβλώσεως, εἰ γνήσιος. ὅτι δὲ γέγονε τὸ ὄνομα ἀπὸ τοῦ Θέμιν ἐσχηκέναι ποτὲ τὸ μαντεῖον πρὸ τοῦ Ἀπόλλωνος, Αἰσχύλος ἀρχόμενος τῶν Εὐμενίδων φησίν. Harpocrat.

6. καὶ ἄμβλωσις, ὡς Λυσίας. Pollux 2 §. 7. 24
Fortasse etiam ἀμβλωθρίδιον· τὸ ἀμβλωθὲν βρέφος, quod Harpocratio habet p. 14 6, ad hanc Lysiae orationem pertinet.

[Xa. ΠΕΡΙ ΤΗΣ ΑΝΤΙΔΟΣΕΩΣ.

Ἐννεάκρουνον· Λυσίας ἐν τῷ περὶ τῆς ἀντιδόσεως. κρήνη τις ἐν Ἀθήναις· πρότερον δ' ἐκαλεῖτο Καλλιρρόη. Harpocrat. Cum in Isocratis or. 15 §. 287 Enneacrunus commemoretur, I. C. Orellius p. 292 et Hoelscherus Harpocrationis testimonium ad illum locum pertinere et Isocratis nomen restituendum esse existimant. Sed ibi legitur: ἐπὶ τῆς Ἐννεακρούνου ψύχουσιν οἶνον, quare apud Harpocrationem aut Ἐννεακρούνου scribendum est aut quaedam exciderunt, hoc modo: Λυσίας [ἐν τῷ . . . καὶ Ἰσοκράτης] ἐν τῷ — —. De Callirrhoe cf. M. Leakius top. Ath. p. 127 sqq. ed. tur. et A. Meinek. com. gr. 2 p. 120 sq.]

XI. ΥΠΕΡ ΤΗΣ ΑΝΤΙΦΩΝΤΟΣ ΘΥΓΑΤΡΟΣ.

Si quidquam fidei biographo decem oratorum habendum est, hoc constat Lysiam in hac oratione dixisse, Antiphontem eum, cuius filiam sibi Callaeschrus deposcebat, a triginta viris interfectum esse. Itaque de Rhamnusio cogitari non potest. Pyrilampis filium a triginta viris non interfectum esse ostendit Aristotelis mentio in Plat. Parmen. p. 127. C facta, quae prorsus importuna esset, si Antiphon ille a triginta viris interfectus esset. Ita concidunt opiniones cum M. Meieri comment. andoc. 4 p. IV, tum G. Droysenii de Hermocopidis in mus. rhen. 3 p. 197 et L. Hoelscheri et A. Dryandri (de Antiph. Rhamn. vita p. 32 sq.). Reliquum igitur est, ut eum, quem a triginta viris interfectum esse Xenopho quoque narrat (hist. gr. 2. 3, 40), Lysonidae filium fuisse auctori vitarum decem oratorum credamus. Cuius filiam quo iure Callaeschrus, qui fortasse Critiae filius fuit, sibi deposcere potuerit, nescimus.

μετὰ δὲ τὴν κατάλυσιν τῶν τετρακοσίων εἰσαγγελθεὶς 25
(Antipho Rhamnusius) σὺν Ἀρχεπτολέμῳ, ἑνὶ τῶν τετρακοσίων, ἑάλω καὶ τοῖς περὶ τῶν προδοτῶν ἐπιτιμίοις ὑπαχθεὶς ἄταφος ἐρρίφη καὶ σὺν τοῖς ἐκγόνοις

---

15. πολιτικόν Sauppius: liber ἰατρικόν. 17. μεμελέτηται Hoelscherus: liber μεμέληται. 18. ἐξαμβλῶσαι Walzius: liber ἐξαμβλῶναι. 22. ὑπὸ λόγον ABC. — cf. epistol. crit. ad G. Herm. p. 23 sq. 27. ἀμφιδρομια ABEF. cf. G. A. Becker. Chariclis 1 p. 20 sq. 29. παρὰ τὴν ἑστίαν ἔτρεχον φέροντες καὶ παρὰ τῶν Apostolius. 31. πουλύποδας E: πολύποδας b. cf. Aristoph. Daedali frg. 6. ἀμφιδρόμια Sauppius: erat ἀμφιδρομίαν. 33. ἀψάμεναι Sauppius: erat νεψαμεναι. conf. Suidas et schol. Plat. p. 360 Bk. 37. P. Pantinus verba ἡμέρα κ. τ. λ. verba Lysiae ipsius esse putabat. 40. Λυσίας] δημοσθένης A. 43. Aesch. Eum. v. 2.

10. erat Καλλιρόη. 42. ἀρχιπτολεμφ E.

ἄτιμος ἐνεγράφη· οἱ δὲ ὑπὸ τῶν τριάκοντα ἀνῃρῆσθαι αὐτὸν ἱστοροῦσιν, ὥσπερ Λυσίας ἐν τῷ ὑπὲρ τῆς Ἀντιφῶντος θυγατρὸς λόγῳ· ἐγένετο γὰρ αὐτῷ θυγάτριον, οὗ Καλλαισχρος ἐπεδικάσατο· ὅτι δὲ ὑπὸ τῶν τριάκοντα ἀπέθανεν, ἱστορεῖ καὶ Θεόπομπος ἐν τῇ πεντεκαιδεκάτῃ τῶν Φιλιππικῶν. ἀλλ' οὗτός γε ἂν εἴη ἕτερος, Λυσωνίδου πατρός, οὗ καὶ Κρατῖνος ἐν Πυτίνῃ ὡς οὐ πονηροῦ μνημονεύει. πῶς γὰρ ἂν ὁ προτεθνεώς, ἀναιρεθεὶς ἐπὶ τῶν τετρακοσίων, πάλιν ἐπὶ τῶν τριάκοντα εἴη; Vitae decem oratorum p. 833. A.

XII. ΚΑΤΑ ΑΠΟΛΛΟΔΩΡΟΥ.

26 πρόπεμπτα· Λυσίας ἐν τῷ πρὸς τὴν Μιξιδήμου γραφήν, εἰ γνήσιος, καὶ Δημοσθένης ἐν τῷ περὶ τοῦ Ἁγνίου κλήρου. Δίδυμος „μήποτε“ φησὶν „ἄλλα τινά ἐστιν ἐπιτίμια τὰ πρὸ τῆς καταβολῆς· εἰσὶ γὰρ οἳ τὰ πέμπτα τῶν τιμημάτων παρακαταβάλλεσθαί φασιν, ὡς Λυσίας ἐν τῷ κατὰ Ἀπολλοδώρου ὑποσημαίνει. εἰ μὴ ἄρα πρόπεμπτα ὡς Δημοσθένης πρὸς ἡμέρας πέντε· ταῖς γὰρ μεγάλαις δίκαις οὐκ ἤρκει μία ἡμέρα πρὸς τὴν κρίσιν.“ Harpocrat.

XIII. ΠΡΟΣ ΑΡΕΣΑΝΔΡΟΝ.

27 1. ἐκλογεῖς οἱ ἐκλέγοντες καὶ εἰσπράττοντες τὰ ὀφειλόμενα τῷ δημοσίῳ. – – Λυσίας ἐν τῷ πρὸς Ἀρέσανδρον· νῦν δὲ πρὸς τοὺς ἐκλογέας τοῦ φόρου ἅπαντα ἀπογραφόμεθα. Harpocrat. cf. Antiphont. frg. 53.

28 2. ἀπαρτιλογία· Λυσίας ἐν τῷ πρὸς Ἀρέσανδρον· καὶ Ἡρόδοτος ἀντὶ τοῦ ἀπηρτισμένος καὶ πλήρης ἀριθμός. Harpocrat. cf. Bekk. anecd. p. 416, 20.

XIV. ΚΑΤ' ΑΡΙΣΤΑΓΟΡΟΥ ΕΝΔΕΙΞΕΩΣ,

εἰ γνήσιος.

29 αμωσγέπως ἀντὶ τοῦ ἑνί γέ τῳ τρόπῳ Λυσίας ἐν τῷ κατ' Ἀρισταγόρου ἐνδείξεως, εἰ γνήσιος. Harpocrat.

XV. ΠΡΟΣ ΤΗΝ ΑΡΙΣΤΟΔΗΜΟΥ ΓΡΑΦΗΝ ΔΙΑΜΑΡΤΥΡΙΑ,

εἰ γνήσιος ὁ λόγος.

Quis hic Aristodemus fuerit, nescimus. Nam etiam quod G. Kiesslingius (Lycurgi fragm. p. 1) suspicatur Aristodemum Batensem fuisse, quem Lycurgo, avo oratoris, causam necis exstitisse dicit biographus decem oratorum p. 841. B, nullo fundamento nititur, quanquam C. Scheibio in Iahn. annall. 31 p. 375 haud displicuit.

30 1. ἀνάκρισις ἐξέτασις ἐφ' ἑκάστης ἀρχῆς γινομένη πρὸ τῶν δικῶν περὶ τῶν συντεινόντων εἰς τὸν ἀγῶνα. ἐξετάζουσι δὲ καὶ εἰ ὅλως εἰσάγειν χρή. πολλάκις δέ ἐστι παρὰ τοῖς ῥήτορσιν, ὥσπερ καὶ Λυσίας ἐν τῷ πρὸς Ἀριστόδημον. Harpocrat.

31 2. Ἀνθήνη· Λυσίας ἐν τῇ πρὸς τὴν Ἀριστοδήμου γραφήν, εἰ γνήσιος. πόλις τῆς Λακωνικῆς. Harpocrat.

32 3. ἀποστασίου δίκη τίς ἐστι κατὰ τῶν ἀπελευθερωθέντων δεδομένη τοῖς ἀπελευθερώσασιν, ἐὰν ἀφιστῶνταί τε ἀπ' αὐτῶν ἢ ἕτερον ἐπιγράφωνται προστάτην, καὶ ἃ κελεύουσιν οἱ νόμοι μὴ ποιῶσιν. καὶ τοὺς μὲν ἁλόντας δεῖ δούλους εἶναι, τοὺς δὲ νικήσαντας τελέως ἤδη ἐλευθέρους. πολλάκις δ' ἐστὶ παρὰ τοῖς ῥήτορσι, παρά τῷ Λυσίᾳ ἐν τῷ πρὸς Ἀριστόδημον καὶ Ὑπερείδῃ ἐν τῷ κατὰ Δημητρίας ἀποστασίου. Ἀριστοτέλης δ' ἐν Ἀθηναίων πολιτείᾳ περὶ τοῦ πολεμάρχου γράφει ταυτί· „οὗτος δὲ εἰσάγει δίκας τάς τε τοῦ ἀποστασίου καὶ ἀπροστασίου καὶ κλήρων καὶ ἐπικλήρων.“ Harpocrat.

ὁ

4. καλαισχρος E. ἐπεδικάσαιτο pr. A. ὑπὲρ E, ὑπὲρ AH. – Theopompi frg. 130 Müll. 6. γε ἂν εἴη ετερος Taylorus: τε ἂν ἡμέτερος libri. 7. Λυσωνίδου EH: λυσωδωνίδου A, Λυσιδωνίδου vulgo. οὗ καὶ Sauppius: οὐ Taylorus, καὶ libri. 8. ὡς οὐ πονηροῦ Meierus comment. andocid. 4 p. 4: ὡς πονηροῦ Taylorus, οὐ πονηροῦ libri. – Cratinus in Meinek. com. gr. 2 p. 130 sq. γὰρ add. Meziriacus. 9. ἀναιρεθεὶς AH: καὶ ἀναιρεθεὶς reliqui. ἐπὶ E: ὑπὸ reliqui. 16. Demosth. 43 §. 75. – Didymi scholion pertinebat ad Lysiae orationem adversus Mixidemum. Dubitabat de sensu, utrum πρόπεμπτα summa pecuniae esset ante paracatabolen pendenda: hanc enim in causis publicis quintam partem summae eius, de qua lis esset, fuisse: an significaret causam per quinque dies in iudicio actum iri. Utrumque falsum est: πρόπεμπτα apud Demosthenem l. d est πρὸ ε' ἡμερῶν et eundem sensum etiam apud Lysiam habuerit: cf. H. Valesius ad Harpocr. p. 494. In oratione igitur c. Apollodorum Lysias nihil dixerat nisi hoc, paracatabolen quintam partem esse summae, de qua lis esset. Publica igitur videtur causa fuisse: cf. Lysiae frg. 11 et 32. Schoemann. de lit. att. p. 621. Boeckh. de oecon publ. Ath 1 p. 386 not. 18. malim παρακαταβολῆς. 30. δὲ om. C. – Lysias de exactoribus atticis dixisse videtur, cum eo tempore, quo orationes scribebat, de exactoribus sociorum cogitari non possit 33. ἀντιλογία BCF, απαρτηλογία E. — Herodot. 7, 29. cf. Antiphont. frg. 154.

3. Cum ἀμωσγέπως apud Lysiam or. 13 §. 7 legatur, Taylorus ad h. l. Harpocrationi Ἀγοράτου restituendum esse putabat. Parum caute De voce ipsa cf. Ruhnk. ad Timaei lex. p. 29. Schneid. ad Pl. Civ. 2 p. 112 sq. 20. χρή, δεῖ D. Verba πολλάκις – πρὸς Ἀριστόδημον codd. praeter D omnes omittunt. 23. ἀθήνη A. την om. BF. post γραφὴν videtur διαμαρτυρίᾳ excidisse: cf. frg. 33. 25. cf. Meier. de lit. att. p. 473 sq 32. erat Ὑπερίδῃ.

33 4. *διαμαρτυρία καὶ διαμαρτυρεῖν.* τρόπος τις ἦν παραγραφῆς ἡ διαμαρτυρία· πρὸ γὰρ τοῦ εἰσαχθῆναι τὴν δίκην εἰς τὸ δικαστήριον ἐξῆν τῷ βουλομένῳ διαμαρτυρῆσαι ὡς εἰσαγώγιμός ἐστιν ἡ δίκη ἢ οὐκ εἰσαγώγιμος. διαφέρει δὲ τῆς παραγραφῆς τῷ τὴν διαμαρτυρίαν γίνεσθαι οὐ μόνον ὑπὸ τῶν φευγόντων ἀλλὰ καὶ ὑπὸ τῶν διωκόντων. καὶ πρότερόν γε τῷ διώκοντι ἦν προβάλλεσθαί τινα μαρτυροῦντα εἰσαγώγιμον εἶναι τὴν δίκην, καὶ περὶ τούτου πρότερον ἐγίνετο ἡ κρίσις πρὸς αὐτὸν τὸν διαμαρτυρήσαντα, οὐ πρὸς τὸν ἐξ ἀρχῆς δικαζόμενον· εἰ δὲ μὴ προὐβάλετο μάρτυρα ὁ διώκων, τότε ἐξῆν τῷ φεύγοντι προσαγαγεῖν τινα μαρτυροῦντα μὴ εἰσαγώγιμον εἶναι τὴν δίκην, καὶ πάλιν πρὸς τὸν διαμαρτυρήσαντα ὁ ἀγὼν ἐγίνετο. ἐπεσκήπτοντο δὲ ψευδομαρτυριῶν καὶ ταῖς διαμαρτυρίαις, ὥσπερ ταῖς μαρτυρίαις· *Λυσίας ἐν τῇ πρὸς Ἀριστόδημον διαμαρτυρίᾳ, εἰ γνήσιος ὁ λόγος. Ἰσαῖος δ' ἐν τῷ πρὸς Πύθωνα* ἀποστασίου φησὶν ὅτι οὐχ οἷόν τε διαμαρτυρεῖν οὐσίαν· *Ὑπερείδης δ' ἐν τῷ κατ' Ἀρισταγόρας* ἀπροστασίου β' φησὶν ὡς οἱ νόμοι κελεύουσι διαμαρτυρεῖν ἐπὶ ταῖς γραφαῖς ταῖς τοῦ ἀπροστασίου τὸν βουλόμενον ὁμοίως τῶν ξένων καὶ τῶν ἐπιχωρίων. μήποτ' οὖν ἐν μὲν ταῖς τοῦ ἀποστασίου δίκαις κεκώλυνται διαμαρτυρεῖν οἱ ξένοι, ἐν δὲ ταῖς τοῦ ἀπροστασίου οὐ κεκώλυνται. *Δείναρχος* μέντοι διαμαρτυρῆσαι τεθεώρηκεν οὐκ ἐπὶ τοῦ μαρτυρήσαντος αὐτοῦ ἀλλ' ἐπὶ τοῦ παρασχόντος τινὰ διαμαρτυρήσαντα ἐν τῇ διαμαρτυρίᾳ περὶ τοῦ μὴ ἐπίδικον εἶναι τὴν Ἀριστοφῶντος θυγατέρα. οὗτος δὲ ὁ ῥήτωρ ἐν τῷ κατὰ Ἠδύλης καὶ τὸν τρόπον διαγράφει τῆς διαμαρτυρίας. Harpocrat.

XVI. *ΠΡΟΣ ΑΡΙΣΤΟΚΡΑΤΗΝ ΠΕΡΙ ΕΓΓΥΗΣ ΕΡΑΝΟΥ,*

εἰ γνήσιος.

34 *ἐρανίζοντες.* *Δημοσθένης ἐν τῇ περὶ τῶν Λυκούργου παίδων ἐπιστολῇ* ἐρανίσας εἶπεν ἀντὶ τοῦ ἔρανον αἰτήσας· ἐν δὲ τῷ περὶ τοῦ ὀνόματός φησι „τί δὲ εἰ ψευδομαρτυριῶν ἁλώσεσθαι προσδοκῶν ἐφ' οἷς ἐρανίζει τούτοις τοῖς περὶ αὐτόν;" ἀντευποιεῖ ἀποδιδοὺς τὴν ἴσην βοήθειαν αὐτοῖς, ἣν κἀκεῖνοί ποτε παρέσχον ψευδομαρτυρήσαντες ὑπὲρ αὐτοῦ. *ἐρανιστὴς* μέντοι κυρίως ἐστὶν ὁ τοῦ ἐράνου μετέχων καὶ τὴν φορὰν ἣν ἑκάστου μηνὸς ἔδει καταβαλεῖν εἰσφέρων. τὸ δὲ ὄνομα παρὰ *Λυσίᾳ ἐν τῷ πρὸς Ἀριστοκράτην περὶ ἐγγύης ἐράνου, εἰ γνήσιος.* Harpocrat.

XVII. *ΚΑΤΑ ΑΡΙΣΤΩΝΟΣ ΑΡΓΙΑΣ.*

ἀργίας δίκη. *Λυσίας ἐν τῷ κατὰ Ἀρίστωνός* φησιν, ὅτι Δράκων ἦν ὁ θεὶς τὸν νόμον, αὖθις 35
δὲ καὶ Σόλων ἐχρήσατο, θάνατον οὐχ ὁρίσας ὥσπερ ἐκεῖνος, ἀλλ' ἀτιμίαν, ἐάν τις ἁλῷ τρίς, ἐὰν δ' ἅπαξ, ζημιοῦσθαι δραχμὰς ἑκατόν. Fragm. cantabr. p. 665, 19.

XVIII. *ΠΡΟΣ ΑΡΜΟΔΙΟΝ ΠΕΡΙ ΙΦΙΚΡΑΤΟΥΣ ΔΩΡΕΩΝ,*

εἰ γνήσιος.

Tres orationes Lysias Iphicrati scripsisse ferebatur, unam in Timotheum, alteram adversus Harmodium, tertiam adversus Aristophontem. De prima unus biographus decem oratorum commemoravit: cf. Rehdantz. vitae Iphicr. Chabr. Tim. p. 90. Alteram et tertiam falso Lysiae tributas esse Dionysius evicit: cf. Clintonus Fast. hell. ad a. 371. Quod Dionysius tantum suspicatur, de eo Aristoteles non videtur dubitavisse, quin Iphicratis ipsius essent. – Haec prima similis est ctesiphonteae Demosthenis. Cum enim Iphicrates Phrasiclide archonte a. 371 pace cum Lacedaemoniis inita Athenas redisset (cf. Rehdantz. l. d. p. 92 sqq et p. 171), rogatio ad populum lata est, ut Iphicrati honores magni decernerentur. Qui hoc rogaverat ab Harmodio, e genere tyrannicidarum oriundo, legum violatarum (*παρανόμων*) accusatus est. Tum Iphicrates, pariter atque Demosthenes Ctesiphontem, defendit rogationis auctorem. Atque Iphicratem vicisse ostendunt verba Demosthenis or. 23 §. 130: *ἴστε δήπου τοῦτ', ἄνδρες Ἀθηναῖοι, ὅτι χαλκῆς εἰκόνος οὔσης παρ' ὑμῖν Ἰφικράτει καὶ σιτήσεως ἐν πρυτανείῳ καὶ δωρεῶν καὶ τιμῶν ἄλλων ὅμως ἐτόλμησεν κ. τ. λ.* De Harmodio illo cf. G. Droysen de populiscitis, quae in Demosthenis or. de corona leguntur p. 50 (in Zimmerm. annall. philoll. 1839 p. 582). Titulum orationis recte ab Ulpiano memoriae proditum esse videtur Demosthenis locus quem adscripsi docere.

Παῦλος Γερμηνός, σοφιστής· ὁ γράψας ὅτι γε Λυ-

---

1. cf. Schoemann. de lit. att. p. 638 sqq. 11. *προὐβάλετο* Sauppius: *προὐβάλλετο* ABC, *προβάλλει* N, *προβάλοιτο* b. 18. *ὅτι ξένῳ οὐχ* Dobreeus advers. 1 p. 586. 19. erat *Ὑπερίδης*. *οὐσίαν· Ὑπερείδης δ'*] *δ'* om. B. fort. *ἐστιν, ἀλλ' Ὑπερείδης*. 26. Fort. *διαμαρτυρήσαντι εἴρηκεν οὐκ*. 36. Demosth. p. 1484, 3. 38. *τῷ* Bekkerus: libri *τῇ*. – Demosth. 39 §. 18. 40 *τοῖς*] *τοῖς* Bekkeri operae.

1. Unde Hoelscherus sciat, Aristocratem societatem accusavisse, quod ipsi vadimonium non fecerit, eamque se hac oratione defendere nescio. 8. *ἐχρήσατο* nescio cur Meiero displiceat: cf. Bekk. anecd. p. 116, 11. 9. *τρίς, ἐὰν* Dobreeus (1834): liber *εἶσαι· ἄν*. 10. *δραχμάς*] cf. p. 671, 11. 12. 44. *Γερμηνός* Sauppius: *γερμήνος* AN, *Γερμῖνος* ceteri. cf. Photius bibl. p. 489 a 35 Bk: *Παῦλος ὁ ἐκ Μυσίας*. et Steph. Byz. s. v. *Γέρμη*.

σίοι ἐστὶν ὁ περὶ τῆς Ἰφικράτους δωρεᾶς, βιβλία β΄. ὑπομνήματα εἰς τοὺς λοιποὺς λόγους Λυσίου. Suidas 2, 2 p. 147, 12. συνέγραψε (Lysias) δὲ λόγῳ καὶ Ἰφικράτει, τὸν μὲν πρὸς Ἁρμόδιον, τὸν δὲ προδοσίας κρίνοντι Τιμόθεον, καὶ ἀμφοτέρους ἐνίκα. ἀναδεξαμένου δὲ Ἰφικράτους τὰς τοῦ Τιμοθέου πράξεις, ταῖς εὐθύναις ἀναλαβὼν τὴν τῆς προδοσίας αἰτίαν, ἀπολογεῖται δι᾽ ἄλλου Λυσίου λόγου, καὶ αὐτὸς μὲν ἀπελύθη, ὁ δὲ Τιμόθεος ἐζημιώθη πλείστοις χρήμασιν. Vitae decem oratorum p. 836. D. πολλοῖς ἤδη τῶν ἀναφερομένων εἰς αὐτὸν λόγων καὶ πεπιστευμένων ὑπὸ τοῦ πλήθους, ὡς εἰσιν ἐν τοῖς πάνυ γνησίοις Λυσίου, καὶ τά γε ἄλλα οὐκ ἀτόπως ἔχοντας, ὅτι τὴν χάριν οὐ προσβάλλουσι τὴν Λυσιακὴν οὐδὲ τὴν εὐστομίαν ἔχουσιν ἐκείνης τῆς λέξεως ὑποπτεύσας τε καὶ βασανίσας εὗρον οὐκ ὄντας Λυσίου. ὧν ἐστι καὶ ὁ περὶ τῆς Ἰφικράτους εἰκόνος· ὃν οἶδ᾽ ὅτι πολλοὶ καὶ χαρακτῆρα ἡγήσαιντο ἂν καὶ κανόνα τῆς ἐκείνου δυνάμεως. οὗτος μέντοι ὁ λόγος, ὁ καὶ τοῖς ὀνόμασιν ἡρμηνεῦσθαι δοκῶν ἰσχυρῶς καὶ τοῖς ἐνθυμήμασιν εὑρῆσθαι περιττῶς καὶ ἄλλας πολλὰς ἀρετὰς ἔχων, ἄχαρίς ἐστι καὶ πολλοῦ δεῖ τὸ Λυσιακὸν ἐπιφαίνειν στόμα· μάλιστα δ᾽ ἐγένετό μοι καταφανὴς ὅτι οὐχ ὑπ᾽ ἐκείνου τοῦ ῥήτορος ἐγράφη τοὺς χρόνους ἀναλογισαμένῳ. εἰ γὰρ ὀγδοηκονταετῆ γενόμενον θήσει τις τελευτῆσαι Λυσίαν ἐπὶ Νίκωνος ἢ ἐπὶ Ναυσινίκου ἄρχοντος ἑπτὰ ἔτεσιν ὅλοις ἂν εἴη προτεροῦσα τῆς γραφῆς τοῦ ψηφίσματος ἡ τελευτὴ τοῦ ῥήτορος. μετὰ γὰρ Ἀλκισθένην ἄρχοντα, ἐφ᾽ οὗ τὴν εἰρήνην Ἀθηναῖοί τε καὶ Λακεδαιμόνιοι καὶ βασιλεὺς ὤμοσαν, ἀποδοὺς τὰ στρατεύματα Ἰφικράτης ἰδιώτης γίνεται καὶ τὸ περὶ τῆς εἰκόνος ἦν τότε, ἔτεσιν ἑπτὰ πρότερον τῆς γραφῆς τετελευτηκότος Λυσίου, πρὸ τοῦ συντάξασθαι τοῦτον τὸν ἀγῶνα Ἰφικράτη. ὁμοίως δὲ καὶ τὴν ἀπολογίαν τοῦ ἀνδρός, καὶ αὐτὴν εἰς Λυσίαν ἀναφερομένην, οὔτε τοῖς πράγμασιν ἀτόπως ἔχουσαν οὔτε τοῖς ὀνόμασιν ἀσθενῶς, δι᾽ ὑποψίας ἔλαβον, οὐκ ἐπανθούσης τῇ λέξει τῆς Λυσιακῆς χάριτος, καὶ παραθεὶς τοῖς χρόνοις οὐκ ὀλίγοις ἔτεσιν εὗρον ὑστεροῦσαν τῆς τελευτῆς τοῦ ῥήτορος, ἀλλὰ καὶ εἴκοσιν ὅλοις. ἐν γὰρ τῷ συμμαχικῷ πολέμῳ τὴν εἰσαγγελίαν Ἰφικράτης ἠγώνισται καὶ τὰς εὐθύνας ὑπέσχηκε τῆς στρατηγίας, ὡς ἐξ αὐτοῦ γίνεται τοῦ λόγου καταφανές· οὗτος δὲ ὁ πόλεμος πίπτει κατὰ Ἀγαθοκλέα καὶ Ἐλπίνην ἄρχοντας. ὅτου μὲν οὖν εἰσιν οἱ λόγοι ῥήτορος, οἵ περί τε τῆς εἰκόνος καὶ τῆς προδοσίας, οὐκ ἔχω βεβαίως εἰπεῖν, ὅτι δ᾽ ἑνὸς ἀμφότεροι, πολλοῖς τεκμηρίοις ἔχοιμ᾽ ἂν εἰπεῖν· ἡ γὰρ αὐτὴ προαίρεσίς τε καὶ δύναμις ἐν ἀμφοτέροις, ὑπὲρ ὧν οὐ καιρὸς ἐν τῷ παρόντι σκοπεῖν. εἰκάζω δὲ Ἰφικράτους εἶναι αὐτοῦ· καὶ γὰρ τὰ πολέμια δεινὸς ὁ ἀνὴρ καὶ ἐν λόγοις οὐκ εὐκαταφρόνητος, ἥ τε λέξις ἐν ἀμφοῖν πολὺ τὸ φορτικὸν καὶ στρατιωτικὸν ἔχει καὶ οὐχ οὕτω ἐμφαίνει ῥητορικὴν ἀγχίνοιαν, ὡς στρατιωτικὴν αὐθάδειαν καὶ ἀλαζονείαν. Dionysius Hal. 5 p. 477, 12 sqq.

1. ἄλλος (τόπος τῶν δεικτικῶν ἐνθυμημάτων) ἐκ 36
τοῦ τὸν χρόνον σκοπεῖν, οἷον ὡς Ἰφικράτης ἐν τῇ πρὸς Ἁρμόδιον ὅτι εἰ πρὶν ποιῆσαι ἠξίουν τῆς εἰκόνος τυχεῖν ἐὰν ποιήσω, ἔδοτε ἄν· ποιήσαντι δ᾽ ἄρ᾽ οὐ δώσετε; μὴ τοίνυν μέλλοντες μὲν ὑπισχνεῖσθε, παθόντες δ᾽ ἀφαιρεῖσθε. Aristoteles rhetor. 2, 23 p. 1397 b 27. Dionysius Hal. 6 p. 739.

2. ἄλλος (τόπος τῶν δεικτικῶν ἐνθυμημάτων) ἐξ 37
ὁρισμοῦ, οἷον - - -· καὶ ὡς Ἰφικράτης, ὅτι γενναιότατος ὁ βέλτιστος· καὶ γὰρ Ἁρμοδίῳ καὶ Ἀριστογείτονι οὐδὲν πρότερον ὑπῆρχε γενναῖον πρὶν γενναῖόν τι πρᾶξαι. καὶ ὅτι συγγενέστερος αὐτός· τὰ γοῦν ἔργα συγγενέστερά ἐστι τὰ ἐμὰ τοῖς Ἁρμοδίου καὶ Ἀριστογείτονος ἢ τὰ σά. Aristoteles 2, 23 p. 1398 a 15. Quae L. Spengelius specim. commentar. in Aristot. libri 2 c. 23 de arte rhetorica (Heidelb. 1844) p. 18 et C. Rehdantz l. d. p. 172 ex hac oratione putabant a Maximo Planude desumta esse (rhet. gr. Walzii 5 p. 406, 10): καὶ ὡς Ἰφικράτης· ὁ γὰρ πατὴρ πρὸς μὲν ἀνδρῶν ἦν Εὐπατριδῶν, ὧν τὴν εὐγένειαν ἐξ αὐτῆς τῆς ἐπωνυμίας ῥᾴδιόν ἐστι γνῶναι. ea Isocratis sunt or. 16 §. 25, ut legendum sit ὡς Ἰσοκράτης.

3. ἐπεὶ δὲ τὸ χαλεπώτερον καὶ σπανιώτερον μεῖ- 38
ζον, καὶ οἱ καιροὶ καὶ αἱ ἡλικίαι καὶ οἱ τόποι καὶ οἱ χρόνοι καὶ αἱ δυνάμεις ποιοῦσι μεγάλα· — — ὅθεν — καὶ ὁ Ἰφικράτης αὐτὸν ἐνεκωμίαζε λέγων ἐξ ὧν ὑπῆρξε ταῦτα. Aristoteles rhet. 1, 7 p. 1364 a 28. cf. c. 9 p. 1367 b 17: τοιοῦτον δὲ τὸ τοῦ Ἰφικράτους, ἐξ οἵων εἰς οἷα.

4. 5. 6. 7. καὶ δὴ τὸν μὲν Σωκράτη, εἰ βούλει, πα-

---

1. ὁ περὶ AV: τὰ περὶ ceteri. Commentationis, quam Paulus scripserat, duo libri erant. Male de duabus orationibus cogitaverunt Meierus ad Mid. p. 80, Hoelscherus p. 142, Rehdantzius p. 171. 3. λόγῳ Meierus de bon. damn. p. 195: libri λόγον. 5. κρίνοντι Taylorus: libri κρίνων. 6. cf. Isocr. or. 15 §. 129. 8. δι᾽ ἄλλου Sauppius: erat διὰ τοῦ. 20. εὑρῆσθαι Sauppius: erat εἰρῆσθαι. 31. Fort. καὶ τὸν π. τῆς εἰκ. εἶπε τότε. 33. συντάξασθαι helmst.: erat συντάξαι. Ἰφικράτη Sauppius: erat Ἰφικράτει.

1. Ἐλπίνην B Grosii et cantabrig. Taylori: erat Ἐλπινίκην. ὅτου Sylburgius: erat ὅτι. οἱ λόγοι A Grosii: erat λόγοι. 2. ῥήτορος Sylburgius: erat τοῦ ῥήτορος. οἵ ego addidi. 7. αὐτοῦ Marklandus: erat αὐτοῖς. 16. ἄρ᾽ om. Dionysius. 36. verisimilis Hoelscheri coniectura est etiam haec ad orationem de statua referentis. 39. docendo quam diversus rerum status antea fuisset magnitudinem eorum quae ipse fecisset Iphicrates auxit.

ρισμι, τὸν δὲ Ἰφικράτη σκόπει. ἄνδρα οὐ μεθόριον ῥήτορος καὶ στρατηγοῦ, ἀλλ' ἀμφοτέρων ἐφικνούμενον. ἆρ' οὖν διῆλθές ποτ' αὐτοῦ τὴν ἀπολογίαν τὴν ὑπὲρ τῆς δωρεᾶς; καίτοι τίθει μέν, εἰ βούλει, Λυσίου τὸν λόγον εἶναι, τίθει δ' Ἰφικράτους, εἰ τοῦτο αἱρεῖ. ἔστι τοίνυν οὐδὲν οὕτω τοῦ παντὸς ἀγῶνος ἐπιφανὲς ὡς τὸ φρόνημα, ὃ δὴ καὶ ποιεῖ κρείττω Λυσίου τῶν πολλῶν εἶναι τὸν λόγον. λέγει γὰρ ἄλλα τε δὴ τοῖς
39 *Ἀθηναίοις οὐ τῆς σῆς ψυχῆς καὶ· εἰ, φησίν, ἑπτὰ ὑμῖν ἦσαν τοιοῦτοι στρατηγοὶ οἷος ἐγώ, ἀοίκητος ἂν ἦν ἡ Λακεδαίμων. καὶ μνησθεὶς Ἁρμοδίου καὶ Ἀριστογείτονος, οὓς Ἀθηναῖοι πρώτους*
40 *ἁπάντων τῶν εὐεργετῶν ἦγον, ἢ παραλαβεῖν ἂν αὐτούς φησιν ἢ ὑπ' ἐκείνων παρακληθῆναι, εἰ κατ' ἐκείνους*
41 *ἐγένετο. καὶ ὑμεῖς μέν, φησίν, οἴεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, παρ' ὑμῶν ταῦτά μοι γράμματα καὶ τὴν στήλην εἶναί τι σεμνόν, ἐμοὶ δὲ στήλη οὐρανομήκης ἕστηκεν ἐν τῇ Πελοπον-*
42 *νήσῳ μαρτυροῦσα τὴν ἀρετήν. εἰς τοσοῦτον δὲ ἀφικνεῖται τῆς παρρησίας, ὡς ἀμφοτέροις ἑαυτὸν ἀντεξετάζει τοῖς στρατηγοῖς, καὶ τοῖς τῶν πολιτῶν καὶ τοῖς τῶν πολεμίων.* Aristides or. 49 p. 518 Ddf.

43 8. *Πρὸς δὲ Ἁρμόδιον, τὸν τοῦ παλαιοῦ Ἁρμοδίου ἀπόγονον, εἰς δυσγένειαν αὐτῷ λοιδορούμενον, ἔφη· τὸ μὲν ἐμὸν ἀπ' ἐμοῦ γένος ἄρχεται, τὸ δὲ σὸν ἐν σοὶ παύεται.* Plutarchus apophthegm. regum et imperat. p. 187. B. cf. Pseudoplutarchus *περὶ εὐγενείας* c. 21 (vol. 14 p. 427 Hutt.) et Arsenius violeti p. 308. *Ἰφικράτους. Ἰφικράτης ὀνειδιζόμενος εἰς δυσγένειαν· Ἐγὼ ἄρξω, εἶπε, τοῦ γένους.* Io. Stobaeus floril. 86, 15. *πρῶτος γὰρ Ἰφικράτης τιμῶν ἔτυχεν ὧν Ἁρμόδιος καὶ Ἀριστογείτων. Κόνωνος μὲν γὰρ πρώτου χαλκοῦς ἀνδριὰς ἔστη, ἀλλὰ τούτῳ μόνῳ ἐτιμήθη· Ἰφικράτης δὲ καὶ τὰς ἄλλας δωρεὰς τὰς ἐκείνοις ψηφισθείσας ἔλαβεν, ὥστε καί τινα τῶν ἀφ' Ἁρμοδίου δικάσασθαι τῷ Ἰφικράτει περὶ τῶν δωρεῶν, ὡς ἀναξίως λαβόντι. καὶ ἔστι Λυσίου λόγος εἰς Ἰφικράτην ἀναφερόμενος, ἔχων τὴν ἐπιγραφὴν περὶ τῶν αὐτοῦ δωρεῶν, ἐν ᾧ σκωφθεὶς εἰς δυσγένειαν παρὰ τοῦ κατηγόρου φησὶν ὅτι· τὸ μὲν ἐμὸν γένος ἀπ' ἐμοῦ τὴν ἀρχὴν τοῦ γνωρίζεσθαι λαμβάνει, τὸ δὲ σὸν μέχρι σοῦ τὴν δόξαν ἔστησεν.* Ulpianus ad Demosth. Mid. §. 62 (p. 335 Iutet. 79 sq. Meier.). Plutarchus l. d. videtur ea ipsa conservasse, quae in oratione scripta erant.

XIX. *ΠΡΟΣ ΑΡΧΕΒΙΑΔΗΝ.*

Cf. Meier. de lit. att. p. 498. Fortasse titulus hic erat: *πρὸς Ἀρχεβιάδην συμβολαίου ἀπολογία.* cf. or. adversus Philocratem et Athenaeus 13 p. 611. E. (supra Lysiae frg. 1): *Λυσίας ἐν τοῖς τῶν συμβολαίων λόγοις.*

1. *ὑποτίθεται δ' ἑκάτερος* (Lysias et Isaeus) *ἰδιώ-* 44
την ἄνδρα καὶ ἀπράγμονα καὶ νέον, παρὰ τὴν ἑαυτοῦ προαίρεσίν τε καὶ φύσιν ἠναγκασμένον ἐν δικαστηρίῳ λέγειν, ὁ μὲν Λυσίας ἐν τῷ πρὸς Ἀρχεβιάδην λόγῳ τὸν τρόπον τοῦτον·

Ἐπειδὴ τάχιστα ἔλαχέ μοι ταύτην τὴν δίκην Ἀρχεβιάδης, ὦ ἄνδρες δικασταί, προσῆλθον αὐτῷ λέγων, ὅτι νέος καὶ ἄπειρος εἴην πραγμάτων καὶ οὐδὲν δεόμενος εἰσιέναι εἰς δικαστήριον. „ἐγὼ οὖν σε ἀξιῶ μὴ εὕρημα ἡγεῖσθαι τὴν ἡλικίαν τὴν ἐμήν, ἀλλὰ παραλαβόντα τοὺς ἐμοὺς φίλους καὶ τοὺς σεαυτοῦ διηγήσασθαι περὶ τοῦ χρέους ὅθεν γεγένηται. κἂν δόξῃς ἀληθῆ λέγειν ἐκείνοις, οὐδέν σοι δεήσει πραγμάτων, ἀλλ' ἄπει λαβὼν ἐπὶ τὰ σαυτοῦ. δίκαιος δὲ εἶ μηδὲν παραλιπεῖν, ἀλλ' εἰπεῖν ἅπαντα, ἐπειδὴ νεώτερός εἰμι τοῦ συμβολαίου, ἵνα ἀκούσαντες περὶ ὧν οὐκ ἴσμεν βουλευσώμεθα περὶ ὧν σὺ λέγεις, ἐάν πως φανερὸν γένηται, πότερον ἀδίκως τῶν ἐμῶν ἐφίεσαι ἢ δικαίως τὰ σεαυτοῦ ζητεῖς κομίσασθαι.“ ταῦτ' ἐμοῦ προκαλουμένου οὐδεπώποτ' ἠθέλησε συνελθεῖν οὐδὲ λόγον περὶ ὧν ἐνεκάλει ποιήσασθαι οὐδὲ δίαιταν ἐπιτρέψαι, ἕως ὑμεῖς τὸν νόμον τὸν περὶ τῶν διαιτητῶν ἔθεσθε. Dionysius de Isaeo 5 p. 601, 14 R. cf. p. 604, 14.

2. *τὸ δὲ αἰσθάνεσθαι ἐπὶ τοῦ ὑποπτεύειν καὶ οὐκ* 45
ἐπὶ τοῦ βεβαίως εἰδέναι. Λυσίας ἐν τῷ πρὸς Ἀρχεβιάδην φησίν· οἶμαι τοίνυν καὶ ἐκεῖνο ὑμᾶς αἰσθάνεσθαι, ὅτι Ἀρχεβιάδης οὐκ ἄλλο τι ἐζήτει κομίσασθαι, ἀλλὰ τῶν ἐμῶν ἠμφισβήτει. Suidas 1, 2 p. 54, 13. cf. Antiphontis frg 70 et Lysiae frg. 25.

---

1. cf Plat. Euthyd. p. 305. C. 9. *σῆς*] qui *Λυσιακῆς* legi voluerunt, ostendunt se Aristidis orationem non legisse. 33. *μόνῳ* H. Wolfius: erat *τῷ νόμῳ*. 35. *ἀφ'* H. Wolfius: erat *ἐφ'*. 39. *αὐτοῦ* Iutet.: vulgo *αὐτοῦ*. 41. *τοῦ γνωρ.* Iutet.: vulgo *γνωρ.*

19. *εἴην* Sauppius: libri *ἦν*. cf. p. 604, 14 *εἴη*. 21. *εὕρημα* bodleianus: ceteri *εὕρεμα*. cf. Schoem. ad Isaeum p. 420. 23. *δόξῃς* Sauppius: *δόξῃ* p. 605 2, hic libri *δοχῆς*. 24. *ἀλλ' ἄπει λαβὼν ἐπὶ* Sauppius: *ἀλλὰ καὶ λαβὼν ἐπὶ* p. 605 3, hic libri *ἀλλὰ λαβὼν ἐπὶ* (Reiskius legi voluit *ἀλλὰ λαβὼν ἄπει τὰ σαυτοῦ*). 25. *εἶ* A. Emperius de tempore belli mithridatici p. 30: libri *εἰμι*. 27. *συμβολαίου* Emperius l. d.: libri *συμβουλεύειν*. 30. *προκαλουμένου* vetus liber Dudithii: ceteri *παρακαλουμένου*. cf. p. 605, 5. 32. *ἐνεκάλει* Bekkerus: libri *ἐνεκαλεῖτο*. *δίαιταν* vetus liber Dudithii: ceteri *διαιτῶν*. 36. *Ἀρχεβιάδην* Taylorus p. 7: erat *Ἀλκιβιάδην*. Sensus verborum a Suida adscriptorum demonstrat Taylori coniecturam veram esse. 38. erat *Ἀρχιβιάδης*.

XX. ΠΡΟΣ ΑΡΧΙΝΟΝ.

Cum Lysias Thrasybuli sociorumque conatus summo studio adiuvisset, post reditum ille rogationem ad populum tulit, ut Lysiae civitas attica daretur. Populus decrevit, sed Archinus Thrasybulum accusavit, quod rogatio illa sine senatus consulto ad populum devenisset (ἀπροβούλευτος). Thrasybulo defendendo Lysias orationem composuit, sed Archinus vicit. Vide supra Archini fragmenta p. 166. Cur Scheibius (Jahn. annall. 31 p. 359 sq.) testimoniis ibi allatis fidem deroget, non intelligo. Biographus mentionem huius orationis et duodecimae coniunxisse videtur, quod invenerat utramque orationem Lysiam ipsum oravisse.

46 *ἔστι δ' αὐτοῦ καὶ ὁ ὑπὲρ τοῦ ψηφίσματος ὃ ἐγράψατο Ἀρχῖνος τὴν πολιτείαν αὐτοῦ περιελών, καὶ κατὰ τῶν λ' ἕτερος.* Vitae decem oratorum p. 836. A.

XXI. ΠΡΟΣ ΑΣΙΩΝΑ ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΒΙΒΛΙΩΝ ΚΛΟΠΗΣ,

ει γνησιος.

47 *ἀμφιγνοεῖν ἀντὶ τοῦ ἀγνοεῖν ἢ ἐνδοιάζειν περὶ τῆς γνώσεως, ὡς καὶ Λυσίας ἐν τῷ πρὸς Ἀσίωνα περὶ τῆς τῶν βιβλίων κλοπῆς, εἰ γνήσιος ὁ λόγος.* Harpocrat.

XXII. ΥΠΕΡ ΤΟΥ ΑΣΠΙΔΟΠΟΙΟΥ.

ἀσπιδοποιός, ἀσπιδοπλεκτης, ἀσπιδοπήγιον. Λυσίᾳ δὲ καὶ λόγος ὑπὲρ τοῦ ἀσπιδοποιοῦ. Pollux 7 §. 155.

48 *τῆς δὲ ἰσωνιας Λυσίας εἴρηκεν ἐν τῷ περὶ ἀσπιδοποιοῦ.* Pollux 7 §. 15

XXIII. ΠΡΟΣ ΑΣΩΠΟΔΩΡΟΝ ΠΕΡΙ ΟΙΚΙΑΣ.

49 *ἐπὶ μὲν οὖν τῶν πρὸς τὸ δημόσιον ἀμφισβητήσεων δῆλόν εστιν ὅτι τὸ ε' μέρος τοῦ ἀμφισβητουμενου κατετίθετο. περὶ μὲν οὖν τῶν δημοσίων πολλαχοῦ εἴρηται τῷ Λυσίᾳ, ὥσπερ ἔν τε τῷ πρὸς Ἀλκιβιάδην περὶ οἰκίας καὶ ἐν τῷ πρὸς Ἀσωπόδωρον περὶ οἰκίας.* Harpocrat. p. 145. 17. cf. Lysiae frg. 11.

XXIV. ΚΑΤ' ΑΥΤΟΚΛΕΟΥΣ,

εἰ γνήσιος.

Autocles multi Athenis fuerunt: v. Hoelscherus p. 145. Sievers hist. gr. p. 303 sq. Quare non video, cur C. Scheibius l. d. p. 376 unum Hyperidem orationem contra Autoclem scripsisse existimet.

εἰ δὲ Λυσίου ὁ κατ' Αὐτοκλέους λόγος, εν ᾧ γέγραπται ψηφοπαικτοῦσι τὸ δίκαιον, εἴη ἂν καὶ ὁ ψηφοπαίκτης ἐν τεχνῃ. τὸ δὲ ὄνομα τοῦτο εἴρηκέ τις τῶν νέων κωμῳδῶν, Εὔδοξος εν Ναυκλήρῳ δράματι. Pollux 7 §. 200. 50

XXV. ΚΑΤΑ ΑΥΤΟΚΡΑΤΟΥΣ ΜΟΙΧΕΙΑΣ.

Cf. Meier de lite att. p. 327 sqq.

1. *Λυσίας δὲ ἐν τῷ κατὰ Αὐτοκρατους· μεταλλαξαμένη χιτῶνα.* Pollux 7 §. 44. 51

2. *καὶ συνθέντες δὲ τὴν μνᾶν ἔλεγον, ὥσπερ Ἡρόδοτος ἐν τῷ ε' βιβλίῳ δίμνως εἴρηκεν. ὁ δὲ Λυσίας ἐν τῷ κατὰ Αὐτοκράτους· τετύχηκε δέ μοι καὶ εἰκοσίμνως ἔρανος.* Pollux 9 §. 56 sq. 52

3. *τὸν παῖδα τὸν ἀκολουθοῦντα μετ' αὐτοῦ· Λυσίας ἐν τῷ κατ' Αὐτοκράτους οὕτω τῇ συντάξει χρῆται. Ἐχρῆν δὲ οὕτω εἰπεῖν· τὸν ἀκολουθοῦντα αὐτῷ.* Phrynichus epitomes p. 353 Lob. cf. Bekk. anecd. p. 82, 21 et 368, 3. 53

4. *ὀψίζεσθαι. Λυσίας κατὰ Αὐτοκράτους μοιχείας· τοῖς ὀψιζομένοις ἐν ταῖς ὁδοῖς επιτιθεμενοι τὰ ἱμάτια ἀποδύουσι.* Antiatticista in Bekk. anecd. p. 110, 29. 54

XXVI. ΥΠΕΡ ΑΧΙΛΛΕΙΔΟΥ ΦΟΝΟΥ.

Oratio similis fuerit primae. Ut Eratosthenes moechum uxoris iure a se interfectum esse defendit, sic videtur Achillides moechum sororis interfecisse.

1. *Κινήσει δὲ ἔλεον κἂν ὑποδεικνύωμεν το πάθος τὸ συμβεβηκὸς περί τινας τῶν οικείων τοῦ κρινομενου ἢ τοῦ τεθνεῶτος. — — καὶ ὁ Λυσίας ει τῷ ὑπὲρ Ἀχιλλείδου τὸ πάθος τὸ τῇ ἀδελφῇ συμβὰν αὐτοῦ (sc. ἐπέξεισι)· λέγει γάρ, ὡς ἀκράτης λύπης γενηθεῖσα αὐτὴ ἀπέκτεινε.* Apsines Walzii 9 p. 591, 22. 55

---

15. ὁ Taylorus: erat ὧν. ὃ add. Taylorus. 16. αὐτοῦ περιελών Taylorus: erat αὐτῷ περιεχων. 24. ἀσιώνους CF, ἀσιώφους B. 25. βίβλων AB. 29. ἀσπιδοπλεκτης Kühnius: erat ἀσπιδόπληκτος. 31. ἰσωνιας cod. vetus Iungerm. et august. Seberi: ceteri εἰσωνίας. Λυσίας] ἰσαῖος cod. vetus. 32. ἀσπιδοποιοῦ cod. Falckenb: ceteri ἀσπονδοποιοῦ.

8. ψηφοπαιστοῦσι et ψηφοπαίστης, quorum vestigia quaedam exstant in codd. Pollucis, praefert Lobeck. ad Phryn. p. 241. 10. Meinek. com. 4 p. 508. 16. τῷ Seberus: erat τῇ. Falck. cod. αὐσοκράτους vel εἰσοκρατους. 18. Herodot. 5, 77. 21 εἰκοσίμνεως Lobeck ad Phryn. p. 554. 40. τῇ ἀδελφῇ C. Scheibius l. d p. 377: erat τῆς ἀδελφῆς. 41. γενηθεῖσα Finckhius (apud Walzium p. 777): erat γεννηθεῖσα. αὐτὴ Scheibius l. d.: erat αὐτήν.

56 2. *Λυσίας δὲ ἐν τῷ ὑπὲρ Ἀχιλλείδου φόνου εἴρηκεν ἱπποστάσιον.* Pollux 9 §. 50.

57 3. *ἐφ' οὗ ῥητέον ἀρκεῖ, ἐξαρκεῖ — —, ἐπὶ τούτου τὸ ἐκποιεῖ εἴρηκεν ἐν τῷ ὑπὲρ Ἀχιλλείδου φόνου Λυσίας.* Pollux 9 §. 154.

XXVII. *ΥΠΕΡ ΒΑΚΧΙΟΥ ΚΑΙ ΠΥΘΑΓΟΡΟΥ.*
εἰ γνήσιος.

58 1. *κύπασσις· Λυσίας ἐν τῷ ὑπὲρ Βακχίου καὶ Πυθαγόρου, εἰ γνήσιος. οἱ γλωσσογράφοι χιτῶνος εἶδος φασιν αὐτὸν εἶναι, τὸν κύπασσιν, οἱ μὲν γυναικείου οἱ δὲ ἀνδρείου. μέμνηται δ' αὐτοῦ Ἱππῶναξ τε καὶ Ἑκαταῖος ἐν περιόδῳ Εὐρώπης, λέγων „Κίσσιοι δὲ ἐσθῆτα φορέουσι κυπάσσεις Περσικούς", καὶ Ἀριστοφάνης ἐν τοῖς Ταγηνισταῖς.* Harpocrat.

59 2. *Πύγελα· Λυσίας ἐν τῷ ὑπὲρ Βακχίου [καὶ Πυθαγόρου], εἰ γνήσιος. πόλις ἐστὶν ἐν τῇ Ἰωνίᾳ τὰ Πύγελα, ἥν Θεόπομπός φησιν ἐν ς' λαβεῖν τοὔνομα ἐπειδὴ τῶν μετ' Ἀγαμέμνονός τινες διὰ νόσον τὴν περὶ τὰς πυγὰς ἐνταῦθα κατέμειναν.* Harpocrat.

60 3. *Σκυθικαί· Λυσίας ἐν τῷ ὑπὲρ Βακχίου καὶ Πυθαγόρου, εἰ γνήσιος. εἶδός τι ὑποδήματός εἰσιν αἱ Σκυθικαί. καὶ Ἀλκαῖος ἐν η' „καὶ Σκυθικὰς ὑποδησάμενος."* Harpocrat.

XXVIII. *ΥΠΕΡ ΤΟΥ ΒΑΤΡΑΧΟΥ ΦΟΝΟΥ.*

Hoelscherus p. 147, Th. Bergkius de reliqu. com. att. p. 380, C. Scheibius in Iahn. annall. vol. 31 p. 377 et de ordine rerum Athenis ab optimatibus subverso p. 70 orationem ad delatorem pertinuisse putant, quem Lysias or. 12 §. 48 commemorat, cum Athenas aliquando rediisset occisum.

61 *Φηγούσιον· Λυσίας ἐν τῷ ὑπὲρ τοῦ Βατράχου φόνου. Φηγοῦς δῆμος τῆς Ἐρεχθηίδος.* Harpocrat.

XXIX. *ΠΡΟΣ ΒΟΙΩΝΑ.*
εἰ γνήσιος.

62 *ἀνάγειν τὸ μηνύειν τὸν πεπρακότα καὶ ἐπ' ἐκεῖνον ἰέναι Λυσίας ἐν τῷ πρὸς Βοιωτόν, εἰ γνήσιος.* Harpocrat. *βοιωτούς* A, *βοίωνα* FO et cantabr. et Varinus, *βίωνα* B, *μίωνα* C, in DE deest, qui cum Suida nihil habent nisi hoc: *— ἰέναι. οὕτω Λυσίας καὶ Δείναρχος.* Quare *Βοιωτόν* in uno exstat cod. M, si Bekkero fides habenda est. Maussacus *Δίωνα* legi voluit, adversus quem Lysiae orationem exstitisse infra videbimus, *Μικίωνα* Meierus de lite attica p. 529. Sed non posse nisi de redhibitione servi cum malo dolo venditi hic cogitari (cf. Meier. de lit. att. p. 525). iam intellexerunt Maussacus et Valesius. Quae in codicibus leguntur, mihi persuadent ut nomen adversarii *Βοίωνα* fuisse putem.

XXX. *ΠΡΟΣ ΤΟΥΣ ΕΠΙΤΡΟΠΟΥΣ ΤΩΝ ΒΟΩΝΟΣ ΠΑΙΔΩΝ.*

ἐπιτρέπειν. Δημοσθένης ἐν τῷ κατ' Ἀφόβου α' 63 *οὕτως ἤρξατο „εἰ μὲν ἐβούλετο Ἄφοβος, ὦ ἄνδρες δικασταί, δίκαια ποιεῖν περὶ ὧν διαφερόμεθα τοῖς τε οἰκείοις ἐπιτρέπειν" ἀντὶ τοῦ διαιτητὰς αὐτοὺς αἱρεῖσθαι· ὅθεν καὶ Μενάνδρου δρᾶμα Ἐπιτρέποντες. Λυσίας δ' ἐν τῷ πρὸς τοὺς ἐπιτρόπους τῶν Βοῶνος παίδων ἐπέτρεψεν εἶπεν ἀνδράσιν ἀντὶ τοῦ ἐπιτρόπους κατέστησεν.* Harpocrat.

XXXI. *ΠΡΟΣ ΓΛΑΥΚΩΝΑ ΠΕΡΙ ΤΟΥ ΔΙΚΑΙΟΓΕΝΟΥΣ ΚΛΗΡΟΥ.*

Quae Suidas servavit, ostendunt Taylorum haec ad unam orationem rectissime retulisse.

1. *προὔκειτο καὶ προὔθεντο· ἐπὶ τῶν τετελευτηκότων χρῶνται τῇ λέξει οἱ ῥήτορες, τῶν πρὸ τοῦ* 64 *τετάφθαι κειμένων ἐπὶ τῆς οἰκίας παρόντων τῶν οἰκείων. Λυσίας ἐν τῷ πρὸς Γλαύκωνα· καὶ μὲν δὴ οὐδὲ τοῦτο ἂν ἔχοι Γλαύκων εἰπεῖν ἢ ἄλλος τις τῶν Δικαιογένους συγγενῶν, ὡς ὅτε μὲν προὔκειτο ὤκνουν καὶ ᾐσχύνοντο λόγους περὶ αὐτοῦ ποιεῖσθαι, ἐξενεχθέντος δὲ ἢ περὶ τῶν χρημάτων τινὰ μνείαν εἴχετε ἢ τὰς θυγατέρας ἠξιοῦτε διαιτᾶσθαι.* Suidas 2, 2 p. 497.

2. *τέως· οἱ ῥήτορες ἐπὶ τοῦ πρότερον ἢ πάλαι.* — 65 — — *καὶ ἐν τῇ ἀπολογίᾳ τῆς δωροδοκίας· „δέομαι ὑμῶν τὴν αὐτὴν γνώμην περὶ ἐμοῦ ἔχειν, καὶ ἐν τῷ τέως." καὶ ἐν τῷ πρώτῳ περὶ τοῦ Δικαιογένους κλή-*

---

10. *κύπαστις* BCDG. *Βακχίου*] *ἐκβαχίου* BC. 12. *κύπαστιν* BCG, *κύπασιν* D. 13. Hipponat frg. 13: *κυπασσίσκον*. — Hecataei locus in C. Mülleri fragm. historicorum gr. omissus est. 15. *κυπάσσεις* BCDG. — Meinek. com. gr. 2 p. 1157. 17. *Βακχίου*] *ἐκβακχίου* CG, *ἐκβακχείου* B. *καὶ Πυθαγόρου* ego addidi. 19. Theop. frg. 62. 22. *Βακχίου* C: *Βακχείου* b. *Πυθαγόρας* ABCG. 24. Alcaei frg. 101 Bgk. 35. *ὑπὲρ* Valesius: *περὶ* b.

13. hunc Boonem et Boeonem orationis 29. eundem fuisse suspicatur Baiterus. 16. *ἐπιτρέπειν* Sauppius cum Suida, Varino, Zonara: *ἐπιτροπή* C, *ἐπιτροπήν* b. Sic etiam ordo literarum apud Harpocrationem servatur. — Demosth. or. 27 §. 1. 22. *ἐπέτρεψαν — κατέστησαν* Varinus et Zonaras. *εἶπεν*] immo *εἶπε τοῖς*. 29. de hoc more cf. Becker. Chariclis 2 p. 173 sqq. 33. *οὐδὲ* bis V. *ἂν ἔχοι*] *ἔχει* E. 34. *τῶν*] *ὧν* V. *διογένους* E. 37. *εἴχετε — ἠξιοῦτε* Sauppius: libri *ἔχετε — ἀξιοῦτε*. — Deinde puto legendum esse *τῶν θυγατέρων ἠξιοῦτε ἐπιδικάσασθαι*. 41. Lysias or. 21 §. 19. 43. *πρώτον* V. fort. *πρὸς Γλαύκωνα*.

ρου· Δικαιογένης δὲ τέως μὲν ᾤκει παρ᾽ ἡμῖν, δοκιμασθεὶς δὲ ἔγημε. Suidas p. 3524. B.

66 3. *ἡλιαία καὶ ἡλίασις. ἡλιαία μέν ἐστι τὸ μέγιστον δικαστήριον τῶν Ἀθήνησιν, ἐν ᾧ τὰ δημόσια τῶν πραγμάτων ἐκρίνετο χιλίων δικαστῶν ἢ χιλίων καὶ πεντακοσίων συνιόντων. συνῄεσαν δὲ οἱ μὲν χίλιοι ἐκ δυοῖν δικαστηρίων, οἱ δὲ χίλιοι πεντακόσιοι ἐκ τριῶν. ἡλιάζεσθαι δὲ καὶ ἡλίασίς ἐστι τὸ ἐν ἡλιαίᾳ δικάζειν. Λυσίας ἐν μὲν τῷ πρὸς Γλαύκωνα τὴν ἡλιαίαν πολλάκις ὀνομάζει, ἐν δὲ τῷ κατὰ Φιλωνίδου, εἰ γνήσιος, τῷ ἡλιάζεσθαι ἐχρήσατο.* Harpocrat.

XXXII. *ΥΠΕΡ ΔΕΞΙΟΥ ΑΠΟΣΤΑΣΙΟΥ.*

Dexius libertus crimine impietatis in manumissorem accusatus se hac oratione defendit.

67 1. *Στρομβιχίδης· Λυσίας ἐν τῷ ὑπὲρ Δεξιοῦ ἀποστασίου. ὄνομα κύριον.* Harpocrat.

68 2. *αἰπολῶ· δοτικῇ. Λυσίας ἐν τῇ ὑπὲρ Δεξιοῦ ἀπολογίᾳ· καθίστησιν αὐτὸν ἐπὶ τὰς αἶγας, καὶ ᾐπόλει αὐταῖς.* Bekk. anecd. p. 129, 15.

69 3. *ἀντιδικῶ· δοτικῇ. Λυσίας ἐν τῷ αὐτῷ λόγῳ· ἐχρῆν τὸν Κλειτοφῶντα καὶ τοὺς ἀντιδικοῦντας αὐτῷ.* Bekk. anecd. p. 129, 18.

XXXIII. *ΚΑΤΑ ΔΕΞΙΠΠΟΥ,*
εἰ γνήσιος.

Ego primus hanc orationem Lysiae sive vero sive personato vindico. Nam quod nunc legitur apud Harpocrationem nomen Lycurgi ferri non potest, quanquam nec G. Kiesslingius (de fragm. Lycurgi p. 109) nec nos ipsi (ad Lycurgum p. 163) de eius veritate dubitavimus. Syndici illi, quos cum patronis legum abrogandarum et oratoribus ad delicta publica persequenda creatis confuderunt S. Petitus legg. att. 3. 2, 31, P. Wesselingius ad h. l. p. 337, H. Valesius ad Harpocr. p. 393 lips., fortasse etiam A. Boeckhius oecon. publ. Ath. 1 p. 170 not., magistratus fuerunt optimatium dominatione eversa extra ordinem constituti, cum illis temporibus fieri non posset, quin de bonis publicatis publicandisve inter rem publicam et homines privatos saepissime ageretur: cf. M. Meier. de bonis damn. p. 214 sq. 222 sq. et de lit. att. p. 110 sqq., Schoem. de com. p. 316., C. F. Hermannus antiqu. publ. Graec. §. 151, 5, C. Scheibius de rerum ordine ab optimatibus turbato p. 143 sqq. Lysias eos haud raro commemorat, or. 16 §. 7, 17 §. 10, 18 §. 26, 19 §. 32, praeter eum hoc Isaei loco, quem Harpocratio servavit, excepto nemo. Lycurgus vero de homine tum vivo dicere nullo modo potuit, eum ad syndicos multa detulisse. Quare Lysiae haec verba reddidi: Lysiae enim et Lycurgi nomina haud raro commutantur. Locum Lysiae simillimum, or. 13 §. 65, jam H. Valesius adscripsit.

σύνδικοι. Ἰσαῖος ἐν τῷ κατ᾽ Ἐλπαγόρου καὶ Δημοφάνους φησὶν „οἳ μετὰ τὰ ἐκ Πειραιῶς, ὡς ἐγὼ ἀκούω, σύνδικοι ἦσαν, πρὸς οὓς τὰ δημευόμενα ἀπεφέρετο.“ καὶ Λυσίας ἐν τῷ κατὰ Δεξίππου, εἰ γνήσιος· καὶ ποῦ ἑτέρωθι ἀνδρεῖός ἐστιν οὗτος; πρὸς τοῖς θεσμοθέταις γραφὰς γραφόμενος, πρὸς τοῖς συνδίκοις ἀπογραφὰς ἀπογράφων. μήποτ᾽ οὖν ἀρχή τις ἦν καθεσταμένη μετὰ τὴν ἐκ Πειραιῶς κάθοδον. Harpocrat. 70

XXXIV. *ΚΑΤΑ ΔΗΜΟΣΘΕΝΟΥΣ ΕΠΙΤΡΟΠΗΣ.*

1. *ἐλεοκόπων. Λυσίας ἐν τῷ κατὰ Δημοσθένους ἐπιτροπῆς· πέντε μησὶ μετὰ τῶν ἐλεοκόπων διαιτώμενος. ἐλεοκόπους λέγοι ἂν ὁ ῥήτωρ τοὺς τὰ ὕλη κόπτοντας, τοῦ ε παρεμβεβλημένου, ὡς τὸ „ἐλεόθρεπτόν τε σέλινον“ παρ᾽ Ὁμήρῳ. μήποτε δὲ παρὰ τὸ ἐλεόν, ὅπερ ἐστὶ σκεῦος ξύλινον, γεγένηται τοὔνομα. Ἀριστοφάνης Ἱππεῦσιν „εἰ προσκαθέλοι με τοὐλεόν.“* Harpocrat. cf. Etym. Magn. 326, 44. 71

2. *καρποῦ δίκη. Λυσίας ἐν τῷ κατὰ Δημοσθένους ἐπιτροπῆς, εἰ γνήσιος· εἰ γάρ τι ἐγκαλεῖς τῷδε τῷ μειρακίῳ καὶ τῶν σῶν τι ἔχει, δίκασαι αὐτῷ κατὰ τοὺς νόμους, εἰ μὲν χωρίου ἀμφισβητεῖς, καρποῦ, εἰ δὲ οἰκίας, ἐνοικίου, ὥσπερ οὗτος σοὶ νῦν ἐπιτροπῆς δικάζεται.* Harpocrat. 72

3. *ἀδοκίμαστος. δοκιμασθῆναι τὸ εἰς ἄνδρας ἐγγραφῆναι, καὶ ἀδοκίμαστος ὁ μήπω ἐγγεγραμμένος παρὰ Λυσίᾳ ἐν τῷ κατὰ Δημοσθένους ἐπιτροπῆς, εἰ γνήσιος.* Harpocrat. 73

---

9. *ἐν μὲν* Bekkerus: *μὲν ἐν* b.
14. *ὡς ἐγὼ* Meierus (de bonis damn. p. 215): libri *ἐγώ*. 16. *Λυσίας* Sauppius: erat *Λυκοῦργος*. *γνήσιος· καὶ ποῦ ἑτέρωθι ἀνδρεῖός* Bekkerus: erat *γνήσιος, καὶ που ἑτέρωθι· ἀνδρεῖός*. 19. *ἀπογραφὰς ἀπογράφων*] *γραφὰς ἀπογράφων* A, *ἀπογράφων* C. 25. *ἐλεοκόπους* BCG. Possis *ἐλαιοκόπων* coniicere (cf. Varro de R. R. 1, 55), sed *quinque menses* illi parum apti sunt. *τῷ* Bekkerus: libri *τω ι´*, erat *τῷ δεκάτῳ*. Hoelscherus p. 150 *ἐν τῷ δευτέρῳ* vult legi. Atque oratio *δευτερολογία* videtur fuisse, sed ita dici non solet. *δημοσθένης* A. 29. Homer. Il. 2, 776. 31. Aristoph. Equ. 152: *ἴθι δὴ κάθελ᾽ αὐτοῦ τοὐλεόν*. 34. *εἰ γνήσιος* om. ABC. *ἐγκαλεῖ* B. 37. *οἰκίας*] *ἐνοικίας* BC. de re cf. Schoemann. de lit. att. p. 749 sqq. Meier. eiusd. libri p. 531. Heffter de iud. Ath. p. 266. 38. *σου* C. *νῦν ἐπιδικάζεται* D. 40. ante *δοκ.* lacuna est in ABFHK 41. *ἀδοκίμαστος* Lysias etiam or. 14 §. 8 habet

74 4. *αἰδέσασθαι* ἀντὶ τοῦ μεταπεισθῆναι Λυσίας ἐν τῷ κατὰ Δημοσθένους ἐπιτροπῆς, εἰ γνήσιος, καὶ Δημοσθένης ἐν τῇ πρὸς Ναυσίμαχον καὶ Ξενοπείθην. ἐν δὲ τῷ κατ' Ἀριστοκράτους οὗτος ἀντὶ τοῦ ἐξιλάσασθαι καὶ πεῖσαι. Harpocrat. cf. Bekk. anecd. p. 354, 33.

75 5. *ἐπισίτια* τὰ εἰς τροφὴν καὶ εἰς τὸ σιτεῖσθαι διδόμενα· Λυσίας ἐν τῷ κατὰ Δημοσθένους ἐπιτροπῆς. ταῦτα δὲ ἐνίοτε ἐκάλουν καὶ σιτίον. Harpocrat.

76 6. *μειαγωγῆσαι* δέ ἐστι τὸ ἐπιδοῦναι τοῖς φράτορσι τὸ μεῖον, ὡς Λυσίας ἐν τῷ κατὰ Δημοσθένους ἐπιτροπῆς. Harpocrat. p. 125. 16. cf. Isaei or. πρὸς Στρατοκλέα fragmenta.

XXXV. ΠΕΡΙ ΤΟΥ ΔΙΟΓΕΝΟΥΣ ΚΛΗΡΟΥ.

77 1. *Attici* ὅθεν ἔλθῃ *de futuro dicunt. Isaeus etiam de praeterito:* ὅταν ἔλθῃ, εἰώθει παρ' ἐμοὶ κατάγεσθαι. *et iterum* ὅταν ἔλθω, παρ' ἐκείνῳ κατηγόμην. *Antiquiores tamen* ὅτε ἔλθοι *de praeterito dicunt.* Λυσίας ἐν τῷ περὶ τοῦ Διογένους κλήρου· *Διογένει δὲ οἰκειότατα πάντων ἀνθρώπων ἐχρώμεθα, καὶ ἕως γε ὑγίαινεν, ἐξ ἀγροῦ ὁπότε ἔλθοι, παρ' ἡμῖν διῃτᾶτο.* Priscianus 18 c. 25 p. 230 Kr.

78 2. *Virgilius in primo Aeneidos: una cum gente tot annos bella gero. Et tot annis dicitur.* ἔτη γεγονὼς τοσαῦτα καὶ ἐτῶν τοσῶνδε. Λυσίας ἐν τῷ περὶ τοῦ Διογένους [κλήρου]· *ἦν γὰρ αὐτῇ υἱὸς ἐκ τοῦ προτέρου ἀνδρὸς ἐτῶν γεγονὼς ἑκκαίδεκα.* Priscianus 18. c. 25 p. 210 Kr.

79 3. *δέκα καὶ δεκαδοῦχος.* Ἰσοκράτης ἐν τῇ πρὸς Καλλίμαχον παραγραφῇ „ἦρχον μὲν γὰρ οἱ ι' οἱ μετὰ τοὺς λ' καταστάντες." περὶ τῶν μετὰ τὴν κατάλυσιν τῶν λ' Ἀθήνησι χειροτονηθέντων ἀνδρῶν ι' καὶ τῶν ἑξῆς εἴρηκεν Ἀνδροτίων ἐν τῇ γ'. ἐκαλεῖτο μέντοι τούτων ἕκαστος τῶν ἀρχόντων δεκαδοῦχος, ὡς δῆλον ποιεῖ Λυσίας ἐν τῷ περὶ τοῦ Διογένους κλήρου. Harpocrat. cf. Etym. Magn. p. 254, 18.

4. *Μόλπις.* Λυσίας ἐν τῷ περὶ τοῦ Διογένους 80
[κλήρου] φησὶ *Μόλπις ὁ τῶν ι' τῶν ἐν Πειραιεῖ.* οἱ δ' ἄρα κατὰ τοὺς λ' δέκα ἄνδρες ἦρχον ἐν Πειραιεῖ, ὧν εἷς ἦν ὁ Μόλπις, ὡς Ἀνδροτίων ἐν γ' Ἀτθίδος. Harpocrat.

XXXVI. ΠΡΟΣ ΔΙΟΓΕΝΗΝ ΠΕΡΙ ΧΩΡΙΟΥ.

1. *ἀμφισβητῶ·* γενικῇ. — Λυσίας ἐν τῷ πρὸς 81
Διογένην περὶ χωρίου· ἀμφισβητεῖν δὲ τοῖς ὀρφανοῖς ὧν αὐτοῖς οἱ πατέρες κατέλιπον. Bekk. anecd. p. 120, 14.

ἐπιδικάζομαι· γενικῇ. Λυσίας ἐν τῷ πρὸς Διογένην περὶ χωρίου· ἆρα οὖν ἀπράγμων εἶναι δοκεῖ ὑμῖν Διογένης, ὃς ἐπιδικάζεται μὲν τῶν κλήρων. Bekk. anecd. p. 145, 8. Haec I. Bekkerus ita coniunxit, ut Lysias dixerit: *ἆρ' οὖν ἀπράγμων εἶναι δοκεῖ ὑμῖν Διογένης; ὃς ἐπιδικάζεται μὲν τῶν κλήρων, ἀμφισβητεῖ δὲ τοῖς ὀρφανοῖς ὧν αὐτοῖς οἱ πατέρες κατέλιπον;*

2. *ἐπιτιμητάς.* οἱ μὲν τὸ πρῶτον τιμώμενοί 82
τι τιμηταὶ ἐκαλοῦντο, οἱ δὲ τοῖς ἑξῆς ἔτεσι τὰ αὐτὰ τιμώμενοι ἐπιτιμηταί· Λυσίας ἐν τῷ κατὰ Διογένους. Harpocrat.

3. *Σθένελος·* Λυσίας ἐν τῷ πρὸς Διογένην. καὶ 83
ἐν ταῖς Διδασκαλίαις εὑρίσκεται ὁ Σθένελος τραγῳδίας ποιητής. ἐκωμῴδει δὲ αὐτὸν ὁ τοὺς Πλάτωνος Λάκωνας γράψας ὡς τἀλλότρια ἔπη σφετεριζόμενον. Harpocrat.

XXXVII. ΠΡΟΣ ΔΙΟΓΕΝΗΝ ΠΕΡΙ ΜΙΣΘΩΣΕΩΣ ΟΙΚΟΥ,

εἰ γνήσιος.

Etiam hunc Harpocrationis locum A. Westermannus et Hoelscherus ad or. 36 pertinere putant. Sed cum περὶ μισθώσεως οἴκου tantum in tutorem ageretur, qui domo vel agro pupilli non locato rei eius familiari parum consuluisset (cf. Mejer. de lite att. p.

3. Demosth. 38 §. 22 cl. 37 §. 59. 4. Demosth. 23 §. 72: *αἰδέσηται.* quare praestat, quod in E est et in Suida et Bekk. anecd.: *ἐξιλάσεται καὶ πείσει.* Sed locus aristocrateae non dubito quin vitium fecerit, quo grammatici decepti sunt. 15. cf. Schoemann. ad Isaeum p. 498. 16. *εἰώθει* cod. mon. (apud L. Spengel. ad Varr. de L. L. p. 631) et paris. Presselii (revue philol. 1 p. 149): erat *ἔσωθεν.* 19. *περὶ τοῦ Διογένους κλήρου* Spengelius l. d: *ΠΕΡΙ ΤωΥ ΔΙΟΓΕΝΟΥΣ ΚΛΗΡωΙ* mon., *περὶ τοῦ διογενου σκληρω* paris., erat *ὑπὲρ Διογένους καὶ πρωὶ.* 20. *οἰκειότατα* mon. et par.: erat *οἰκειοτάτῳ.* 21. *ὑγιαινεν* paris. *ὁπότε* mon. et paris.: erat *ὅτε.* 22. *διαιτᾶτο* paris. 24. Virgil. Æ. 1, 47. 26. erat *τόσων δὲ.* 27. *κλήρου* add. Spengel. l. d. p. 632. 30. Isocr. 18 §. 5. — De decemviris illis v. Scheibius de rerum ordine Athenis ab optimatibus turbato p. 119 sqq. 34. Androtion. frg. 20. 36. *κλήρω* AI.

1. *τοῦ* om. C. 2. *κλήρου* ego addidi. *τῶν ι' τῶν* Sauppius: *τῶν* b. Decemviros enim a Lysia ipso commemoratos fuisse Harpocrationis verba videntur docere. De his decemviris piraeensibus, saepe cum prioribus illis commutatis, cf. Valesius ad Harpocr. p. 454 lips., Taylorus vit. Lysiae p. 105, Meier. de bonis damn p. 187 sqq., Scheibius l. d. p. 67 sq. 3. *οἱ δ' ἐκ* ABC. *κατὰ* Küsterus ad Suidam s. v. *Μόλπις:* erat *μετά.* cf. Bekk. anecd. p. 235, 32. 13. *οὖν* Hoelscherus: codex *οὐκ.* 14. *ὃς* Bekkerus: codex *ὅ.* 22. Recte videtur A. Westermannus p. 283 statuere per errorem hic Harpocrationem eam orationem, quae esset *πρὸς Διογένην,* nominavisse *κατὰ Διογένους.* Haud raro sic peccatur. — De hac vi vocis *ἐπιτιμητής* ex uno Harpocrationis loco constat. 27. *ἔπη σφετεριζόμενον* b cum Dobr. advers. 1 p. 588: *ἐπισφετεριζόμενον* C., *ἐπισφετεριζόμενος* AB. — De Sthenelo cf. Meinek. com. gr. 2 p. 639. 1009.

294. 450), non video quomodo haec actio etiam *χωρίου* dici potuerit. Accedit, quod hic Harpocratio *εἰ γνήσιος* addit, locis ceteris omittit. Tutius igitur est hanc orationem pro diversa habere a priore.

84 *ἀποτιμηταὶ καὶ ἀποτίμημα καὶ ἀποτιμᾶν καὶ τὰ ἀπ' αὐτῶν. οἱ μισθούμενοι τοὺς τῶν ὀρφανῶν οἴκους παρὰ τοῦ ἄρχοντος ἐνέχυρα τῆς μισθώσεως παρείχοντο· ἔδει δὲ τὸν ἄρχοντα ἐπιπέμπειν τινὰς τιμησομένους τὰ ἐνέχυρα. τὰ μὲν οὖν ἐνέχυρα τὰ ἀποτιμώμενα ἐλέγοντο ἀποτιμήματα, οἱ δὲ πεμπόμενοι ἐπὶ τῷ ἀποτιμήσασθαι ἀποτιμηταί, τὸ δὲ πρᾶγμα ἀποτιμᾶν. εἰώθεσαν δὲ καὶ οἱ τότε, εἰ γυναικὶ γαμουμένῃ προῖκα ἐπιδιδοῖεν οἱ προσήκοντες, αἰτεῖν παρὰ τοῦ ἀνδρὸς ὥσπερ ἐνέχυρόν τι τῆς προικὸς ἄξιον, οἷον οἰκίαν ἢ χωρίον. ἐλέγετο δὲ ὁ μὲν δοὺς τὸ ἀποτίμημα ἐνεργητικῶς ἀποτιμᾶν, ὁ δὲ λαβὼν ἀποτιμᾶσθαι. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων ὀφλημάτων. Δημοσθένης ἐν τῷ κατ' Ὀνήτορος β' καὶ Λυσίας ἐν τῷ πρὸς Διογένην ὑπὲρ μισθώσεως οἴκου, εἰ γνήσιος.* Harpocrat.

XXXVIII. *ΚΑΤΑ ΔΙΟΔΟΤΟΥ.*

85 *αὔλεια· Λυσίας ἐν τῇ κατὰ Διοδότου καὶ Αἰσχίνης κατὰ Κτησιφῶντος. ἤτοι ἀντὶ τοῦ ἐπαύλεις, ἢ ἀντὶ τοῦ μικρᾶς αὐλῆς.* Harpocrat. cf. Bekk. anecd. p. 463, 16.

XXXIX. *ΠΡΟΣ ΔΙΟΚΛΕΑ ΥΠΕΡ ΤΟΥ ΚΑΤΑ ΤΩΝ ΡΗΤΟΡΩΝ ΝΟΜΟΥ.*

Cum quis legem, quae vel ad *δοκιμασίαν τῶν ῥητόρων* vel ad *γραφὴν παρανόμων* contra oratores instituendam pertineret, abrogari vellet, haec oratio defendendae legi antiquae coram nomothetis videtur habita esse: cf. Schoemannus de comitiis Ath. p. 258 sq.

86 1. *εὐπορήσομεν δὲ καὶ νόμων ἀνασκευῆς πολλαχοῦ μὲν παρὰ πλείστοις τῶν ῥητόρων, ἐντελέστατα δὲ παρὰ Δημοσθένει ἔν τε τῷ κατὰ Τιμοκράτους καὶ Ἀριστοκράτους καὶ πρὸς Λεπτίνην· κατασκευῶν δὲ παρά τε ἄλλοις καὶ παρὰ Λυσίᾳ ἐν τῷ πρὸς Διοκλέα ὑπὲρ τοῦ κατὰ τῶν ῥητόρων νόμου.* Theo progymnasm. c. 2 p. 166, 8 W.

87 2. *ἐὰν τις γραψάμενος μὴ μεταλάβῃ τὸ ε' μέρος τῶν ψήφων, ὀφλισκάνει χιλίας καὶ πρόσεστιν ἀτιμία τις. Λυσίας ἐν τῷ ὑπὲρ τοῦ κατὰ τῶν ῥητόρων νόμου διείλεκται περὶ τούτων καὶ Θεόφραστος ἐν τοῖς περὶ τῶν νόμων.* Harpocrat. cf. schol. Demosth. ad or. 22 §. 3 (supra p. 104 b 26).

[XXXVIII. b. *ΚΑΤΑ ΔΙΟΚΛΕΟΥΣ ΥΒΡΕΩΣ.*

συντυγχάνω· δοτικῇ. Λυσίας ἐν τῷ κατὰ Διοκλέους ὕβρεως· ὁ ἀδελφὸς ὁ ἐμὸς καὶ Κτήσων, οἰκεῖος ὢν ἡμῖν, συντυγχάνουσι τῷ Ἕρμωνι ἐν βοθύνοις ἀπιόντι. Bekk. anecd. p. 173, 26. Haec ad eandem orationem referenda esse, quae permultis locis Isaeo tribuitur, iure videntur M. Meierus de lit. att. p. 320 sq. et Hoelscherus statuere.]

XXXIX. *ΥΠΕΡ ΔΙΟΦΑΝΤΟΥ ΠΕΡΙ ΧΩΡΙΟΥ.*

Τοῦ δὲ ἀλείπτου οὐκ ὄντος ἐν χρήσει ἀλείπτριαν 88
εἰρήκασιν οἱ μέσοι κωμικοὶ καὶ Λυσίας ἐν τῷ ὑπὲρ Διοφάντου περὶ χωρίου. Ἄμφιδος καὶ δρᾶμά ἐστιν Ἀλείπτρια. Pollux 7, 17. Sic h. l. constituit Is. Casaubonus ad Athenaeum l. 3 c. 34 p. 236, nisi quod *ὑπὲρ* omisit et post *Ἄμφιδος* praeter necessitatem *δὲ* addidit. Antea legebatur *ὑπὲρ Διοφάντου περὶ χωρίου Ἄμφιδος. καὶ δρᾶμά ἐστιν Ἀ.* Iungermannus nimis religiose Casaubonum secutus est. De Amphidis fabula sive Alexidis sive Antiphanis cf. Meinek. com. gr. 1 p. 393 et 405.

XL. *ΠΡΟΣ ΔΙΟΧΑΡΗ,*
εἰ γνήσιος.

μεταλλεῖς· Λυσίας ἐν τῷ πρὸς Διοχάρη, εἰ γνή- 89
σιος. οἱ τὰ μέταλλα ἐργαζόμενοι μεταλλεῖς ὀνομάζονται. ἔστι δὲ καὶ δρᾶμα Φερεκράτους Μεταλλεῖς, ὅπερ Νικόμαχόν φησι πεποιηκέναι Ἐρατοσθένης ἐν ζ' περὶ τῆς ἀρχαίας κωμῳδίας. Harpocrat.

XLI. *ΠΡΟΣ ΔΙΩΝΑ.*

φάσκωλον. πήρα τις οὕτως ἐκαλεῖτο παρ' αὐτοῖς· 90
Λυσίας ἐν τῷ πρὸς Δίωνα, Ἀριστοφάνης Θεσμοφοριαζούσαις. Harpocrat. Ubi quae ante Bekkerum post *Δίωνα* addebantur: *ἢ δημόσιον χρῆμα τὸ συναχθὲν εἰς ἀπόθεσιν· „καὶ πρός γε μεστὸν κατὰ τὸ πλέον καὶ*

---

6. *καὶ τὰ ἀπ' αὐτῶν* om. AF. 8. *ἐπιπέμπειν* ABF: *ἀποπέμπειν* C, *πέμπειν* b. 9. *τιμησομένους* ADF: *ἀποτιμησομένους* b. 12. *οἱ τότε*] immo *τότε*. 13. *ἐπιδιδοῖεν* Bekkerus: *ἀποδιδοῖεν* BCG, *διδοῖεν* b. 18. *ὀφειλημάτων* ADEFN. fort. *ὀνομάτων*, coll. v. 6 *καὶ τὰ ἀπ' αὐτῶν*. 18. *τῷ κατ'*, fort. *τοῖς κατ'*. 24. *αὔλεια*] *αὔλια* N, *αὔλα* F, *αὐλία* b. cf. Arcad. p. 119, 16 et 120, 1. *διοδήτου* B. Aesch. 3 §. 119.

1. *ὑπὲρ τοῦ* ego addidi. 2. Verba Theophrasti servavit schol. Demosth. l. d. p. 104 b 31. 33. *διοχάρην* B. 35. cf. Meinek. com. gr. 2 p. 308 sq. 41. *αὐτοῖς*] cf. Harpocr. p. 78, 3. 80, 1. 42. Fritzschius ad Arist. Thesm. p. 600. Bergk. ad Arist. fragm. p. 1078.

ἐμβριθέστερον ποιῶν τὸ φασκώλιον." ne cui fucum faciant, ut fecerunt N. Blancardo Lysiae esse putanti, apud Agathiam legi moneo histor. 4, 22 p. 235 Nieb. Harpocrationis verba addita sunt ex Suida p. 3761. A. vel Etymol. M. p. 789, 10 (coll. Etym. Gud. p. 550, 7).

XLII. *ΠΕΡΙ ΤΗΣ ΕΓΓΥΘΗΚΗΣ.*

Actor Lysimeni caelatori incitegam reficiendam tradiderat. Lysimenes non tantum incitegam aliam reddiderat, sed etiam contumelias actori dixerat. Magis hanc ob causam, quam ob incitegam ipsam actor Lysimeni crimen furti intendit. Cf. C. Scheibius in act. soc. gr. lips. 2 p. 97 sq.

ἐγγυθήκη. φέρεταί τις λόγος ὡς Λυσίου ἐπιγραφόμενος περὶ τῆς ἐγγυθήκης. εἴη δ' ἂν σκεῦός τι πρὸς τὸ κρατῆρας ἢ λέβητας ἤ τι τούτων οὐκ ἀλλότριον ἐπικεῖσθαι ἐπιτήδειον, ὡς Καλλίξενός τε ἐν δ' περὶ Ἀλεξανδρείας ὑποσημαίνει καὶ Δαΐμαχος ὁ Πλαταιεὺς ἐν β' περὶ Ἰνδικῆς. Harpocrat.

91 1. 2. 3. *καὶ ἐπεὶ τὸν καλὸν Οὐλπιανὸν οἶδα πάλιν προαλοῦντα ἡμῖν, τίς αὕτη ἡ παρὰ τῷ Καλλιξένῳ ἐγγυθήκη, φαμὲν αὐτῷ ὅτι καὶ λόγος τις εἰς Λυσίαν ἀναφέρεται τὸν ῥήτορα περὶ ἐγγυθήκης ἐπιγραφόμενος, οὗ ἡ ἀρχή· Εἰ μὲν δίκαιον ἔλεγεν ἢ μέτριον, ἄνδρες δικασταί, Λυσιμένης. ἐν ᾧ προελθών φησιν·*

Οὐκ ἂν ἐσπούδαζον περὶ αὐτῆς τῆς ἐγγυθήκης δικαιολογεῖσθαι, ἢ οὐκ ἔστιν ἀξία τριάκοντα δραχμῶν.

ὅτι δὲ χαλκῆ ἦν ἡ ἐγγυθήκη ἑξῆς φησι·

*Πέρυσι δὲ ἐπισκευάσαι αὐτὴν βουλόμενος ἐξέδωκα εἴς τι χαλκεῖον. ἔστι γαρ συνθετὴ καὶ Σατύρων ἔχει πρόσωπα καὶ βουκεφάλια. * * * ἄλλο ἔτι μέγεθος τὸ αὐτό. ὁ γὰρ αὐτὸς τεχνίτης πολλὰ σκεύη ταὐτὰ καὶ ὅμοια ἐργάζεται.*

ἐν τούτοις ὁ Λυσίας εἰπὼν ὅτι καὶ χαλκῆ ἦν ἡ ἐγγυθήκη, σαφῶς παρίστησιν, ὡς καὶ ὁ Καλλίξενος εἴρηκε, λεβήτων αὐτὰς ὑποθήματα εἶναι. Athenaeus 5 p. 209. F.

XLIII. *ΠΕΡΙ ΤΗΣ ΕΙΣΦΟΡΑΣ.*

De tributis illis extraordinariis cf. C. F. Hermannus antiqu. publ. §. 162. De litibus, quae de iis oriri potuerint, exponit M. Meierus de lit. att. p. 108 et 113. Quid Taylorum moverit, ut ea quae apud Suidam s. v. *ἐπιγραφομένῳ* sequuntur: *εἰ καὶ δόξαν ἔμελλε φέρειν τὰ ὑπ' ἄλλων εἰρημένα ἐπιγραφομένῳ.* Lysiae esse putaret, haud facile est dictu.

ἐπιγραφέας τοὺς καθεστηκότας ἐπὶ τῷ γράφειν ὁπόσον ὀφείλουσιν εἰσφέρειν εἰς τὸ δημόσιον· Λυσίας ἐν τῷ περὶ τῆς εἰσφορᾶς. Harpocrat. 92

XLIV. *ΠΕΡΙ ΤΗΣ ΕΠΙΓΕΝΟΥΣ ΔΙΑΘΗΚΗΣ.*

Epigeni trierarchia obtigerat. Quanquam aegrotabat, tamen ipse navem conscendit, cum numeratum non haberet, quo vicarii operam conduceret. Fortasse Epigenes in hac ipsa trierarchia mortuus erat.

ἀνάργυρος· ὁ ἀργύριον μὴ κεκτημένος, εἰ καὶ εἴη 93 *αὐτῷ ἱκανὴ οὐσία ἐξ ἑτέρων κτημάτων. Λυσίας ἐν τῷ περὶ τῆς Ἐπιγένους διαθήκης· ἐπειδὴ τοίνυν Ἐπιγένης ἀσθενὴς τριηραρχεῖν ἠναγκάζετο. ἀνάργυρος ὢν καὶ τῆς γῆς τῶν πολεμίων κρατούντων.* Suidas 1, 1 p. 362, 9 et 1, 2 p. 394, 10. cf. Bekk. anecd. p. 216, 9.

XLV. *ΚΑΤΑ ΕΠΙΚΡΑΤΟΥΣ.*

καταδιῶξαι. Λυσίας κατὰ Ἐπικράτους. Bekk. 94 anecd. p. 103, 11.

[XLV. b. *ΥΠΕΡ ΤΟΥ ΕΡΑΤΟΣΘΕΝΟΥΣ.*

αὐθέντης· Λυσίας ἐν τῷ ὑπὲρ τοῦ Ἐρατοσθένους. ἐν τῷ πρὸς Ἰσόδημον ἰδίως ἔταξεν ἐπὶ τῶν λ', οἳ δι' ἑτέρων εἰργάζοντο τοὺς φόνους· ὁ γὰρ αὐθέντης ἀεὶ τὸν αὐτόχειρα δηλοῖ. Harpocratio p. 40, 4. Sic hunc locum nunc I. Bekkerus cum plerisque codd. suorum constituit. Antea enim legebatur *αὐθέντης· ὁ αὐτόχειρ, ἢ ὁ αὐτὸν ἀναιρῶν. διὸ παρ' Ἰσοκράτει αὐθέντης. Λυσίας δὲ ἐν τῷ ὑπὲρ τοῦ Ἐρατοσθένους πρὸς Ἰσόδημον κ. τ. λ.*, quae quantas turbas excitaverint, intelligitur ex iis, quae Spohnius exposuit ad Is. Paneg. p. 88 sq. E codicibus a Bekkero collatis E omittit vv. *ἐν τῷ ὑπὲρ — πρὸς Ἰσόδημον*, C articulum *τοῦ* et vv. *ἐν τῷ πρὸς Ἰσόδημον.* Ille articulus vero, qui est *τοῦ*, cum in codd. ceteris omnibus exstet, arguit etiam nunc in his verbis Harpocrationis aliquid

---

15. cf. de hoc instrumento Casaubonus ad Athen. 5 p. 209. F. et C. O. Müller. archaeol. §. 299, 10 et ad Festum s. v. *incitega*. 18. *ἐπιτήδειον* Sauppius: *ἐπιτήδειον εἶναι* b. *δ'*] *α* C. sed v. Athenaei 5 p. 196. A — 199. C. — De Daimacho cf. F. H. Clinton. F. H. 3 p. 483. 484. de Callixeno I. G. Vossius de hist. gr. p. 411. 22. *Καλλιξένῳ*] apud Athen. 5 p. 199. C. E. 25. *ἄνδρες*] *ὦ ἄνδρες* b. 28. *δικολογεῖσθαι* Bekkeri operae. 32. *τι*] *τὸ* Bekkerine operae an Bekkerus ipse? 33. aliquid deesse indicavit Bekkerus. Ultima quae exciderunt, fere haec fuerint: *εἶχε δὲ Λυσιμένης σκεῦος.* Cur Scheibius l. d. in v. *βουκεφάλια* haeserit, nescio. In incitega illa satyrorum ora et *capitula bubula* caelata erant. 36. *ταὐτὰ*] *τοιαῦτα* b.

vitii inesse. Puto igitur scribendum esse: *ἐν τῷ ὑπὲρ τοῦ Ἐρατοσθένους φόνου.* At, inquit, in hac oratione *αὐθέντης* non exstat. Scio; sed aut in lege aliqua earum erat, quas Euphiletus §. 28. 30. 31 recitari iubet, aut Harpocratio de orationis nomine erravit.]

XLVI. *ΠΡΟΣ ΕΤΕΟΚΛΕΑ ΠΕΡΙ ΧΡΗΜΑΤΩΝ,* *εἰ γνήσιος.*

95 *ἑβδομευομένου· Λυσίας ἐν τῷ πρὸς Ἐτεοκλέα περὶ χρημάτων, εἰ γνήσιος. τοῖς ἀποτεχθεῖσι παιδίοις τὰς ἑβδομάδας καὶ τὰς δεκάτας ἦγον, καὶ τά γε ὀνόματα ἐτίθεντο αὐτοῖς οἱ μὲν τῇ ἑβδόμῃ, ὡς καὶ ὁ ῥήτωρ λέγει, οἱ δὲ τῇ δεκάτῃ. Ἀριστοτέλης δ' ἐν θ' περὶ ζῴων ἱστορίας γράφει ταυτί· „τὰ πλεῖστα δὲ ἀναιρεῖται πρὸ τῆς ἑβδόμης· διὸ καὶ τὰ ὀνόματα τότε τίθενται ὡς πιστεύοντες ἤδη τῇ σωτηρίᾳ.“* Harpocrat.

XLVII. *ΠΕΡΙ ΤΩΝ ΙΔΙΩΝ ΕΥΕΡΓΕΣΙΩΝ.*

Cum de argumento orationis nihil certi traditum sit, suspicari licebit, hac oratione Lysiam de beneficiis exposuisse a se ipso in exsules Athenas recuperaturos collatis. Titulum igitur plenum orationis hunc fuisse puto *Πρὸς Ἀρχῖνον περὶ τῶν ἰδίων εὐεργεσιῶν.* cf. fragm. orat. 20.

96 1. *Κεῖοι. Λυσίας ἐν τῷ περὶ τῶν ἰδίων εὐεργεσιῶν· οἱ Κεῖοι μὲν πόλις τοσαύτη. Κέως μία τῶν Κυκλάδων νήσων, παρακειμένη τῇ Ἀττικῇ. τὴν νῆσον δὲ πόλιν ὠνόμασεν ὁ ῥήτωρ. καὶ Εὐριπίδης τὴν Εὔβοιαν· „Εὔβοι' Ἀθήναις ἐστί τις γείτων πόλις.“ Ἀριστοφάνης δὲ περὶ Σικελίας φησὶν „οἷα πόλις τάλαινα διαλυμαίνεται.“* Harpocrat. cf. Photius p. 167, 5.

97 2. *μεταπύργιον· Λυσίας ἐν τῷ περὶ τῶν ἰδίων εὐεργεσιῶν. τὸ ἐν μέσῳ οἰκοδόμημα τῶν ἐπὶ τοῦ τείχους πύργων μεταπύργιον ἐλέγετο. οὕτω καὶ Θουκυδίδης πολλάκις, ὥσπερ ἐν τῇ γ'.* Harpocrat.

98 3. *Φηγαιεῦσι· Λυσίας ἐν τῷ περὶ τῶν ἰδίων εὐεργεσιῶν. Φηγαιῆς δῆμος τῆς Αἰαντίδος, ὥς φησι Διόδωρος.* Harpocrat.

XLVIII. *ΠΡΟΣ ΕΥΘΙΑΝ ΥΠΕΡ ΤΩΝ ΔΗΜΙΟΠΡΑΤΩΝ.*

τὰ μὲν οὖν δημιόπρατα, οὐ μόνον τοὔνομα παρ' 99 *Ἀριστοφάνει ἐν τοῖς Ἱππεῦσίν ἐστιν· „ἐπίπαστα λείχων δημιόπραθ' ὁ βάσκανος.“ ἀλλὰ καὶ παρὰ τοῖς ἄλλοις κωμῳδοδιδασκάλοις· πρὸς δὲ καὶ Λυσίᾳ λόγος ἐστὶν ὑπὲρ τῶν δημιοπράτων πρὸς Εὐθίαν.* Pollux 10 §. 96.

XLIX. *ΚΑΤ' ΕΥΘΥΔΙΚΟΥ.*

ἀμφιδέαι εἰσὶ περισκελίδες τινές· Ἀριστοφάνης 100 *Θεσμοφοριαζούσαις. ἰδίως δὲ Λυσίας ἐν τῷ κατ' Εὐθυδίκου φησίν· οὐ δυνάμενος δ' ἐκβαλεῖν διὰ τὸ ἀμφιδέαις δεδέσθαι τὰς θύρας.* Harpocrat.

L. *ΥΠΕΡ ΕΥΘΥΝΟΥ.*

αὐτοτελῶς. σημαίνει μὲν τὸ τελείως. Λυσίας 101 *δὲ ἀντὶ τοῦ ὡς ἔτυχεν ἐχρήσατο, ὡς ἐν τῷ ὑπὲρ Εὐθύνου· καὶ τοῦτο ἐποιήσαμεν οὐκ αὐτοτελῶς, ἀλλ' ἀκριβῶς. τοιοῦτόν ἐστι καὶ τὸ παρ' Ὁμήρῳ αὐτόποκον ἱμάτιον. δηλοῖ γὰρ τὸ ἐξ αὐτοῦ τοῦ πόκου εὐθὺς εἰς κρόκην ἐργασθέν.* Bekk. anecd. p. 167, 32. cf. Bachm. anecd. 1 p. 168, 20.

LI. *ΚΑΤ' ΕΥΚΛΕΟΥΣ ΧΩΡΙΟΥ ΕΞΟΥΛΗΣ.*

αὐτομαχεῖν τὸ δι' ἑαυτοῦ δικάζεσθαι ἀλλὰ μὴ 102 *δι' ἑτέρου. οἷον ἐάν τις εἰς κρατῆρα ἀπάγῃ, πρὸς ἐκεῖνον ἀποφαίνει τὴν δίκην οὖσαν· καὶ ἐάν τις παρέχῃ τὸν διαμαρτυροῦντα μὴ εἰσαγώγιμον εἶναι τὴν δίκην, αὐτὸς μὲν οὐκέτι ἀγωνίζεται, πρὸς δὲ τὸν διαμαρτυρήσαντα ὁ ἀγών ἐστι. Λυσίας ἐν τῷ κατ' Εὐκλέους χωρίου ἐξούλης.* Harpocrat.

---

10. de hac re cf. G. A. Becker Charicl. 1 p. 23 sq. L. Dindorfius in thesauri stephan. vol. 3 p. 17: „*ἑβδομεύομαι*, inquit, *septima die nomen accipio.*“ Immo *septimam ago*, *ἑβδόμην ἑστιῶ.* 12. *ἑβδόμας* Dobreeus advers. 1 p. 586. sed v. Thomas Mag. p. 133, 3 R. 14. Aristot. hist. anim. 7, 12 p. 588, 8 Bk. 30. Euripidis versum esse de Ixione docet I. Pollux 9, 27. A. Matthiaeus omisit. 32. Aristoph. Pac. 251. 34. C. O. Müller. de muris Athenar. p. 48 sq. 36. Thucyd. 3, 22.

1. *Φηγαιῆς*] *φηγαιῆς* A, *φηγαιὸς* C, *φηγαλὸς* re. B: pr. enim om. Teste Stephano Byz. s. v. erant duo demi cognomines, alter tribus Aegeidis, alter Pandionidis. Prius alter eorum ad Aeantidem videtur pertinuisse, fortasse is, qui postea Aegeidis fuit, cum etiam Marathon Aeantidis fuerit. 7. Aristoph. Equ. 103. 10. *ἐστὶν* MS. Iung.: *ἐστὶν εἰρημένος* b. cf. fragm. 48. 15. *ἀμφιδέες* A, *ἀμφιδέας* E. Illud non abiecerim cum Lobeckio paralip. p. 256; nam Bekk. an. p. 354, 22 est *τὸν ἀμφιδέα*, apud Herodotum 2, 69 et Aristophanem *ἀμφιδέας* etiam ab *ἀμφιδεύς* esse potest, apud Hesychium ord. literarum *ἀμφιδέες* requirit. Lysiae *ἀμφιδέαις* nihil ostendit nisi duas formas eius nominis usurpatas esse. — Aristoph. Thesmoph. alter. frg. 6 v. 11 (Meinek. com. 2 p. 1079). Fritsch. ad Thesm. p. 612. 23. *ἐν* Sauppius: liber *ὥν.* *ὑπὲρ Εὐθύνου* Bekkerus: liber *ὑπερεὐθύνου.* 26. *αὐτόποκον* Pollux 7 §. 61 comicis tribuit. Apud Homerum non exstat. 32. cf. Meier. de lit. att. p. 528. Schoemann. eiusd. libri p. 650. 37. *κατ'*] *αὐτῷ* BF. quod Maussaci coniecturam confirmare videatur *Αὐτοκλέους* legendum esse (v. fragm. 50), sed cf. fragm. 18, ubi librariorum errorem similem notavimus.

LII. ΥΠΕΡ ΕΥΚΡΙΤΟΥ ΔΙΑΜΑΡΤΥΡΙΑ, εἰ γνήσιος.

De actione cf. Schoemannus de lit. att. p. 638 sq.

103 *ἀδηφάγους τριήρεις Λυσίας λέγει ἐν τῇ ὑπὲρ Εὐκρίτου διαμαρτυρίᾳ, εἰ γνήσιος ὁ λόγος, καὶ ἀδηφάγον πεντηκόντορον Φίλιστος· λέγοιεν δ' ἂν τὰς εντελομίσθους καὶ πολλὰ ἀναλισκούσας. ἔοικε δὲ ἐκ μεταφορᾶς τῶν ἵππων τῶν τελείων καὶ ἀγωνιστῶν λέγεσθαι, οἵτινες εἰώθασιν ἔδμεναι ἄδδην κατὰ τὸν ποιητήν. Ἀλκαῖος δὲ ἐν τῇ κωμῳδοτραγῳδίᾳ τοὺς πότας λύχνους ἀδηφάγους εἶπεν.* cf. Photius p. 9, 15. Apostolius prov. 1, 48 sqq. Arsenius viol. p. 19. *Λυσίας δὲ κατὰ μεταφορὰν ἐν τῇ ὑπὲρ Εὐκρίτου διαμαρτυρίᾳ τὴν ἐντελόμισθον ναῦν.* Hesychius 1 p. 92. cf. Photius p. 9, 25. Eustathius ad Od. p. 1349, 39. *πληρώματα δὲ ἐντελῆ, ἀκριβῆ, κατεσκευασμένα, εὐδόκιμα, ἐντελόμισθα· τὴν δὲ τοιαύτην ναῦν Λυσίας καὶ ἀδηφάγον εἴρηκε.* Pollux 1 §. 121. *ἀδηφάγους τριήρεις ἔλεγον τὴν πάραλον καὶ τὴν Σαλαμινίαν διὰ τὰ εἰς αὐτὰς ἀναλώματα.* Moeris p. 89. quae verba videntur docere, Lysiam de Paralo et Salaminia commemorasse, nam cum Moeris et ipse accusativum posuerit, etiam huius verba ad Lysiae locum pertinere puto. De his navibus cf. A. Boeckhius oecon. publ. Ath. 1 p. 184 et de re navali Ath. p. 168 sqq.

LIII. ΠΡΟΣ ΕΥΠΕΙΘΗ.

104 *δερμηστής· Λυσίας ἐν τῷ πρὸς Εὐπείθη. Δίδυμος μὲν ἀποδίδωσι τὸν σκώληκα οὕτω λέγεσθαι τῷ Σοφοκλεῖ ἐν Νιόβῃ ἐν ζ' τῆς ἀπορουμένης λέξεως, Ἀρίσταρχος δὲ τὸ Σοφόκλειον ἐξηγούμενος τὸν ὄφιν ἀπέδωκε. μήποτε δὲ μᾶλλον ἂν εἴη ὅστις τὰ δέρματα ἐσθίει δερμηστής, ὡς ὑποσημαίνεται καὶ ἐν ς' Μιλησιακῶν Ἀριστείδου.* Harpocrat.

LIV. ΚΑΤ' ΕΥΦΗΜΟΥ.

105 1. *λαμπάς· Λυσίας εν τῷ κατ' Εὐφήμου. τρεῖς ἄγουσιν Ἀθηναῖοι ἑορτὰς λαμπάδας, Παναθηναίοις καὶ Ἡφαιστίοις καὶ Προμηθείοις, ὡς Πολέμων φησὶν ἐν τῷ περὶ τῶν ἐν τοῖς προπυλαίοις πινάκων. Ἴστρος δ' ἐν α' τῶν Ἀτθίδων εἶπεν, ὡς ἐν τῇ τῶν Ἀπατουρίων ἑορτῇ Ἀθηναίων οἱ κάλλιστοι, καλλίστας στολὰς ἐνδεδυκότες, λαβόντες ἡμμένας λαμπάδας ἀπὸ τῆς ἑστίας, ὑμνοῦσι τὸν Ἥφαιστον θύοντες, ὑπόμνημα τοῦ κατανοήσαντα τὴν χρείαν τοῦ πυρὸς διδάξαι τοὺς ἄλλους.* Harpocrat.

106 2. *πυελίδα τὸ ὑφ' ἡμῶν λεγόμενον σφραγιδοφυλάκιον Λυσίας ἐν τῷ κατ' Εὐφήμου καὶ Ἀριστοφάνης Ἥρωσιν.* Harpocrat.

LV. ΠΕΡΙ ΤΟΥ ΗΓΗΣΑΝΔΡΟΥ ΚΛΗΡΟΥ.

107 1. *κακώσεως δίκης ὄνομά ἐστι ταῖς τε ἐπικλήροις κατὰ τῶν γεγαμηκότων, καὶ κατὰ τῶν παίδων τοῖς γονεῦσι, καὶ κατὰ τῶν ἐπιτρόπων τοῖς ὑπὲρ τῶν ὀρφανῶν [ἐπεξιοῦσι διδομένη]· Δημοσθένης κατὰ Τιμοκράτους καὶ Λυσίας ἔν τε τῷ περὶ τοῦ Ἡγησάνδρου κλήρου καὶ ἐν τῷ ὑπὲρ [• • καὶ Ὑπερείδης περὶ] τοῦ Πυρράνδρου κλήρου. ὅτι δὲ ἐξῆν καὶ παντὶ τῷ βουλομένῳ γράφεσθαι κακώσεως γονέων καὶ ταῖς ἐπικλήροις βοηθεῖν, δηλοῦται ἔν τε τῷ προειρημένῳ λόγῳ Ὑπερείδου καὶ ἐν τῷ Λυσίου κατὰ Φιλωνίδου βιαίων, εἰ γνήσιος. ἦν δὲ καὶ ἄνευ ὕδατος.* Harpocrat.

108 2. *Iuxta et prope et dativo et accusativo iunguntur. Plato Legum XII:* „*νῦν δ' ὅ τι τούτων ἐγγύτατα φιλοψυχίας ἕνεκα.*" *Λυσίας ἐν τῷ περὶ τοῦ Ἡγησάνδρου κλήρου: τοῖς ἐγγύτατα γένους συνῴκουν.* Priscianus 18, 23 p. 187 Krehl.

109 3. *Illi μέλλω ποιεῖν καὶ ποιῆσαι καὶ ποιήσειν. Λυσίας ἐν τῷ περὶ τοῦ Ἡγησάνδρου κλήρου· ὡς ἔμελ-*

---

5. *ἀδδηφάγους* BC. sed v. Pierson. ad Moerid. p. 89. Blomf. ad Aesch. Prom. v. 604. Ellendt. lex. soph. 1 p. 19. *ὑπὲρ*] *περὶ* BCFH. *διαμαρτία* H. 7. Philisti frg. 58 Göll. et Müll 10. Hom. Iliad. 5, 203. cf. Isocr. 6 §. 55. 11. Meinek. com. 1 p. 247 et 2 p. 830. 14. *διαμαρτυρίᾳ* Valesius: codex *μαρτυρίᾳ*. 30. *δερμηστής* Bekkerus: *δερμαιστής* E, *δερμιστής* reliqui. cf. Ellendt. lex. soph. s. v. et Valck. ad Herodoti 8, 95. *Εὐπείθη* A: *Εὐπείθην* b. cf. frg. 110. 32. Sophoclis frg. 397 Ddf. 35. *δερμιστής* libri.

3. de lampadephoriis cf. Boeckh. oecon. publ. Ath. 1 p. 496 sq. Broendsted. itiner. graec. 2 p. 290. Preller ad Polem. p. 41. 5. *Ἡφαιστίοις* C: *Ἡφαιστείοις* b. cf. Corp. Inscr. 1 p. 343. Andocid. 1 §. 132. 5. Polemon. frg. 6 p. 41 Preller. 7. Istri frg. 3 Müller. *εἶπεν*] *εἰπὼν* b. nescio unde. 8. *κάλλιστοι* ego addidi. 10. *θύοντες* libri: *θέοντες* cum Valesio b. sed cf. Welcker de trilog. aeschyl. p. 289. Meier. de gentil. att. p. 13 Weisk. de Prometh. p. 538. *κατανοήσαντα* Bekkerus: libri *κατανοήσαντος*. 14. Meinek. com. 2 p. 1074. 19. cf. Meier. de lit. att. p. 287 sqq. 22. *ἐπεξιοῦσι διδομένη* ego addidi, coll. Photio p. 126, 9 et Bekk. anecd. p 269, 3. 4. — Demosth. 24 §. 103. 24. • • *καὶ Ὑπερείδης περὶ* ego addidi. Nam primum orationem de Pyrrhandri hereditate ab Hyperide scriptam esse ostendit v. 27. Deinde duas orationes Lysiae commemoratas esse evincit v. 23 *ἔν τε τῷ*. Denique dici solet *περὶ τοῦ — κλήρου*. Commemoratur quidem *ὁ τῆς κακώσεως νόμος* apud Lysiam or. 13 §. 91, sed vestigia quae in codd. Harpocrationis exstant eo ducunt, ut ad aliam Harpocratio orationem respexisse videatur. 27. erat *Ὑπερίδου*. 31. Plat. Legg. 12 p. 944. E. 32. *Ἡγησάνδρου* Krehlius: libri *ἀγησάνδρου*. 33. *κλήρου· τοῖς ἐγγύτατα γένους συνῴκουν* Spengel (ad Varron. p. 632): *ΚΛΗΡΟΥ ΤΟΥC . . . ΓΕΝΟΙC CΥΝωΚΟΙΝ* cod. Mon., *πρὸς τοὺς ἐγγύτατα γένους συνοικοίη* Putschius, *κἂν τούτοις ἐγγύτατα γένοιο συνοικῶν* reliqui. 36. *κλήρου* cod. monac. (Spengel ad Varr. p. 631) et paris. (Pressel l. d. p. 149): *κλήρων* reliqui. *ὡς*] *OC* mon.

λεν ἐπί τε τοὺς βωμοὺς ἰέναι καὶ τὰ νομιζόμενά γε ποιήσειν. Priscianus 18, 25 p. 221 Krehl.

LVI. *ΠΡΟΣ ΘΕΟΠΕΙΘΗ ΕΠΙΤΡΟΠΗΣ ΕΠΙΛΟΓΟΣ.*

110 *ἐπιδιατίθεσθαι· Λυσίας ἐν τῷ πρὸς Θεοπείθη ἐπιτροπῆς ἐπιλόγῳ. ἐπιδιατίθεσθαί ἐστι τὸ συνθήκας τινὰς ποιεῖσθαι κατατιθεμένους τι ῥητὸν ἀργύριον παρά τινι τῶν μεταξὺ γινομένων, ὥσπερ ἐγγυᾶται ἑκατέρῳ ὥστε εἰ ἡ πρᾶξις γένοιτο θατέρῳ πάντως τὸ ὡμολογημένον ἀργύριον ἀποδοῦναι. τὸ δὲ πρᾶγμα αὐτὸ λέγεται ἐπιδιαθήκη. ὡς ὁ αὐτὸς ῥήτωρ ἐν τῷ ὑπὲρ Νησοκλέους δηλοῖ.* Harpocrat.

LVII. *ΚΑΤΑ ΘΕΟΠΟΜΠΟΥ ΑΙΚΙΑΣ.*

111 *λεκτέον δὲ ὀξύγαρον διὰ τοῦ ῡ καὶ τὸ δεχόμενον αὐτὸ ἀγγεῖον ὀξύβαφον· ἐπεὶ καὶ Λυσίας ἐν τῷ κατὰ Θεοπόμπου αἰκίας εἴρηκεν· ἐγὼ δ' ὀξύμελι πίνω. οὕτως οὖν ἐροῦμεν καὶ ὀξυρόδινον.* Athenaeus 2 p. 67. E.

LVIII. *ΠΕΡΙ ΤΟΥ ΘΕΟΠΟΜΠΟΥ ΚΛΗΡΟΥ.*

112 *ὀργέων ἀντὶ τοῦ ὀργεώνων Λυσίας ἐν τῷ περὶ Θεοπόμπου κλήρου.* Harpocrat.

LIX. *ΚΑΤΑ ΘΕΟΣΔΟΤΙΔΟΥ.*

113 *προβολὴ δὲ ἦν ἡ κλῆσις εἰς δίκην κατὰ τῶν κακόνως πρὸς τὸν δῆμον διακειμένων· προβολαὶ δὲ ἐγίγνοντο τοῦ δήμου ψηφισαμένου καὶ κατὰ τῶν εὐνουστάτων τῇ πόλει, ὡς Λυσίας ἐν τῷ κατὰ Θεοσδοτίδου, περὶ ἀμφοῖν λέγων.* Pollux 8 §. 46. Verba priora *προβολὴ — διακειμένων* cum iis quae sequuntur coniungenda esse patet. Quod cum neglexissent Schoemannus de com. Ath. p. 232 et Hoelscherus, satis mira proposuerunt.

LX. *ΚΑΤΑ ΘΡΑΣΥΒΟΥΛΟΥ,* *εἰ γνήσιος.*

Thrasybulum Stiriensem intelligendum esse patet, nam omnia quae Harpocratio ex hac oratione protulit, ad ultimam illam Thrasybuli expeditionem navalem pertinent, de qua Xenophon Hellen. 4. 1, 25 sqq. exponit. Anaxibius a Lacedaemoniis harmostes Abydum missus est, cum comperissent, quam bene Thrasybulus in Hellesponto rem gereret, §. 31. Dicaeopolis Thraciae urbs erat, in cuius ora Thrasybulus versabatur: §. 26. Pyrrha inter eas Lesbi urbes fuerit, quas cum defecissent Thrasybulus recepit: §. 28. Cum Seuthe Thrasybulum egisse et Xenophon testatur §. 26 et Lysias or. 28 §. 5. Struthes denique tum in ora maritima imperium tenebat: Xen. l. d. §. 17. Thrasybulum igitur a Lysia accusatum esse suspicatur J. G. Schneiderus ad Xen. l. d. §. 24. Sed Thrasybulus antequam Athenas rediit ab Aspendiis interfectus est: Xen. l. d. §. 30. Lys. or. 28 §. 8., quanquam si rediisset futurum fuisse ut capite damnaretur ex hoc ipso Lysiae loco intelligimus. Quae cum ita sint, Hoelscheri et Sieversii (hist. graec. p. 105) iudicium probo, qui eam genuinam esse negant. Videtur declamatio rhetoris recentioris fuisse, similis orationi quam contra Alcibiadem Andocides fertur composuisse. Lysiae tributa est a grammaticis ob orationem duodetricesimam.

1. *Ἀναξίβιος· Λυσίας ἐν τῷ κατὰ Θρασυβούλου. Λακεδαιμονίων δὲ ἦν στρατηγός.* Harpocrat. 114

2. *Δικαιόπολις. Λυσίας ἐν τῷ κατὰ Θρασυβούλου, εἰ γνήσιος. πόλις ἐν τῇ Θρᾴκῃ πλησίον Ἀβδήρων. τυχὸν δὲ καὶ ἑτέρα τίς ἐστι Δικαιόπολις.* Harpocrat. 115

3. *ἐπιθέτους ἑορτάς· Ἰσοκράτης Ἀρεοπαγιτικῷ. τὰς μὴ πατρίους ἄλλως δ' ἐπιψηφισθείσας ἐπιθέτους ἐκάλουν. ἐλέγετο δὲ παρ' αὐτοῖς καὶ ἄλλα ἐπίθετά τινα, ὁπόσα μὴ πάτρια ὄντα ἡ ἐξ Ἀρείου πάγου βουλὴ ἐδίκαζεν, ὡς σαφὲς ποιεῖ Λυσίας ἐν τῷ πρὸς τὴν Μιξιδήμου γραφήν. ἐπιθέτους δὲ ἐπιστολὰς Λυσίας ἐν τῷ κατὰ Θρασυβούλου τινὰς ὀνομάζει, λέγοι δ' ἂν τὰς δοθείσας τισὶν ὥστε διακομίσαι· λέγειν γὰρ ἦν εἰθισμένον „ἐπέθηκεν ἐπιστολήν" ἀντὶ τοῦ παρέδωκεν, ὡς Δημοσθένης ἐν τῷ ὑπὲρ Χρυσίππου πρὸς τὴν Φορμίωνος παραγραφήν. Κρατῖνος δ' ἐν Τροφωνίῳ . . . .* Harpocrat. 116

4. *Ἰσμηνίας· Λυσίας ἐν τῷ κατὰ Θρασυβούλου, εἰ γνήσιος. εἷς τῶν παρὰ Θηβαίοις ἦν πολέμαρχος ἐπιφανής.* Harpocrat. 117

5. *Πολύστρατος· Λυσίας ἐν τῷ κατὰ Θρασυβού-* 118

---

1. *ἰέναι* Bekkerus: libri *εἶναι*. *τὰ* ego addidi. 6. cf. Meier. de lit. att. p. 521 sq. Demosth. 33 §. 13. 18. de oxybaphis cf. J. L. Ussing de nominibus vasor. graec. p. 162 sqq. 25. *περὶ*] fort. *περὶ τοῦ*. — De orgeonibus cf. C. F. Herm. antiqu. publ. Graec. §. 99. 30. *ἦν* addidi cum MS. Iungerm. 31. *ἐγίγνοντο* MS. Iung.: erat *γίγνονται*. 32. *κατὰ* ego addidi. 34. *λέγων* addidi cum MS. Iungerm. — De nomine Theosdotidae exposui in Welckeri et Ritschelii mus. rhenan. 4 p. 138 sq.

1. de Anaxibio cf. Sievers. hist. gr. p. 38 et 132 sqq. G. Weber de Gytheo p. 67 et 90. 29. Isocr. 7 §. 29. 33. cf. fragm. or. XCI. *τὴν — γραφὴν* AB. 38. Demosth. or. 34 §. 28. 39. Meinek. com. 2 p. 142 sq. 41. *κατ ἐρασιβούλου* C. 42. *παρὰ Θηβαίοις* H. Valesius: *παρ' Ἀθηναίοις* b. De Ismenia Thebano, qui Thrasybulum exsulem pecunia adiuverat, cf. Sievers. hist. gr. p. 157 sqq. Winckelm. praef. Platon. turic. minoris vol. 9 p. VIII sqq.

λου, εἰ γνήσιος. Πολύστρατος αἰτίαν ἔχων τοὺς Ἑρμᾶς περικόψαι ἀνῃρέθη ὑπὸ Ἀθηναίων. ἕτερος δ' ἂν εἴη Πολύστρατος ὑπὲρ οὗ λόγος ἐστὶ Λυσίᾳ ἐπιγραφόμενος „ὑπὲρ Πολυστράτου δήμου καταλύσεως ἀπολογία." ἄλλος δ' ἂν εἴη Πολύστρατος οὗ καὶ Δημοσθένης μνημονεύει ἐν Φιλιππικοῖς, λέγων αὐτόν ποτε ἐν Κορίνθῳ ξενικὸν τρέφειν. μήποτε μέντοι ἐνταῦθα δεῖ γράφειν Πολύτροπον ἀντὶ τοῦ Πολυστράτου. παρὰ μηδενὶ γάρ φησιν ὁ Δίδυμος εἰρηκέναι τὸν Πολύστρατον ἡγησάμενον τοῦ ἐν Κορίνθῳ ξενικοῦ. τὸν Πολύτροπον μὲν οὖν ἐν τῇ ς' τῶν Ἑλληνικῶν Ξενοφῶντος εὗρον· ἀλλ' οὔτε τὸ ξενικὸν τοῦτο ἔφησεν ὁ Ξενοφῶν τρέφεσθαι ὑπ' Ἀθηναίων, οὔτε αὐτὸς Ἀθηναῖος ἦν ὁ Πολύτροπος. Harpocrat.

119 6. Πύρρα· Λυσίας ἐν τῷ κατὰ Θρασυβούλου, εἰ γνήσιος. Πύρρα μία πόλις ἐστὶ τῶν ἐν Λέσβῳ, ὡς μαρτυροῦσιν οἱ τὰς περιόδους γράψαντες. Harpocrat.

120 7. Σεύθης· Λυσίας ἐν τῷ κατὰ Θρασυβούλου. ἔστι δὲ εἷς τῶν ἐν Θρᾴκῃ βασιλέων. Harpocrat.

121 8. Στρούθης· Λυσίας ἐν τῷ κατὰ Θρασυβούλου. σατράπης τις βασιλέως ἦν. Harpocrat.

LXI. ΠΡΟΣ ΙΠΠΟΘΕΡΣΗΝ.

122 1. ἀφανὴς οὐσία καὶ φανερά. ἀφανὴς μὲν ἡ ἐν χρήμασι καὶ σώμασι καὶ σκεύεσι, φανερὰ δὲ ἡ ἔγγειος· Λυσίας ἐν τῷ πρὸς Ἱπποθέρσην. Harpocrat.

123 2. Ἱερώνυμος· Λυσίας ἐν τῷ πρὸς Ἱπποθέρσην. Ἱερωνύμου τοῦ στρατηγήσαντος Ἀθηναίων ἄλλοι τε μνημονεύουσι καὶ Ἔφορος ἔν τε τῇ ιη' καὶ ἐν τῇ ιθ'. ἕτερος δ' ἐστὶν Ἱερώνυμος Μεγαλοπολίτης, οὗ μνημονεύει Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου. ὅτι δ' οὗτος ἦν τῶν μακεδονιζόντων μάλιστα, καὶ Θεόπομπος εἴρηκεν ἐν τῇ να'. Harpocrat.

LXII. ΠΡΟΣ ΤΟΥΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΑΙΔΑΣ.

ὁ δὲ Λυσίας ἀνδρὶ ὑπὸ τῶν ἀδελφῶν τῆς ἑαυτοῦ γυναικὸς ἐγκαλουμένῳ κακῆς ἐπιτροπῆς συγγράψας λόγον τοιούτῳ κέχρηται τῷ προοιμίῳ·

124 Οὐχ ἱκανόν, ὦ ἄνδρες δικασταί, τοῖς ἐπιτρόποις, ὅσα πράγματα διὰ τὴν ἐπιτροπείαν ἔχουσιν, ἀλλὰ καὶ διασῴζοντες τὰς τῶν φίλων οὐσίας συκοφαντοῦνται ὑπὸ τῶν ὀρφανῶν πολλοί· ὅπερ κἀμοὶ νῦν συμβέβηκεν. ἐγὼ γάρ, ὦ ἄνδρες δικασταί, καταλειφθεὶς ἐπίτροπος τῶν Ἱπποκράτους χρημάτων καὶ διαχειρίσας ὀρθῶς καὶ δικαίως τὴν οὐσίαν καὶ παραδοὺς τοῖς υἱοῖς δοκιμασθεῖσι τὰ χρήματα, ὧν ἐπίτροπος κατελείφθην, συκοφαντοῦμαι νῦν ὑπ' αὐτῶν ἀδίκως. Dionysius vol. 5 p. 599, 12. cf. p. 600, 8.

LXIII. ΠΡΟΣ ΙΣΟΔΗΜΟΝ.

αὐθέντης· Λυσίας — ἐν τῷ πρὸς Ἰσόδημον ἰδίως 125 ἔταξεν ἐπὶ τῶν λ', οἳ δι' ἑτέρων εἰργάζοντο τοὺς φόνους. Harpocrat. cf. frg. orat. 45b.

LXIV. ΠΡΟΣ ΙΣΟΚΡΑΤΗΝ ΑΙΚΙΑΣ.

De actione, quae *αἰκίας* erat, v. Meier. de lit. att. p. 547 sq.

1. ὕβρις· ἡ μετὰ προπηλακισμοῦ καὶ ἐπηρείας 126 αἰκία· αἰκία δὲ πληγαὶ μόνον. Λυσίας ἐν τῷ περὶ αἰκίας πρὸς Ἰσοκράτην· καίτοι τίς οὐκ οἶδεν ὑμῶν, ὅτι τὴν μὲν αἰκίαν χρημάτων ἔστι μόνον τιμῆσαι, τοὺς δὲ ὑβρίζειν δόξαντας ἔξεστιν ὑμῖν θανάτῳ ζημιοῦν; Photius p. 614, 10. Etym. M. p. 774, 13.

2. προβολαὶ δὲ ἦσαν καὶ αἱ τῆς συκοφαντίας γρα- 127 φαί, ὡς Λυσίας ἐν τῷ πρὸς Ἱπποκράτην αἰκίας. Pollux 8 §. 46. I. Bekkerus aliique homines docti videntur recte statuisse Hippocratis nomen errori vel Pollucis vel librariorum deberi.

[LXV. ΥΠΕΡ ΙΦΙΚΡΑΤΟΥΣ ΠΡΟΔΟΣΙΑΣ ΑΠΟΛΟΓΙΑ.

Recte mihi Dionysium videri etiam hanc orationem a Lysia abiudicasse supra dixi ad frg. orationis undevicesimae. Menestheum, Timotheum, Iphicratem, Charetis in bello sociali gerendo collegas, Aristophon Azeniensis proditionis accusavit, cum rationem exhiberent eorum, quae in magistratu fecissent. Iphicrates rerum gestarum defensionem suscepit, Menestheus pecuniarum rationem reddidit. Hi a iudicibus absoluti, Timotheus vero grandi pecuniae summa multatus est: Isocr. 15 §. 129. cf. C. Rehdantz vit. Iphicratis Chabr. et Tim. p. 224 sqq.

---

3. Lysiae or. 25. 5. καὶ addidi cum ABC. — Demosth. 4 §. 23, ubi videantur quae adnotavi. 11. Xenoph. Hell. 6. 5, 11. 15. πύρραι BC. — De Pyrrha urbe cf. Schneid. ad X. Hellen. 1. 6, 16. 25. cf. Meier. de lit. att. p. 490. 28. De Hieronymo cf. Schneider. ad Xen. Hell. 4. 8, 8. 30. Ephori frg. 135 Müll. 32. Demosth. or. 19 §. 11. 18 §. 295. 33. Theopomp. frg. 256. 42. ἐπιτροπείαν A Grosii p. 600, 9: hic omnes ἐπιτροπίαν, p. 600 ceteri ἐπιτροπήν.

3. διαχειρήσας A Grosii. 20. ἐπηρείας αἰκία Etym.: ἐπηρείας Suidas, ἐπηρείας καὶ αἰκίας Photius. 23. ἔστι Bekkerus: erat ἐστὶ. 28. ὡς addidi Iungermanno auctore.

128 1. *ἄλλος (τόπος τῶν δεικτικῶν ἐνθυμημάτων) ἐκ τῶν εἰρημένων καθ' αὑτοὺς πρὸς τὸν εἰπόντα· διαφέρει δὲ ὁ τρόπος, οἷον ἐν τῷ Τεύκρῳ· ᾧ ἐχρήσατο Ἰφικράτης πρὸς Ἀριστοφῶντα· ἐπερόμενος εἰ προδοίη ἂν τὰς ναῦς ἐπὶ χρήμασιν, οὐ φάσκοντος δὲ εἶτα εἶπεν σὺ μὲν ὢν Ἀριστοφῶν οὐκ ἂν προδοίης, ἐγὼ δ' ὢν Ἰφικράτης;* Aristoteles rhetor. 2, 23 p. 1398 a 3 Bk. *Inde enim illa nobilis Scauri defensio: »Q. Varius Sucronensis ait Aemilium Scaurum rem publicam populi Romani prodidisse, Aemilius Scaurus negat.« Cui simile quiddam fecisse Iphicrates dicitur; qui cum Aristophontem, quo accusante similis criminis reus erat, interrogasset, an is accepta pecunia rem publicam proditurus esset, isque id negasset: Quod igitur, inquit, tu non fecisses, ego feci?* Quintilianus inst. or. 5, 12. *ἆρ' οὖν περὶ μὲν τῆς δωρεᾶς ἀπολογούμενος* (Iphicrates: cf. supra or. 19.) *παρρησίᾳ τινὶ χρώμενος φαίνεται, κινδυνεύων δ' ὑπὲρ τῆς ψυχῆς ὑπ' Ἀριστοφῶντος μετέθετο; ἀλλὰ κἀκεῖ τὴν φύσιν διεσώσατο. ἐρόμενος γὰρ τὸν Ἀριστοφῶντα, ὥς φασι· σὺ δ' αὐτὸς εἰ κύριος ἦσθα τῶν νεῶν, πότερον προὔδωκας ἂν ἢ οὔ; ἐπειδὴ ἀπέφησεν ὁ Ἀριστοφῶν· εἶτα σὺ μὲν οὐκ ἂν προὔδωκας ὢν Ἀριστοφῶν, Ἰφικράτης δὲ προὔδωκεν;* Aristides or. 49. vol. 2 p. 519 Ddf. cf. Valcken. diatrib. p. 211. Apparet Lysiae sive Iphicratis verba nos non ipsa habere. Ille rem, opinor, ita instituerat, ut diceret: *Num tu pecunia accepta naves prodidisses? Certe negabis. Quod igitur tu non fecisses, ego feci?*

129 2. *καὶ ὡς Ἰφικράτης εἶπεν· ἡ γὰρ ὁδός μοι τῶν λόγων διὰ μέσων τῶν Χάρητι πεπραγμένων ἐστίν. μεταφορὰ κατ' ἀναλογίαν καὶ τὸ διὰ μέσων πρὸ ὀμμάτων ποιεῖ.* Aristoteles rhetor. 3, 11 p. 1411 b 1 Bk. ad quem l. Scholiasta anonymus parisiensis fol. 65 versi v. 28: (Iphicrates) *ᾐτιᾶτο τὸν δῆμον ὡς ἀχάριστον καὶ μὴ εὐχαριστοῦντα τοῖς εὐεργέταις καὶ δεῖξαι τὴν ἀχαριστίαν αὐτῶν ὑποσχεθεὶς ἔφη τὴν ὁδὸν αὐτῷ γίνεσθαι* (erat *αὐτῷ γενέσθαι*) *τῆς ἀποδείξεως διὰ μέσων τῶν πεπραγμένων τῷ Χάρητι· πολλὰ γὰρ ὠφελήσας τὴν πόλιν οὐκ ἀξίως εὐεργετήθη παρ' αὐτῶν.* Sed haec male inventa sunt, Iphicrates se et collegas accusatos defendens exponit, quam male Chares rem gesserit. Hoc facturus dixit, iter orationis suae ferre per medias Charetis res gestas, quasi de itinere per hostium fines faciundo diceret.

130 3. *καὶ ὁ Λυσίας τὸν Ἰφικράτην ποιεῖ λέγοντα· τραύματα ἔχων οὐχ ἑτέρων ἐπ' ἐμὲ ἐρχομένων, ἀλλ' αὐτὸς ἐπιών.* Schol. Hom. Iliad. p. 364 b 22 Bk. ubi quae sequuntur Lysiae non continuanda esse intellexit A. Meinekius cur. crit. in comicor. fragm. p. 34. cf. com. gr. vol. 4 p. 687. Sententia videbatur huic orationi melius convenire, quam priori adversus Harmodium habitae. Vulneribus adversis fortitudinem comprobat, qua non tantum hostium ingruentium impetus repressit, sed ipse iis obviam profectus est.

131 4. 5. *κρινόμενος δὲ θανάτου πρὸς τὸν συκοφάντην Οἷα ποιεῖς, ὦ ἄνθρωπε, εἶπε, πολέμου περιεστῶτος τὴν πόλιν περὶ ἐμοῦ πείθων βουλεύεσθαι καὶ μὴ μετ' ἐμοῦ!* Plutarchus moral. p. 187. B. *μηδ' ὥσπερ Ἰφικράτης ὑπὸ τῶν περὶ Ἀριστοφῶντα* 132 *καταρρητορευόμενος λέγῃ· Βελτίων μὲν ὁ τῶν ἀντιδίκων ὑποκριτής, δρᾶμα δὲ τοὐμὸν ἄμεινον.* Plutarchus moral. p. 801. F. Haec coniunxi, quod dubitari potest, utrum in oratione aliqua dicta fuerint an apophthegmata Iphicratis habenda sint, quorum magna multitudo memoriae prodita est. Certe fragmentum primum hujus orationis ostendit, multa quae in orationibus ipsis locum habuissent deinde apophthegmatis speciem induisse.

133 6. *αὑτόν· Σοφοκλῆς ἀντὶ τοῦ ἐμαυτόν καὶ Λυσίας ἐν τῷ κατὰ Ἰφικράτους καὶ πολλοὶ ἄλλοι. σημαίνει δὲ καὶ τὸ μόνος.* Bekk. anecd. p. 467, 28. Hoelscherum haec recte ad hanc orationem retulisse censeo, quanquam illam prothesin *κατὰ* grammatico ipsi tribuerim.

Hoelscherus p. 171 etiam Themistium or. 4 p. 68, 11 Ddf. ad hanc Iphicratis orationem respexisse putabat: (*Κωνστάντιος*) *μικροῦ ὥσπερ Τιμόθεος Ἀθηναίοις καὶ Χαβρίας καὶ Ἰφικράτης, οἱ τῷ δήμῳ ὑπεύθυνοι στρατηγοί, χωρία τε πολέμια ἐξηγούμενος καὶ ποταμοὺς καὶ τενάγη καὶ νάπας καὶ τάφρους καὶ χαρακώματα καὶ ὁπλιτῶν ἐπιθέσεις καὶ ἱπποκρατίας.* sed in his verbis nihil inest nisi Constantium imperatorem modestia parem fuisse ducibus Atheniensium, qui populo rationem reddere deberent.]

LXVI. *ΥΠΕΡ ΚΑΛΛΑΙΣΧΡΟΥ.*

134 *ἄβακα δ' εἰ βούλοιό τι τῶν τοῦ μαγείρου σκευῶν καλεῖν, προσχρηστέον σοι Κρατίνῳ ἐν Κλεοβουλίναις λέγοντι· „ἐπέδωκε βαλάνων ἄβακα τῶν ἐκ Πιτθέων.“ καὶ ἀβάκιον δ' ἂν αὐτὸ εἴποις· ἐφ' ἑτέρου μὲν γὰρ εἴρηται ὑπὸ Λυσίου ἐν τῷ ὑπὲρ Καλλαίσχρου· μετ' ἀβακίου δὲ καὶ τραπεζίου πωλῶν ἑαυτόν· χρῆσθαι δ' ἔξεστι τῷ ὀνόματι καὶ ἐπὶ τοῦ ὀψοφόρου σκεύους.* Pollux 10 §. 105.

b. 22. cf. F. Ellendt. lex. soph. 1 p. 272 sq. 42. Meinek. com. 2 p. 69. 43. *Πιτθέων* Sauppius: *φιττέως* libri. *Φελλέως* cum Bentleio Meinekius, sed v. epist. crit. ad God. Hermannum p. 64. 45. *ἀβακίου*] de *tabula lusoria* interpretatur T. Hemsterhusius. Etiam de servo argentarii cogitari potest, qui una cum abaco et mensula se alii vendiderit.

LXVII. ΚΑΤΑ ΚΑΛΛΙΟΥ ΕΝΔΕΙΞΕΩΣ.

135 *ἐωνηκώς· ἀντὶ τοῦ ἐωνημένος. Λυσίας κατὰ Καλλίου ἐνδείξεως.* Bekk. anecd. p. 95, 25.

LXVIII. ΚΑΤΑ ΚΑΛΛΙΟΥ ΥΒΡΕΩΣ.

136 *παιδίσκην δὲ τὴν θεραπαινίδα Λυσίας ὠνόμασεν, εἰ καὶ ἀμφίβολόν ἐστι τοὔνομα πότερον ἡλικίας ἢ τύχης· λέγει γὰρ ἐν τῷ κατὰ Καλλίου ὕβρεως· καὶ ἐξελθοῦσα ἡ παιδίσκη τὴν θύραν ἀνοίγνυσι.* Pollux 3 §. 76.

ΥΠΕΡ ΚΑΛΛΙΟΥ.

Hanc orationem non puto diversam esse a quinta, cuius pars posterior deperdita est, cum in cod. X inter folium 35 et 36 duo folia exciderint, vel quatuor paginae fere Lysiae turicensis minoris. Verba igitur ab Harpocratione allata in hac parte deperdita locum habuisse existimo. *οὗτοι* servi Calliae fuerint, qui fundum sacrum a domino maiore pretio conductum esse dicerent, quam Callias ipse concedebat. Quo factum est, ut res aliqua, quam Callias ut suam vindicaverat, pignus esse et Callias eo abrepto sacrilegus esse videretur.

137 *τίμημα ἀντὶ μὲν τοῦ ἐνέχυρον καὶ οἷον ἀποτίμημα Λυσίας ἐν τῷ ὑπὲρ Καλλίου· οὗτοι δὲ φάσκοντες πλείονος μισθώσασθαι καὶ τίμημα καταστήσασθαι. τοῦτο δ' ἐν τοῖς ἑξῆς ἀποτίμημα καλεῖ.* Harpocrat.

LXIX. ΠΡΟΣ ΚΑΛΛΙΚΛΕΑ.

138 *ἀπόμισθος· ἄμισθος, ὁ μισθοῦ ἔργον τι διαπραξάμενος καὶ ἀφειμένος. κεῖται ἡ λέξις παρὰ Λυσίᾳ ἐν τῷ πρὸς Καλλικλέα. ἀπόμισθοι δὲ παρὰ Δημοσθένει οἱ μισθὸν μὴ λαβόντες.* Suidas 1, 1 p. 632, 9. cf. Bekk. anecd. p. 431, 21 sqq.

LXX. ΠΡΟΣ ΚΑΛΛΙΠΠΙΔΗΝ.

139 *λάρκος· Λυσίας ἐν τῷ πρὸς Καλλιππίδην. λάρκος ἐστὶ φορμὸς εἰς ὃν ἄνθρακας ἐνέβαλλον. κέχρηνται τῷ ὀνόματι ἄλλοι τε καὶ Ἀριστοφάνης Ἀχαρνεῦσιν.* Harpocrat.

LXXI. ΠΡΟΣ ΚΑΛΛΙΦΑΝΗ ΞΕΝΙΑΣ.

εἰ γνήσιος.

νοθεῖα. τὰ τοῖς νόθοις ἐκ τῶν πατρῴων διδόμενα οὕτω καλεῖται, ἦν δὲ μέχρι χιλίων δραχμῶν· Λυσίας ἐν τῷ πρὸς Καλλιφάνη ξενίας, εἰ γνήσιος, Ἰσαῖος πρὸς Λυσίβιον περὶ ἐπικλήρου. Ἀριστοφάνης Ὄρνισι „τί δ' ἦν ὁ πατήρ ἐμοὶ διδῷ τὰ χρήματα τὰ νοθεῖ' ἀποθνήσκων; ὁ νόμος αὐτὸν οὐκ ἐᾷ." τίνων δ' οὐκ ἐξῆν τοῖς νόθοις μετέχειν, δεδήλωκεν Ὑπερείδης τε ἐν τῷ κατ' Ἀρισταγόρας β' . . . Δημοσθένης δ' ἐν τῷ κατ' Ἀριστοκράτους φησὶν ὡς εἰς τὸ Κυνόσαργες ἐτέλουν. Harpocrat. 140

LXXII. ΚΑΤΑ ΚΑΛΛΙΦΩΝΤΟΣ.

A. Maius (script. veterum nov. collect. 2 p. 581) tradit in codice vaticano saeculi duodecimi, qui cum compluribus aliis libellis commentarium in Hermogenem contineat, commemorari Lysiae orationem *κατὰ Καλλιφῶντος*. 141

LXXIII. LXXIV. ΠΡΟΣ ΚΙΝΗΣΙΑΝ ΛΟΓΟΙ Β.

De Cinesia cf. A. Meinekius com. gr. 1 p. 227 sqq.

Κινησίας. Λυσίου β' λόγοι εἰσὶ πρὸς Κινησίαν, ἐν οἷς πολλάκις μνημονεύει τἀνδρός, λέγων ὡς ἀσεβέστατος εἴη καὶ παρανομώτατος, καὶ ὅτι καὶ οἱ κωμῳδοδιδάσκαλοι καθ' ἕκαστον ἐνιαυτὸν γράφουσιν εἰς αὐτόν. εἴη δ' ἂν οὗτος ὁ διθυραμβοποιός, οὗ μέμνηνται πολλάκις οἱ κωμικοὶ καὶ Στράττις ὅλον δρᾶμα ποιήσας εἰς αὐτόν, ὅπερ ἐπεγράφη Κινησίας, ἐν ᾧ καὶ τὴν ἀσέβειαν αὐτοῦ κωμῳδεῖ. Harpocrat. 142

a. ΥΠΕΡ ΦΑΝΙΟΥ ΠΑΡΑΝΟΜΩΝ.

ὅτι δὲ ἦν ὁ Κινησίας νοσώδης καὶ δεινὸς τἆλλα Λυσίας ὁ ῥήτωρ ἐν τῷ ὑπὲρ Φανίου παρανόμων ἐπιγραφομένῳ λόγῳ εἴρηκε, φάσκων αὐτὸν ἀφέμενον τῆς τέχνης συκοφαντεῖν καὶ ἀπὸ τούτου πλουτεῖν. ὅτι δὲ ὁ ποιητής ἐστι καὶ οὐχ ἕτερος, σαφῶς αὐτὸς ὢν σημαίνεται ἐκ τοῦ καὶ ἐπὶ ἀθεότητι κωμῳδούμενον ἐμφανίζεσθαι καὶ διὰ τοῦ λόγου τοιοῦτον δείκνυσθαι. λέγει δ' οὕτως ὁ ῥήτωρ· 143

Θαυμάζω δὲ εἰ μὴ βαρέως φέρετε ὅτι Κινησίας ἐστὶν ὁ τοῖς νόμοις βοηθός, ὃν ὑμεῖς πάντες ἐπι-

---

11. *παιδίσκη*] cf. Lysiae or. 1 §. 12, 13 §. 67. 27. *τίμημα* eodem sensu usurpatur in titulo 82 corp. inscr. boeckh. ubi v. 21 legendum est *ὃς ἂν πείθη τοὺς δανείζοντας ἄρχοντας τιμήματι ἢ ἐγγυητῇ.* 29. *πλείονος* Dobreeus advers. 1 p. 589: *πλείονα* b. 38. Dem. 4 §. 46. 43. *λάρκος·*] *λάρκοι* BC. 45. Arist. Ach. 333.

6. *καλλιφάνους* BC. *γνήσιος, Ἰσαῖος* Maussacus: libri *γνήσιος.* 7. Arist. Avv. 1655. 10. *Ὑπερίδης* b. 11. Demosth. 23 §. 213. Antea signa lacunae addidi ob id quod v. 6 praecedit *τε.* 12. *εἰς* Sauppius: *καὶ* b. 32. Meinek. com. gr. 1. l. et 2 p. 768 sqq.

σταισθε ἀσεβέστατον ἁπάντων καὶ παρανομώτατον ἀνθρώπων γεγονέναι. οὐχ οὗτός ἐστιν ὁ τοιαῦτα περὶ θεοὺς ἐξαμαρτάνων, ἃ τοῖς μὲν ἄλλοις αἰσχρόν ἐστι καὶ λέγειν, τῶν κωμῳδοδιδασκάλων δ᾽ ἀκούετε καθ᾽ ἕκαστον ἐνιαυτόν; οὐ μετὰ τούτου ποτὲ Ἀπολλοφάνης καὶ Μυσταλίδης καὶ Λυσίθεος συνειστιῶντο, μίαν ἡμέραν ταξάμενοι τῶν ἀποφράδων, ἀντὶ νουμηνιαστῶν κακοδαιμονιστὰς σφίσιν αὐτοῖς τοὔνομα θέμενοι; πρέπον μὲν ταῖς αὐτῶν τύχαις· οὐ μὴν ὡς τοῦτο διαπραττόμενοι τὴν διάνοιαν ἔσχον, ἀλλ᾽ ὡς καταγελῶντες τῶν θεῶν καὶ τῶν νόμων τῶν ὑμετέρων. ἐκείνων μὲν οὖν ἕκαστος ἀπώλετο, ὥσπερ εἰκὸς τοὺς τοιούτους, τοῦτον δὲ τὸν ὑπὸ πλείστων γιγνωσκόμενον οἱ θεοὶ οὕτως διέθεσαν ὥστε τοὺς ἐχθροὺς αὐτὸν βούλεσθαι ζῆν μᾶλλον ἢ τεθνάναι, παράδειγμα τοῖς ἄλλοις, ἵν᾽ ἴδωσιν ὅτι τοῖς λίαν ὑβριστικῶς πρὸς τὰ θεῖα διακειμένοις οὐκ εἰς τοὺς παῖδας ἀποτίθενται τὰς τιμωρίας, ἀλλ᾽ αὐτοὺς κακῶς ἀπολλύουσι, μείζους καὶ χαλεπωτέρας καὶ τὰς συμφορὰς καὶ τὰς νόσους ἢ τοῖς ἄλλοις ἀνθρώποις προσβάλλοντες. τὸ μὲν γὰρ ἀποθανεῖν ἢ κάμνειν νομίμως κοινὸν ἅπασιν ἡμῖν ἐστι, τὸ δ᾽ οὕτως ἔχοντα τοσοῦτον χρόνον διατελεῖν καὶ καθ᾽ ἑκάστην ἡμέραν ἀποθνήσκοντα μὴ δύνασθαι τελευτῆσαι τὸν βίον τούτοις μόνοις προσήκει τοῖς τὰ τοιαῦτα ἅπερ οὗτος ἐξημαρτηκόσιν.

περὶ μὲν οὖν Κινησίου ταῦτα ὁ ῥήτωρ εἴρηκεν. Athenaeus 12 p. 551. D.

LXXV. ΠΡΟΣ ΚΛΕΙΝΙΑΝ ΔΙΑΜΑΡΤΥΡΙΑ.

144 1. ὑπὸ μάλης· ὑπὸ μασχάλης. κεῖται δὲ τὸ ὄνομα παρὰ τοῖς ῥήτορσιν· ἀεὶ δ᾽ οὕτως αὐτὸ παραλαμβάνουσι μετὰ τῆς προθέσεως, ὡς Δημοσθένης ἐν τῷ πρὸς Ἄφοβον· „ἀλλὰ μὴν οὐχ εἷς οὐδὲ δύο ταῦτ᾽ ἴσασιν οὐδὲ ὑπὸ μάλης ἡ πρόκλησις γέγονεν, ἀλλ᾽ ἐν τῇ ἀγορᾷ μέσῃ πολλῶν παρόντων." καὶ Λυσίας ἐν τῷ πρὸς Κλεινίαν· ἐπειδὴ πάντες κατέδαρθον, ἐσκευασμένος τῶν χαλκωμάτων ὅσα οἷός τ᾽ ἦν πλεῖστα, λαβὼν ἐξήγαγε ξίφος ἔχων ὑπὸ μάλης. καὶ τὸ μὲν ἑνικὸν οὕτω μετὰ τῆς προθέσεως· τὸ δὲ πληθυντικὸν μασχάλας καὶ ἄλλοι πλεῖστοι καὶ Λυσίας ἐν ἐπιστολῇ· „καὶ τὴν μὲν κόμην ψιλὴν ἔχεις, τὰς δὲ μασχάλας δασείας." Suidas p. 3721. E.

2. βαλάντιον οὐχί φασι δεῖν λέγειν· ἀλλὰ φά- 145
σκωλον. Ξενοφῶν Συμποσίῳ, Λυσίας ἐν τῇ πρὸς Κλεινίαν διαμαρτυρίᾳ. Bekk. anecd. p. 84, 7.

3. χίλιοι διακόσιοι. Ἰσαῖος ἐν τῷ πρὸς Ἰσχό- 146
μαχόν φησιν „οὐδεὶς Λυσίδης ἐστὶ τῶν διακοσίων καὶ χιλίων." οἱ πλουσιώτατοι Ἀθηναίων χίλιοι καὶ διακόσιοι ἦσαν, οἳ καὶ ἐλειτούργουν. μνημονεύουσι δ᾽ αὐτῶν καὶ ἄλλοι ῥήτορες καὶ Φιλόχορος ἐν τῇ ς΄. Λυσίας δ᾽ ἐν τῷ πρὸς Κλεινίαν καὶ Ἰσαῖος ἐν τῇ ὑπὲρ Νικίου συνηγορίᾳ τῷ ἀπηρτισμένῳ ἀριθμῷ ἐχρήσαντο χιλίους εἰπόντες. Harpocrat.

LXXVI. ΠΡΟΣ ΚΛΕΟΣΤΡΑΤΟΝ.

Λυσίας ἐν τῷ πρὸς Κλεόστρατον· Οὐδὲ εἴ τις εἰσ- 147
ποίητος παῖς εἴη, οὐκ ἀποστερεῖ τὴν μητέρα τούτων τῶν χρημάτων. Abundat altera abnegatio. Similiter οὐδεὶς ὅστις οὔ. Priscianus 18, 25 p. 235 Krehl.

LXXVII. ΠΡΟΣ ΚΛΕΩΝΑ ΠΕΡΙ ΤΟΥ ΧΡΥΣΟΥ ΤΡΙΠΟΔΟΣ,

εἰ γνήσιος.

Titulum orationis hunc fuisse collatis inter se Pollucis locis Iungermannus vidit.

1. Λυσίας δ᾽ ἐν τῷ περὶ τοῦ χρυσοῦ τρίποδος, εἰ 148
γνήσιος ὁ λόγος· ἀργυρώματά τε ἢ χρυσώματα ἔτι ἦν διδόναι. οἱ δ᾽ ἑλληνίζοντες λέγειν δεῖν φασιν ἀργυροῦν κόσμον καὶ χρυσοῦν κόσμον. Athenaeus 6 p. 231. B. εἴρηται δέ που καὶ τὰ χρυσεῖα παρὰ τοῖς κωμῳδοῖς ἐπὶ τῶν γυναικείων κοσμημάτων· καὶ τὰ χρυσώματα παρὰ Λυσίᾳ ἐν τῷ περὶ τοῦ χρυσοῦ τρίποδος. Pollux 7 §. 103. καὶ ἀργυρώματα ὁμοίως, παρὰ Λυσίᾳ. Pollux 7 §. 104. φαίης δ᾽ ἂν καὶ χρυσώματα καὶ ἀργυρώματα καὶ χαλκώματα ἐν μέρει τῶν σκευῶν. — — Λυσίας δὲ ἐν τῷ πρὸς Κλέωνα καὶ ἀργυρώματα καὶ χρυσώματα εἴρηκε. Pollux 10 §. 174.

2. τραπεζίτης, τραπεζιτεύω, τράπεζα, ἀργυραμοι- 149

---

7. συνειστιῶντο Dindorfius: libri συνεστιῶντο. 10. αὐτῶν Sauppius: αὐταῖς P, αὐτῶν ceteri. 12. ὑμετέρων B: ἡμετέρων ceteri. 35. Demosth. or. 29 §. 12. 41. λαβὼν ἐξήγαγε, ξίφος ἔχων ὑπὸ μάλης C. Scheibius in Iahnii annall. 31 p. 378: erat ὑπὸ μάλης λαβὼν ἐξήγαγε ξίφος ἔχων.

3. ἔχεις addidi cum Photio lex. p. 629, 14 et schol. Plat. p. 347 Bk. 7. cf. Boeckh. de oecon. publ. Ath. 2 p. 59 sqq. C. F. Hermann. antiqu. publ. Graec. §. 162, 12. 11. Philochori frg. 129. Müll. 12. Temporum rationes obstare, quominus Lysiam de mille ducentis civibus Nausinici commemoravisse statuamus, Boeckhius l. d. p. 64 docuit. Recte igitur C. F. Hermannus de equit. Att. p. 38 suspicatur Lysiam de equitibus Atheniensium locutum esse, Harpocrationem vero cives tributarios et equites ob numerorum similes rationes confudisse. 19. παῖς εἴη, οὐκ Sauppius: ΠΑCΟΙ ΟΥΚ monacensis Spengelii (Varron. p. 633), πάθοι οὐκ Krehlius, πάθος οὐδεὶς Putschius. μητερα τούτων τῶν Sauppius: μητερα αυτοι τοι τον monac., μητέρα αὐτοὶ τῶν Krehlius (μητερα αὐτοῦ τούτων τῶν Spengelius). 30. ἢ] καὶ Scheibius in Iahnii annall. 31 p. 379. 35 Λυσίᾳ H. Stephanus: cod. αὐσίᾳ.

βός, ἀργυραμοιβική, ἀργυρογνώμων, δοκιμαστής, κολλυβιστής, ὡς Λυσίας ἐν τῷ περὶ τοῦ χρυσοῦ τρίποδος. Pollux 7 §. 170.

LXXVIII. *ΠΡΟΣ ΚΡΙΤΟΔΗΜΟΝ.*

150 *ἐπίπεμπτον Λυσίας ἐν τῷ πρὸς Κριτόδημον καὶ Πλάτων ἀντὶ ἁπλοῦ τοῦ πέμπτου. Ἀριστοφάνης Δαιταλεῦσιν „οὐ μὴ μεταλάβῃ τοὐπίπεμπτον· κλαέτω.“* Harpocrat.

LXXIX. *ΥΠΕΡ ΚΤΗΣΙΑΡΧΟΥ.*

151 *τὸ δὲ ἐπισκήπτω ἀντὶ τοῦ μετά τινος ἐπιθειασμοῦ λέγω καὶ οἷον ἐξορκίζω Ἀνδοκίδης τε ἐν τῷ περὶ τῶν μυστηρίων καὶ Λυσίας ἐν τῷ ὑπὲρ Κτησιάρχου εἰρήκασιν.* Harpocrat. cf. Antiphont. frg. 4.

LXXX. *ΚΑΤΑ ΚΤΗΣΙΦΩΝΤΟΣ.*

152 *καὶ ἀπειπεῖν ἀντὶ τοῦ κελεῦσαι μὴ πράττειν. Λυσίας ἐν τῷ κατὰ Κτησιφῶντος· καὶ τοὺς μὲν τῶν ἄλλων Ἀθηναίων παῖδας, ὧν οἱ πατέρες βοηθήσαντες ὑμῖν ἔτι ζῶσι, ἀπειπεῖν ἐν τοῖς νόμοις μήτε ἄδικον μήτε δίκαιον λέγειν.* Suidas 1, 1. p. 564, 16. G. Hermannus apud G. Bernhardy Lysiae verbis, quae l. Stobaeus floril. 46, 17 servavit, adhibitis locum fere sic scriptum fuisse putat: *τὴν αὐτὴν γνώμην ἔχειν δικάζοντας ἄξιον ἥνπερ νομοθετοῦντας. [ἆρ' οὖν φῶμεν τοὐναντίον ποιεῖν,] καὶ τοὺς μὲν τῶν ἄλλων Ἀθ. — δίκαιον λέγειν, [τοῦτον δὲ εἰς τοὺς τῶν ἤδη τεθνηκότων τὰ αἴσχιστα εἰρηκότα δικάζοντας μὴ κολάζειν;].* Ego mihi videor intelligere sensum loci alium fuisse. Post Thrasybuli reditum populus cives iussit *μὴ μνησικακεῖν*, ita ut triginta tantum paucique alii beneficio huius plebisciti non fruerentur. Unius horum filius erat Ctesiphon. Qui cum alicui eorum, qui in urbe manserant, convicia fecisset, Lysias dicit: num ferri potest, filios eorum, qui libertatem vindicaverunt et adhuc vivunt, legibus prohiberi, quominus quid iusti iniustive in eos dicant, qui in urbe manserunt, Ctesiphontem vero, cuius patrem populus beneficio legis illius frui noluit, impune convicia facere? Fere sic igitur videtur Lysias locutus esse: [*οὐκ οὖν δεινόν ἐστι, Κτησιφῶντα νόμοις μὴ πείθεσθαι;*] *καὶ τοὺς μὲν — — δίκαιον λέγειν, [τοῦτον δὲ ἀθῷον λοιδορεῖσθαι;].*

LXXXI. *ΠΕΡΙ ΤΟΥ ΚΥΝΟΣ ΑΠΟΛΟΓΙΑ*,

εἰ γνήσιος.

„Si quid video, canes in fundum alicuius irrupisse et segetem proculcasse videntur, in quas a domino agri canis molossa immissa officium praeclare explevit neque gentiles suas leniter tractavit, quamobrem dominus illarum dominum canis *βλάβης τετραπόδων* accusavit: cf. Meier. de lit. att. p. 475. 477.“ Hoelscher.

1. *ὅτι δὲ καὶ ἡ ἀνακεφαλαίωσις καὶ τὰ πάθη πολλάκις ἐκλείπει, παράδειγμά ἐστιν ὁ Λυσίου λόγος ὁ περὶ τοῦ κυνιδίου γεγραμμένος· οὔτε γὰρ ἀνακεφαλαίωσιν ἔχει, διὰ τὸ ὀλίγον εἶναι καὶ εὐμνημόνευτον, οὔτε πάθος, διὰ τὸ μικρὸν εἶναι τὸ πρᾶγμα.* Anonymus Seguerii p. 56. (Notices des Manuscrits de la bibl. du Roi tom. XIV. part. 2 p. 206.) 153

2. *Καρκίνος. Λυσίας ἐν τῇ περὶ τοῦ κυνὸς ἀπολογίᾳ, εἰ γνήσιος· ἐλυμαίνοντο γάρ μου τὸν καρκίνον εἰσφοιτῶσαι αἱ κύνες. καὶ ὅταν ὁ σῖτος ῥιζωθῇ κατὰ τῆς γῆς, κεκαρκινῶσθαί φασι· Φερεκράτης Αὐτομόλοις „ὁπόταν σχολάζῃς, νίψον, ἵνα τὰ λήια συγκαρκινωθῇ.“ λέγεται καρκίνος καὶ πάθος τι συμβαῖνον ἐν τοῖς σώμασιν, ὃ νῦν καρκίνωμα καλοῦσιν. ἔστι δὲ καὶ κύριον ὄνομα, οὗ μνημονεύει Ἰσοκράτης Τραπεζιτικῷ· εἴη δ' ἂν οὗτος ὁ Ἀθηναίων στρατηγὸς ὁ πεμφθεὶς περιπλεῦσαι Πελοπόννησον. περὶ δὲ τοῦ τῆς τραγῳδίας ποιητοῦ τοῦ Ξενοκλέους υἱοῦ Λυσίας ἐν τῷ πρὸς Μνησίμαχόν φησι „συντίθεται δὲ τούτοις καὶ Καρκίνος ὁ ποιητὴς εἰπὼν „οὐκ οἶνος ἐξέστησε· τὰς γὰρ ἐμφύτους ὀρθῶς παγείσας . . μεν . . φρένας οὐδεὶς ἐπαίρει καιρὸς ἐξαμαρτάνειν.“* Harpocr. 154

LXXXII. *ΠΡΟΣ ΛΑΙΛΑ*,

εἰ γνήσιος.

De Laidis utriusque temporibus satis illis incertis cf. Iacobs. script. var. 4 p. 398 sqq., Bergk de reliqu. com. att. p. 401 sqq., Meinek. com. gr. 1. p. 231 sq. Sed quae de Apelle narrantur (Athen. 13 p. 588. D. Iacobs. l. d. p. 419 sqq.), docent de Timandrae filia hic cogitari non posse. Neque Hyccarensem ante Ol. 97, 1 mortuam esse Platonis comici testimonio puto demonstrari. Lysiam orationis auctorem non esse satis verisimile est. Lagiscam enim vix ante Ol. 100 Isocrates in domum suam recepit (cf. Mein. com. 2 p. 765) Etiam Anteae tempora non videntur convenire: Demosth. 59 §. 19. Qualis causa fuerit, nesci-

---

1. cf. Phrynichus p. 440 Lob. 6. *Πλάτων* videtur poeta comicus intelligendus esse. 8. Meinek. com 2 p. 1041 17. *τόν* τὴν A. 18. *αἱ κύνες*] *γυναῖκες* BCG. 20. Meinek. com. 2 p. 264. 20. *νίψον* Valesius: *νῆψον* libri. *νήψον* Photius p. 132, 15. *νείψον* b. 23. Isocr. 17 §. 52. cf. Thucyd. 2, 23. 27. Lysiae frg. or. 92. — Meinek com. gr. 1 p. 513. Welcker. de trag. graec. p. 1060 sqq. 28. Welcker. l. d. p. 1060. Bergk de reliqu. com. att. p. 428. *οὐκ οἶνος* Luzac exercit. acadd 1 p. 30: *οὐ κεῖνος* b (*τοῖ κεῖνος* Valesius p. 335 ed lips.). 29. *παγείσας . . μεν . . παγείσας* AB. *παγείσας μὲν* b. videtur *καὶ πεπαυμένας* vel simile participium excidisse.

mus. Praefuli vero quod Athenaeus priore loco habet *πρὸς Λαΐδα* ob Harpocrationis consensum. Cur enim de oratione *πρὸς Λαΐδα* habita cogitari posse Hoelscherus neget, non intelligo.

155 *Λυσίας δ' ἐν τῷ πρὸς Λαΐδα, εἴ γε γνήσιος ὁ λόγος, τούτων* (meretricum) *μνημονεύει· Φιλύρα γέ τοι ἐπαύσατο πορνευομένη ἔτι νέα οὖσα καὶ Σκιώνη καὶ Ἱππάφεσις καὶ Θεόκλεια καὶ Ψαμάθη καὶ Λαγίσκα καὶ Ἄνθεια. μήποτε δὲ δεῖ γράφειν ἀντὶ τῆς Ἀνθείας Ἄντειαν. οὐ γὰρ εὑρίσκομεν παρ' οὐδενὶ Ἄνθειαν ἀναγεγραμμένην ἑταίραν, ἀπὸ δὲ Ἀντείας καὶ ὅλον δρᾶμα ἐπιγραφόμενον, ὡς προεῖπον, Εὐνίκου ἢ Φιλυλλίου, Ἄντειά ἐστι. καὶ ὁ τὸν κατὰ Νεαίρας δὲ λόγον γράψας μνημονεύει αὐτῆς.* Athenaeus 13 p. 586. E. — Eadem Lysiae verba Athenaeus *addita Aristoclea* repetit: *καὶ Λυσίας δὲ ἐν τῷ κατὰ Λαΐδος, εἰ γνήσιος ὁ λόγος, μνημονεύει αὐτῆς* (Lagiscae), *καταλέγων καὶ ἄλλας ἑταίρας, ἐν τούτοις· Φιλύρα γέ τοι — καὶ Λαγίσκα καὶ Ἄνθεια καὶ Ἀριστόκλεια.* 13 p. 592. E. *Λαγίσκα· Λυσίας ἐν τῷ πρὸς Λαΐδα, εἰ γνήσιος. Λαγίσκας τῆς ἑταίρας μνημονεύει καὶ Στράττις ὁ κωμικὸς οὕτω „Λαγίσκαν τὴν Ἰσοκράτους παλλακὴν ἰδεῖν με συκάζουσαν εὐναίαν ἔτι τόν τ' αὐλοτρύπην αὐτόν.“* Harpocrat. *Ἄνθεια. ὅτι μὲν ἑταίρα, δῆλον· μήποτε δὲ Ἄντεια γραπτέον διὰ τοῦ ταῦ, ἐπεὶ οὕτως εὕρομεν παρὰ Λυσίᾳ.* Harpocrat.

L. Hoelscher p. 179 de Laidis vita oratorem in hac oratione exposuisse opinatur. Quis hoc factum esse posse negaverit? Sed Synesii verba epist. 3 (p. 161 petav.): *ἡ γὰρ Λαΐς, ἔφη τις ἤδη λογογράφος, ἀνδράποδον ἦν Ὑκκαρικόν, ἐκ Σικελίας ἐωνημένον.* haec verba, inquam, quibus illud comprobari dicit, potius ad historiarum scriptorem, vel Timaeum cuius testimonio Athenaeus utitur vel alium, referenda sunt.

LXXXIII. *ΠΡΟΣ ΛΑΚΡΑΤΗΝ.*

ὀβολοστατεῖ ἀντὶ τοῦ δανείζει Λυσίας ἐν τῷ κατὰ 156
Νικίδου, εἰ γνήσιος. ἐν δὲ τῷ πρὸς Λακράτην διασαφῶν φησιν· οὐδ' ἂν εἰ πολὺ ἐλάττονα τόκον λογίσαιτό τις ἢ ὅσον οὗτοι οἱ ὀβολοστατοῦντες τοὺς ἄλλους πράττονται. ὀβολοστάτας δ' ἔλεγον τοὺς δανειστάς, ὡς παρά τε Ὑπερείδῃ ἐν τῷ κατὰ Πολυεύκτου καὶ πολλάκις ἐν τῇ κωμῳδίᾳ. Harpocr.

LXXXIV. *ΠΡΟΣ ΛΕΠΤΙΝΗΝ.*

Ἀρδηττός· Λυσίας ἐν τῷ πρὸς Λεπτίνην. τόπος 157
Ἀθήνησιν ὑπὲρ τὸ στάδιον τὸ Παναθηναϊκόν, πρὸς τῷ δήμῳ τῷ ὑπένερθεν Ἀγρυλέων. ἐν τούτῳ, φασί, δημοσίᾳ πάντες ὤμνυον Ἀθηναῖοι τὸν ὅρκον τὸν ἡλιαστικόν. ὠνομάσθη δὲ ἀπὸ Ἀρδήττου ἥρωος ἀρχαίου, ὃς Ἀθηναίους πρῶτος ἐξώρκισεν. Θεόφραστος δ' ἐν τοῖς περὶ νόμων δηλοῖ ὡς κατελέλυτο τὸ ἔθος τοῦτο. Harpocrat. cf. Bekk. anecd. p. 207, 2 et 443. 24.

LXXXV. *ΚΑΤΑ ΛΥΣΙΘΕΟΥ.*

εἰ γνήσιος.

Actor videtur Lysitheum in iudicio Areopagitarum caedis accusavisse, in via phalerica haud procul a moenibus Athenarum in lateraria vel prope istam commissae. Angulos moenium permultos fuisse etiamnunc vestigia docent.

1. *γωνιασμός. Λυσίας ἐν τῷ κατὰ Λυσιθέου, εἰ* 158
γνήσιος· κάμψαντι τοῦ τείχους, ὦ βουλή, ἐστὶ γωνιασμὸς ἐν ἀριστερᾷ καὶ εὐρυχωρία πάνυ πολλή. καὶ Ἀριστοφάνης Βατράχοις „λεπτῶν τε κανόνων ἐσβολὰς ἐπῶν τε γωνιασμούς.“ Harpocrat.

2. *Οἷος· ἀντὶ τοῦ ἕτοιμος. καὶ οἷος ἦν ἀντὶ τοῦ* 159

7. *ἔτι*] *καὶ ἔτι* A p. 592. — Philyra Ephippi erat comoedia: Mein. 1 p. 353. 3 p. 338. *καὶ Σκιώνη* om. P p. 592. 8. *ἱππάφεισις* B. 9. *λαγνίσκα* PVL. 10. *ἄντιαν* AB. 12. *ἀντίας* AB. 13. *ἄντια* B. cf. Mein. com. gr. 1 p. 250. 258. 2 p. 858. Etiam Antiphanes Anteam scripserat: Mein 3 p. 18. 14. Demosth. 59 § 19. 22. Meinek. com. gr. 2 p. 764 sqq. cf. vita Isocr. mustoxydea supra p. 4 b. 8. 25. Hanc coniecturam ipsam ad Lysiae locum pertinere Athenaeus docet. Didymus nisi fallor ad Lysiae locum *Ἄντειαν* scribendum esse Eunici Antiphanisque vel Demosthenis testimoniis confirmaverat. Quae vero Didymus scripserat, vel Harpocratio vel librarii turbarunt.

3. cf. Lysiae frg. or. C. 5. *πολλοὶ* Photius p. 314, 14. fort. *πολλῷ*. 8. erat *Ὑπερίδῃ*. 13. erat *Ἄρδηττος*. cf. quae de demis urbanis Ath. scripsi p. 21. *ἐλπίνην* BCFMO. — de Ardetto cf. M. Leak. top. Athen p. 204 turic. 15. *Ἀγρυλέων* b cum Valesio: codd. *ἀργυλέων*. 18. *ἐξώρκισεν* b cum Iungermanno (ad Polluc. 8, 122): codd. *ἐξώρισεν*. 19. *κατελέλυτο* A: *καταλέλυται* F, *καταλύεται* Bt, *καταλέλυτο* b. 30. videtur explicatio excidisse, qualis est apud Hesychium: *γωνιασμός· τοίχων συμβολὴ ἐγγώνιος· οἱ δὲ γεωμετρικὸν θεώρημα.* vel in Bekk. an. p. 228, 10: *ὁ τόπος τῆς γωνίας τοῦ τείχους.* *εἰ γνήσιος* DE: *εἰ ἔστι γνήσιος* Suidas, *ἔστι δὲ* (ut verba Lysiae sint) b. 31. *κάμψαντα* B, *κάμψαντί φησιν* DE et Suidas. *τοῖς τείχους* C, *τοῖς τοίχους* BG. *ὦ* C. *ἐστὶ* addidi cum DE et Suida. 32. *εὐρυχωρία πάνυ πολλή* Bekkerus (frg. Lysiae 38): *εὐρυχωρίᾳ πάνυ πολλῇ* Suidae codd. plerique, *εὐρυχωρίᾳ ὅτι πολλῇ* Suidae BE, *εὐρυχωρία πάνυ πολλοῖς* Harp. D, *εὐρυχωρία πάνυ πολὺς* E et Suidae *V (quod quomodo G. Bernhardy hyperbato defendere potuerit non intelligo. cf. Demosth. 19 § 272. Plat. Tim. p. 60 E), *εὐρυχωρία* b. 33. Aristoph. Ran. 956. 34. *ἕτοιμος* Sauppius: erat *ἕτοιμος. καὶ οἷός τε ἀντὶ τοῦ ἕτοιμος.* — Recte vero I. Taylorus Photii et Harpocrationis observationes coniunxit.

ἕτοιμος ἦν. τίθεται δὲ καὶ ἀντὶ τοῦ ἐσπούδαζεν. Λυσίας· ἐβιάζετό τε γὰρ καὶ οἷος ἦν ἐξευρεῖν τὴν θύραν. σημαίνει δὲ καὶ τὸ ἀνταποδοτικόν· τοιοῦτος οἷος ἡ ὁ πατήρ. Photius lex. p. 323, 5. cf. Bachm. anecd. 1 p. 314, 20 *οἷος εἶ καὶ οἷός τε εἶ. τὸ μὲν χωρὶς τοῦ τε σημαίνει τὸ βούλει καὶ προῄρησαι, τὸ δὲ σὺν τῷ τέ τὸ δύνασαι. ἀμφοτέροις ἐχρήσατο Λυσίας ἐν τῷ κατὰ Λυσιθέου, εἰ γνήσιος.* Harpocrat. cf. Phot. p. 323, 1 et Suidas.

160 3. *ἑλκύδρια· τὰ μικρὰ ἕλκη. Λυσίας κατὰ Λυσιθέου.* Antiatticista in Bekk. anecd. p. 95, 1.

161 4. *πλινθεῖον ὁ τόπος ἐν ᾧ πλίνθος πλάττεται. Λυσίας ἐν τῷ κατὰ Λυσιθέου.* Harpocrat.

162 5. *στύραξ· Λυσίας ἐν τῷ κατὰ Λυσιθέου. στύραξ καλεῖται τὸ κάτω τοῦ δόρατος τραχήλιον, ὃ καταπηγνύειν εἰς τὴν γῆν εἰώθασιν, ὡς Θουκυδίδης πού φησι „στυρακίῳ ἀκοντίου ἀντὶ βαλάνου χρησάμενος εἰς τὸν μοχλόν."* Harpocrat.

163 6. *Φάληρον· Λυσίας ἐν τῷ κατὰ Λυσιθέου. Φάληρον δῆμος τῆς Ἀντιοχίδος, ἀφ' οὗ ὁ δημότης Φαληρεύς.* Harpocrat.

LXXXVI. *ΠΕΡΙ ΗΜΙΚΛΗΡΙΟΥ ΤΩΝ ΜΑΚΑΡΤΑΤΟΥ ΧΡΗΜΑΤΩΝ.*

Cum ab Isaeo or. 11 §. 48 et Demosthene or. 43 §. 48 et 65 Apolexidis Prospaltii filii, Chaereleos et Macartatus commemorentur et Theopompus quidam, cui soror eorum nupserat, Chaereleo et Macartato mortuis filium suum Macartatum in avunculi Macartati domum traduxisse narretur, probabilis est L. Hoelscheri coniectura litem, in qua Lysiae oratio habita sit, ad hanc Macartati Apolexidis filii hereditatem pertinuisse.

164 1. *Προσπάλτιοι· Λυσίας ἐν τῷ περὶ Μακαρτάτου κλήρου. Πρόσπαλτα δῆμος τῆς Ἀκαμαντίδος.* Harpocrat.

165 2. *σιπύα· Λυσίας ἐν τῷ περὶ ἡμικληρίου τῶν Μακαρτάτου χρημάτων. σιτηρὸν ἀγγεῖόν ἐστιν ἡ σιπύα, ἔστι δὲ πολλάκις παρὰ τοῖς ἀρχαίοις κωμικοῖς· Εὔπολις Χρυσῷ γένει, Ἀριστοφάνης Τελμισσεῦσιν.* Harpocrat.

LXXXVII. *ΚΑΤΑ ΜΑΝΤΙΟΥ.*

166 *Νότιον· Λυσίας κατὰ Μαντίου. ὅτι δέ ἐστι χωρίον προκείμενον τῆς Κολοφωνίων πόλεως, Θεόπομπος ἐν τῇ ιε' φησίν.* Harpocrat.

LXXXVIII. *ΠΡΟΣ ΜΕΔΟΝΤΑ ΨΕΥΔΟΜΑΡΤΥΡΙΩΝ.*

167 1. *κὰν τῷ πρὸς Μέδοντα ψευδομαρτυριῶν Ἀντικύρας* (sc. *ὁ Λυσίας μέμνηται*). *ἐπώνυμον δέ ἐστι τοῦτο ἑταίρας· τὸ γὰρ κύριον ἦν Οἴα, ὡς Ἀντιφάνης εἴρηκεν ἐν τῷ περὶ ἑταιρῶν, Ἀντίκυραν αὐτὴν φάσκων κληθῆναι, ἤτοι ὅτι συνέπινε παρακινοῦσι καὶ μεμηνόσιν ἢ ὅτι αὐτὴν ἀναλαβὼν ὁ ἰατρὸς Νικόστρατος ἀποθνήσκων κατέλιπεν αὐτῇ πολὺν ἐλλέβορον, ἄλλο δὲ οὐδέν.* Athenaeus 13 p. 586 F. — *Ἀντίκυρα· Λυσίας ἐν τῷ πρὸς Μέδοντα. μήποτ' ἐπώνυμόν ἐστιν. Ἀντιφάνης ἐν τῷ περὶ ἑταιρῶν φησιν „Ἀντίκυραν δ' ἐκάλεσαν ὅτι συνέπινε παρακινοῦσι καὶ μεμηνόσιν· οἱ δὲ ὅτι ἰατρὸς αὐτῇ Νικόστρατος κατέλιπεν ἀποθνήσκων πολὺν ἐλλέβορον."* Harpocrat.

168 2. *ἀπήχεια ἀντὶ τοῦ ἀπέχθεια Λυσίας πρὸς Μέδοντα καὶ Δείναρχος κατὰ Κηφισοκλέους.* Harpocrat.

LXXXIX. *ΠΡΟΣ ΜΕΝΕΣΤΡΑΤΟΝ,*
εἰ γνήσιος.

169 *προθεσμίας νόμος· Δημοσθένης ὑπὲρ Φορμίωνος. τὴν τῶν ε' ἐτῶν ἂν λέγοι προθεσμίαν ὁ ῥήτωρ, ὡς ἐν τῷ λόγῳ ὑποσημαίνει, καὶ Λυσίας ἐν τῷ πρὸς Μενέστρατον, εἰ γνήσιος ὁ λόγος ἐστίν.* Harpocrat.

XC. *ΚΑΤΑ ΜΙΚΙΝΟΥ ΦΟΝΟΥ,*
εἰ γνήσιος.

Cum Micinae et Micrinae s. Smicrinae nomina pariter ferri possint, praeferendum erat, quod plurium et graviorum testium auctoritas tuetur (cf. frg. 1). Orationem unam eamque *κατὰ Μικίνου* fuisse optime docet frg. 2, ita ut *πρὸς Μικίνην* nihil nisi error grammaticorum esse videatur, qui etiam orationes, quae erant *κατά τινος*, haud raro communi nomine ita complectebantur ut eas *πρός τινα* esse dicerent.

170 1. *ἔοικε μὲν οὖν οὗτος ὁ λόγος τῷ Λυσίου λόγῳ τῷ πρὸς Μικίνην γεγραμμένῳ, ἔχει δ' αὐτῷ τὰ τῆς ὑποθέσεως ὧδε. ἀναχωρῶν τις ἀπὸ δείπνου εὑρέθη σὺν τῷ ἀκολούθῳ συγκεκομμένος. μετὰ τὴν αὐτοῦ τελευτὴν συγγενής τις αὐτοῦ κατηγορεῖ ἐχθροῦ αὐτοῦ ὡς πεποιηκότος τὸν φόνον, ὁ δ' ἀρνεῖ-*

---

16. Thucyd. 2, 4. 20. Antiochidis nomen, quod vetusto librarii errori tribuit A. Boeckhius corp. inscr. 1 p. 309 b, defendit C. L. Grotefendius in Zimmerm. diurn. 1836 p. 1039 sq. 35. *προυσπάλτιον* A. 41. *Χρυσῷ γένει* b cum Hemsterhusio (ad Polluc. 10, 63): codd. *χρυσογενεῖ*. cf. Meinek. com. 2 p. 545 et p. 1162.

1. Theopompi frg. 132 Müll. 6. *Ἀντικύρας* add. Schweighaeuser. 8. *Οἴα*, *οἷα* P, *Οἴα* Dindorfius, *οἷα* reliqui. cf. Harpocrat. p. 135, 1. 12. *ἀποθνήσκων* Dindorfius: *καὶ ἀποθνήσκων* libri. 14. *Ἀντιφάνης* b cum Maussaco: *ἀριστοφάνης* libri. 15. *περὶ* A: *περὶ τῶν* b. 16. *μεμηνόσιν." οἱ δὲ* b. sed ea quoque quae sequuntur Antiphanis esse Athenaeus docet. 25. Demosth 36 §. 26. — cf. C. F. Herm. antiqu. publ. Graec § 141, 5.

ται. ὅθεν στοχασμὸς ἡ στάσις ἀτελής, ἐκ μόνου τοῦ προσώπου συνιστάμενος. Argum. or. Antiphont. 2, *α.* — *τούτῳ* (sc. *τῷ προσώπῳ*) *καὶ Λυσίας ἐν τῷ πρὸς Μικίνην χρῆται.* Sopater ad Hermog. *στάσ.* 4 p. 405, 16 Walz. His duobus testimoniis coniunctis videtur apparere, similitudinem ad statum causae maxime pertinuisse. Cum enim ab Antiphonte pariter atque Lysia aliquis caedis accusaretur, uterque non aliis argumentis usus est quam quae rei persona suppeditaret. L. Spengelius igitur (*συναγ. τεχν.* p. 118. cf. Maetzner ad Antiph. p. 150) neque ad totam tetralogiam referre debebat, quod ad priorem tantum accusatoris orationem pertinet, neque suspicari, Lysiam vestigia Antiphontis secutum esse. Quamquam enim ea quae apud Sopatrum de defensione ad persuadendum idonea praecedunt in eam opinionem deducere possunt, ut Lysiam orationem *πρὸς Μικίνην* scripsisse putemus, tamen quae statim ex scholiis anonymi hermogenicis afferemus, luculenter demonstrant, orationem *κατὰ Μικίνου* scriptam fuisse, Sopatrum vero aut de argumento erravisse aut exemplo minus idoneo usum esse.

171 2. 3. *οὕτω καὶ Λυσίας ἐν τῷ πρὸς Μικίνην καὶ ἐξ ὧν ἐποίησε καὶ ἐξ ὧν οὐκ ἐποίησεν ἀποδεικνύειν πειρᾶται· φησὶ γὰρ ὅτι τὴν νύκτα ἐκάθητο ἐν τῷ ἱερῷ τὴν ὄψιν κατακαλυψάμενος. ἔτι δὲ ἀφ'*
172 *ὧν οὐκ ἐποίησε, λέγων ὅτι οἱ μὲν ἄλλοι συγγενεῖς παρεγένοντο, μόνος δ' ἀπελείφθη. καὶ ἐν τούτῳ πειρᾶται δεῖξαι πεποιηκότα τὸν φόνον.* Anonymus ad Hermog. *στάσ.* 7 p. 286, 22. Walz.

173 4. Nos *attinet ad illam rem*, *ἀνήκει πρὸς τόδε*. *Λυσίας ἐν τῷ κατὰ Μικίνου φόνου· τὰ πρὸς ἑτέρας αἰτίας ἀνήκειν δοκοῦντα, παραλελείψεται.* Priscianus 18, 24 p. 194.

174 5. *σύνδειπνον εἴρηκεν ἐπὶ συμποσίου Λυσίας ἐν τῷ κατὰ Μικίνου φόνου. φησὶ γὰρ ἐκεῖνον ἐπὶ τὸ σύνδειπνον κεκλημένον.* Athenaeus 8 p. 365. B. — *σύνδειπνα· τὰ συμπόσια· καὶ Λυσίας καὶ ἕτεροι.* Photius lex. p. 551, 21.

175 6. *ἐπιβλῆτας· Λυσίας ἐν τῷ κατὰ Μικίνου φόνου, εἰ γνήσιος. ἐπιβλής ἐστιν, ὡς μὲν Τιμαχίδας φησί, δοκός, ὡς δὲ φησι Κλείταρχος ὁ γλωσσογράφος, ποιά τις δοκός.* Harpocrat.

XCI. *ΠΡΟΣ ΤΗΝ ΜΙΞΙΔΗΜΟΥ ΓΡΑΦΗΝ,* *εἰ γνήσιος.*

Cum nomen Mixidemi rarissimum sit, memorabilis est L. Hoelscheri coniectura, Mixidemidem, adversus quem Autocles ab Aristotele rhet. 2, 23 dixisse dicitur: *εἰ ταῖς μὲν σεμναῖς θεαῖς καλῶς εἶχεν ἐν Ἀρείῳ πάγῳ δοῦναι δίκην, Μιξιδημίδῃ δ' οὔ*, eundem esse atque Mixidemum huius orationis. Nam etiam in hac oratione de Areopago mentionem factam esse, frg. 3 ostendit. Fortasse cum quis Areopago curam aliquam novam demandari voluisset, Mixidemus hunc legum violatarum accusaverat.

1. *Μουσαῖος. Λυσίας πρὸς τὴν Μιξιδήμου γραφήν, εἰ γνήσιος· καὶ δύο παῖδας αὐτῷ ἀκολουθοῦς εἶναι, ὧν οὗτος τὸν μὲν Μουσαῖον καλεῖ τὸν δὲ Ἡσίοδον. ὅτι μὲν ὁ κρινόμενος ἐπετήδευσε τοὺς οἰκέτας οὕτω καλεῖν δῆλον· περὶ δὲ Μουσαίου Ἀριστόξενος ἐν τοῖς Πραξιδαμαντίοις φησὶν ὅτι οἱ μὲν ἐκ Θρᾴκης εἰρήκασι τὸν ἄνδρα εἶναι, οἱ δὲ αὐτόχθονα ἐξ Ἐλευσῖνος. εἰρήκασι δὲ περὶ αὐτοῦ ἄλλοι τε καὶ Γλαῦκος.* Harpocrat. 176

2. *διῆρξα ἀντὶ τοῦ διὰ τέλους ἦρξα Λυσίας ἐν τῇ πρὸς τὴν Μιξιδήμου γραφὴν ἀπολογίᾳ.* Harpocrat. — *διῆρξα, ὡς Λυσίας.* Pollux 8, 83. 177

3. *ἐλέγετο δὲ παρ' αὐτοῖς καὶ ἄλλα ἐπίθετά τινα, ὁπόσα μὴ πάτρια ὄντα ἡ ἐξ Ἀρείου πάγου βουλὴ ἐδίκαζεν, ὡς σαφὲς ποιεῖ Λυσίας ἐν τῷ πρὸς τὴν Μιξιδήμου γραφήν.* Harpocratio p. 79, 28. (cf. Lysiae fragm. 116.) — *ἐπίθετα· τὰ οὐκ ἐκ τῶν νόμων τῇ βουλῇ προστεταγμένα ἐξ ἀρχῆς, ἀλλὰ προστεθέντα.* Lex. rhet. in Bekk. anecd. p. 252, 26. 178

4. *Λέχαιον. ἐν τῇ [πρὸς τὴν] Μιξιδήμου [γραφὴν] ἀπολογίᾳ φησὶ Λυσίας ὅτι τὸ Λέχαιον ἑάλω Μνασίππου ἄρχοντος. ἔστι δὲ τὸ Λέχαιον ἐπίνειον Κορινθίων, καθά φησι Στράβων ἐν η' Γεωγραφουμένων.* Harpocrat. 179

4. *Μικίνην* Sauppius: erat *Μικρίνην*. — Qui vel Micrinen vel Smicrinen substitui vellent, videntur de persona comica eius nominis cogitavisse, de qua F. Jacobs. lectt. Stob p. 97, Meinekius com. gr. 4 p 106 et 121, Tib. Hemsterhusius anecd. 1 p. 283 exposuerunt. 23. *Μικίνην* Sauppius: *μικρίνην* cod. paris. 1, *σμιρίνην* monac., *σμικρίνην* reliqui. 32. *ΜΙΚΥΝΟΥ* cod. monac. apud L. Spengel. ad Varr. de L. L. p. 631. *Μικίνου φόνου· τὰ πρὸς* Sauppius: *μικινου φονου οὐκ προς* monac., *μικινου φονου κιτ ρος* parisinus Th. Presselii, *Μικίνου· φόνον οὐ πρὸς* vulgo. *ἑτέρας αἰτίας* (Emperius observv. in Lysiam p. 47 et) cod. mon.: erat *ἑταίρας ἀξίας*. 33. *ΠΑΛΕΙΨΕΤΑΙ* monac. 40. *Μικίνου* edd. antiquae: *Νικίου* reliquae (inde a gronoviana, ut videtur), quamquam Taylorus Lysiae reisk. vol. 2 p. 27: „*ubi libri*, inquit, *constanter defendunt Νικίου*." Sed oratio in Niciam de caede hoc uno loco commemoratur (cf. quae ad or C dixi): nomina vero illa facillime commutari poterant.

17. *μιξηδήμου* A, *μαξιδήμου* BC. 21. cf F. Passow de Musaeo p. 9 et 23. — Aristoxeni Praxidamantia qualia fuerint I. Ionsius de hist. philos. p. 91 exponit. 27. *μιξιδίμου* A, *μαξιδήμου* I, *μιξήμου* B, *μιξίμου* C. 31. *τῷ — γραφήν*] *τῇ — γραφῇ* AB. 34. ter legebatur *Λεχαῖον*. *ἐν τῇ πρὸς τὴν — γραφὴν ἀπολογίᾳ* Sauppius: *ἐν τῇ — ἀπολογίᾳ* libri. 36. Mnasippum ducem Lacedaemoniorum fuisse docuit A. Boeckhius ind lectt. 1827/8 de archontibus pseudeponymis p. 6. cf. Krüger ad Clinton F. H. p 104 et Sievers hist. gr. p. 116. 39. Strabo 8, 6 § 22 p. 380.

180 5. προπεμπτα· Λυσίας ἐν τῷ πρὸς τὴν Μιξιδήμου γραφήν, εἰ γνήσιος. Harpocrat. p. 158, 26 (cf. Lysiae frg. 26).

181 6. προχειροτονία. ἔοικεν Ἀθήνησι τοιοῦτό τι γίγνεσθαι, ὁπόταν τῆς βουλῆς προβουλευσάσης εἰσφέρηται εἰς τὸν δῆμον ἡ γνώμη· πρότερον γίνεται χειροτονία ἐν τῇ ἐκκλησίᾳ πότερον δοκεῖ περὶ τῶν προβουλευθέντων σκέψασθαι τὸν δῆμον, ἢ ἀρκεῖ τὸ προβούλευμα. ταῦτα δ' ὑποσημαίνεται ἐν τῷ Λυσίου πρὸς τὴν Μιξιδήμου γραφήν. Harpocrat.

XCII. ΠΡΟΣ ΜΝΗΣΙΜΑΧΟΝ.

182 Καρκίνος. — — περὶ δὲ τοῦ τῆς τραγῳδίας ποιητοῦ τοῦ Ξενοκλέους υἱοῦ Λυσίας ἐν τῷ πρὸς Μνησίμαχόν φησι· συντίθεται δὲ τούτοις καὶ Καρκίνος ὁ ποιητὴς εἰπών·

οὐκ οἶνος ἐξέστησε· τὰς γὰρ ἐμφύτους
ὀρθῶς παγείσας — — μενας φρένας
οὐδεὶς ἐπαίρει καιρὸς ἐξαμαρτάνειν.

Harpocrat. p. 106, 7 (cf Lysiae frg. 154)

XCIII. ΚΑΤΑ ΜΝΗΣΙΠΤΟΛΕΜΟΥ.

183 τινὲς μὲν οὖν τῶν περὶ τοὺς ῥητορικοὺς διατριβόντων λόγους οὐκ ὀρθῶς ὑπήχθησαν εἰπεῖν περὶ Λυσίου ὡς ἀποδεῖξαι μὲν τὰ ἐγκλήματα παρ' ὁντιναοῦν τῶν παλαιῶν ἀνδρῶν τὸ προκεκριμένον ἔχει, αὐξῆσαι δὲ ταῦτα πολλῶν ἐνδεής. καὶ γὰρ ἐλέγχονται φανερῶς ὑπὸ τῶν αὐτοῦ λόγων πολὺ τῆς ἐπ' αὐτῷ διασφαλλόμενοι κρίσεως. καὶ μάλιστά γε τούτους ὁ κατὰ Μνησιπτολέμου διελέγχει· θαυμαστῶς γὰρ τὴν κατηγορίαν πρὸς μέγεθος οὗτος ηὔξησε. Photius bibl 262 p. 489 b 4 Bk. ἀλλὰ γὰρ οὐχ οὕτω (uti Demosthenis oratio de corona) προέεισιν ὁ Λυσίου κατὰ Μνησιπτολέμου λόγος, ἐν πᾶσι δὲ τοῖς δεομένοις μέρεσι τὸ παθητικὸν φυλάξας οὐδὲ παυόμενος τῆς ἐπιφορᾶς ἀπέστη, ἐπέτεινε δὲ μᾶλλον, οὐδὲ κατὰ τὸ τέλος τοὺς ἀκροατὰς ἀποστὰς παροξύνειν. Photius bibl. 265 p. 491 b 17 Bk.

XCIV. ΚΑΤΑ ΜΟΣΧΟΥ.

184 δήμαρχος· Λυσίας ἐν τῷ κατὰ Μόσχου. ἄρχων τις ἦν ὁ δήμαρχος· οὗτοι δὲ τὰς ἀπογραφὰς ἐποιοῦντο τῶν προσόντων ἑκάστῳ δήμῳ χωρίων. ἔτι δὲ καὶ τὰ ληξιαρχικὰ γραμματεῖα παρὰ τούτοις ἦν, καὶ συνῆγον τοὺς δήμους ὁπότε δεήσειεν, καὶ ψῆφον αὐτοῖς ἐδίδοσαν. τούτους δέ φησιν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ ὑπὸ Κλεισθένους κατασταθῆναι, τὴν αὐτὴν ἔχοντας ἐπιμέλειαν τοῖς πρότερον ναυκράροις. ὅτι δὲ ἠνεχυρίαζον οἱ δήμαρχοι, δηλοῖ Ἀριστοφάνης ἐν Σκηνὰς καταλαμβανούσαις. Harpocrat.

XCV. ΠΡΟΣ ΝΑΥΣΙΑΝ ΠΕΡΙ ΤΟΥ ΤΥΠΟΥ.

Quid sit τύπος, parum liquet, figuramne alicuius dei an exemplar an opus caelatum intelligi oporteat.

1. καὶ κρηπιδαῖον δὲ μέρος οἰκοδομήματος, Λυσίου εἰπόντος ἐν τῷ περὶ τοῦ τύπου· τοῦ γείσου συντετελεσμένου καὶ τοῦ κρηπιδαίου. Pollux 7, 120. 185

2. λιθουργικὴ καὶ λιθοτριβικὴ διαφέρει. ἡ μὲν λιθουργική, ἣν ἐν τοῖς μετάλλοις ἐργάζονται οἱ τέμνοντες τοὺς λίθους· ἡ δὲ λιθοτριβική ἐστιν, ἣν μετίασιν οἱ καταξαίνοντες καὶ κοσμοῦντες τοὺς λίθους, ὥστ' ἀπειληφέναι τὴν εὐπρέπειαν ἕκαστον τῶν ἔργων. Λυσίας ἐν τῷ πρὸς Ναυσίαν περὶ τοῦ τύπου· ἀλλὰ διὰ τὸ τρεῖς τέχνας ἐργάζεσθαι, τήν τε λιθουργικὴν καὶ λιθοτριβικὴν καὶ πρὸς τούτοις τὸ τετρυφηκέναι. Suidas 2, 1 p. 578 Bernh. cf. Bekk. anecd. p. 277, 33. 186

XCVI. ΥΠΕΡ ΝΗΣΟΚΛΕΟΥΣ.

ἐπιδιατίθεσθαι. Λυσίας ἐν τῷ πρὸς Θεοπείθη ἐπιτροπῆς ἐπιλόγῳ. — — τὸ δὲ πρᾶγμα αὐτὸ λέγεται ἐπιδιαθήκη, ὡς ὁ αὐτὸς ῥήτωρ ἐν τῷ ὑπὲρ Νησοκλέους δηλοῖ. Harpocr. p. 78, 23 (cf. Lysiae frg. 110). 187

XCVII. ΠΡΟΣ ΝΙΚΑΡΧΟΝ ΤΟΝ ΑΥΛΗΤΗΝ,
εἰ γνήσιος.

1. ἀκμάζεις ἀντὶ τοῦ τὰ τῶν νέων πράττεις Ὑπερείδης ἐν τῷ κατὰ Μαντιθέου, Λυσίας ἐν τῷ πρὸς Νίκαρχον τὸν αὐλητήν, εἰ γνήσιος. Harpocrat. 188

2. Ἀντιγενίδας· Λυσίας ἐν τῷ πρὸς Νίκαρχον τὸν αὐλητήν, εἰ γνήσιος. υἱὸς οὗτος ἦν Διονυσίου, ἐνδοξότατος αὐλητής. Harpocr. cf. Bekk. anecd. p. 410, 1. 189

---

10. μιξιδάμου C. 43. Λυσίας om. A — δείναρχος, quod Varinus Phavorinus habet, ex eo quod praecedit δήμαρχος ortum est. 44. cf. Boeckh. oecon. publ. Ath. 2 p. 47.

7. Bergkii frg. p. 1146. 26. τετρυπηκέναι H. Valesius apud Kühnium ad Polluc 7 §. 120, G. Bernhardy mentionem τοῦ χρυσοχοεῖν requiri statuit. Sed quidni luxuriem per iocum acerbum tertiam artem dici putemus? Tempus perfectum exempla tuentur, quae Bernh. ipse synt. gr. p. 378 sq. collegit. 33. νισοκλέους C. 40. νίκανδρον τὸν ἀθλητὴν B. 42 De Antigenida cf. Meinek. com. gr. 3 p. 187 sq. 43. οὗτος ἦν AB: ἦν οὗτος b.

XCVIII. ΠΡΟΣ ΝΙΚΙΑΝ ΠΕΡΙ ΠΑΡΑΚΑΤΑΘΗΚΗΣ.

190 *Οὐδὲ ἐκεῖνα παραλείψομαι· Κρατίνου ἐν Πυτίνῃ εἰπόντος*

„τὴν μὲν παρασκευὴν ἴσως γιγνώσκετε“

Ἀνδοκίδης ὁ ῥήτωρ λέγει· „τὴν μὲν παρασκευήν, ὦ ἄνδρες δικασταί, καὶ τὴν προθυμίαν τῶν ἐχθρῶν τῶν ἐμῶν σχεδόν τι πάντες εἴσεσθε.“ ὁμοίως καὶ Λυσίας ἐν τῷ πρὸς Νικίαν περὶ παρακαταθήκης· τὴν μὲν παρασκευὴν καὶ τὴν προθυμίαν τῶν ἀντιδίκων ὁρᾶτε, ὦ ἄνδρες δικασταί φησίν. καὶ μετὰ τοῦτον Αἰσχίνης λέγει· „τὴν μὲν παρασκευὴν ὁρᾶτε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τὴν παράταξιν.“ Clemens Alex. Strom. 6 p. 626 Sylb. 748 Pott. — Quod D. Ruhnkenius coniecerat, ut Niciam oratorem, de quo nihil traditum exstat, eliminaret, id oratione Isocratis vicesima prima, quae Niciae cuidam adversus Euthynum de deposito scripta est, luculenter confirmari optime L. Hoelscherus perspexit. Videtur igitur Lysias Euthyno se contra Niciam defensuro hanc orationem composuisse; quod paullo post Thrasybuli et exsulum in patriam reditum factum esse in Zimmermanni diurn. 1835 p. 407 monui His etiam ea magis illustrantur quae supra p. 167 de Antisthenis libro et Diogenis Laertii l. 6 §. 15 exposui. Facile vero intelligitur, oratores illos (adde Lysiae or. 19 §. 2) non alterum alteri hoc initium orationum suffuratos esse, sed omnes ex praeceptis scholae petivisse, quam iudicialis eloquentiae consuetudinem etiam Cratinus lepide expressisse censendus est.

[XCIX. ΥΠΕΡ ΝΙΚΙΟΥ.

Καὶ θαυμάζειν ἄξιον, τί δή ποτε παθὼν ὁ Θεόφραστος τῶν φορτικῶν καὶ περιέργων αὐτὸν (Lysiam) *οἴεται ζηλωτὴν γενέσθαι λόγων καὶ τὸ ποιητικὸν διώκειν μᾶλλον ἢ τὸ ἀληθινόν. ἐν γοῦν τοῖς περὶ λέξεως γραφεῖσι τῶν τε ἄλλων καταμέμφεται τῶν περὶ τὰς ἀντιθέσεις καὶ παρισώσεις καὶ παρομοιώσεις καὶ τὰ παραπλήσια τούτοις σχήματα διεσπουδακότων καὶ δὴ καὶ τὸν Λυσίαν ἐν τούτοις καταριθμεῖται, τὸν ὑπὲρ Νικίου τοῦ στρατηγοῦ τῶν Ἀθηναίων λόγον, ὃν εἶπεν ἐπὶ Συρακουσίων αἰχμάλωτος ὤν, ὡς ὑπὸ τούτου γεγραμμένον τοῦ ῥήτορος παρατιθείς· κωλύσει δ' οὐδὲν ἴσως καὶ τὴν λέξιν αὐτὴν θεῖναι τοῦ Θεοφράστου· ἔστι δὲ ἥδε·*

„Ἀντίθεσις δ' ἐστὶ τριττῶς, ὅταν τῷ αὐτῷ τὰ ἐναντία ἢ τῷ ἐναντίῳ τὰ αὐτὰ ἢ τοῖς ἐναντίοις τὰ ἐναντία προσκατηγορηθῇ. τοσαυταχῶς γὰρ ἐγχωρεῖ συζευχθῆναι τούτων δὲ τὸ μὲν ἴσον καὶ τὸ ὅμοιον παιδιῶδες, καθαπερεὶ ποίημα· διὸ καὶ ἧττον ἁρμόττει τῇ σπουδῇ. φαίνεται γὰρ ἀπρεπὲς σπουδάζοντα τοῖς πράγμασι τοῖς ὀνόμασι παίζειν καὶ τὸ πάθος τῇ λέξει περιαιρεῖν· ἐκλύει γὰρ τὸν ἀκροατήν. οἷον ὡς ὁ Λυσίας ἐν τῇ τοῦ Νικίου ἀπολογίᾳ βουλόμενος ἔλεον ποιεῖν· Κλαίω 191 *τὸν ἀμάχητον καὶ ἀναυμάχητον ὄλεθρον. — Ἱκέται μὲν αὐτοὶ τῶν θεῶν καθίζοντες, προ-* 192 *δότας δὲ τῶν ὅρκων ἡμᾶς ἀποφαίνοντες. — ἀνακαλοῦντές τε συγγένειαν καὶ εὐγένειαν.“* 193

ταῦτα γὰρ εἰ μὲν τῷ ὄντι Λυσίας ἔγραψε, δικαίως ἂν ἐπιτιμήσεως ἀξιοῖτο, χαριεντιζόμενος ἐν οὐ χαρίεντι καιρῷ. εἰ δὲ ἑτέρου τινός ἐστιν ὁ λόγος, ὥσπερ ἐστίν, ὁ κατηγορῶν ἃ μὴ προσῆκε τοῦ ἀνδρὸς μεμπτότερος. ὅτι δὲ οὐκ ἔγραψε Λυσίας τὸν ὑπὲρ Νικίου λόγον οὐδ' ἔστιν οὔτε τῆς ψυχῆς οὔτε τῆς λέξεως ἐκείνης τὸ γράμμα πολλοῖς πάνυ τεκμηρίοις ἀποδεῖξαι δυνάμενος οὐκ ἔχω καιρὸν ἐν τῷ παρόντι λόγῳ. Dionysius 5 p. 483, 5 sqq. Quisquis auctor orationis fuit, ita compositam fuisse apparet, ut Nicias, infelicissimus Atheniensium imperator, Syracusis captus misericordiam victorum imploraret. Exercitationem igitur fuisse necesse est. Sed Lysiae, quanquam temporum rationes non obstant, ne hanc exercitationem quidem tribuerim. Verum enim Dionysii iudicium esse exemplorum a Theophrasto adscriptorum frigidissima ieiunitas satis docet. Quorum exemplorum primum cum ad Niciam ipsum pertinere appareat, secundum et tertium ad socios siculos Atheniensium opem implorantes videntur referenda esse. Restat, ut moneam hanc orationem exemplo valde memorabili docere, quam mature eiusmodi exercitationes componi et antiquis oratoribus supponi coeptae sint. Quanquam hoc vel studia grammaticorum alexandrinorum et pergamenorum in veris et falsis discernendis posita docere poterant.]

C. ΚΑΤΑ ΝΙΚΙΟΥ ΑΡΓΙΑΣ,

εἰ γνήσιος

Primus mihi videor orationes lysiacas, quae ad Niciam pertinere viderentur, recte distinxisse. *Κατὰ Νικίου* nulla Lysiae oratio fuit. Nam quod A. We-

3. *Πυτίνῃ* Sylburgius: erat *ποιτίνῃ* — v. Meinek. com. 2 p. 118. 5. erat *γινώσκετε*. 6. Andocid. 1 §. 1. 8. *εἴσεσθε*] Fort. *ἴστε*. Andocides *ἐπίστασθε*. *Λυσίας — Νικίαν* D. Ruhnken. hist. crit. or. gr. p. XL: *Νικίας — Λυσίαν* libri. 9. *περὶ* Sauppius: *ὑπὲρ* libri. *παρακαταθήκης* Sylburgius: *καταθήκης* libri. 12 Aeschines 3 §. 1. 41. *καταριθμεῖται* Marklandus: erat *καταριθμεῖ καὶ*.

2. *τὰ* addidi Marklando auctore. 3. *προσκατηγορηθῇ* Sylburgius: erat *προκατηγορηθείη*. 11. *καθίζονται* helmstad. et reg. 2. 12 *ἀποφαίνοντες*, *ἀνακαλ.* vulgo Sed Marklandus vidit tria a Theophrasto exempla afferri. 13. *τε* addidi cum helmstad. *καὶ* ego addidi. *εὐγένειαν* Marklandus: erat *εὐμένειαν*.

stermannus (hist. eloq. gr. p. 286, 135), Ch. Walzius rhett. graec. 9 p. 644, Hoelscherus p. 191 orationem *κατὰ Νικίου προδοσίας* Lysiae tribuunt, fictum et commentitium est, cum neque apud Max. Planudem (rhet. gr. 5 p. 568) neque apud Gregorium Cor. (7 p. 1123, 22 Walz.) Lysiae ullum vestigium exstet neque ullo alio loco ea oratio commemoretur. Apud Harpocrationem p. 64, 12 *δωροξενία*, p. 103, 9 *Ἰτεαῖος*, p. 111, 3 *Κηττοί* legebatur *κατὰ Νικίου*, sed *κατὰ Νικίδου* restituendum esse cod. optimi A auctoritas et fragmenti cantabrigiensis testimonium evincunt. Restat Harpocrat. p. 77, 23 *ἐπιβλῆτας*, ubi Lysias orationem *κατὰ Νικίου φόνου* composuisse dicitur. Haec oratio hoc uno loco commemoratur. E cod. A. qui ceteris locis omnibus *Νικίδου* praebebat, Bekkerus h. l. nihil enotavit. Orationem Lysiae *κατὰ Μικίνου φόνου* fuisse multa grammaticorum testimonia exstant. Huius ipsius Micinae nominis h. l. apud Harpocrationem vestigia vidimus reperiri (cf. frg. 175), quae me nunc non posse persequi aegre fero. Quid, inquam, criticum sani et sobrii iudicii facere oportet? Negabit ille Lysiae orationem *κατὰ Νικίου φόνου* fuisse et apud Harpocrationem p. 77, 23 *Μικίνου* restituet. Fuit igitur oratio Lysiae *πρὸς Νικίαν περὶ παρακαταθήκης*, alia *ὑπὲρ Νικίου* Lysiae supposita, tertia *κατὰ Νικίδου ἀργίας*, quae an non recte Lysiae tribueretur ab antiquis grammaticis dubitatum esse Harpocrationis testimonio edocemur. Haec quae fuit *κατὰ Νικίδου ἀργίας* parum abfuit quin adhuc exstaret. Erat enim tricesima prima codicis palatini, cum adhuc integer esset; sed quaternio sextus decimus, in quo scripta fuerat, casu importunissimo perditus est: cf. epist. crit. ad G. Herm. p. 8 sq. Quod apud Harpocrationem p. 57, 3 *διαγράψασθαι* et p. 88, 28 *εὔθυνοι* legebatur *Νικιδίου*, ex duabus lectionibus *Νικίου* et *Νικίδου* inter se coniunctis videtur ortum esse. De actione inertiae cf. Lysiae frg. 35 et M. Meier. de litibus Athen. p. 298 sq. Fragmentum tertium efficit, ut coniiciam Nicidem iam antea inertiae accusatum et crimine absolutum fuisse. An Nicidem putabimus, a Potamiis receptum, peregrinae originis suspectum fuisse, ut *ξενίας* et *δωροξενίας* accusaretur, et, quamvis adversarios vicisset, in hac de inertia oratione ad invidiam Nicidae faciendam de illis criminibus narrari?

194 1. (Σόλων) – δοκεῖ δὲ καὶ κάλλιστα νομοθετῆσαι. – – καὶ ὁ ἀργὸς ὑπεύθυνος ἔστω παντὶ τῷ βουλομένῳ γράφεσθαι. Λυσίας δ᾽ ἐν τῷ κατὰ Νικίδου Δράκοντά φησι γεγραφέναι τὸν νόμον, Σόλωνα δὲ τεθεικέναι. Diogenes Laert. 1 §. 55.

2. *διαγράψασθαι*· Λυσίας ἐν τῷ κατὰ Νικίδου, εἰ γνήσιος, ἀντὶ τοῦ ἀνελέσθαι τὸ ἔγκλημα. Harpocrat. 195

3. *δωροξενία*· Λυσίας ἐν τῷ κατὰ Νικίδου. ἐξηγήσατο τοὔνομα Ὑπερείδης ἐν τῷ κατ᾽ Ἀρισταγόρας οὕτω γράφων. – – Harpocrat. vide Hyperidis fragmenta. 196

4. *εὔθυνοι*· Λυσίας ἐν τῷ κατὰ Νικίδου, εἰ γνήσιος. εὔθυνοι ὄνομα ἀρχῆς παρ᾽ Ἀθηναίοις. ι᾽ τὸν ἀριθμὸν ἦσαν, παρ᾽ οἷς ἐδίδοσαν οἱ πρεσβεύσαντες ἢ ἄρξαντες ἢ διοικήσαντές τι τῶν δημοσίων τὰς εὐθύνας. διείλεκται περὶ αὐτῶν Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ. Harpocrat. 197

5. *Θετταλός*· Λυσίας κατὰ Νικίδου. εἷς τῶν Κίμωνος παίδων Θετταλὸς ἐκαλεῖτο, ὥς φησιν Ἡλιόδωρος ἐν τῷ περὶ ἀκροπόλεως. Harpocrat. 198

6. *Ἰτεαῖος*· Λυσίας ἐν τῷ κατὰ Νικίδου. δῆμός ἐστι τῆς Ἀκαμαντίδος Ἰτέα, ἀφ᾽ ἧς ὁ δημότης Ἰτεαῖος, ὥς φησι Διόδωρος. Harpocrat. 199

7. *Κηττοί*· Λυσίας ἐν τῷ κατὰ Νικίδου ἀργίας. δῆμός ἐστι τῆς Λεοντίδος, ὡς Διόδωρος ὁ περιηγητὴς φησίν. Harpocrat. 200

8. *ὀβολοστατεῖ* ἀντὶ τοῦ δανείζει Λυσίας ἐν τῷ κατὰ Νικίδου, εἰ γνήσιος. Harpocrat. cf. Lysiae frg. 156. 201

μᾶλλον ἔσται καταφανής (sc. diversitas Lysiae et Isaei) καὶ μάλιστα ἐκ τῶν ἀποδεικτικῶν καὶ παθητικῶν λόγων· ἐν οἷς ὁ μὲν Λυσίας ἁπλούστερός τίς ἐστι καὶ κατὰ τὴν σύνθεσιν τῶν ὀνομάτων καὶ κατὰ τὴν κοινότητα τῶν σχημάτων, οὑτοσὶ δὲ ποικιλώτερος. πολλὰ γὰρ ἄν τις ἰδὼν εὕροι παρ' αὐτῷ, ὡς ἐν τούτῳ·

„Πόθεν χρὴ πιστεύεσθαι τὰ εἰρημένα πρὸς θεῶν; οὐκ ἐκ τῶν μαρτύρων; οἴομαί γε. πόθεν δὲ τοὺς μάρτυρας; οὐκ ἐκ τῶν βασάνων; εἰκός γε. πόθεν δέ γε ἀπιστεῖσθαι τοὺς λόγους τοὺς τούτων; οὐκ ἐκ τοῦ φεύγειν τοὺς ἐλέγχους; ἀνάγκη μεγάλη. φαίνομαι τοίνυν ἐγὼ μὲν διώκων ταῦτα καὶ τὰ πράγματα εἰς βασάνους ἄγων, οὗτος δὲ ἐπὶ διαβολὰς καὶ λόγους καθιστάς· ὅπερ ἄν τις πλεονεκτεῖν βουλόμενος ποιήσειεν. ἐχρῆν δὲ αὐτόν, εἴπερ τι δίκαιον ἐφρόνει καὶ μὴ παρακρούσασθαι τὰς ὑμετέρας γνώμας ἐζήτει, μὴ μὰ Δία ταῦτα ποιεῖν, ἀλλ' ἐπὶ τὸν λογισμὸν μετὰ μαρτύρων ἐλθεῖν καὶ ἐξετάζειν ἕκαστα τῶν ἐν τῷ λόγῳ, τουτονὶ τὸν τρόπον παρ' ἐμοῦ πυνθανόμενον· εἰσφορὰς λογίζῃ πόσας; τόσας. κατὰ πόσον ἀργύριον εἰσενηνεγμένας; κατὰ τόσον καὶ τόσον. κατὰ ποῖα ψηφίσματα; ταυτί. ταύτας εἰλήφασι τίνες; οἱ καὶ ταῦτα μαρτυρήσοντες. ἐχρῆν σκέψασθαι τὰ ψηφίσματα, τὸ πλῆθος τῶν εἰσφορῶν, τὰ εἰσ-

1. διείλεκται hic addidi: in codd. legitur post Ἰσαῖος, b cum Valesio ante vv. περὶ τῆς inseruit. — De Amazonio cf. Leak. top. Ath. p. 356 et 232 sq. turic. 6. Ἀθάμαντι Casaubonus: Ἀκάμαντι b. cf. Sophoclis frg. 7 Ddf. 30. τῶν bodl. et vetus Schaeferi: erat τῶν ἰδίων, quod ortum est ex dittographia: nam pro v. quod est ἀδελφιδῶν in quibusdam codd. legitur ἀδελφῶν. 32. μηδένα Bekkerus (add. t. 5 p. 697): erat μὴ λίαν. 33. ἀπονοηθέντα Schoemannus: erat ἀγνοηθέντα. cf Demosth. 19 §. 69. 43 §. 41 Isocr. 8 §. 93. πρὸς χρήματ' Bekkerus: erat προσχήματ'. 34. λαγχάνειν, εἰ δ' Sauppius: erat λαγχάνειν (Bekkerus λαγχάνειν· εἰ δὲ μή). cf. Isaei frg. VII. 1 init. 35. ἀλλ' οὖν τόν γε Sauppius: ἀλλ' οὐ τό γε Schaeferi vetus, ἀλλ' οὕτω γε οὖν bodl., ἀλλ' οὐ τό γε οὖν ceteri (Bekkerus ἀλλ' οὖν τοῦτόν γε ὄντ'). ἐμὸν ὄντα Sauppius: erat ἐμὸν καί. 37. αὐτῷ Reiskius: libri αὐτῶν.

2. τ' ἐδόκει Reiskius: libri τε δοκῇ. σώζων] καὶ σώζων Reiskius. 6. ἑταιρείαις Sauppius: erat ἑταιρίαις cf. Bait. ad Isocr. Paneg. p. 51 sq. 10. ἔξω Reiskius: libri ἔξω μέν. 20. Πόθεν — 24 μεγάλη] om. Bekkerus, quia fere eadem in or. 8 §. 28 leguntur: sed v. Schoem. p. 391. 21. οἴομαί γε Sylburgius: libri οἴομαι δέ. (8 §. 28: οἶμαί γε.) 25. διώκων ταῦτα] Fort. δίκαια ποιῶν πάντα vel simile quid. 28. ποιήσειεν Schoemannus: erat ἐποίησεν. 29. παρακρούσασθαι bodl.: παρακρούσεσθαι vetus Schaeferi, παρακουσεσθαι ceteri. 33. πόσας Reiskius: libri πρός. τόσας libri: τόσας καὶ τόσας cum Reiskio recentiores. κατὰ Reiskius: libri καί. 34. εἰσενηνεγμένας Sylburgius: libri εἰσενηνεγμένης. 35. ποῖα Reiskius: libri πόσα. ταυτί libri: κατὰ ταυτί cum Reiskio recentiores. τίνες; Reiskius: libri τινές. 36. μαρτυρήσοντες Reiskius: libri μαρτυρόμενοι. ἐχρῆν ego addidi.

συνηνεγμένα, τοὺς λαβόντας, καὶ εἰ μὲν εὖ τε • • • τῷ λόγῳ πιστεύειν, εἰ δὲ μή, νῦν παρασχέσθαι μάρτυρας, εἴ τι ψεῦδος ἦν ὧν ἐλογισάμην αὐτοῖς." Dionysius p. 606, 14.

31 3. 4. παρηγγύησεν καὶ παρεγγυηθέντος· Ἰσαῖος ἐν τῇ πρὸς Διοφάνην ἐπιτροπῆς ἀπολογίᾳ φησί· τὸ μὲν παρὸν τὸ δὲ παρ' ἑτέρων μεταλαβεῖν παρηγγύησεν, ἀντὶ τοῦ παρέδωκεν ἐντειλάμενος ἑκατέρῳ, τῷ μὲν λαβεῖν τῷ δὲ δοῦναι. καὶ πάλιν φησί·

32 τὰ μὲν ἐμοῦ διαλύσαντος, β' τάλαντα καὶ λ' μνᾶς, τὰ δὲ τοῦ γεωργοῦ παρεγγυηθέντος, ἀντὶ τοῦ παραλαβόντος. Harpocrat.

33 5. Ἱερὰ ὁδός· Ἰσαῖος ἐν τῇ πρὸς Διοφάνην ἀπολογίᾳ. Ἱερὰ ὁδός ἐστιν ἣν οἱ μύσται πορεύονται ἀπὸ τοῦ ἄστεος ἐπ' Ἐλευσῖνα. βιβλίον οὖν ὅλον Πολέμωνι γέγραπται περὶ τῆς Ἱερᾶς ὁδοῦ. μνημονεύει δ' αὐτῆς Κρατῖνος ἐν Δραπέτισιν. Harpocrat.

XI. ΠΡΟΣ ΔΩΡΟΘΕΟΝ ΕΞΟΥΛΗΣ.

De hac actione cf. Meier. lit. att. p. 485 sqq.

34 1. Ὁμοῦ· ἐγγύς. — — καὶ Δημοσθένης τῷ ὁμοῦ ἀντὶ τοῦ ἐγγὺς κέχρηται ἐν τῷ κατὰ Ἀριστογείτονος „εἰσὶν ὁμοῦ δισμύριοι χιλιάδες Ἀθηναίων." ἔνθα γὰρ βούλεται δηλοῦν, ὅτι ἐγγὺς τῶν δισμυρίων εἰσίν, ἐπεὶ ὅτι γε οὐκ ἦσαν δισμύριοι φανερόν. Ἰσαῖος δὲ τὸ ὁμοῦ ἐπὶ χρόνου ἔταξεν ἐν τῷ πρὸς Δωρόθεον· ἐς τοσοῦτον πονηρίας ὁμοῦ καὶ τόλμης ἐλήλυθε, καὶ ἐν τῷ πρὸς Καλλικράτην· οὐ μὴν ἀλλὰ τούτου πάντα ὁμοῦ ταῦτα ἐπιτάξαντος. Λυσίας δὲ ἐπὶ τόπου τοῦτο ἔταξεν ἐν τῇ πρὸς Μετάνειραν ἐπιστολῇ· γυναικῶν δὲ πολλῶν καὶ ἀνδρῶν ὁμοῦ κατακειμένων. Suidas 2, 1 p. 1115, 9 B. cf. Photius lex. p. 334, 16.

35 2. ἐπιτήθη· ἡ τῆς τήθης μήτηρ. ὥστε εἶναι τὴν μὲν τήθην μητρὸς ἢ πατρὸς μητέρα, τὴν δὲ ἐπιτήθην τῆς τοῦ πατρὸς καὶ τῆς μητρὸς μητρὸς μητέρα. οὕτως Ἰσαῖος ἐν τῷ πρὸς Δωρόθεον. Suidas 1, 2 p. 472, 18. cf. Etym. M. p. 366, 11.

3. De ratione actionum, quae essent primum ἐνοικίου et καρποῦ, deinde οὐσίας, denique ἐξούλης, accuratissime in Isaei oratione contra Dorotheum expositum fuisse Harpocratio testatur p. 141, 26. cf. Isaei frg. or. XLIII. Quod Harpocratio p. 75, 20 tradit Isaeum luculenter exposuisse de actione ἐξούλης (cf. Lysiae frg. 218), aut ad hanc orationem pertinet aut ad orationem Calydoni contra Hagnotheum scriptam. 36

XII. ΚΑΤ' ΕΛΠΑΓΟΡΟΥ ΚΑΙ ΔΗΜΟΦΑΝΟΥΣ.

Coniicio, inquilinum ἰσοτελῆ urbis Athenarum ab Elpagora et Demophane iniuriam accepisse, quam hac oratione propulsare vellet. Maxime videtur de agro aliquo publicato et ab inquilino illo emto actum esse.

1. σύνδικοι. Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου καὶ Δημοφάνους φησίν· οἳ μετὰ τὰ ἐκ Πειραιῶς, ὡς ἐγὼ ἀκούω, σύνδικοι ἦσαν, πρὸς οὓς τὰ δημευόμενα ἀπεφέρετο. Harpocrat. et Etym. M. p. 734, 57. — cf. Lysiae frg. 70. 37

2. ἁλουργοπωλικὴ ἡ πορφυροπωλικὴ ὑφ' ἡμῶν λεγομένη· Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου καὶ Δημοφάνους. Harpocrat. cf. Bekk. anecd. p. 379, 25. 38

3. Ἀραφήνιος· Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου καὶ Δημοφάνους. δῆμός ἐστι φυλῆς τῆς Αἰγηΐδος. Harpocrat. 39

4. διαμεμετρημένη ἡμέρα. μέτρον τι ἐστὶν ὕδατος πρὸς μεμετρημένον ἡμέρας διάστημα ῥέον· ἐμετρεῖτο δὲ τῷ Ποσειδεῶνι μηνί· πρὸς δὴ τοῦτο ἠγωνίζοντο οἱ μέγιστοι καὶ περὶ τῶν μεγίστων ἀγῶνες. διενέμετο δὲ τρία μέρη τὸ ὕδωρ, τὸ μὲν τῷ διώκοντι, τὸ δὲ τῷ φεύγοντι, τὸ δὲ τρίτον τοῖς δικάζουσι. ταῦτα δὲ σαφέστατα αὐτοὶ οἱ ῥήτορες δεδηλώκασιν, ὥσπερ καὶ Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος· Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ διδάσκει περὶ τούτων. 40

---

1. τε • • •] lacuna est in codd. bodl. et vetere Schaeferi. Videtur Isaeus sic fere scripsisse: εὖ τε καὶ καλῶς εἶχε. 2. παρασχέσθαι Reiskius: libri παρασχεσθε. 3. αὐτοῖς Sylburgius: libri αὐτῆς. 5. παρηγγύησεν Bekkerus: libri παρεγγύησεν. item Photius et Suidas. Atque Harpocrationem quidem sic scripsisse ordo literarum docet neque mirum est: cf. Buttm. Gr. ampl. 1 p. 344. — De re cf. Schoem. de lit. att. p. 521. παρεγγυηθέντος Photius et Suidas: παρεγγυηθέντες BC, παρεγγυηθέντας b. 7. Fort. παρών. Numeravit partem pecuniae ipse praesens, reliqua ut ab aliis numerarentur perscriptionem dedit. τὸ δὲ] τόδε B. λαβεῖν BG. 8. παρεγγύησεν A. 10. διαλύσαντος b cum N: reliqui διαλύσαντας. 11. γεωργίου N. παρεγγυηθέντες et παραλαβόντες BC. 15. Polemo Prelleri p. 44. cf. L. Prelleri commentatt. de via sacra eleusinia. Dorpati, 1841. 17. Meinek. com. gr. 2 p. 54. 23. Demosth. 25 §. 51. 24. δισμύριοι πάντες Ἀθηναῖοι Demosthenes et Photius, πάντες δισμύριοι Ἀθηναῖοι Schol. Platon. p. 380 Bkk. 30. Lysiae frg. 256. 37. καὶ τῆς μητρὸς μητρὸς Saupplus: erat μητρὸς καὶ τῆς μητρός.

18. καὶ Δημοφ. — ἀκούω om. Etym. 19. δημοφάνης ASN, δημοσθένης B. φασιν ABG. Fort. Δημοφάνους· ὥς φασιν οἱ — — τὰ om. BCG. 21. ἀπεφέροντο Etym., επεφερετο CG. 24. ἐλπαγόρα A. 29. cf. Schoemann. de lit. att. p. 713 sqq. Wachsmuth. antiqu. gr. 2 p. 274. Hermanni antiqu. Gr. publ. §. 142. — Clepsydra certam diei partem designabat. Sed cum Graeci eiusdem per omnes menses longitudinis, quales nostrae sunt, non haberent, dicendum erat, quonam anni tempore clepsydrae mensura constituta esset. Brumalibus diebus factum esse Harpocratio docet. Aliter hoc apud Romanos institutum erat: cf. G. Geib. de iud. crimin. Rom. p. 609. 36. Aeschin. 3 §. 197. cf. 2 §. 126. Demosth. 19 §. 120.

σκεπτέον δὲ τὸ παρ' Ἰσαίῳ ἐν τῷ κατ' Ἐλπαγόρου καὶ Δημοφάνους, πῶς μεμετρημένης τῆς ἡμέρας ὁτὲ μέν φησι χωρὶς ὕδατος γίνεσθαι τοὺς ἀγῶνας, ὁτὲ δὲ πρὸς ὕδωρ. Harpocrat.

41 5. ἐπιδέκατον τὸ δέκατον Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου. καὶ ἐπίπεμπτον εἰώθασι λέγειν τὸ πέμπτον, ὡς καὶ Εὔπολις Αὐτολύκῳ. Harpocrat.

42 6. ἐπιστάτης· Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου καὶ Δημοφάνους. β' εἰσὶν οἱ καθιστάμενοι ἐπιστάται, ὁ μὲν ἐκ πρυτάνεων κληρούμενος ὁ δὲ ἐκ τῶν προέδρων, ὧν ἑκάτερος τίνα διοίκησιν διοικεῖ δεδήλωκεν ὁ Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ. ἐλέγετο δ' ἐν τοῖς κοινοῖς καὶ ὁ ἐφεστηκὼς πράγματι ὁτῳοῦν, ὡς Ὑπερίδης τε ἐν τῷ κατὰ Δημοσθένους καὶ Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος φανερὸν ποιοῦσιν. Harpocrat.

43 7. ἐπωνία τέλος ἐστὶ τὸ ἐπὶ τῇ ὠνῇ διδόμενον, εἴη δ' ἂν ἴσως ἡ πέμπτη· Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου καὶ Δημοφάνους κἀν τῇ πρὸς Τληπόλεμον ἀντωμοσίᾳ. Harpocrat. cf. Bekk. anecd. p. 255, 1.

44 8. Ἰκαριεύς· Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου. δῆμός ἐστι τῆς Αἰγηίδος, ὥς φησι Διόδωρος. Harpocrat.

45 9. ἰσοτελὴς καὶ ἰσοτέλεια· Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου πολλάκις. τιμή τις διδομένη τοῖς ἀξίοις φανεῖσι τῶν μετοίκων, καθ' ἣν καὶ τοῦ μετοικίου ἄφεσις αὐτοῖς ἐγίγνετο, ὡς Λυσίας ἐν τῷ πρὸς Σώστρατον ὕβρεως, εἰ γνήσιος. ὅτι δὲ καὶ τῶν ἄλλων ὧν ἔπραττον οἱ μέτοικοι ἄφεσιν εἶχον οἱ ἰσοτελεῖς, Θεόφραστος εἴρηκεν ἐν ια' τῶν Νόμων· οὗτος δέ φησιν ὡς ἐνιαχοῦ καὶ πόλεσιν ὅλαις ἐψηφίζοντο τὴν ἰσοτέλειαν Ἀθηναῖοι, ὥσπερ Ὀλυνθίοις τε καὶ Θηβαίοις. ἔστι δὲ μαθεῖν ἐκ τοῦ προγεγραμμένου Ἰσαίου λόγου καὶ ὅσα ἐτέλει ὁ ἰσοτελής. Harpocrat.

46 10. κηρύκεια ὁ διδόμενος μισθὸς τοῖς κήρυξιν ἐπὶ ταῖς γινομέναις πράσεσιν· Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου καὶ Δημοφάνους. Harpocrat. cf. Bekk. anecd. p. 255, 3 et Schol. Demosth. or. 51 §. 13, cui πράσεσιν restituendum est.

47 11. Κηφισιεύς· Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου καὶ Δημοφάνους. δῆμός ἐστι τῆς Ἐρεχθηίδος φυλῆς, ὡς αὐτός φησιν. Harpocrat.

48 12. Ἰσαῖος δ' ἐν τῷ κατ' Ἐλπαγόρου καὶ Δημοφάνους ἐποσημαίνει, ὅτι ὁ μὲν ἀνὴρ ιβ' δραχμὰς ἐτέλει μετοίκιον, ἡ δὲ γυνὴ ϛ', καὶ ὅτι τοῦ υἱοῦ τελοῦντος ἡ μήτηρ οὐκ ἐτέλει, μὴ τελοῦντος δ' ἐκείνου αὐτὴ τελεῖ. Harpocrat. p. 127, 4. cf. Hyperidis frg. or. c. Aristagoram.

13. Οἴηθεν· Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου. δῆμος τῆς Πανδιονίδος ἡ Οἴη, ὡς Διόδωρος· Οἴηθεν δὲ ἀπὸ τόπου ἐπίρρημα. Φιλόχορος δ' ἐν τῇ γ' τὴν Οἴην Κεφάλου μὲν θυγατέρα Χάροπος δὲ γυναῖκα ἱστορεῖ. Harpocrat. 49

14. πωλητήριον δὲ καλεῖται ὁ τόπος, ἔνθα συνεδρεύουσιν οἱ πωληταί· Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου πολλάκις. Harpocrat. p. 163, 16. cf. Hyperidis frg. or. contra Aristagoram. 50

15. σύμβολα τὰς συνθήκας, ἃς ἂν αἱ πόλεις ἀλλήλαις θέμεναι τάττωσι τοῖς πολίταις ὥστε διδόναι καὶ λαμβάνειν τὰ δίκαια. πολλάκις ἐν τῷ ζ' Φιλιππικῶν Δημοσθένης, καὶ Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου. Harpocrat. 51

XIII. ΠΡΟΣ ΕΡΜΩΝΑ ΠΕΡΙ ΕΓΓΥΗΣ.

Schoem. p. 167.

1. ἀνάκαιον· τὸ δεσμωτήριον, εἰς ὃ κατετίθεντο τοὺς πονηροὺς δούλους καὶ τῶν ἀπελευθέρων τοὺς ἀφισταμένους. Ἰσαῖος ἐν τῷ πρὸς Ἕρμωνα περὶ ἐγγύης· Ἑρμοκράτην δὲ εἰς τὸ ἀναγκαῖον ἐνέβαλε φάσκων ἀπελεύθερον εἶναι, καὶ οὐ πρότερον ἀφῆκε, πρὶν λ' δραχμὰς ἐπράξατο. Suidas 1, 1 p. 333, 1. Bernh. — ἀναγκαῖον ἀντὶ τοῦ δεσμωτήριον Ἰσαῖος ἐν τῷ πρὸς Ἕρμωνα καὶ Ξενοφῶν Ἑλληνικαῖς. Καλλισθένης δὲ ἀνώγεων εἶπεν, ὃ δεῖ μᾶλλον λέγεσθαι. Harpocrat. cf. Suid. 1, 1 p. 456, 18. 52

2. ἀνδραποδοκάπηλος ὁ νῦν λεγόμενος σωματέμπορος, παρὰ τὸ καπηλεύειν τὰ ἀνδράποδα, ὅ ἐστι πιπράσκειν· Ἰσαῖος ἐν τῷ πρὸς Ἕρμωνα. Harpocrat. 53

3. ἀφοσιῶ ἀντὶ τοῦ ἀποκαθαίρω ἀφαγνίζω Αἰσχίνης κατὰ Κτησιφῶντος. τὸ δὲ μὴ ἐντελῶς τι ποιῆσαι, ἀλλ' ὥσπερ ὁσίας ἕνεκεν, ἀφοσιώσασθαι εἶπεν Ἰσαῖος ἐν τῷ πρὸς Ἕρμωνα. Harpocrat. cf. Bekk. anecd. p. 472, 1. 54

4. βόθυνος τόπος τις ἰδίως οὕτω καλούμενος ἐν τῇ ἱερᾷ ὁδῷ. Ἰσαῖος ἐν τῷ πρὸς Ἕρμωνα περὶ ἐγγύης 55

---

2. δημοσθένους ABC, δημοσθένης J. — Num quod Isaeus dixerat pertinebat ad eum morem, quo inter legenda litis instrumenta aqua retineretur? 7. Meinek. com. gr. 2 p. 446. 9. δημοσθένους A, δημοσθένης C. — De epistatis illis cf. C. F. Hermanni ant. publ. Gr. §. 127, 9. et Epicrisin quaestionis de proedris apud Athenienses. Gotting. 1843/4. p. 6 sqq. 14. Aeschin. 3 §. 14. 222. 16. ἐπωνίαι C. ἐπώνια Bekk. anecd. et Pollux 7 §. 15. 17. πέμπτη, rectius Bekk. anecd. ἑκατοστή. certe agris venditis centesimam numerandam fuisse titulus docet a L. Rossio de demis Athen. p. 47 sq. editus. 25. Lysiae frg. 225. 29. ἰσοτέλειαν Bekkerus: erat ἀτέλειαν. cf. Meier. de proxenia p. 20 sq. 35. καὶ δημοφάνους AB, om. C.

5. cf. Sauppius de demis urbanis Ath. p. 8 sq. 17. Demosth. 7 §. 9 sqq. 26. ἑρμοκράτη E, Ἑρμοκράτης Zonaras p. 188. — Cf. de hoc frg. Schoemann. ad Isaeum p. 493 sq. τὸ ἀναγκαῖον Schoemannus ex Harpocr.: τὸν ἀνάκαιον BE, reliqui τὸ ἀνάκαιον. 30. ἕρμωνα CF. Xen. hist. gr. 5. 4 §. 8 et 14. 33. ἀνδροκάπηλος B. 36. Aeschin. 3 §. 120. 42. ὁδῷ, οὗ μνήμην ἰσαῖος καὶ καλλισθένης ποιεῖται DE, Suidas, Zonaras. — De loco pro cf. quae ad or. VIII frg. 2 diximus.

μνημονεύει τοῦ τόκου. Harpocrat. cf. Isaei frg. or. VIII, 2. neque enim improbabilis est coniectura M. Meieri (de lit. att. p. 320), qui cum Hermonis nomen in illis verbis legatur putat nomen orationis, quae est *πρὸς Ἕρμωνα περὶ ἐγγύης*, post v. *Διοκλέους* excidisse, ita ut verba illa ad hanc orationem potius pertineant, quam ad eam, quae est *κατὰ Διοκλέους*.

56 5. *διεσπευσάμην ἀντὶ τοῦ διὰ σπουδῆς ἐποιησάμην ἢ ἀντὶ τοῦ διεπραξάμην Ἰσαῖος ἐν τῷ πρὸς Ἕρμωνα περὶ ἐγγύης.* Harpocrat.

57 6. Narrationem artificiosam fuisse, insertis post singula eius capita probationibus, Dionysius tradit 5 p. 612, 6. cf. frg. or. XIV, 1.

XIV. *ΠΡΟΣ ΕΥΚΛΕΙΔΗΝ ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΧΩΡΙΟΥ ΛΥΣΕΩΣ.*

Videtur ager debiti alicuius hypotheca fuisse. Cum debitum illud solutum agrumque liberum esse diceret Euclides, actor contra hac oratione defendit, agrum non liberum esse. cf. frg. incertum 1.

58 1. *αὐτίκα τὰς διηγήσεις τοτὲ μὲν ἀπροκατασκευάστους καὶ συντόμους καὶ οὐδὲν προλαμβανούσας τῶν ἀποδεικτικῶν ἐν τῇ προσηκούσῃ τίθησι χώρᾳ, καθάπερ ἐν τῷ πρὸς Μέδοντα ποιεῖ λόγῳ καὶ ἐν τῷ πρὸς Ἁγνόθεον καὶ ἐν τῇ πρὸς τοὺς δημότας ἀμφισβητήσει περὶ τοῦ χωρίου καὶ ἐν ἄλλοις συχνοῖς· τοτὲ δὲ μερίσας αὐτὰς εἰς τὰ κεφάλαια καὶ παρ' ἕκαστον αὐτῶν τὰς πίστεις παρατιθεὶς ἐκμηκύνει τε μᾶλλον καὶ ἐκβαίνει τὸ τῆς διηγήσεως σχῆμα τῷ συμφέροντι χρώμενος. ταύτης ἐστὶ τῆς ἰδέας ἥ τε πρὸς Ἕρμωνα ὑπὲρ τῆς ἐγγύης ἀπολογία καὶ ἡ πρὸς Εὐκλείδην ἀμφισβήτησις ὑπὲρ τῆς τοῦ χωρίου λύσεως καὶ ἡ ὑπὲρ Εὐφιλήτου πρὸς τὸν Ἐρχιέων δῆμον ἔφεσις. ἐν γὰρ δὴ τοῖς λόγοις τούτοις μακροτέρας τὰς διηγήσεις οὔσας οὐχ ἅμα τίθησιν ὅλας, ἀλλὰ κατὰ μέρη διαλαμβάνων ἐφ' ἑκάστῳ κεφαλαίῳ τούς τε μάρτυρας ἐπάγεται καὶ τὰς ἄλλας παρέχεται πίστεις· — — τοιγάρτοι μετὰ τὰς διηγήσεις τὰς οὕτω ᾠκονομημένας οὐκέτι τὰς προηγουμένας ἀποδείξεις πολλοῖς βεβαιοῦται λόγοις οὐδ' ἐστὶν ὅμοιος τοῖς νέοις τεχνογράφοις, ἀλλὰ τὰς τῶν ἀντιδίκων πίστεις ἀναιρεῖν οἴεται δεῖν.* Dionysius 5 p. 611, 14 R.

2. *τρικέφαλος· Ἰσαῖος ἐν τῷ πρὸς Εὐκλείδην· μικρὸν δ' ἄνω τοῦ Τρικεφάλου παρὰ τὴν Ἑστιαν ὁδόν. τὸ πλῆρές ἐστι τοῦ τρικεφάλου Ἑρμοῦ. τοῦτον δέ φησι Φιλόχορος ἐν γ' Προκλείδην ἀναθεῖναι Ἀγρυλῆσιν.* Harpocrat. 59

3. *Et quod mirum est hoc ipsum ἴδιον etiam primae et secundae adiungitur personae apud illos, ut Ἰσαῖος ἐν τῷ πρὸς Εὐκλείδην· οὐκ ἂν τὰ ἴδια τὰ ἐμαυτοῦ.* Priscian. instit. gramm. 17 c. 18 p. 70 Krehl. 60

4. *Ἀγνίας· Ἰσαῖος ἐν τῷ πρὸς Εὐκλείδην περὶ χωρίου. τοῦτον καὶ τοὺς συμπρεσβευτὰς αὐτοῦ φησιν Ἀνδροτίων ἐν ε' τῆς Ἀτθίδος καὶ Φιλόχορος ὡς ἑάλωσάν τε καὶ ἀπέθανον ὑπὸ Λακεδαιμονίων.* Harpocrat. 61

5. *βουλεύσεως ἐγκλήματος ὄνομα ἐπὶ δυοῖν ταττόμενον πραγμάτων· τὸ μὲν γάρ ἐστιν ὅταν ἐξ ἐπιβουλῆς τίς τινι κατασκευάσῃ θάνατον, ἐάν τε ἀποθάνῃ ὁ ἐπιβουλευθεὶς ἐάν τε μή, τὸ δ' ἕτερον ὅταν ἐγγεγραμμένος ὡς ὀφείλων τῷ δημοσίῳ αὐτὸς δικάζηταί τινι ὡς οὐ δικαίως αὐτὸν ἐγγεγραφότι. τοῦ μὲν οὖν προτέρου μάρτυς Ἰσαῖος ἐν τῷ πρὸς Εὐκλείδην, ἐπὶ Παλλαδίῳ λέγων εἶναι τὰς δίκας, Δείναρχος δὲ ἐν τῷ κατὰ Πιστίου ἐν Ἀρείῳ πάγῳ. Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ τῷ Ἰσαίῳ συμφωνεῖ. περὶ δὲ τοῦ ἑτέρου ἐγκλήματος Δημοσθένης ἐν τῷ κατ' Ἀριστογείτονος α'. Ὑπερίδης δ' ἐν τῷ κατ' Ἀθηνογένους α' ἐπὶ ἐνέδρας καὶ ἐπιβουλῆς τῆς εἰς χρήματα ἰδίως κέχρηται τῷ ὀνόματι.* Harpocrat. 62

6. *ἦν δὲ* (sc. *ἡ ἐπωβελία*) *ἕκτον τοῦ τιμήματος, ὡς Ἰσαῖος ἐν τῷ πρὸς Εὐκλείδην περὶ χωρίου.* Pollux 8 §. 48. 63

7. *ῥητορικὴ γραφή· Ἰσαῖος ἐν τῷ πρὸς Εὐκλείδην. ἔοικε ῥητορικὴ γραφὴ καλεῖσθαι ἡ κατὰ ῥήτορος γράψαντός τι ἢ εἰπόντος ἢ πράξαντος παράνομον, ὥσπερ λέγεται καὶ πρυτανικὴ ἡ κατὰ πρυτάνεως καὶ ἐπιστατικὴ ἡ κατ' ἐπιστάτου. ἴσως δὲ καὶ κατὰ τοῦτο ῥητορικαὶ γραφαί τινες καλοῦνται, ὅτι κατὰ διαφόρους νόμους αἱ κατὰ τῶν ῥητόρων γραφαὶ εἰσάγονται, ὡς Ἀντιφῶν ἐν τῷ κατὰ πρυτάνεως, εἰ γνήσιος.* 64

---

8. *διεσπασάμην* J. 9. *ἥρμονα* J, *ἑρμῶνα* N. 23 et 28. *τοτὲ* vetus Schaeferi: ceteri *τότε*. 24. *προλαμβανούσας* Reiskius: libri *προκαταλαμβανούσας*. cf. p. 613, 9. 26. *ἐν τῷ* Sauppius: erat *ἐφ' ᾧ*. 29. *αὐτὰς εἰς* Reiskius: libri *αὐτοῖς*.

3. cf. Sluit. lectt. andocid p. 41 sqq. 4. *ἐς Ἑστιαῖαν* (vel *Ἑστιαίανδε*) L. Ross. dem. p. 5. 6. Philochor. frg. 69 Müll. *Προκλείδην* Suidas, Photius, Apostol. 19, 51: erat *Εὐκλείδην*. 7. *Ἀγρυλῆσιν* Sauppius: erat *Ἀγκύλησιν*. cf. de demis urbanis Athen. p. 22. 13. cf. Isaei or. 11 §. 8. Schoemann. p. 453. 15. Androtion frg. 17. et Philochor. frg. 153. Müll. 24. Idem tradunt Harpocr. p. 81, 27 et Schol. Aeschin. 2 §. 87 eamque sententiam defendit P. G. Forchhammer de Areopago p. 30 sq. Sed cum et is, qui caedem praemeditatus est (*φόνος ἐκ προνοίας*) et qui invitus aliquem interfecit (*ἀκούσιος φόνος*) ab alio instigatus vel monitus esse possit, ut faceret id quod fecit, videtur prius illud genus *βουλεύσεως* in Areopago, alterum ad Palladium iudicatum esse. 35. cf. Bekk. anecd. p. 299, 21. 42. Antiphont. frg. 49.

ὑποσημαίνει. Harpocrat. — *ῥητορική.* *Ἰσαῖος ἐν τῷ πρὸς Εὐκλείδην περὶ χωρίου. τὰς γραφάς, ἃς εἰσῆγον εἰς τὸ δικαστήριον μετὰ ψηφίσματος. καὶ Ὑπερείδης ἐν τῷ κατὰ Αὐτοκλέους προδοσίας· „ῥητορικῆς ἐκ δήμου.“ ἔστι γὰρ καὶ ἐκ βουλῆς. οἷον εἰ τὰ αὐτὰ ἔδοξε τῷ δήμῳ καὶ τῇ βουλῇ.* Fragm. cantabr. p. 677, 14.

XV. *ΠΡΟΣ ΕΥΚΛΕΙΔΗΝ ΤΟΝ ΣΩΚΡΑΤΙΚΟΝ*, *εἰ γνήσιος.*

Quanquam Westermannus et Weissenbornius hanc orationem non diversam esse iudicaverunt a quarta decima, tamen tutius mihi videbatur esse aliter iudicare. Nam cum quinque locis Harpocratio de oratione contra Euclidem habita commemoraverit, quater neque de origine dubitavit neque Socratis discipulum intelligendum esse dixit: hoc uno et originem dubiam esse et de quo homine cogitandum esset addidit. Orationes diversas fuisse videtur etiam M. Meierus ad fragm. lexic. cantabr. p. XXXIV iudicare.

65 *ὅτι τὰ ἐπικηρυττόμενά τισι χρήματα ἐπὶ τῶν βωμῶν ἐτίθετο, εἴρηκεν Ἰσαῖος ἐν τῷ πρὸς Εὐκλείδην τὸν Σωκρατικόν, εἰ γνήσιος ὁ λόγος.* Harpocrat.

XVI. *ΥΠΕΡ ΕΥΜΑΘΟΥΣ, ΕΙΣ ΕΛΕΥΘΕΡΙΑΝ ΑΦΑΙΡΕΣΙΣ.*

Bekk. 2. Schoem. p. 160.

De tempore et argumento orationis optime exposuit Schoemannus p. 485 sqq.

1. *ἔστι δή τις Ἰσαίου λόγος ὑπὲρ Εὐμάθους, μετοίκου τινὸς τῶν τραπεζιτευόντων Ἀθήνησιν, ὃν εἰς δουλείαν ἀγόμενον ὑπὸ τοῦ κληρονομήσαντος τὸν ἀπηλευθερωκότα τῶν ἀστῶν ἀφαιρεῖταί τις καὶ τὴν ἀπολογίαν ποιεῖται περὶ αὐτοῦ. τὸ προοίμιον δέ ἐστι τοῦ λόγου τοιόνδε·*

66 *„Ἄνδρες δικασταί, ἐγὼ καὶ πρότερον Εὐμάθει τούτῳ ἐγενόμην χρήσιμος καὶ δικαίως καὶ νῦν, εἴ τι ἔστιν ἐν ἐμοί, πειράσομαι συσσῴζειν αὐτὸν μεθ' ὑμῶν. μικρὰ δέ μου ἀκούσατε, ἵνα μηδεὶς ὑπολάβῃ ὑμῶν, ὡς ἐγὼ προπετείᾳ ἢ ἄλλῃ τινὶ ἀδικίᾳ πρὸς τὰ Εὐμάθους πράγματα προυῆλθον. τριηραρχοῦντος γάρ μου ἐπὶ Κηφισοδότου ἄρχοντος καὶ λόγου ἀπαγγελθέντος πρὸς τοὺς οἰκείους, ὡς ἄρα τετελευτηκὼς εἴην ἐν τῇ ναυμαχίᾳ, οὔσης μοι παρακαταθήκης παρ' Εὐμάθει τούτῳ, μεταπεμψάμενος τοὺς οἰκείους τε καὶ φίλους τοὺς ἐμοὺς Εὐμάθης ἐνεφάνισε τὰ χρήματα, ἃ ἦν μοι παρ' αὐτῷ, καὶ ἀπέδωκε πάντα ὀρθῶς καὶ δικαίως. ἀνθ' ὧν ἐγὼ σωθεὶς ἐχρώμην τε αὐτῷ ἔτι μᾶλλον καὶ κατασκευαζομένῳ τὴν τράπεζαν προσεισευπόρησα ἀργυρίου· καὶ μετὰ ταῦτα ἄγοντος αὐτὸν Διονυσίου ἐξειλόμην εἰς ἐλευθερίαν, εἰδὼς ἀφειμένον ἐν τῷ δικαστηρίῳ ὑπὸ Ἐπιγένους. ἀλλὰ περὶ μὲν τούτων ἐπισχήσω.“* Dionysius 5 p. 592, 17 R. coll. p. 596, 9 sqq.

2. *ἄγοι. τοῦτο πολλὰ σημαίνει. Ἰσαῖος δὲ ἀντὶ* 67
τοῦ φέρειν καὶ ἐνάγειν καὶ ἕλκειν ἔλαβεν ἐν τῷ οὕτως ἐπιγραφομένῳ· ὑπὲρ Εὐμάθους εἰς ἐλευθερίαν ἀφαίρεσις, λέγων οὕτως· ἔβλαψέ με Ξενοκλῆς ἀφελόμενος Εὐμάθην εἰς ἐλευθερίαν, ἄγοντος ἐμοῦ εἰς δουλείαν κατὰ τὸ ἐμὸν μέρος. καὶ πολλάκις ἐν τῷ λόγῳ ἐχρήσατο τῷ ὀνόματι ἐπὶ τῆς αὐτῆς ἐννοίας. Ἀντιφῶν δ' ἐν τῷ περὶ ἀληθείας φησὶ „τοὺς νόμους μεγάλους ἄγοι“ ἀντὶ τοῦ ἡγοῖτο. τούτου πολλὴ ἡ χρῆσις. Harpocrat. cf. Bekk. anecd. p. 329, 22.

3. *ἐμποδών· Θουκυδίδης ὀγδόῳ ἀντὶ τοῦ προχεί-* 68
ρους· φησὶ γὰρ „τὰς ἐμποδὼν αἰτίας μόνον ἐπισκοπεῖν· πορρωτέρω δὲ μηδὲν ἐπορέγεσθαι ταῖς διανοίαις.“ Λυκοῦργος δὲ ἐν τῷ κατὰ Λυκόφρονος ἀντὶ τοῦ φανερόν. Πλάτων δὲ ἀντὶ τοῦ ἐν μέσῳ. Ἰσαῖος δὲ ἀντὶ τοῦ ὑπογύου καὶ ἐν χερσίν· φησὶ γὰρ ἐν τῇ ὑπὲρ Εὐμάθους εἰς ἐλευθερίαν ἀφαιρέσει· — ἀλλὰ τὸ πρωιζόν, ὦ ἄνδρες Ἀθηναῖοι, τουτὶ γὰρ παντελῶς ἐμποδών ἐστιν. Bachmanni anecd. 1 p. 218, 10. Suidas 1, 2 p. 214, 17 Bernh. Etymol. M. p. 336, 29. Apostol. prov. cent. 8, 20. Arsen. Viol. p. 228 Walz.

4. *τῷ δὲ ἐνεργητικῷ τῷ ἐπέσκηψεν ἀντὶ τοῦ* 69
ἐνετείλατο Ἰσαῖος ἐν τῇ ὑπὲρ Εὐμάθους εἰς ἐλευθερίαν

---

1. Singularis est haec lexici cantabrigiensis explicatio, sed non improbabilis, ut non videam quo iure Meierus omnia mutando eam evertere studuerit. Videtur grammaticus de *προβολαῖς* cogitavisse: cf. Meier. de lit. att. p. 271 sqq. 2. *γραφὰς* Sauppius: liber *γνώμας*. 3. *μεταψηφίσματος* liber 5. *ἐκ βουλῆς* Dobraeus: liber *ἐκβολῇ*. *τα αὐτὰ* Meierus: liber *τοιαῦτα*. 31. erat *Εὐμαθοῦς*. 37. erat *Εὐμαθεῖ*. 38. erat *δικαίως καὶ νῦν*. 40. erat *μηθεὶς*.

2. erat *Εὐμαθοῦς*. 3. *κηφισοδότου* Dionysius p. 597, 11: hic libri *κηφισοδώρου*. Ut illud nomen archontis Ol. 105 a. 3, quod est apud Diodorum Sic. 16, 6 et Dionysium 5 p. 648, 3 Reisk, alteri praeferrem, titulus fecit apud A. Boeckhium de re nav. Ath. 4. b. 65, cuius testimonio vel Marmor Parium v. 88 cedere par est. 6. erat *Εὐμαθεῖ*. 7. erat *Εὐμαθὴς*. 10. *τε* addidi cum vetere Schaeferi. 11. *προσεισευπόρησα* Reiskius: *προσεισευπόρησαν* bodl. et vetus Schaef., *πρὸς εἰ εὐπόρισα* reliqui. 14. *ἐπισχήσω* Sylburgius: erat *ὑποσχήσω*. 16. *ἄγοι* DE, Suidas, Bekk. anecd.: erat *ἄγει*. 18. *ἐλευθερίας ἀφαίρεσιν* libri plerique. 19. *ἔβλεψέ* F. *μὲν* K. 20. *εὐμαθῆ* A. 21. *κατὰ τὸ ἐμὸν μέρος*; v. Schoemann. p. 485 sq. 23. Antiphont. frg. 118. 27. *Θουκυδ.*; hodie non exstat. 31. Plat. Tim. p. 25. D. 33. *πρωινόν* Etymol., *πρωιζινόν* Coisl. Suidae. Illud probat Lobeck. ad Phryn. p. 323. (Zonaras p. 713 *ἀλλὰ τουτί, ὦ ἄ. Ἀ., παντελῶς ἐμπ. εἶναι.*) 35. *εἶναι* Suidas et Zonaras. 39. *ἐνέσκηψεν* C.

ἀφαιρέσει. Harpocrat. p. 77, 13. cf. Antiphont. frg. 4 et Isaei frg. incert. 9.

70 5. ἐξαιρέσεως δίκη. ὁπότε τις ἄγοι τινὰ ὡς δοῦλον, ἔπειτά τις αὐτὸν ὡς ἐλεύθερον ἐξαιροῖτο, ἐξῆν τῷ ἀντιποιουμένῳ τοῦ ἀνθρώπου ὡς δούλου λαγχάνειν ἐξαιρέσεως δίκην τῷ εἰς τὴν ἐλευθερίαν αὐτὸν ἐξαιρουμένῳ· Ἰσαῖος ἐν τῇ ὑπὲρ Εὐμάθους εἰς ἐλευθερίαν ἀφαιρέσει. Harpocrat.

XVII. ΥΠΕΡ ΕΥΦΙΛΗΤΟΥ, ΠΡΟΣ ΤΟΝ ΕΡΧΙΕΩΝ ΔΗΜΟΝ ΕΦΕΣΙΣ.

Bekk. 1. Schoem. p. 155 sqq.

71 1. Narrationem fuisse artificiosam tradidit idem Dionysius 5 p. 612, 8. cf. Isaei frg. XIV, 1.

72 2. Eam partem orationis, qua testimoniorum fidem Isaeus comprobare studuit, Dionysius servavit 5 p. 617, 2 sqq. quam supra Isaei orationibus undecim integris addidimus.

XVIII. ΚΑΤΑ ΘΟΥΤΙΜΟΥ.

73 Περγασῆθεν· Ἰσαῖος ἐν τῷ κατὰ Θουτίμου. Περγασὴ δῆμος τῆς Ἐρεχθηίδος· τὸν μέντοι δημότην διχῶς λέγεσθαί φασι, Περγασεύς τε καὶ Περγασῆθεν. Harpocrat.

XIX. ΠΡΟΣ ΙΣΧΟΜΑΧΟΝ.

74 Χίλιοι διακόσιοι. Ἰσαῖος ἐν τῷ πρὸς Ἰσχόμαχόν φησιν· οὐδεὶς Λυσίδης ἐστὶ τῶν διακοσίων καὶ χιλίων. Harpocrat. p. 184, 3. cf. Lysiae frg. 146.

XX. ΠΡΟΣ ΚΑΛΛΙΚΡΑΤΗΝ.

75 1. Ἰσαῖος — ἐν τῷ πρὸς Καλλικράτην· οὐ μὴν ἀλλὰ τούτου πάντα ὁμοῦ ταῦτα ἐπιτάξαντος. Suidas 2, 1 p. 1115 B. cf. Isaei frg. or. XI, 1.

76 2. διασκευάσασθαι ἀντὶ τοῦ συσκευάσασθαι Ἰσαῖος ἐν τῷ πρὸς Καλλικράτην. Harpocrat.

77 3. ἐκδικάσασθαι ἀνάδικον ἐκπρᾶξαι διὰ τὸ δικάσασθαι· Ἰσαῖος ἐν τῷ πρὸς Καλλικράτην. Harpocr.

XXI. ΠΡΟΣ ΚΑΛΛΙΠΠΙΔΗΝ.

ἀντεπιτίθησιν ἀντὶ τοῦ ἀντεπιστέλλει Ἰσαῖος 78
ἐν τῷ πρὸς Καλλιππίδην. Harpocrat. Fort. eodem modo dictum fuit atque apud Thucyd. 1, 129.

XXII. ΚΑΤΑ ΚΑΛΛΙΦΩΝΤΟΣ.

1. ἐπιτρίταις. Ἰσαῖος ἐν τῷ κατὰ Καλλιφῶντος· 79
ἑξακοσίαις δραχμαῖς ἐπιτρίταις, ἀντὶ τοῦ ἐπὶ η´ ὀβολοῖς, κατὰ τὸ τρίτον εἶναι μέρος τοὺς η´ ὀβολοὺς τοῦ τετραδράχμου. Harpocrat. cf. Etym. M. p. 366, 54. Bekk. anecd. p. 253, 13.

2. Fortasse ad hanc orationem Isaei pertinet, quod 80
de Lysiae frg. 141 diximus.

XXIII. ΥΠΕΡ ΚΑΛΥΔΩΝΟΣ ΠΡΟΣ ΑΓΝΟΘΕΟΝ.

1. Narrationem brevem et simplicem fuisse Dio- 81
nysius tradit 5 p. 611, 17. cf. Isaei frg. or. XIV, 1.

2. ἐπισημαίνεσθαι ἀντὶ τοῦ ἐπαινεῖν μὲν καὶ 82
ὡς ἐν τῇ συνηθείᾳ λέγομεν ἐπιφωνεῖν Ἰσοκράτης Παναθηναϊκῷ, ἀντὶ δὲ τοῦ ἐπισφραγίσαι Ἰσαῖος ἐν τῇ ἐξούλης Καλυδῶνι πρὸς Ἀγνόθεον ἀπολογίᾳ. Harpocrat. ἐπισημηνάμενος δὲ Ἰσαῖος εἶπεν. Pollux 8 §. 27.

XXIV. ΠΡΟΣ ΚΑΛΥΔΩΝΑ ΕΠΙΤΡΟΠΗΣ.

1. Ἀνθεμόκριτος. Ἰσαῖος ἐν τῷ πρὸς Καλυδῶνα· 83
τό τε βαλανεῖον τὸ παρ' Ἀνθεμοκρίτου ἀνδριάντα, τουτέστι πρὸς ταῖς Θριασίαις πύλαις. οὗτος ἦν Ἀθηναίων μὲν κῆρυξ, ὑπὸ Μεγαρέων δ' ἀπεσφάγη ἀπαγορεύων αὐτοῖς τὴν ἱερὰν ταῖν θεαῖν ὀργάδα μὴ ἐπεργάζεσθαι. Harpocrat.

2. ἀφ' Ἑστίας μυεῖσθαι· Ἰσαῖος ἐν τῷ πρὸς 84
Καλυδῶνα. ὁ ἀφ' Ἑστίας μυούμενος Ἀθηναῖος ἦν πάντως, κλήρῳ δὲ λαχὼν ἐμυεῖτο. Harpocrat. Arsen. p. 86 Walz. Anecd. Bekk. p. 204, 20. Apostol. prov. 5, 20.

3. ἱππία Ἀθηνᾶ· Ἰσαῖος ἐν τῷ πρὸς Καλυδῶνα. 85
Μνασέας ἐν α´ Εὐρώπης τὴν ἱππίαν Ἀθηνᾶν Ποσειδῶ-

---

22. θεοτίμου B. 24. cf. L. Ross. de dem. att. p. 130 sq. 37. συσκευάσασθαι E et Suidas: erat σκευάσασθαι. cf. Demosth. or. 29 §. 3. 38. καλλιστράτην A. 40. καλλικράτη N.

9. τῷ δευτέρῳ [κατὰ] Καλλ. Etymol. Quare de duabus orationibus, quae contra Calliphontem habitae essent, cogitaverunt Westermannus et Weissenbornius. Sed κατὰ Sylburgius demum addidit ex Harpocratione et Suida, ita ut Z. Calliergis compendia vocabulorum, quae essent δευτέρῳ et κατὰ, confudisse videatur. — Quod Harpocratio tradit, verum non est: nam τόκοι ἐπίτριτοι sunt $33^1/_3$ centesimarum, τόκοι ἐπ' η´ ὀβολοῖς sunt 16 centesimarum: cf. Boeckh. oecon. publ. 1 p. 135 sq. 22. Isocrat. 12 §. 2. 30. τό om. B, τό τε βαλανεῖον om. C. ἀνδριάντα Ἀνθ. ἀνδριῶντα B, ἀνδριῶντα Ἀνθ. C, Ἀνθ. ἀνδριτάτου F. — cf. Leak. dem. att. p. 133 (Westerm.) et Sauppius ad Dem. Olynth. 3 §. 20. 37. κλήρῳ δὲ λαχὼν Sauppius: erat καὶ ὁρῶ δὲ Λάχων. quod et A. Boeckhium ad C. I. tit. 393 et G. Nitzschium de Eleusin. 1 p. 21 induxit. Neque recte Apostolius et Boeckhius haec verba Isaeo ipsi tribuerunt, cum grammatici sint. 39. ἱππασία A. — Cf. Wund. ad S. OE. C. p. 24. Ara Athenae Equestris non ita longe abfuit ab Anthemocriti monumento: cf. Paus. 1. 30, 4. Videtur igitur mentio arae illius ad agri vel domus situm describendum pertinuisse.

νος εἶναί φησι θυγατέρα καὶ Κορύφης τῆς Ὠκεανοῦ, ἅρμα δὲ πρώτην κατασκευάσασαν διὰ τοῦτο ἱππίαν κεκλῆσθαι. Harpocrat.

86 4. *Κεφαλῆθεν·* *Ἰσαῖος ἐν τῷ πρὸς Καλυδῶνα ἐπιτροπῆς. Κεφαλὴ δῆμος τῆς Ἀκαμαντίδος, ἀφ' ἧς ὁ δημότης λέγεται Κεφαλῆθεν, καθά φησι Διόδωρος.* Harpocrat.

87 5. *χρῆσται. β' σημαίνει τοὔνομα τἀναντία· καὶ γὰρ τοὺς δανειστάς, ὡς παρ' Ἰσαίῳ ἐν τῷ πρὸς Καλυδῶνα καὶ παρ' Ἀριστοφάνει ἐν Νεφελαις· φησὶ γὰρ „ὑπὸ τόκων χρήστων τε δυσκολωτάτων ἄγομαι φέρομαι, τὰ χρήματ' ἐνεχυράζομαι." ἐπὶ δὲ τοῦ δανειζομένου κέχρηνται τῷ ὀνόματι ἄλλοι τε καὶ Δημοσθένης ἐν τῇ ὑπὲρ Φορμίωνος παραγραφῇ. καὶ ἐν τῇ πρὸς Ζηνόθεμιν παραγραφῇ φησὶν „οἱ δὲ δανεισταὶ τὸ ἐξ ἀρχῆς ἠπατημένοι, ὁρῶντες ἑαυτοῖς ἀντὶ τῶν χρημάτων ἄνθρωπον πονηρὸν χρήστην, ἄλλο δ' οὐδέν."* Harpocrat.

XXV. *ΚΑΤΑ ΚΛΕΟΜΕΔΟΝΤΟΣ.*

Fortasse de Cleomedonte, Cleonis filio, cogitandum est, de quo exposuerunt Th. Bergk. reliqu. com. att. p. 83. 85. et G. Droysen de litis instrum. etc. p. 110. b. Sed complures homines eius nominis illis temporibus Athenis vivebant.

88 *κλητεῦσαι δ' ἐστὶ τὸ κλητῆρα γενέσθαι, ὡς Ἰσαῖος ἐν τῷ κατὰ Κλεομέδοντος.* Harpocrat. p. 112, 26. cf. Isaei frg. or. XXXIV, 2.

XXVI. *ΠΡΟΣ ΛΥΣΙΒΙΟΝ ΠΕΡΙ ΕΠΙΚΛΗΡΟΥ.*

89 1. *ὁ δ' αὐτὸς ῥήτωρ* (Isaeus) *ἐν τῷ πρὸς Λυσίβιον ἔφη· τοιαῦτα μέντοι οὗτοι ἐπὶ τῷ τεθνεῶτι σκευοποιοῦντες.* Pollux 10 §. 15.

90 2. *τέως. οἱ ῥήτορες ἐπὶ τοῦ πρότερον ἢ πάλαι, μέχρι τούτου· – – καὶ ἐπὶ τοῦ ἐν τοσούτῳ· Ἰσαῖος ἐν τῷ πρὸς Λυσίβιον· Ἡγούμεθα γὰρ ἐκείνῃ μὲν τὸν ἐγγυτάτω γένους δεῖν συνοικεῖν, τὰ δὲ χρήματα τέως μὲν τῆς ἐπικλήρου εἶναι, ἐπειδὰν δὲ παῖδες ἐπὶ διετὲς ἡβήσωσιν, ἐκείνους αὐτῶν κρατεῖν.* Suid. 2, 2 p. 104 B; nomine orationis non addito eundem locum habet Suidas 1, 2 p. 802, 14. Quod interpretes Suidae utroque loco fugit.

3. *ὁ δὲ Ἰσαῖος ἐν τῷ πρὸς Λυσίβιον τὴν ἐπίκληρον* 91
ἐπικληρῖτιν κέκληκεν. Harpocrat. p. 79, 22 (cf. Isaei frg. or. XXXIX, 1). *ἐκάλεσαν δέ τινες αὐτὴν* (h. e. *τὴν ἐπίκληρον*) *καὶ πατρούχον, Ἰσαῖος δὲ καὶ ἐπικληρῖτιν, ὥσπερ καὶ Σόλων.* Pollux 3 §. 33. cf. Etymol. M. p. 359, 30. ubi male scriptum exstat *Ἰσοκράτης – – πρὸς Λυσίαν.*

4. *νοθεῖα. τὰ τοῖς νόθοις ἐκ τῶν πατρῴων διδό-* 92
μενα οὕτω καλεῖται, ἦν δὲ μέχρι χιλίων δραχμῶν· Λυσίας ἐν τῷ πρὸς Καλλιφάνη ξενίας, εἰ γνήσιος, καὶ Ἰσαῖος πρὸς Λυσίβιον περὶ ἐπικλήρου. Harpocrat. p. 133, 1. cf. Lysiae frg. 110.

XXVII. *ΠΕΡΙ ΤΩΝ ΕΝ ΜΑΚΕΔΟΝΙΑΙ ΡΗΘΕΝΤΩΝ.*

II. Weissenbornius l. d. p. 306 hanc orationem ad Antiphontis illam et Charidemi legationem pertinuisse putat, de qua ad Demosth. Olynth. 2 §. 6 accuratius exposui. Quod quominus probemus temporum quidem rationes non obstant: nam constat de Amphipoli Athenienses cum Philippo a. 358 egisse, Isaeum vero usque ad ol. 107, h. e. annum a. Chr. n. 352, vixisse Schoemannus ad Isae. p. 354 et praef. p. V. ostendit. Sed Alcetam, Molossorum regem, haud paucis annis ante videri mortuum esse ego in diurn. lit. ienens. 1845, 60 p. 239 ostendere studui. Isaei orationem igitur ad aliam Atheniensium legationem multo ante in Macedoniam missam pertinere dixerim, de qua cum legati Athenas rediissent in iudicio ageretur.

1. *Ἀλκέτας Μολοττῶν βασιλεύς·* *Ἰσαῖος ἐν τῷ* 93
περὶ τῶν ἐν Μακεδονίᾳ ῥηθέντων. Harpocrat.

2. *Ἐπικράτης·* *Ἰσαῖος ἐν τῷ περὶ τῶν ἐν Μα-* 94
κεδονίᾳ ῥηθέντων. οὗτός ἐστιν ὁ τῶν Ἀθηναίων δημαγωγός, Σακεσφόρος ἐπικαλούμενος, οὗ μνημονεύει καὶ Δημοσθένης ἐν τῷ περὶ τῆς πρεσβείας. ἕτερος δ' ἐστὶν Ἐπικράτης οὗ μνημονεύει Λυκοῦργος ἐν τῷ περὶ διοικήσεως, λέγων ὡς χαλκοῦς ἐστάθη διὰ τὸν νόμον τὸν περὶ τῶν ἐφήβων, ὅν φασι κεκτῆσθαι ταλάντων ἑξακοσίων οὐσίαν. ἄλλος δ' ἐστὶν Ἐπικράτης Αἰσχίνου

---

1. *Κορύφης* cum Meursio (lectt. att. 5, 20) et Valesio b: libri *κολύφης*. cf. Etymol. M. p 474, 23. Cic. de N. D. 3, 23. 5. *ἐπιστολῆς* B. 8. *χρῆσθαι* A. 10. Aristoph. Nub. 240. 13. Demosth. 36 § 6. 14. Demosth. 32 §. 12. 33. cf. Isaei frg. or. III, 3. et Harpocrat. p. 167, 18. 37. *τούτου·*] cf. Antiphont. frg. 142. et schol. Plat. p. 335 med. Bk. 38. *Λυσίβιον* Küsterus: erat *Ἀνσίβιον*. *ἡγούμεθα γὰρ*] *ἐνηγγόμεθα μὲν* Suidas 802. 39. *ἐγγυτάτω* 802: hic *ἐγγυτατον* E, *ἐγγύτατα* reliqui. *δεῖν συνοικεῖν* 802: *συνοικεῖν δεῖν* 1074 *δεῖ* E 1074 et V 802. *τὰ – χρήματα* 802: *τὸ – χρῆμα* 1074. 40. *μὲν* add. 802. 41. *παῖδες ἐπὶ διετὲς* add. 802. cf. Isaei or. 8 §. 31, 10 §. 12. *ἡβῶσιν* 802.

5 *ἐπικληρίτην* A, *ἐπικλήρετον* CG, *ἐπικληρέτην* D, *ἐπικληρέτου* B. 37. *Σακεσφόρος* Sauppius: *ὁ καὶ ἔφορος* ABCD, *ὁ σακεσφόρος* b cum Maussaco. – Accurate quae de Epicrate tradita sunt collegit Th. Bergk. de reliqu. com. att. p. 389 sqq. In hac oratione Epicratem videri exempli causa allatum esse scite monuit Weissenbornius. Similiter etiam Demosth. 19 §. 277 eius exemplo usus est. 38. Demosth. 19 §. 277. 42. Aeschin. 2 §. 150.

τοῦ ῥήτορος κηδεστής, ὡς δηλοῦται ὑπ' αὐτοῦ ἐν τῇ περὶ τῆς πρεσβείας ἀπολογίᾳ· οὗτος μέντοι ἐπωνύμιον εἶχε Κυρηβίων, ὡς Δημοσθένης φησὶν ἐν τῷ κατ' Αἰσχίνου. **Harpocrat.**

95 3. *πέπλος· Ἰσαῖος ἐν τῷ περὶ τῶν ἐν Μακεδονίᾳ ῥηθέντων. περὶ τοῦ πέπλου τοῦ ἀναγομένου τῇ Ἀθηνᾷ τοῖς μεγάλοις Παναθηναίοις οὐ μόνον παρα τοῖς ῥήτορσιν ἐστι μνήμη, ἀλλὰ καὶ παρὰ τοῖς κωμικοῖς.* **Harpocrat.**

XXVIII. *ΚΑΤΑ ΜΕΓΑΡΕΩΝ*,

εἰ γνήσιος.

96 *Σφοδρίας· Ἰσαῖος ἐν τῷ κατὰ Μεγαρέων, εἰ γνήσιος. στρατηγὸς Λακεδαιμονίων ὁ Σφοδρίας. φησὶ δ' αὐτὸν ὁ Καλλισθένης ἐν β' Ἑλληνικῶν εὐήθη τε εἶναι λίαν καὶ κοῦφον πρὸς τὰς ἐλπίδας.* **Harpocrat.**

XXIX. *ΠΡΟΣ ΜΕΔΟΝΤΑ ΠΕΡΙ ΧΩΡΙΟΥ.*

97 1. *τὸ Μέδων (ἔστι δὲ κύριον ὄνομα) ὁ μὲν ποιητὴς Ὅμηρος διὰ τοῦ ντ κλίνει, οἷον Μέδοντος, τῷ λόγῳ τῶν μετοχικῶν, Ἰσαῖος δὲ ὁ ῥήτωρ καὶ Ἀριστοτέλης ἐν Ὀπουντίων πολιτείᾳ Μέδωνός φασιν ἀναλόγως.* **G. Choeroboscus in Theognosti canones vol. 1 p. 75, 24 Gaisf. (Bekk. anecd. p. 1393.)**

98 2. **Narrationem brevem et simplicem fuisse Dionysius dicit 5 p. 611, 16. cf. Isaei frg. XIV, 1.**

99 3. *Αἰξωνῆσιν· Ἰσαῖος ἐν τῷ πρὸς Μέδοντα περὶ χωρίου. Αἰξωνῆς δῆμος φυλῆς τῆς Κεκροπίδος. ἐκωμῳδοῦντο δὲ ὡς βλάσφημοι, ἀφ' οὗ καὶ τὸ κακῶς λέγειν αἰξωνεύεσθαι ἔλεγον· Μένανδρος ἐν Κανηφόρῳ. Πλάτων δ' ἐν τῷ περὶ ἀνδρείας φησὶν „οὐδὲν ἐρῶ πρὸς ταῦτα γ' ἔχων εἰπεῖν, μή με εἴπῃς Αἰξωνέα εἶναι.“* **Harpocrat.**

100 4. *πανδαισία· Ἰσαῖος ἐν τῷ πρὸς Μέδοντα. ἔστι μὲν τοὔνομα πολλάκις καὶ ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ, πανδαισία δέ ἐστι τὸ πάντα ἔχειν ἄφθονα καὶ μηδὲν ἐλλείπειν ἐν τῇ δαιτί. ἡ γὰρ τοῦ Διδύμου ἀπόδοσις περίεργος.* **Harpocrat.**

5. *ψευδεγγραφή ὄνομα δίκης ἐστίν, ἣν εἰσίασιν οἱ γεγραμμένοι ὀφείλειν τῷ δημοσίῳ ὡς καταψευσαμένου αὐτῶν τοῦ ἐγγράψαντος ἐν τῇ σανίδι τῇ παρὰ τῇ θεῷ κειμένῃ, ὡς ἀδίκως ἐγγραφέντες ὀφείλειν τῷ δημοσίῳ. Λυκοῦργος ἐν τῷ κατ' Ἀριστογείτονος καὶ Ἰσαῖος ἐν τῷ πρὸς Μέδοντα μνημονεύουσι τοῦ ὀνόματος.* **Harpocrat.** 101

XXX. *ΠΡΟΣ ΜΕΝΕΚΡΑΤΗΝ.*

περιοίκιον. Ἰσαῖος ἐν τῷ πρὸς Μενεκράτην καὶ τὸ περιοίκιον καὶ τὴν οἰκίαν. μήποτε ὃ ἡμεῖς λέγομεν ἐποίκιον. **Harpocrat.** 102

XXXI. *ΜΕΤΟΙΚΙΚΟΣ.*

συλλογῆς· ὄνομα ἀρχῆς. Ἰσαῖος ἐν τῷ μετοικικῷ σαφέστατα δηλοῖ. **Harpocrat.** 103

XXXII. *ΥΠΕΡ ΤΗΣ ΜΝΗΣΙΘΕΟΥ ΘΥΓΑΤΡΟΣ.*

ἀπορώτατος ἀντὶ τοῦ πρὸς ὃν οὐδένα πόρον ἔστιν εὑρεῖν Ἰσαῖος ἐν τῷ ὑπὲρ τῆς Μνησιθέου θυγατρός. **Harpocr. et Bekk. anecd. p. 434, 10 (in Bachm. an. 1 p. 131, 24).** 104

XXXIII. *ΥΠΕΡ ΝΙΚΙΟΥ.*

1. *ἀπορρίξαντες ἀπομερίσαντες, ἀπόμοιράν τινα δόντες· Ἰσαῖος ἐν τῇ ὑπὲρ Νικίου συνηγορίᾳ. ἔστι δὲ κἀν τῇ κωμῳδίᾳ.* **Harpocrat. et Bekk. an. p. 454, 3.** 105

2. *Λυσίας — καὶ Ἰσαῖος ἐν τῇ ὑπὲρ Νικίου συνηγορίᾳ τῷ ἀπηρτισμένῳ ἀριθμῷ ἐχρήσαντο, χιλίους εἰπόντες.* **Harpocrat. p. 184, 6. vide Lysiae frg. 146 et Isaei frg. or. XIX.** 106

[XXXIII[b]. *ΚΑΤΑ ΝΙΚΟΔΗΜΟΥ.*

προσεποιήσατο ἀντὶ τοῦ ἀντεποιήσατο· Ἰσαῖος

---

3. Dem. 19 §. 287. 5. *Ἰσαῖος ἐν τῷ* om. BC. 14 cf. de hoc homine Xen. hist. gr. 5. 4 §. 20 sqq 23. Num fides Choerobosco habenda sit iam non potest decerni: sed qui hanc orationem commemoraverunt, omnes forma quae est *Μέδοντος* usi sunt eamque firmat etiam gens Medontidarum (cf. Boeckh. C. Inscr. 1 p. 902. Stackelberg. sepulcr Graec. p. 33). Adde Lysiae frg. 167. 29. *Αἰξωνῆσιν* b cum HK (et Bekk. anecd. p. 358, 23): *αἰξωνῆσι* E, *αἰξωνεῖς* AFM, *αἰξονεῖς* B, *αἰξωνεῖς* reliqui. — De maledicentia Aexonensium cf. Bergk. reliqu. com. att. p. 84. 32. Meinek. com. gr. 4 p. 144. 33. Plat. Lach. p. 197 D.

3 *ψευδογραφή* BC. — De actionibus *βουλεύσεως* et *ψευδεγγραφῆς* exposuit M. Meier. de lit. att. p. 337. Sed de discrimine earum Heffterum de iudiciis Ath. p. 169 sqq. recte iudicavisse videtur nomen *βουλεύσεως* docere 13 *περιοικον* C. 18. *συλλογεῖς* N. — De hoc magistratu cf. Bekk. anecd. p. 304, 4. Herm. ant. publ. Gr. §. 151, 5. Meier. de bon. damn. p. 206. Qui in Boeckh. C. I. 99 et 157 commemorantur, *συλλογεῖς τοῦ δήμου*, prorsus diversi videntur fuisse. *μετοικικῷ* Sauppius: *μετοικισμῷ* A, *μετοίκῳ* b cum reliquis codd., *περὶ μετοικισμοῦ* erat ante bekkerianam. (*περὶ μετοικίου* voluit M. Meier in diurn. lit. halens. 1836 p. 435.) Similes orationum tituli sunt *Τιμοκρατικὸς* Isaei, *Τυρρηνικὸς* et *Δηλιακὸς* Hyperidis. Videtur de rationibus inquilinorum in universum tractavisse. 24. *μνησαίου* E, Suidas, Bekk. anecd. 30. *νικαίου* C, *νικαίους* B, *νικεους* F. XXXIII[b]. Verba quae Harpocratio apposuit docent hanc esse eandem orationem, quae nunc dicitur *περὶ τοῦ Πύρρου κλήρου*. cf. epist. crit. ad G. Herm p. 92. 36. *προσεποιήσατο — ἀντεποιήσατο* Sauppius: erat *προσεποιήσαντο — ἀντεποιήσαντο*.

ἐν τῷ κατὰ Νικοδήμου· οὐδεὶς πώποτε προσεποιήσατο οὐδ' ἠμφισβήτησε τῆς κληρονομίας ἐκείνῳ. Harpocrat.)

XXXIV. *ΠΡΟΣ ΝΙΚΟΚΛΕΑ* (s. *ΝΕΟΚΛΕΑ*) *ΠΕΡΙ ΧΩΡΙΟΥ.*

107 1. *Θυργωνίδαι· Ἰσαῖος ἐν τῷ πρὸς Νικοκλέα. Νίκανδρος ὁ Θυατειρηνὸς ἐν τῷ περὶ τῶν δήμων „μετετέθησάν" φησιν „ἐξ Αἰαντίδος Ἀφιδναῖοι Περσίδαι Τιτακίδαι Θυργωνίδαι." φησὶ δὲ καὶ Δημήτριος ὁ Σκήψιος ἐν β' Διακόσμου τῆς Πτολεμαΐδος φυλῆς τὸν δῆμον εἶναι.* Harpocrat.

108 2. *κλητῆρες καὶ κλητεύειν. κλητῆρες μὲν οἱ ἄνδρες δι' ὧν εἰς τὰς δίκας προσκαλοῦνται οἱ δικαζόμενοί τισιν· ἔδει γὰρ παρεῖναί τινας ὥσπερ μάρτυρας τῆς προσκλήσεως· Ἰσαῖος ἐν τῷ πρὸς Νεοκλέα περὶ χωρίου. πολὺ δ' ἐστὶν ὅλως τοὔνομα παρά τε τοῖς ῥήτορσι καὶ ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ. κλητεῦσαι δ' ἐστὶ τὸ κλητῆρα γενέσθαι, ὡς Ἰσαῖος ἐν τῷ κατὰ Κλεομέδοντος. λέγεται δὲ κλητεύεσθαι καὶ ἐκκλητεύεσθαι ἐπὶ τῶν μαρτύρων, ὅταν μὴ ὑπακούωσι πρὸς τὴν μαρτυρίαν ἐν τοῖς δικαστηρίοις, καὶ ἔστιν ἐπιτίμιον κατ' αὐτῶν δραχμαὶ χίλιαι, ὡς Ἰσαῖος ἐν τῷ ὑπὲρ Πύθωνος ἀποστασίου.* Harpocrat.

109 3. *Τιτακίδαι· Ἰσαῖος ἐν τῷ πρὸς Νικοκλέα. δῆμός ἐστι τῆς Αἰαντίδος φυλῆς οἱ Τιτακίδαι, ὡς Νίκανδρος ὁ Θυατειρηνὸς ἐν τῷ περὶ τῶν δήμων δηλοῖ. μήποτε δὲ ἀπὸ Τιτακοῦ ὠνομάσθησαν, οὗ μνημονεύει Ἡρόδοτος.* Harpocrat.

110 4. *ψευδοκλητεία ὄνομα δίκης ἐστίν, ἣν εἰσίασιν οἱ ἐγγεγραμμένοι ὀφείλειν τῷ δημοσίῳ, ἐπειδὰν αἰτιῶνταί τινας ψευδῶς κατεσκευάσθαι κλητῆρας καθ' ἑαυτῶν πρὸς τὴν δίκην ἀφ' ἧς ὦφλον. ἔστι δὲ παρά τε ἄλλοις ῥήτορσι καὶ Ἰσαίῳ ἐν τῷ πρὸς Νικοκλέα περὶ χωρίου.* Harpocrat.

XXXV. *ΠΡΟΣ ΟΡΓΕΩΝΑΣ.*

Videtur inter collegium aliquod orgeonum et eum, qui agrum ab iis vel emerat vel se emisse dicebat, lis de dominio illius agri orta esse, cum orgeones agrum adhuc suum esse contenderent.

1. *ὀργεῶνας. Ἰσαίου λόγος ἐστὶ πρὸς ὀργεῶνας, ὀργεῶνες δ' εἰσὶν οἱ ἐπὶ τιμῇ θεῶν ἢ ἡρώων συνιόντες· ὀργιάζειν γάρ ἐστι τὸ θύειν καὶ τὰ νομιζόμενα δρᾶν, ἤτοι παρὰ τὸ ὀρέγειν τὼ χεῖρε, ἢ παρὰ τὰ ὄργια, ἢ διὰ τὸ ἐν ταῖς ὀργάσι καὶ τοῖς ἄλσεσι τὰ ἱερὰ δρᾶν. οἱ μέντοι ποιηταὶ καὶ ἔταττον τοὔνομα ἁπλῶς ἐπὶ τῶν ἱερέων, ὡς Ἀντίμαχός τέ που καὶ Αἰσχύλος ἐν Μυσοῖς. μήποτε δὲ ὕστερον νενόμισται τὸ ἐπὶ τιμῇ τινὰς τῶν ἀποθανόντων συνιέναι καὶ ὀργεῶνας ὁμοίως ὠνομάσθαι, ὡς ἔστι συνιδεῖν ἐκ τῶν Θεοφράστου διαθηκῶν.* Harpocrat. 111

2. *παλίνσκιον. Ἰσαῖος μὲν ἐν τῷ πρὸς ὀργεῶνας· — μήτε παλίνσκιον γίγνεσθαι τὸ χωρίον ἀντὶ τοῦ σύσκιον, Ἀρχίλοχος δὲ τριμέτροις „πρὸς τοῖχον ἐκινήθησαν ἐν παλινσκίῳ" ἀντὶ τοῦ ἐν σκοτεινῷ, καὶ Σοφοκλῆς Ἰνάχῳ „χειμῶνι σὺν παλινσκίῳ" ἀντὶ τοῦ ζοφερῷ.* Harpocrat. 112

3. *ἀποφορὰν ἀντὶ τοῦ ἀπενεγκεῖν καὶ διάστημα ποιῆσαι μεταξὺ Ἰσαῖος ἐν τῷ πρὸς ὀργεῶνας, ἐν ᾧ φησιν οὕτως· εἴπερ γοῦν ὥριζον ταῖς ἀποφοραῖς ταύταις τῶν ποδῶν ἀλλότριον εἶναι τὸ χωρίον.* Harpocrat. cf. Bekk. anecd. p. 439, 1. 113

4. *γεισίπους καὶ γεισιπόδισμα καὶ γεισιποδίζειν. τὸ ἐξέχον τῆς δοκοῦ, ἐφ' οὗ τὸ γεῖσόν ἐστι, γεισίπους καλεῖται καὶ γεισιπόδισμα, καὶ γεισιποδίζειν τὸ τοῦτο ποιεῖν· Ἰσαῖος ἐν τῷ πρὸς ὀργεῶνας.* Harpocrat. 114

5. *εἰσεπόδιζον ἀντὶ τοῦ εἰσέβαινον τοὺς πόδας τοῦ χωρίου Ἰσαῖος ἐν τῷ πρὸς ὀργεῶνας.* Harpocrat. 115

XXXVI. *ΠΕΡΙ ΤΗΣ ΠΟΙΗΣΕΩΣ.*

Οἶον· Ἰσαῖος ἐν τῷ περὶ τῆς ποιήσεως. δῆμοί εἰσιν ἐν τῇ Ἀττικῇ διττοὶ οὐδετέρως λεγόμενοι, καλοῦνται δὲ Οἶον. κεκλῆσθαί φησιν οὕτω Φιλόχορος ἐν τῇ γ' διὰ τὸ μηδαμῶς οἰκητὸν τόπον ἔχειν ἀλλὰ μεμο- 116

---

3. *ἐκείνῳ* Isaeus (3 §. 1): erat *ἐκείνων*. 7. *νεοκλεα* A. — de re cf. Boeckh. C. I. vol. 1 p. 309. Meier. apud Rossium de dem. att. p. 114. 9. *Περρίδαι* Steph. Byz. et Hesychius s. v. cf. Meier. de gentil. att. p. 50. Verum nomen fuerit *Περρεῖδαι*: v. quae de demis urbanis Ath. scripsi p. 9. 13 cf. Bekk. anecd. p. 268, 13. Schoemann. de lit. att. p. 576 sqq. 19. Isaei frg. or. XXV. 23. Isaei frg. or. XXXVIII, 2 28. erat *Τιτάκου*. cf. Herodot. 9, 73. de dem. urb. Ath. p. 8. 30. *ψευδοκλητεία* Sauppius: *ψευδοκλητία* b cum N, *ψευδοκλησία* A, *ψευδόκλησις* BC, *ψευδοκλησία* erat ante b. cf. Lob. ad Phryn. p. 507. De re v. Meier. de lit. att. p. 336 sq.

4. cf. Photii lex. p. 344, 7. Herm. ant. publ. Gr. §. 99 et ant. sacr. §. 7. 9. *καὶ* addidi ex A. 10. Locos Antimachi (frg. 46 Dübn.) et Aeschyli (frg. 135 Ddf.) Photius l. d. servavit. 13. cf. Menag. ad Diog. L. 5 §. 54. 16. *μήτε*] *μήποτε* C. *γενέσθαι* C. 17. Archiloch. frg. 32 Schneidew. 30 Bgk. 18. *ἐκλίνθησαν* Toupius. Fort. *ἐκνήθησαν* vel *ἐκνήσθησαν* 19. Sophocl. frg. 272. 21. *ἀποφορεῖν* B. 22. *ὀργαιῶνα* C, *ὀργαίωνα* BFM, *ὀργαίονα* A. 23. *γοῦν* om. BC. 24. *ποδῶν*] cf. frg. 5. 25. cf. C. O. Müller. de munim. Athen. p. 49. 29. *ὀργεῶνα* A, *ὀργεῶν ν̄* B, *ὀργεῶν τρίτω* C. 31. collato frg. 3 videtur existimandum esse, *πόδας* dictos esse terminos quosdam agrorum. nam quod H. Valesius legi voluit *ἐγεισιπόδιζον ἀντὶ τοῦ ἔφαινον τοὺς γεισίποδας* τ. χ., quanquam probaverunt thesauri stephaniani nuperi editores, ferri nullo modo potest. 36. *οἶον* AB. et sic ubique. 38. Philochor. frg. 76. 39. *γ'* Müller: *ιγ'* b. *tertio* vero libro Philochorum de demorum originibus accuratius exposuisse Harpocrationis loci permulti ostendunt.

νῦσθαι· τὸ γὰρ μόνον οἶον ἐκάλουν οἱ ἀρχαῖοι. ἔστι δὲ τὸ μὲν Κεραμεικὸν Οἶον τῆς Λεοντίδος φυλῆς, τὸ δὲ Δεκελεικὸν τῆς Ἱπποθοωντίδος, ὡς Διόδωρος. οἱ δὲ δημόται ἑκατέρωθεν ἐλέγοντο ἐξ Οἴου. ἄλλοι δ' ἦσαν οἱ λεγόμενοι Οἴηθεν, ὡς προείρηται. Harpocrat.

XXXVII. *ΚΑΤΑ ΠΟΣΕΙΔΙΠΠΟΥ.*

117 *Θορικός· Ἰσαῖος ἐν τῷ κατὰ Ποσειδίππου. δῆμός ἐστι τῆς Ἀκαμαντίδος, ὡς ὁ αὐτὸς Διόδωρός φησιν ἐν τῷ περὶ τῶν δήμων.* Harpocrat.

XXXVIII. *ΠΡΟΣ ΠΥΘΩΝΑ ΑΠΟΣΤΑΣΙΟΥ.*

118 1. *Ἰσαῖος δ' ἐν τῷ πρὸς Πύθωνα ἀποστασίου φησὶν ὅτι οὐχ οἷόν τε διαμαρτυρεῖν ξένους· ἀλλ' Ὑπερείδης ἐν τῷ* – –. Harpocrat. p. 59, 17. vid. Lysiae frg. 33.

119 2. *λέγεται δὲ κλητεύεσθαι καὶ ἐκκλητεύεσθαι ἐπὶ τῶν μαρτύρων, ὅταν μὴ ὑπακούωσι πρὸς τὴν μαρτυρίαν ἐν τοῖς δικαστηρίοις, καὶ ἔστιν ἐπιτίμιον κατ' αὐτῶν δραχμαὶ χίλιαι, ὡς Ἰσαῖος ἐν τῷ ὑπὲρ Πύθωνος ἀποστασίου.* Harpocrat. p. 112, 27. vid. Isaei frg. or. XXXIV, 2.

XXXIX. *ΠΡΟΣ ΣΑΤΥΡΟΝ ΥΠΕΡ ΕΠΙΚΛΗΡΟΥ.*

120 *ἐπίδικος καὶ ἐπίκληρος καὶ ἐπίπροικος καὶ ἐπικληρῖτις. ἐπίκληρος μέν ἐστιν ἡ ἐπὶ παντὶ τῷ κλήρῳ ὀρφανὴ καταλελειμμένη, μὴ ὄντος αὐτῇ ἀδελφοῦ (ἡ δὲ αὐτὴ καὶ ἐπικληρῖτις)· ἐπίπροικος δὲ ἡ ἐπὶ μέρει τινὶ τοῦ κλήρου ὥστε προῖκα ἔχειν, ἀδελφῶν αὐτῇ ὄντων· ἐπίδικος δὲ ἡ ἀμφισβητουμένη ἐπίκληρος ὅτῳ χρὴ αὐτὴν γαμηθῆναι. ταῦτα δὲ δηλοῦσιν Ἰσαῖος ἐν τῷ πρὸς Σάτυρον ὑπὲρ ἐπικλήρου καὶ Δείναρχος ἐν τῷ ἐπιγραφομένῳ „διαμαρτυρία περὶ τοῦ μὴ ἐπίδικον εἶναι τὴν Ἀριστοφῶντος θυγατέρα." ἐν δὲ τούτῳ τῷ λόγῳ δείκνυται καὶ ὅτι τὰς απορουμένας κόρας ἐξεδίδοσαν οἱ ἄγχιστα γενους ε' μνᾶς ἐπιδιδόντες. ὁ δὲ Ἰσαῖος ἐν τῷ πρὸς Λυσίβιον τὴν ἐπίκληρον ἐπικληρῖτιν κέκληκεν.* Harpocrat.

XL. *ΚΑΤΑ ΣΤΡΑΤΟΚΛΕΟΥΣ.*

Facile crediderim hanc eandem esse orationem, quae duobus aliis locis ab Harpocratione *πρὸς Στρατοκλέα* nominatur; nam plus semel similiter erravit. Sed cum orationes, quae sunt *κατὰ Διοκλέους ὕβρεως* et *πρὸς Διοκλέα περὶ χωρίου* (vid. frg. or. VIII et IX), ostenderent non minus recte etiam de duabus cogitari posse, etiam hic duas orationes distingui opus erat.

1. *ὀθνεῖος Ἰσαῖος ἐν τῷ κατὰ Στρατοκλέους ἀντὶ τοῦ ἀλλότριος, ὡς καὶ παρὰ Πλάτωνι ἐν α' Νόμων.* Harpocrat. 121

2. Fortasse etiam ea quae Harpocratio p. 75, 20 habet (vide Lys. frg. 218) ad hanc orationem referenda sunt, ut non exciderit nomen orationis, in qua Isaeus de illis rebus exposuit (quod supra secuti sumus, Isaei frg. or. XI, 3), sed orationis lysiacae. Tum verba *καὶ Λυσίας* transponenda sunt. 122

XLI. *ΠΡΟΣ ΣΤΡΑΤΟΚΛΕΑ.*

1. *διωλύγιον. Ἰσαῖος ἐν τῷ πρὸς Στρατοκλέα· πράγματα διωλύγια, ἀντὶ τοῦ μεγάλα. καὶ Πλάτων.* Harpocrat. 123

2. *μεῖον καὶ μειαγωγός Ἰσαῖος ἐν τῷ πρὸς Στρατοκλέα· παρέστησε μεῖον. Θῦμά ἐστιν ὃ τοῖς φράτορσι παρεῖχον οἱ τοὺς παῖδας εἰσάγοντες εἰς τούτους. Ἐρατοσθένης δ' ἐν τοῖς περὶ κωμῳδίας φησὶν οὕτως „νόμου ὄντος μὴ μεῖον εἰσάγειν ὡρισμένου τινός, ἐπισκώπτοντες μετὰ παιδιᾶς πάντα τὸν εἰσάγοντα μεῖον ἔφασαν εἰσάγειν, ὅθεν τὸ μὲν ἱερεῖον μεῖον προσηγορεύθη, μειαγωγὸς δὲ ο εισαγων." Ἀπολλόδωρος ἐν τοῖς περὶ θεῶν „οἱ φράτορές" φησιν, „ἵνα μείζονας νέμωνται μερίδας, ἐφώνουν ἑστῶτες ἱστάναι δεῖν, μεῖον γάρ ἐστι." περὶ δὲ τοῦ μειαγωγοῦ Εὔπολις ἐν Δήμοις „τοιγαροῦν στρατηγὸς ἐξ ἐκείνου τοῦ χρόνου οὐδεὶς δύναται, ὥσπερ μειαγωγος ἑστιῶν, τῆς τοῦδε νίκης πλείονα ἑλκύσαι σταθμόν." μειαγωγῆσαι δε εστι τὸ ἐπιδοῦναι τοῖς φράτορσι τὸ μεῖον, ὡς Λυσίας ἐν τῷ κατὰ Δημοσθενους ἐπιτροπῆς.* Harpocr. 124

---

3. immo *Ἱπποθωντίδος*. 9. *Θορικός* Sauppius: *θόριπος* B, *Θόρικος* b. *ποσιδίππου* B. 15. *πίθωνα* A. 16. *ξένους· ἀλλ' Ὑπερείδης* Sauppius: *οὐσιαν ὑπερίδης* B, *οὐσίαν ὁ ὑπερίδης* A, *οὐσίαν· Ὑπερίδης δ'* reliqui. cf. Schoemann. de lit. att. p. 642. 19. Ad eandem orationem haec duo fragmenta retuli, cum parum verisimile videretur, Isaeum eidem homini et accusando et defendendo in eadem causa orationes scripsisse: cf. Meier. de bon. damn. p. 35. Similiter Harpocratio p. 101, 9 *κατὰ Κτησιφῶντος* Demosthenem dixisse tradidit. 28. cf. Herm. ant. publ. Gr. §. 121 sq. 35. *κλήρου* BC. 40. Isaei frg. XXVI, 3.

11. Plat. Legg. I p. 629 E. 23. *στρατοκλέους* B. 24. *πραγμάτων* I. Plat. Theaet. 162. A. de Legg. X p. 890. E. 27. *παρέστη* D, Suidas, Photius 31. *ἐπισκώπτοντες – παιδιᾶς* cum H. Valesio b: *ἐπισκώπτοντας – παιδείας* C, *ἐπισκώπτοντα – παιδείας* reliqui. 35. *περιεστῶτες* Schol. Aristoph. Ran 809 et Suidas. 36. *Εὔπολις*] Mein. com. gr. 2 p. 456. 38. *δύναται* libri: *δύναιτ' ἂν* cum Gronovio b. Versus vario modo restituere conati sunt; quod certum sit nihil inventum est. 41. Lysiae frg. 76.

XLII. ΤΕΜΕΝΙΚΟΣ.

125 1. *ἄμιπποι·* Ἰσαῖος Τεμενικῷ. οἱ σὺν ἵπποις στρατευόμενοι. ἔνιοι δέ φασιν ὅτι ζεύγνυνται τινὲς πρὸς ἀλλήλους ἵπποι κέλητες, ὁ δ' ἐλαύνων αὐτοὺς τὸν ἕτερον μὲν παρέλκεται ἐπὶ δὲ τοῦ ἑτέρου ὀχεῖται καὶ οὗτοι ἄμιπποι λέγονται. τοῦτ' ἔστι τὸ παρ' Ὁμήρῳ „Θρώσκων ἄλλοτ' ἐπ' ἄλλον". πεζοὶ δ' εἰσὶν οἱ ἄμιπποι, ὡς δῆλόν ἐστιν ἐκ τῶν Θουκυδίδου καὶ Ξενοφῶντος ἕκτης τῶν Ἑλληνικῶν. καὶ μήποτε πρόδρομοί τινές εἰσιν οἱ ἅμα τοῖς ἱππεῦσι τεταγμένοι· Φιλόχορος γοῦν ἐν τῇ ις' φησὶ καὶ προδρόμους. Harpocrat.

126 2. *Λύκος ἥρως.* ἱδρυμένος οὗτος ἦν ἐν τοῖς δικαστηρίοις, ᾧ καὶ αὐτῷ τὸ δικαστικὸν ἔνεμον, ὡς Ἰσαῖος ἐν Τεμενικῷ. καὶ *Λύκου δεκὰς* καλεῖται, ὅτι περὶ τὸ ἀφίδρυμα αὐτοῦ κατὰ δέκα γενόμενοι οἱ δικασταὶ ἐδεκάζοντο. Fragm. cantabr. p. 672. 27.

XLIII. ΠΡΟΣ ΤΙΜΩΝΙΔΗΝ ΠΕΡΙ ΧΩΡΙΟΥ.

De his actionibus accurate exposuit Schoemann. de lit. att. p. 749 sqq.

127 *οὐσίας δίκη.* οἱ δικαζόμενοι περὶ χωρίων ἢ οἰκιῶν πρὸς τοὺς ἔχοντας οὐσίας ἐδικάζοντο τὴν δευτέραν δίκην· ἡ δὲ προτέρα ἦν τῶν μὲν οἰκιῶν ἐνοικίου τῶν δὲ χωρίων καρποῦ, τρίτη δὲ ἐπὶ ταύταις ἐξούλης. καὶ ἐξῆν τοῖς ἑλοῦσι κρατεῖν τῶν κτημάτων καὶ εἰ τὴν δίκην τὴν τοῦ καρποῦ ἢ τοῦ ἐνοικίου καὶ εἰ τὴν δευτέραν ἡττηθεῖεν τὴν τῆς οὐσίας· εἰ δὲ καὶ ἐξούλης ἁλοῖεν, οὐκέτι ἐξῆν ἐπικρατεῖν, ἀλλ' ἐξίστασθαι ἔδει ἤδη τῶν κτημάτων τοῖς καταδικασαμένοις. ταῦτα δὲ ἔστι μὲν καὶ παρ' ἄλλοις ῥήτορσιν, ἀκριβέστατα δὲ εἴρηται Ἰσαίῳ ἔν τε τῷ πρὸς Τιμωνίδην περὶ χωρίου καὶ ἐν τῷ πρὸς Δωρόθεον ἐξούλης. διείλεκται δὲ περὶ τῆς δίκης καὶ Θεόφραστος ἐν ιη' περὶ νόμων. Harpocrat.

XLIV. ΠΡΟΣ ΤΛΗΠΟΛΕΜΟΝ ΑΝΤΩΜΟΣΙΑ.

Quid sit *ἀντωμοσία*, Schoemannus exposuit de lit. att. p. 628 sq. Hic de exceptione cogitandum esse apparet, ab eo cui Isaeus orationem composuit Tlepolemo opposita.

ἑπωνία τέλος ἐστὶ τὸ ἐπὶ τῇ ὠνῇ διδόμενον, εἴη 128
δ' ἂν ἴσως ἡ πεμπτη· Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου καὶ Δημοφάνους κἀν τῇ πρὸς Τληπόλεμον ἀντωμοσίᾳ. Harpocrat. Vide Isaei frg. or. XII, 7.

XLV. ΑΠΑΡΑΣΗΜΑ.

1. ταυτὶ μὲν (frg. or. X, 2) διαλελυμένα καὶ ἐξ ἐπερωτήσεως· — — ἐκεῖνα δὲ κατὰ συστροφὴν καὶ παρακεκινδυνευμένα τῷ τε βραχέως καὶ ἀγκύλως καὶ ἐκ παραδόξου συντίθεσθαι καὶ οὐχ ἅπασιν οὐδὲ ἐκ προχείρου γνωριζόμενα·

„καὶ οὗτος ὁ πάντων ἀνθρώπων σχετλιώτατος, οὐ 129
παρεχομένων αὐτῶν μάρτυρας, ὧν ἐναντίον ἡμῖν ἀποδοῦναί φασιν, ὅμως ἐκείνοις πιστεύειν προσποιεῖται μᾶλλον ὡς ἀποδεδώκασιν ἡμῖν, ἢ ἡμῖν, ὡς οὐκ ἀπειλήφαμεν. καίτοι πᾶσι φανερόν, ὡς οἱ γε τὸν τούτου πατέρα ἀπεστέρουν ὄντα ἐπίτιμον, ἔτι ἡμῖν ἑκόντες οὐκ ἂν ἀπέδοσαν, εἰσπράξασθαι δ' οὕτως ἔχοντες οὐκ ἂν ἐδυνήθημεν." Dionysius 5 p. 609, 12 R. (Bekk. frg. 6. Schoem. p. 168. 495 sq.) Causa haec fuerit. Civis Atheniensis tutor erat puerorum, qui capitis deminutionem a patre hereditate acceperant. Postea cum bona paterna iis redderet, pecuniae summam, quam nescio quibus hominibus crediderat, cum illi solvere nollent, pupillis tradere non potuerat, sed pro illa summa pupillis agrum aliquem oppigneraverat. Iam filius tutoris dicit pecuniam illam a debitoribus patris, vel iis qui patrem illa summa privaverant, pupillis redditam et agrum liberum esse. Pupilli pecuniam illam se non accepisse hac oratione defendunt. Sic optime mihi videntur haec verba ad orationem, quae fuit *πρὸς Εὐκλείδην περὶ τῆς τοῦ χωρίου λύσεως*, referri posse: vide frg. or. XIV.

2. καὶ ἔτι γε τὰ τοιαῦτα· „ᾧ γὰρ ἃ μὲν ὑπῆρχεν 130
ἔξω τῶν ἀποτιμηθέντων καταλελειτουργηκότα, δανειζομένῳ δ' οὐδεὶς ἂν ἔδωκεν ἐπ' αὐτοῖς ἔτι πλέον οὐδὲν

---

3. τεμανικῷ C. 6. ὀχεῖται καὶ οὗτοι Sauppius: ὀχεῖται. οὗτοι b. sed cfr. lectt. codd. DE. 7. Homer Il. 15, 684. 9. Thucyd 5, 57. 10 ἕκτης Sauppius: ἐκ τῆς b. est 7. 5. 23 ubi interpretes de hoc genere militum exposuerunt. 13. ἥρως· ἱδρυμένος Dobreeus (1834): ἥρεττο ἱδρύματος codex. De Lyco heroe exposuit F. V Fritzschius de sortit iud Ath. p. 34 sqq. cf. intpp. Zenobii 5, 2. 14. αὐτῷ Dobreeus (1834): αὐτὸ codex. 17. ἐδεκάζοντο Dobreeus (1834): ἐδίκαζον codex. 25. τὴν δίκην] τὴν α' δίκην Bekkerus. 35. Isaei frg. or. XI, 3.

144 *αὐτὸ δὲ τὸ καρποῦσθαι καὶ καρπίσασθαι Ὑπερίδης ἐν τῷ πρὸς Λυσίδημον.* Pollux 7 §. 149. cf. Hyperid. frg. or. XXIII.

XXXII. *ΚΑΤΑ ΜΑΝΤΙΘΕΟΥ ΑΙΚΙΑΣ.*

145 1. *Ἀθηναῖοι δὲ καὶ τῆς τῶν δούλων προνοοῦντες τύχης ἐνομοθέτησαν καὶ ὑπὲρ δούλων γραφὰς ὕβρεως εἶναι. Ὑπερείδης γοῦν ὁ ῥήτωρ ἐν τῷ κατὰ Μαντιθέου αἰκίας φησίν· Ἔθεσαν οὐ μόνον ὑπὲρ τῶν ἐλευθέρων, ἀλλὰ καὶ ἐάν τις εἰς δούλου σῶμα ὑβρίσῃ, γραφὰς εἶναι κατὰ τοῦ ὑβρίσαντος.* Athenaeus 6 p. 266. F. cf. Lycurgi frg. or. c. Lycophronem prioris.

146 2. *ὁ δ' αὐτὸς Ὑπερείδης ἐν τῷ κατὰ Μαντιθέου αἰκίας περὶ Γλυκέρας τάδε λέγει· ἄγων Γλυκέραν τε τὴν Θαλασσίδος, ζεῦγος ἔχων. ἄδηλον εἰ αὕτη ἐστὶν ἡ Ἁρπάλῳ συνοῦσα.* Athenaeus 13 p. 586. B.

147 3. *ἀκμάζεις· ἀντὶ τοῦ τὰ τῶν νέων πράττεις Ὑπερίδης ἐν τῷ κατὰ Μαντιθέου, Λυσίας ἐν τῷ πρὸς Νίκαρχον τὸν αὐλητήν, εἰ γνήσιος.* Harpocr. cf. Bekker. anecd. p. 365, 9.

148 4. *Ποσειδεών· Ὑπερίδης ἐν τῷ κατὰ Μαντιθέου. ὁ ϛ' μὴν παρ' Ἀθηναίοις οὕτω καλεῖται.* Harpocr.

---

23. *παριόντες* Par. et Gregorius: *περιόντες* reliqui. 27. *ωδειον* sine acc. Par., *ᾠδῖον* Ven. et Vind. 28. *καὶ λιμένας* Sauppius: *λιμένας* libri. 29. *ἠτίμωσε* Reiskius (orat. gr. 8 p. 190): *ἠτίμασε* libri. 47. cf. Schoemann. de comit. p. 181 sqq.

32. *Ὑπερείδης* BP: *Ὑπερίδης* reliqui. 33. *ὑπὲρ*] *περὶ* B. 38. *Ὑπερίδης* erat. 39. de Glycera exposuit Fr. Iacobs opuscul. 3 p. 483 sqq. *αἰκίας* AB: *αἰτίας* reliqui. 43. *μεντιθέου* FK, *τιμοθέου* CGH. Lysiae frg. 188. 46. *ἀμαντιθέου* B.

149 5. *σκευοποιοῦντα τὸ πρᾶγμα* Ὑπερίδης ἐν τῷ κατὰ Μαντιθέου ἀντὶ τοῦ σκευωρούμενον καὶ κατασκευάζοντα καὶ πλαττόμενον. Harpocr.

XXXIII. ΚΑΤΑ ΜΕΙΔΙΟΥ ΠΑΡΑΝΟΜΩΝ.

Utrum de expeditione euboica an de byzantia an de alio tempore cogitandum sit, cum Xeniam archontem pseudeponymum esse constet, prorsus incertum est. Cf. Boehneck. l. d. p. 333. Quanquam expeditionem euboicam intelligi aetas Midiae filii vix patitur. De Midiis patre et filio monuit A. Boeckhius de re navali Athen. p. 243 sq.

150 *γραψάμενος δὲ καὶ τὴν Φωκίωνος δωρεάν, ἣν εἶπε Μειδίας Μειδίου Ἀναγυράσιος ἐπὶ Ξενίου ἄρχοντος, Γαμηλιῶνος ἑβδόμῃ φθίνοντος, ἡττήθη.* Vitae decem oratt. p. 850. A.

XXXIV. ΥΠΕΡ ΜΙΚΚΑΣ.

151 Ὑπερίδης δὲ ἐν τῷ ὑπὲρ Μίκκας ἔφη· *ἐμισθώσατο τυλυφάντας.* Pollux 7 §. 191. et 10 §. 39.

XXXV. ΥΠΕΡ ΞΕΝΙΠΠΟΥ.

152 *Μεταγειτνιών·* Ὑπερίδης ἐν τῷ ὑπὲρ Ξενίππου. ὁ β' μὴν παρ' Ἀθηναίοις οὕτω καλεῖται, ἐν δὲ τούτῳ Ἀπόλλωνι Μεταγειτνίῳ θύουσιν, ὡς Λυσιμαχίδης ἐν τῷ περὶ τῶν Ἀθήνησι μηνῶν. Harpocr.

XXXVI. ΥΠΕΡ ΞΕΝΟΦΙΛΟΥ ΛΟΓΟΙ Β.

153 1. *Κεραμεῖς·* Ὑπερίδης ἐν τῷ ὑπὲρ Ξενοφίλου α'. δῆμός ἐστι φυλῆς τῆς Ἀκαμαντίδος Κεραμεῖς, ὥς φησι Διόδωρος. φησὶ δὲ Φιλόχορος ἐν γ' εἰληφέναι τούτους τοὔνομα ἀπὸ τῆς κεραμικῆς τέχνης καὶ τοῦ θύειν Κεράμῳ τινὶ ἥρωϊ. Harpocr.

154 2. *Μουνυχιών·* Ὑπερίδης ἐν τῷ ὑπὲρ Ξενοφίλου. ὁ ι' μὴν παρ' Ἀθηναίοις οὕτω καλεῖται, ἐν δὲ τούτῳ τῷ μηνὶ Ἀρτέμιδι θύεται Μουνυχίᾳ. Harpocr.

155 3. *Τυρμεῖδαι·* Ὑπερίδης ἐν τῷ ὑπὲρ Ξενοφίλου. δῆμος τῆς Οἰνηΐδος οἱ Τυρμεῖδαι, ὥς φησι Διόδωρος. Harpocr.

156 4. *Ὑσιαί·* Ὑπερίδης ἐν τῷ ὑπὲρ Ξενοφίλου. Ὑσιαὶ τῆς Βοιωτίας πόλις, ἧς μνημονεύει καὶ Εὐριπίδης ἐν Ἀντιόπῃ. Harpocr.

XXXVII. ΠΕΡΙ ΤΩΝ ΟΡΙΩΝ

157 *ἀψιμαχεῖν·* Ὑπερείδης ἐν τῷ περὶ τῶν ὁρίων· καὶ „ἀψίμαχον γερόντιον". Antiatticista in Bekker. anecd. p. 79, 12.

XXXVIII. ΠΕΡΙ ΟΧΕΤΟΥ.

ὀχετόχρανα δ' ἂν εἴποις τὰς τῶν ὀχετῶν ἀρχάς, 158
ὡς Ὑπερίδης ἐν τῷ περὶ ὀχετοῦ. Pollux 10 §. 30.

XXXIX. ΠΡΟΣ ΠΑΓΚΑΛΟΝ.

μαστῆρες· Ὑπερίδης ἐν τῷ πρὸς Πάγκαλον. ἔοι- 159
κεν ἀρχή τις εἶναι ἀποδεδειγμένη ἐπὶ τὸ ζητεῖν τὰ κοινὰ τοῦ δήμου, ὡς οἱ ζητηταὶ καὶ οἱ ἐν Πελλήνῃ μάστροι, ὡς Ἀριστοτέλης ἐν τῇ Πελληνέων πολιτείᾳ. Harpocr.

XL. ΚΑΤΑ ΠΑΣΙΚΛΕΟΥΣ.

De permutatione bonorum actum esse in altera oratione Pollucis testimonium exstat, alteram ad eandem causam pertinuisse ea quae supersunt luculenter docent. Etiam hoc patet de trierarchia praestanda certamen fuisse: cf. Demosth. or. 42. Platner. de lit. et action. Ath. 2 p. 108 sqq. Sed utrum Pasicles permutationem ipse obtulerit, an oblatam detrectaverit, non liquet. Nam si Pasicles obtulerat, adversarius et *πρὸς Πασικλέα* se defendere potuit atque docere, bona sua non maiora esse Pasiclis (sic Isocrates *πρὸς Λυσίμαχον περὶ ἀντιδόσεως* orationem scripsit et Aphareum *πρὸς Μεγακλείδην περὶ ἀντιδόσεως* dixisse vidimus), et *κατὰ Πασικλέους* actionem fraudis vel doli mali instituere. Sin vero Pasicli permutatio oblata erat, adversarius pariter et *πρὸς Πασικλέα* in iudicio dicere potuit, ut Pasiclem potius quam se in trecentorum numerum referendum esse doceret, et *κατὰ Πασικλέους*, doli mali actione ei intenta. Verisimilius vero videtur esse, Pasicli permutationem bonorum oblatam fuisse, cum si aliter statueris vix intelligi possit, quomodo in oratione de fraude Pasiclis permutationem offerentis verba illa de Phormionis artibus (frg. XL, 1) locum habuerint. Quodsi Pasicli oblata est permutatio, hoc fortasse ita explicandum est, ut Phormio et Pasicles cognati fuerint et alter alterius bona vel communione quadam praetenta vel alio modo parva esse ostendere studuerint. Hoc certum videtur esse, duas orationes fuisse, *πρὸς Πασικλέα* et *κατὰ Πασικλέους*: nam temerarium foret credere orationem quae esset *πρὸς Πασικλέα* toties per errorem *κατὰ Πασικλέους* dictam esse.

1. *τὸ πρᾶγμα* om. BCG. — cf. Pollux 10 §. 15. 20. *Μίκκας* Kiessling. p. 214: *μήκας* cod. A in l. 7, *Μηκάλου* l. 7 ante Bekkerum, *Μίκας* ceteri. Cf. Fritzsch. ad Arist. Thesmoph. 767 31. erat *κεραμεῖς*. cf. comment. de demis urb. Athen. p. 7 et 16. *ξενοφῶντος λα*[ω] BC. 33. Philoch. frg. 72. 39. *Τυρμίδαι* D. 43. Eurip. Antiopae frg. 3 Matth.

1. vv. *ἀψ. γερ.* videntur poetae comici esse. 13. *Πελληνέων* b cum Valesio: *πελληνίων* libri.

160 1. οὐ δεῖ δὲ θαυμάζειν, πῶς ὁ μὲν Δημοσθένης φησὶν ξ´ ἄνδρας ἔχειν τὴν συμμορίαν, ὁ δὲ Ὑπερίδης ιε´· ἐν γὰρ τῷ κατὰ Πασικλέους λέγει τὴν αἰτίαν, γράφων ταυτί· ἕως μὲν οἱ πλουσιώτατοι παρακρουόμενοι τὴν πόλιν σύμπεντε καὶ σύνεξ τριηραρχοῦντες μέτρια ἀνήλισκον, ἡσυχίαν εἶχον οὗτοι· ἐπειδὴ δὲ ταῦτα κατεῖδε Δημοσθένης καὶ νόμον ἔθηκε τοὺς ι´ τριηραρχεῖν καὶ βαρεῖαι γεγόνασιν αἱ τριηραρχίαι, νῦν ὁ Φορμίων αὐτὸν ἐκκλέπτει. Harpocrat. p. 172, 8 (vid. Hyperid. orat. XLIV frg. 1). Cf. schol. Demosth. 14 §. 17. Etymol. magn. p. 734, 32. Philemon. lex. technol. p. 142 Osanni.

161 2. *Illi* ἄξιός ἐστι μισεῖσθαι τῇ πόλει. Hyperides ἐν τῷ κατὰ Πασικλέους· . . . . *Pro hoc Latini dicunt dignus est odio esse urbi et dignus qui sit odio urbi.* Priscian. 18 c. 24 p. 194 Kr.

162 3. ἔκδεια. Ὑπερίδης ἐν τῷ κατὰ Πασικλέους· ἐὰν δέ τις ἔκδεια γένηται, ἤγουν ἐὰν δέ τις ἐνδεήσῃ τοῦ προϋπάρχοντος ἀργυρίου. Harpocr.

XLI. ΠΡΟΣ ΠΑΣΙΚΛΕΑ ΠΕΡΙ ΑΝΤΙΔΟΣΕΩΣ.

163 ταῦτα (*vicos*) δὲ καὶ ἄμφοδα ἔστιν εὑρεῖν κεκλημένα οὐ παρ᾽ Ἀριστοφάνει μόνον, –, ἀλλὰ καὶ παρ᾽ Ὑπερίδῃ ἐν τῷ περὶ ἀντιδόσεως πρὸς Πασικλέα· τὴν οἰκίαν τὴν μεγάλην τὴν Χαβρίου καλουμένην καὶ τὸ ἄμφοδον. Pollux 9 §. 36

XLII. ΚΑΤΑ ΠΑΤΡΟΚΛΕΟΥΣ ΠΡΟΑΓΩΓΕΙΑΣ, εἰ γνήσιος.

De actione προαγωγείας cf. Meier de lit. att. p. 332 sq. Sed qui Patrocles ille fuerit, in tanta virorum cognominum multitudine decerni non potest et Ruhnkenii coniectura (hist. crit. p. 82) prorsus incerta est. cf. Boehneck. l. d. p. 615 sq.

164 1. Ὑπερείδης δ᾽ ἐν τῷ κατὰ Πατροκλέους, εἰ γνήσιος ὁ λόγος, τοὺς Ἀρεοπαγίτας φησὶν ἀριστήσαντά τινα ἐν καπηλείῳ κωλῦσαι ἀνιέναι εἰς Ἄρειον πάγον. Athenaeus 13 p. 566. F.

165 2. ἔξεστι δὲ καὶ τὸ παραπέτασμα αὐλαίαν καλεῖν, Ὑπερίδου εἰπόντος ἐν τῷ κατὰ Πατροκλέους· οἱ δὲ ἐννέα ἄρχοντες εἱστιῶντο ἐν τῇ στοᾷ, περιφραξάμενοί τι μέρος αὐτῆς αὐλαίᾳ. Pollux 4 §. 122. ἔτι αὐλαίας καλεῖ τὰς κορτίνας. οὕτως δὲ καλοῦσιν αὐτὰς καὶ οἱ ἔξωθεν Ἀττικοί, λέγοντες αὐλαίαν τὸ μεγα καὶ ποικίλον παραπέτασμα. Ὑπερίδης ὁ ῥήτωρ ἐν τῷ κατὰ Πατροκλέους λόγῳ· οἱ δὲ ἐννέα ἄρχοντες εἱστιῶντο ἐν τῇ στοᾷ, φραξάμενοί τι μέρος αὐτῆς αὐλαίᾳ. Cosmas Indicopleustes topogr. christ. p. 197. E. (B. Montefalconii collect. nov. patrum et script. graec. tom. 2.) αὐλαία· τὸ τῆς σκηνῆς παραπέτασμα. κέχρηται δὲ αὐτῷ Ὑπερείδης ἐν τῷ κατὰ Πατροκλεους. Bekk. anecd. p. 463, 14 et p. 83, 7. Suidas 1, 1 p. 858 B. cf. Villoison. apud Sturzium Empedocl. 1 p. XLIX.

166 3. τοῦτον δὲ (sc. vitricum) Ὑπερίδης Πατροκλέους ἐπὶ προαγωγείᾳ κατηγορῶν μητρυιὸν κέκληκε, καὶ Θεόπομπος ὁ κωμικὸς ἐν Εἰρήνῃ. Pollux 3 §. 27.

167 4. Νάννιον· Ὑπερίδης ἐν τῷ κατὰ Πατροκλέους, εἰ γνήσιος. Ἀπολλόδωρος ἐν τῷ περὶ ἑταιρῶν Αἶγα λέγεσθαί φησι ταύτην τὴν ἑταίραν διὰ τὸ Θάλλον τὸν κάπηλον καταφαγεῖν· ὅτι γὰρ θαλλῷ χαίρουσιν αἱ αἶγες, καὶ Σοφοκλῆς Ποιμέσιν „ἑωθινὸς γάρ, πρίν τιν᾽ αὐλητῶν ὁρᾶν, Θαλλὸν χιμαίραις προσφέρων νεοσπάδα, εἶδον στρατὸν στείχοντα παραλίαν ἄκραν.“ ἔστι δὲ αὐτῆς μνήμη καὶ ἐν τῇ κωμῳδίᾳ. Ἀντιφάνης δὲ ὁ νεώτερος ἐν τῷ περὶ ἑταιρῶν τὴν Νάννιόν φησι Προσκήνιον ἐπονομάζεσθαι διὰ τὸ ἔξωθεν δοκεῖν εὐμορφοτέραν εἶναι. Harpocr. Νάννιον δὲ Ὑπερείδης μνημονεύει ἐν τῷ κατὰ Πατροκλέους. Athenaeus 13 p. 587. A.

168 5. Νεμέας Χαράδρα· Αἰσχίνης περὶ τῆς πρεσβείας. οὕτω τόπος τις ἐκαλεῖτο ἐν Πελοποννήσῳ· „πλησίον τῆς Νεμέας χαράδρας“ Ἔφορος ἐν κγ´. Νεμέας αὐλητρίδος μνημονεύει Ὑπερίδης ἐν τῷ κατὰ Πατροκλέους, εἰ γνήσιος. ὁ δὲ Πολέμων ἐν τοῖς περὶ

4. de sensu verborum hyperideorum dixi in epist. crit. ad G. Hermann. p. 129. cf. Boehneck. l. d. p. 478 not. 1. 5. σὺν πέντε libri Harpocr., Etymol., Suidas. σύνεξ schol. Dem.: σὺν ς D, ς ceteri. 6. μετρια] ματα τρία BG, μετὰ τρία C. 7. εἶχον ABCG: ἦγον b. ἐπεὶ BCG et Suidae libri (praeter A). κατεῖδε Suidas, Etymol., Schol. dem.: κατεῖδεν Photius, κατεῖδον ABCG, κατιδεν ms. Photius, κατιδὼν b. 8. καὶ νόμον Sauppius: νόμους b. ἀνέθηκε BCG. ι´] γ´ D. 10. νῦν – ἐκκλέπτει om. Photius, Suidas, Schol. dem., Etymol. αὐτὸν Sauppius (epist. crit. l. d.): αὐτὸν b. ἐκλέπτει G. 14. ἄξιός ἐστι] ἄξιοι monac. et paris. Presselii (revue philol. 1 p. 149). 15. ΠΑΣΙΚΛΕΟΥ monac. Spengelii (ad Varron. p. 637), Πασικλέους paris. signa lacunae addi iussit Spengelius. 19. haec videntur ad pecunias in symmoriis solvendas pertinuisse. 38. Ὑπερείδης ABP: Ὑπερίδης reliqui. – De re cf. Becker. Charicles 1 p. 258 sq.

4. cf. Bergk. epist. ad Schiller. p. 131. 7. αὐλαία erat. 11. εἰσθιώοντο erat. cf. Wessel. ad Diod. Sic. 19, 23. 12. τι] erat τό. 16. Ὑπερείδης Bachm. anecd. 1 p. 163, 29: Ὑπερίδης b. 21. Meinek. com. gr. 2 p. 796. 22. νάννιον B. Ὑπερίδης] λυσίας C. πατροκλεα C. 24. Θάλλον Sauppius: Θαλλὸν b. 26. Sophoclis frg. 445 Ddf. 27. χιμαίραις Bekkerus: χιλίαις BCG, χίλια A, χιμαίρᾳ reliqui et Athenaeus p. 587. A. νεοσπάδα cum Casaubono b: νεόπαιδα ABCG. 32. erat Ὑπερίδης. 35. immo Νεμεὰς χαράδρα. – Aeschin. 2 § 168. – cf. L. Ross. itiner. graec. 1 p. 41. 46. 37. Ephori frg. a Müllero omissum est. – immo Νεμεάδος. 38. μνημονεύει Ὑπερίδης] δημοσθένης C. 39. Polemon. frg. III Preller. – de re ipsa cf. C. Keil. onomatol. p. 16 et 99, analect. epigr. p. 95 sq.

τῆς ἀκροπόλεως παρατίθεται ψήφισμα καθ' ὃ ἀπείρητο Ἀθήνησιν ὄνομα πεντετηρίδος τίθεσθαι δούλῃ ἢ ἀπελευθέρᾳ ἢ πορνῃ ἢ αὐλητρίδι· ἄξιον οὖν ἀπορῆσαι πῶς οὕτως ὠνομάζετο ἡ αὐλητρίς. Harpocr. *καὶ Νεμεάδος δὲ τῆς αὐλητρίδος Ὑπερείδης μνημονεύει ἐν τῷ κατὰ Πατροκλέους.* Athenaeus 13 p. 587. C.

169 6. *πάνδημος Ἀφροδίτη· Ὑπερίδης ἐν τῷ κατὰ Πατροκλέους, εἰ γνήσιος. Ἀπολλόδωρος ἐν τῷ περὶ θεῶν πάνδημόν φησιν Ἀθήνησι κληθῆναι τὴν ἀφιδρυθεῖσαν περὶ τὴν ἀρχαίαν ἀγορὰν διὰ τὸ ἐνταῦθα πάντα τὸν δῆμον συνάγεσθαι τὸ παλαιὸν ἐν ταῖς ἐκκλησίαις, ἃς ἐκάλουν ἀγορας. Νίκανδρος ἐν ϛ' Κολοφωνιακῶν Σόλωνά φησι σώματα ἀγοράσαντα εὐπρεπῆ ἐπὶ στεγης στῆσαι διὰ τοὺς νεους, καὶ ἐκ τῶν περιγενομένων χρημάτων ἱδρύσασθαι Ἀφροδίτης πανδήμου ἱερόν· ἔστι δὲ τὸ πάνδημον πάγκοινον.* Harpocr.

170 7. *ἐκαλεῖτο δε τις ἐν τοῖς νυμφικοῖς δωματίοις καὶ κλίνη παράβυστος, ἧς μεμνηται Ὑπερίδης ἐν τῷ κατὰ Πατροκλεους.* Harpocr. p. 146, 6. (cf. Antiphont. frg. 43.) *καὶ δὴ καὶ κλίνη τις ὠνομάζετο γαμική, καὶ ἑτέρα παράβυστος, ἣ καὶ αὐτὴ στρώννυται ἐν τῷ δωματίῳ ὑπὲρ τοῦ τὴν παῖδα μὴ ἀθυμῆσαι, ὡς Ὑπερίδης ἔφη.* Pollux 3 §. 43.

171 8. *Φορβαντεῖον· Ὑπερίδης ἐν τῷ κατὰ Πατροκλέους. ὅτι τὸ Ἀθήνησιν Φορβαντεῖον ὠνομάσθη ἀπὸ Φόρβαντος βασιλεύσαντος Κουρήτων καὶ ὑπ' Ἐρεχθέως ἀναιρεθεντος, δεδήλωκεν Ἄνδρων ἐν η' τῶν Συγγενειῶν. ἦν δὲ Ποσειδῶνος υἱὸς ὁ Φόρβας, καθά φησιν Ἑλλάνικος ἐν α' Ἀτθίδος.* Harpocr. cf. Etymol. M. p. 798, 25.

XLIII. *ΠΛΑΤΑΙΚΟΣ.*

Qua occasione de rebus Plataeensium Athenis Hyperidis temporibus agi potuerit, Kiesslingius l. d. p. 229 bene exposuit.

172 *ἆρ' οὖν ἄξιον προκρῖναι τὸν Ὑπερείδου Πλαταϊκὸν τῆς Ἀριστείδου στρατηγίας καὶ νίκης;* Plut. moral. p. 350. B. Valckenaerii coniecturam *Δηλιακὸν* scribi iubentis, probatam illam ab Ruhnkenio (hist. crit. p. 70), ferri non posse A. Boeckhius monuit in actis soc. liter. berol. a. 1834 p. 19.

XLIV. *ΚΑΤΑ ΠΟΛΥΕΥΚΤΟΥ ΠΕΡΙ ΤΟΥ ΔΙΑΓΡΑΜΜΑΤΟΣ.*

Polyeuctos qui Hyperidis temporibus Athenis fuerint Boehneckius plurimos enumerat (l. d. p. 643 sq.), quibus addi potest Polyeuctus Lysistrati F. Batensis (duod. inscr. att. E. Curtii p. 7). Sed ad quem potissimum tres orationes Hyperidis pertinuerint, non patet. Nam quod Schmidtius et Maetznerus ad Dinarch. 1 §. 58, qui cum plerisque hominibus doctis *unam* tantum orationem fuisse statuunt, Sphettium intelligi voluerunt, id in summa consiliorum, quae Demosthenes, Hyperides, Polyeuctus agitarunt, communione probari non potest. Sed adversus Polyeuctum Cydantidam *quadragesimam sextam* habitam esse fragmentum primum verisimile reddit. Hoc enim videtur certissimum esse *tres orationes* distingui oportere, *κατὰ Πολυεύκτου, περὶ τοῦ Πολύευκτον στρατηγεῖν, πρὸς Πολύευκτον*, quanquam etiam in tertia de rebus ad symmorias pertinentibus actum esse fragmentum secundum ostendit. Tres orationes primus recte distinxit A. Boeckhius de rebus naval. Ath. p. 249. cf Boehneck. l. d. p. 643. Ex iis vero, quae Boeckhius l. d. p. 177 sqq. de Symmoriarum rationibus exposuit, apparet, orationes *πρὸς Πολύευκτον* et *κατὰ Πασικλέους* post Ol. 110 a. 1, quo Demosthenes legem trierarchicam pertulit, habitas esse: neque enim artificiosa explicatio, qua Boeckhius p. 180 sq. orationem *πρὸς Πολύευκτον* etiam antea haberi potuisse efficere studuit, probari potest.

1. *συμμορία· Δημοσθένης ἐν τῷ κατ' Ἀφόβου α'. οὐχ ἅπαν τὸ πλῆθος, ὥσπερ παρ' ἡμῖν, διῄρητο εἰς τὰς συμμορίας Ἀθήνησιν, ἀλλὰ μόνοι οἱ πλούσιοι καὶ εἰσφέρειν τῇ πόλει δυνάμενοι. ὁ γοῦν Δημοσθένης ἐν τῷ περὶ συμμοριῶν φησι, περὶ τῶν χιλίων καὶ διακοσίων ἀνδρῶν λεγων τῶν πλουσιωτάτων, „ἐκ τούτων τοίνυν οἶμαι δεῖν ποιῆσαι συμμορίας κ', ὥσπερ νῦν εἰσί, σώματα ξ' ἑκάστην ἔχουσαν." Ὑπερίδης δ' ἐν τῷ πρὸς Πολύευκτόν φησιν „εἰσὶ γὰρ ἐν τῇ συμμορίᾳ ἑκάστῃ ιε' ἄνδρες." οὐ δεῖ δὲ θαυμάζειν πῶς ὁ μὲν Δημοσθένης φησὶν ξ' ἄνδρας ἔχειν τὴν συμμορίαν, ὁ δὲ Ὑπερίδης ιε'· ἐν γὰρ τῷ κατὰ Πασικλέους λέγει τὴν αἰτίαν, γράφων ταυτί „ἕως μὲν οἱ πλουσιώτατοι παρακρουόμενοι τὴν πόλιν συμπεντε καὶ συνεξ τριηραρχοῦντες μετρια ἀνήλισκον, ἡσυχίαν εἶχον οὗτοι· ἐπειδὴ δὲ ταῦτα κατεῖδε Δημοσθένης καὶ νόμον ἔθηκε τοὺς τ' τριηραρχεῖν καὶ βαρεῖαι γεγόνασιν αἱ τριηραρχίαι, νῦν ὁ Φορμίων αὐτὸν ἐκκλέπτει." ὅτι δὲ καὶ οἱ δημοποίητοι ἐνεγράφοντο εἰς τὰς συμμορίας, δεδήλωκεν ὁ Ὑπερίδης ἐν τῷ κατὰ Πολυεύκτου πολλάκις. συμμορῖται δέ εἰσιν οἱ τῆς αὐτῆς αὐτοῖς μετέχοντες συμμορίας, ὡς ἐν τῷ αὐτῷ λόγῳ* 173

---

5. *Ὑπερείδης* P: *Ὑπερίδης* reliqui. 7. *ἀφροδίτης* C. 8. *προκλεους* B, *πρωκλέους* A. 12. *ϛ'] θι* N, *γ'* Athenaeus 13 p. 569. D. 19. *προκλέους* B, *προκλέα* A. 26. de hoc Phorbante cf. I. Roulez. ad Ptolem. Hephaest. p. 55 sq. 37. *στρατηγίας καὶ* Sauppius: *παραγγελίας* libri (*ἐν Πλαταιαῖς* Xylander, *παραγγελίας καὶ* Reiskius, *Πλαταικῆς* vel *παραγγελθείσης* Kiessling. l. d. p. 232).

26. Demosth. or. 27 §. 7. 29. Demosth. or. 14 §. 17. 33. Hyperid. frg. XLVI, 2. 37. Hyperid. frg. XL, 1. 47. *αὑτοῖς* Bekkerus: *αὐτοῖς* D. Photius, schol. dem., *αὐτοὶ* ceteri (praeter Etymol., ubi omittitur).

Ὑπερίδης δείκνυσι. διῃρέθησαν δὲ πρῶτον Ἀθηναῖοι κατὰ συμμορίας ἐπὶ Ναυσινίκου ἄρχοντος, ὥς φησι Φιλόχορος ἐν τῇ ε' Ἀτθίδος. Harpocr. cf. schol. Demosth. 14 §. 17. Etymol. Magn. p. 734, 32.

174 2. ἡγεμὼν συμμορίας· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. ἡγεμὼν ἐκαλεῖτο συμμορίας ὁ προέχων τῷ πλούτῳ καὶ διὰ τοῦτο τῶν ἄλλων ἡγεμονεύειν ἐπειλημμένος, ὡς ὑποφαίνει Ὑπερίδης ἐν τῷ κατὰ Πολυεύκτου. Harpocr.

175 3. τοὺς δὲ ἄρχοντας τῶν συμμοριτῶν καὶ συμμοριάρχας Ὑπερίδης εἴρηκεν. Pollux 3 §. 53.

176 4. καὶ συμμορία καὶ τὸ παρ' Ὑπερίδῃ μετοικικῆς συμμορίας ταμίας. Pollux 8 §. 144.

177 5. ἀγοράς. Ὑπερίδης ἐν τῷ κατὰ Πολυεύκτου περὶ τοῦ διαγράμματος· οὗτοι πολλάκις ἀγορὰς ποιοῦνται. μήποτε ἀντὶ τοῦ συνόδους νῦν. σημαίνει δὲ καὶ ἕτερα τοὔνομα. Harpocr. cf. fragm. cantabrig. p. 664, 11. Bekker. anecd. p. 330, 10.

178 6. ἀνασυντάξας ἀντὶ τοῦ ἄνωθεν συντάξας Ὑπερίδης κατὰ Πολυεύκτου. Harpocr.

179 7. διάγραμμα. — τὸ ταττόμενον ἐν ταῖς συμμορίαις, ὁπόσον ἕκαστον ἄνδρα εἰσφέρειν δεῖ. ἐτάττετο δὲ οὐ τὸ αὐτὸ πᾶσιν, ἀλλὰ πρὸς τὴν τίμησιν τῆς οὐσίας. περὶ δὲ τούτων σαφέστατα δεδήλωκεν Ὑπερίδης ἐν τῷ κατὰ Πολυεύκτου περὶ διαγράμματος. διαγραφεὺς μέντοι ἐστὶν ὁ καθιστάμενος ἐν ταῖς συμμορίαις ἐπὶ τῷ διακρῖναι πόσον ἕκαστος ἀνὴρ εἰσενεγκεῖν ὀφείλει, ὡς ὁ αὐτὸς πάλιν φανερὸν ποιεῖ ἐν τῷ κατὰ Πολυεύκτου. Harpocr. p. 56, 18. cf. Hyperid. frg. XX, 2.

180 8. Θαργήλια· Ὑπερίδης ἐν τῷ κατὰ Πολυεύκτου. ἑορτή ἐστι τὰ Θαργήλια, ἄγεται δὲ Θαργηλιῶνι μηνί, ὅς ἐστιν ἱερὸς Ἀπόλλωνος. Harpocr.

181 9. ὀβολοστάτας δ' ἔλεγον τοὺς δανειστάς, ὡς παρά τε Ὑπερίδῃ ἐν τῷ κατὰ Πολυεύκτου καὶ πολλάκις ἐν τῇ κωμῳδίᾳ. Harpocr. p. 134, 17. (cf. Lysiae frg. 136 et 201.)

XLV. ΠΕΡΙ ΤΟΥ ΠΟΛΥΕΥΚΤΟΝ ΣΤΡΑΤΗΓΕΙΝ.

Orator videtur in contione suasisse, ut Polyeucto imperium expeditionis alicuius committeretur. Quanquam neque de homine ipso neque de expeditione neque de tempore certi quidquam statui potest, tamen Actiorum commemoratio et quae de regionibus a Graecorum commercio antea alienis traduntur efficiunt, ut de expeditione tyrrhenica cogitem (cf. frg. or. LIII).

182 1. Ἄκτια· Ὑπερίδης ἐν τῷ περὶ τοῦ Πολύευκτον στρατηγεῖν. Ἄκτια ἀγὼν παλαιὸς ἦν, ὡς δῆλον ποιεῖ Καλλίμαχος ἐν τῷ περὶ ἀγώνων. Harpocr.

183 2. ἀλιμενία· Ὑπερείδης ἐν τῷ περὶ τοῦ Πολύευκτον στρατηγεῖν. Antiatticista in Bekk. anecd. p. 78, 18. Ὑπερίδης δὲ καὶ ὄνομα ἐποίησε· τῶν τόπων τὴν ἀλιμενίαν. Pollux 1 §. 101.

184 3. ῥόθιον· Ὑπερίδης ἐν τῷ περὶ τοῦ Πολύευκτον στρατηγεῖν. ῥόθιον καλεῖται παρὰ τὸν ῥόθον τὸν ἐκ τῶν κωπῶν ἀκουόμενον, ὅταν σφοδρῶς ἐλαύνωσιν. τοὔνομα παρὰ πολλοῖς καὶ παρ' Ἀριστοφάνει ἐν Ἱππεῦσι καὶ Θουκυδίδῃ ἐν δ'. Harpocr. Ὑπερίδης τῷ ῥοθίῳ ἐπ' εἰρεσίας κέχρηται συντονωτάτης. φησὶν οὖν· τὸ μὲν οὖν τῶν ἐλαυνόντων πλῆθος καὶ τὸν τοῦ ῥοθίου ψόφον καὶ τὸ μέγεθος τοῦ σκάφους ἐκπεπληγμένοι δεινῶς ἦσαν. Suid. 2, 2 p. 622 B.

XLVI. ΠΡΟΣ ΠΟΛΥΕΥΚΤΟΝ.

185 1. Κυδαντίδης· Ὑπερίδης ἐν τῷ πρὸς Πολύευκτον. δῆμός ἐστι τῆς Αἰγηίδος Κυδαντίδαι. Harpocr.

186 2. Ὑπερίδης δ' ἐν τῷ πρὸς Πολύευκτόν φησιν· εἰσὶ γὰρ ἐν τῇ συμμορίᾳ ἑκάστῃ ιε' ἄνδρες. Harpocrat. p. 172, 7. cf. Hyperid. frg. or. XLIV, 1.

XLVII. ΥΠΕΡ ΤΟΥ ΠΥΡΡΑΝΔΡΟΥ ΚΛΗΡΟΥ.

187 κακώσεως δίκης ὄνομά ἐστι ταῖς τε ἐπικλήροις κατὰ τῶν γεγαμηκότων, καὶ κατὰ τῶν παίδων τοῖς γονεῦσι, καὶ κατὰ τῶν ἐπιτρόπων τοῖς ὑπὲρ τῶν ὀρφανῶν [ἐπεξιοῦσι διδομένης]· Δημοσθένης κατὰ Τιμοκράτους καὶ Λυσίας ἔν τε τῷ περὶ τοῦ Ἡγησάνδρου κλήρου καὶ ἐν τῷ ὑπὲρ [.. καὶ Ὑπερίδης περὶ] τοῦ Πυρράνδρου κλήρου. ὅτι δὲ ἐξῆν καὶ παντὶ τῷ βουλομένῳ γράφεσθαι κακώσεως γονέων καὶ ταῖς ἐπικλήροις βοηθεῖν, δηλοῦται ἔν τε τῷ προειρημένῳ λόγῳ Ὑπερίδου καὶ ἐν τῷ Λυσίου κατὰ Φιλωνίδου βιαίων, εἰ γνήσιος.

---

2. Ναυσινίκου Photius, Etymol., schol. Dem.: ναυσικοῦ D, ναυσίκου B, ναυσινίλου G, ναυσιλίου C. 3. Philoch. frg. 126 Müll. 5. ἡγεμὼν καὶ συμμορίας A. Demosth. 18 §. 312. 7. τῷ πλούτῳ AC: πλουτῳ b. 11. ἐν τῷ — διαγράμματος om. fragm. cantabr., περὶ — διαγρ. om. anecd. Bekk. κατα, περὶ anecd. Bekk. 15. οὗτοι] οἷον οὗτοι anecd. Bekk. 16. ποιοῦνται fragm. et anecd.: ποιοῦντες b. 20. ὑπερείδης N.

6. ἄκτεια AM, ἀκτεία BFH, ἀκτία CEK. — cf. Hermann. antiqu. sacr. Graec. §. 64, 14. Ὑπερίδης — Ἄκτια om. K. Ὑπερίδης ἐν τῷ περὶ τοῦ Πολύευκτον b cum A: ἐν τῷ περὶ τοῦ πολυεύκτου B, ἐν τῷ περὶ τοῦ πολυεύκτου ὑπερίδης C, ὑπερίδης ἐν τῷ περὶ τοῦ πολυεύκτου reliqui. 8. ἐν τῷ περὶ τῶν ἀγώνων D. ἐν τῷ πρώτῳ Αἰτίων Bernhardy Eratosth. p. 252. 9. cod. a pr. m. πολυεύκτου. 11. erat Ὑπερίδης. 13. πολυεύκτου B. 16. Aristoph. Equ. 549. 17. Thucyd. 4, 10. 26. Polyeuctus Cydantida commemoratur a Dinarcho 1 §. 58 et in titulis navalibus a Boeckhio editis p. 249. 29. ἐν τῇ] ἐν ἀρχῇ A.

ἦν δὲ καὶ ἄνευ ὕδατος. Harpocrat. (cf. Lysiae frg. 107.) Quod Meierus de Lycurgo p. CXXI coniecturam meam argumentis parum idoneis niti iudicavit, id non satis intelligo, cum et ipse eadem fere protulerit. Quod vero verba *ὑπὲρ τοῦ Πυρράνδρου κλήρου* diremi et orationem *περὶ τοῦ Πυρράνδρου κλήρου* ad Hyperidem retuli, eo confirmatur, quod prorsus incredibile est Harpocrationem h. l. primum *περὶ — κλήρου*, deinde *ὑπὲρ — κλήρου* dixisse.

XLVIII. *ΡΟΔΙΑΚΟΣ.*

ἐπρέσβευσε δὲ καὶ πρὸς Ῥοδίους. Vitae decem oratt. p. 850. A. Quo tempore habita sit, non liquet. Nam quod Boehneckius l. d. p. 461 not. 3 Hyperidem Ol. 109, 4 legationem ad Rhodios obiisse coniecit, id non minus incertum est, quam quod idem homo doctissimus retractata sententia priore p. 657 statuit legationem istam post Alexandri M. mortem ab Hyperide susceptam esse. Neque enim quae apud biographum decem oratorum p. 850. A. sequuntur in hoc scriptore necesse est ad idem tempus referri. Contra quae de Hyperidis legatione tunc in Peloponnesum suscepta Iustinus narrat 13. 5, 9 Boehneckii opinioni adversantur, quanquam biographus decem oratt. p. 846. C. Polyeuctum in Peloponnesum missum esse tradit.

188 *προπεσεῖν· προπετῶς τι ποιῆσαι. Ὑπερείδης Ῥοδιακῷ.* Antiatticista in Bekk. anecd. p. 112, 10. — *προέπεσον· προπετῶς ἐποίησαν. Ὑπερίδης.* Photius lex. p. 452, 19.

XLIX. *ΥΠΕΡ ΣΙΜΜΙΟΥ ΠΡΟΣ ΠΥΘΕΑΝ ΚΑΙ ΛΥΚΟΥΡΓΟΝ.*

189 *ἐπιχειροτονία ἡ τῶν χειροτονητῶν κατάστασις· Ὑπερίδης ἐν τῷ ὑπὲρ Σιμμίου πρὸς Πυθέαν καὶ Λυκοῦργον.* Harpocrat.

XLIX[b]. *ΠΕΡΙ ΤΩΝ ΣΤΡΑΤΗΓΩΝ.*

190 *καὶ περὶ τῶν στρατηγῶν ὧν ᾔτει* (Alexander) *παρ' Ἀθηναίων ἀντεῖπε* (Hyperides). Biogr. decem oratt. p. 848. D. Alexandrum Thebis dirutis ab Atheniensibus postulavisse, ut sibi aliquot duces et oratores traderentur, Athenienses vero Demosthenis et Hyperidis aliorumque orationibus permotos illud non fecisse satis notum est. Cf. Demosthenis fragmenta orationis, quae erat de oratoribus non tradendis, et Boehneckii quaestt. oratt. 1 p. 641 sqq.

L. *ΣΥΝΗΓΟΡΙΚΟΣ.*

191 *πλὴν Ἰσαῖος καὶ Ὑπερίδης τὸν πράτην εἶπον.* Pollux 7 §. 8. *Ὑπερίδης δὲ καὶ πράτην εἴρηκεν ἐν τῷ Συνηγορικῷ.* Pollux 3 §. 125.

LI. *ΠΡΟΣ ΤΙΜΑΝΔΡΑΝ,*
εἰ γνήσιος.

Si quid in his rebus dubitationis plenissimis probabile dici potest, Hemsterhusii coniecturam Demetrii locum cum Suidae glossa coniungentis veritatis specie commendari concedendum est. De Timandra nihil constat: ne quis enim Alcibiadis amicam, Laidis matrem, fuisse putat, non opus est moneri. Hyperides vel quisquis auctor orationis fuit videtur eam *προαγωγείας* ream egisse, quod virgines illas, quae frg. 2 commemorantur, vel prostituisset, vel prostituere conata esset.

192 1. *Παράκειται δέ τις καὶ τῷ δεινῷ χαρακτῆρι, ὡς τὸ εἰκός, διημαρτημένος καὶ αὐτός· καλεῖται δὲ ἄχαρις· γίνεται δὲ ἐν τοῖς πράγμασιν, ἐπὰν τις αἰσχρὰ καὶ δύσρητα ἀναφανδὸν λέγῃ· καθάπερ ὁ τῆς Τιμάνδρας κατηγορῶν ὡς πεπορνευκυίας τὴν λεκανίδα καὶ τοὺς ὀβολοὺς καὶ τὴν ψίαθον καὶ πολλήν τινα τοιαύτην δυσφημίαν ἑταιρῶν κατήρασε τοῦ δικαστηρίου.* Demetrius π. ἑρμην. §. 302.

193 2. *παιδάριον. οὐ μόνον ἐπὶ τῶν ἀρρένων κέχρηνται τῷ ὀνόματι οἱ ῥήτορες, ἀλλὰ καὶ ἐπὶ παρθένων. Ὑπερείδης ἐν τῷ πρὸς Τιμάνδραν· καταλλαχθέντων γὰρ τούτων, δυοῖν ἀδελφοῖν καὶ δυαῖν ἀδελφαῖν, ὀρφαναῖν καὶ πρὸς πατρὸς καὶ πρὸς μητρός, παιδαρίων ἀπαίδων.* Suid. 2, 2 p. 157 B.

LII. *ΠΕΡΙ ΤΩΝ ΤΡΙΗΡΩΝ.*

194 Cum Alexander naves ab Atheniensibus ad expeditionem persicam postulavisset, oratores, praesertim Demosthenes et Hyperides, obloculi sunt. cf. Boehneck. l. d. p. 568, 4. Boeckh. de rebus nav. Ath. p. 460. *καὶ περὶ τῶν στρατηγῶν ὧν ᾔτει* (Alexander M.) *παρ' Ἀθηναίων ἀντεῖπε, καὶ περὶ τῶν τριήρων.* Vitae decem oratt. p. 848. E.

---

16. *σημεῖον* B.

26. *ὁ τῆς Τιμάνδρας* n: *ὁ τῆς τημάνδρας* rR, *ὅτι ἄν τις τῆς μάνδρας* Vind. 29. *ἑταιρῶν* Victorius: *ἑταίρων* m, reliqui om. 33. *Τιμάνδραν* Hemsterhus. (ad Arist. Plut. p. 59): *Τίμανδρον* libri. 36. *παιδαρίων ἀπαίδων* Sauppius: *καὶ παιδαρίων παίδων* libri.

LIII. ΠΕΡΙ ΤΗΣ ΦΥΛΑΚΗΣ ΤΩΝ ΤΥΡΡΗΝΩΝ.

Praeclare de hac oratione exposuit A. Boeckhius de rebus naval. Athen. p. 460 sq.

195 1. *κομιστικὰ πλοῖα*· *Ὑπερίδης ἐν τῷ περὶ τῆς φυλακῆς τῶν Τυρρηνῶν ἔοικε καλεῖσθαι κομιστικὰ πλοῖα ἐν οἷς ἐκόμιζον οἱ Τυρρηνοὶ τὰ ληφθέντα λάφυρα, ὡς αὐτὸς ὁ ῥήτωρ ὑποσημαίνει ἐν τῷ λόγῳ.* Harpocrat.

196 2. *προβόλιον εἶδος δόρατος, ᾧ χρῶνται οἱ κυνηγέται πρὸς τὴν τῶν συῶν θήραν. Ὑπερίδης ἐν τῷ περὶ τῆς φυλακῆς τῶν Τυρρηνῶν τροπικῶς ἐκ μεταφορᾶς ἐχρήσατο τῷ ὀνόματι. ὅτι δὲ δόρυ τι σημαίνει, πολλάκις ἔστι μαθεῖν ἐκ τοῦ Ξενοφῶντος κυνηγετικοῦ.* Harpocrat.

LIV. ΠΡΟΣ ΥΓΙΑΙΝΟΝΤΑ.

197 1. *ἕνη καὶ νέα*· *Ὑπερίδης ἐν τῷ πρὸς Ὑγιαίνοντα. τὴν ὑφ' ἡμῶν τριακάδα καλουμένην ἕνην καὶ νέαν καλοῦσιν Ἀθηναῖοι ἀπὸ τοῦ τὴν τελευτὴν ἔχειν τοῦ προτέρου μηνὸς καὶ τὴν ἀρχὴν τοῦ ὑστέρου. Πολέμων δέ φησιν ὅτι ἐκάλεσάν ποτε αὐτὴν Δημητριάδα ἐπὶ τιμῇ Δημητρίου τοῦ Μακεδόνος. ἕνην δὲ καὶ εἰς ἕνην τὸ εἰς τρίτην λέγουσι. καὶ ἁπλῶς τὸ ἕνον δασυνόμενον τὸ πρότερον καὶ παρεληλυθὸς δηλοῖ.* Harpocr.

198 2. *θέσθαι ἀντὶ μὲν τοῦ ὑποθήκην λαβεῖν Ὑπερίδης ἐν τῷ πρὸς Ὑγιαίνοντα, ἀντὶ δὲ τοῦ προσέσθαι καὶ κυρῶσαι νόμον Δημοσθένης· ἐπὶ γὰρ τῶν νόμων λέγεται ὡς ἔθηκε μὲν ὁ νομοθέτης, ἔθετο δὲ ὁ δῆμος· Δημοσθένης ἐν τῷ περὶ τῶν ἀτελειῶν. ἐν μέντοι τῷ κατὰ Στεφάνου φησὶν „ἑαυτῷ νόμους ἰδίους θέμενον", μήποτε ἀντὶ τοῦ θέντα.* Harpocr. *θέσθαι τὸ θησαυρίσασθαι, ἐν Ὀδυσσείας ν', καὶ τὸν θησαυρὸν Ἀνακρέων θεσμὸν καλεῖ· εἰς δὲ τὸ ῥητορικὸν λεξικόν· ἀντὶ τοῦ ὑποθήκην λαβεῖν, Ὑπερίδης.* Etym. Magn. p. 448, 15.

LV. ΚΑΤΑ ΦΙΛΙΠΠΙΔΟΥ.

Hunc Philippidem a comico distinguendum esse docent H. Clintonus Fast. hell. 2 p. XLV, t. et Meinekius com. graec. vol 1 p. 491.

199 *λεπτὸς δ' ἦν καὶ Φιλιππίδης, καθ' οὗ λόγος ἐστὶν Ὑπερείδῃ τῷ ῥήτορι λέγων αὐτὸν ἕνα τῶν πολιτευομένων εἶναι. ἦν δ' εὐτελὴς τὸ σῶμα διὰ λεπτότητα, ὡς ὁ Ὑπερείδης ἔφη.* Athenaeus 12 p. 552. D. cf. Aelianus V. H. 10, 6.

LVI. ΚΑΤΑ ΦΙΛΟΚΡΑΤΟΥΣ ΕΙΣΑΓΓΕΛΙΑ.

ἴστε δήπου πρῴην, ὅτ' εἰσήγγελλεν Ὑπερείδης Φι- 200
λοκράτην — Demosth. 19 §. 116. *Φιλοκράτης μὲν ἀπὸ τῶν αὐτῶν πολιτευμάτων Δημοσθένει φυγὰς ἀπ' εἰσαγγελίας γεγένηται.* Aeschin. 3 §. 79. cf. §. 81. Fortasse ex hac Hyperidis oratione desumta sunt, quae Marcellinus tradit, Hermogenis scholiasta, 4 p. 164 Walz.: *Φιλοκράτης ἐκμισθώσας τὰς Ὀλυνθίας γυναῖκας καὶ ἀναγκάζων φέρειν ἑαυτῷ τὸν μισθόν, δημοσίων ἀδικημάτων φεύγει.* quam rem etiam Demosthenes 19 § 309 attigit. Habita est Hyperidis oratio a. 343 a. Chr. n.

LVII. ΥΠΕΡ ΦΟΡΜΙΣΙΟΥ.

Meier de lit. att. p. 301 coniecit Hyperidis orationem oppositam fuisse dinarcheae, qua Phormisius quidam impietatis accusatus est.

Πανδιονίς· *Δημοσθένης κατὰ Μειδίου. μία τῶν* 201
ι' φυλῶν παρ' Ἀθηναίοις ἐστί, κληθεῖσα ἀπὸ Πανδίονος τοῦ Ἐριχθονίου, ὡς ἄλλοι τε πολλοὶ λέγουσι καὶ Ὑπερίδης ἐν τῷ ὑπὲρ Φορμισίου. Harpocrat.

LVIII. ΥΠΕΡ ΦΡΥΝΗΣ.

De Phryne Thespiensi, clarissima Hyperidis et Praxitelis amica, post St. Berglerum ad Alciphron. 1, 31 et Barthelemium Anacharsis 4 p. 170 accuratissime exposuit F. Iacobs opuscul. varior. 3 p. 436 — 468. Cuius amore cum etiam Euthias orator incensus aut alium sibi praeferri aegre ferret aut per avaritiam dona petenti offerre nollet, eam impietatis ream fecit et hac ipsa accusatione immortalem nominis sui memoriam invenit. Avaritia Euthiam commotum esse Alciphro epistol. 1, 30 refert: *εἰ γὰρ αἰτοῦσαι παρὰ τῶν ἐραστῶν ἀργύριον οὐ τυγχάνομεν ἢ τοῖς διδοῦσιν ἐντυγχάνουσαι ἀσεβείας κριθησόμεθα, πεπαῦσθαι κρεῖττον ἡμῖν τοῦ βίου τούτου.* Adde 1, 32: *αἴτησόν τι παρ' αὐτοῦ καὶ ὄψει σεαυτὴν ἢ τὰ νεώρια ἐμπεπρηκυῖαν ἢ τοὺς νόμους καταλύουσαν.* Neque haec prorsus ficta esse ostendit fragmentum 2, quo Euthiam amatorem Phrynae fuisse edocemur. Impietatis vero crimen quorsum in Phrynae causa pertinuisset cum non constaret, Lobeckius p. 665 Aspasiam, Phrynen, Lacedaemonii sororem (Demosth. or. 57 §. 8), Brau-

---

6. 7. *Τυρρηνῶν — Τυρρηνοὶ* Boeckhius: *τριηρῶν — τύραννοι* edd. ante b, *τριήρων — τύραννοι* b. 8. *τῷ* Bekkerus: *τ̄* A, *λ'* ceteri. 12. *Τυρρηνῶν* libri: *τριήρων* cum Valesio b. *τροπικῶς* cum Valesio b: *τροπικῶν* libri. 14. Xenoph. cyneget. 10, 1 et 3. 21. Polemon. frg. 7. 27. *Ὑγιαίνετον* voluit Larcher. in Sturzii Orione p. 229. sine causa. 28. Demosth. 20 §. 3. 4. 30. Demosth. 46 §. 23. 43. *Ὑπερείδῃ* et 45. *Ὑπερείδης* A: *Ὑπερίδῃ* et *Ὑπερίδης* reliqui.

20. Demosth. 21 §. 13.

roniae Dianae sacerdotem (Dinarchus 2 §. 12), Ninum (Demosth. 39 §. 2 schol. orat. 19 §. 281) propter suspiciones potius plagii, veneficii, corruptelae, sodaliciorum, aliorum eiusmodi maleficiorum, quam propter contemtas religiones accusatas esse coniecit. Et quanquam peregrinorum deorum cultum Athenis legibus vetitum et punitum esse, de qua re Lobeckius dubitabat, certis testimoniis demonstrari potest (cf. Hermanni antiqu. sacr. §. 10), tamen crimen illud impietatis longissime patuisse certissimum est (cf. Meier. de lite att. p. 300 sqq. Platner. de lit. et actionibus Ath. 2 p. 138 sqq.). Sed felici casu factum est, ut iam de Phrynae causa certius iudicare possimus. Nam in *τέχνῃ* illa *τοῦ πολιτικοῦ λόγου*, quam nuper M. Seguerius edidit, p. 57 haec scripta sunt: *κατὰ μὲν οὖν ὑπόθεσιν ἀνακεφαλαίωσις γίνεται, ὅταν αὐτὰ τὰ τὴν ὑπόθεσιν πεποιηκότα ψιλῶς ἐκτιθώμεθα· οἷον· ἀσεβείας κρινομένη Φρύνη· καὶ γὰρ ἐκώμασεν ἐν Λυκείῳ, καινὸν εἰσήγαγε θεόν, καὶ θιάσους ἀνδρῶν καὶ γυναικῶν συνήγαγεν. Ἐπέδειξα τοίνυν ὑμῖν ἀσεβῆ Φρύνην, κωμάσασαν ἀναιδῶς, καινοῦ θεοῦ εἰσηγήτριαν, θιάσους ἀνδρῶν ἐκθέσμους καὶ γυναικῶν συναγαγοῦσαν.* In quibus quod de thiasis scriptum est, illustratur aptissime iis, quae Demosthenes or. 19 §. 281 de Glaucothea, Aeschinis matre, narrat: *Γλαυκοθέας τῆς τοὺς θιάσους συναγούσης, ἐφ' οἷς ἑτέρα τέθνηκεν ἱέρεια.* Deum vero peregrinum, cuius cultum Phryne introduxisse perhibebatur, intelligimus *Ἰσοδαίτην* illum fuisse (frg. 7), quem quae Lobeckius p. 621 f. collegit ostendunt cum Sabazio et Zagreo coniungendum esse, ut Phryne similia sacra atque Glaucothea fecisse videatur. De Sabaziis cf. Hermanni antiqu. sacr. §. 42, 11. Quae de Euthia eiusque oratione memoriae tradita sunt, infra cum ad hunc oratorem pervenerimus collecta invenientur.

202 1. *ὡς εἰκὸς δέ, καὶ δίκῃ Φρύνῃ τῇ ἑταίρᾳ ἀσεβεῖν κρινομένῃ συνεξητάσθη· αὐτὸς γὰρ τοῦτο ἐν ἀρχῇ τοῦ λόγου δηλοῖ· μελλούσης δ' αὐτῆς ἁλίσκεσθαι παραγαγὼν εἰς μέσον καὶ περιρρήξας τὴν ἐσθῆτα ἐπέδειξε τὰ στέρνα τῆς γυναικός· καὶ τῶν δικαστῶν εἰς τὸ κάλλος ἀπιδόντων ἀφείθη.* Vitae decem oratt. p. 849. E. *ἐν δὲ τῷ ὑπὲρ Φρύνης λόγῳ Ὑπερείδης ὁμολογῶν ἐρᾶν τῆς γυναικός, καὶ οὐδέπω τοῦ ἔρωτος ἀπηλλαγμένος τὴν προειρημένην Μυρρίνην εἰς τὴν οἰκίαν εἰσήγαγεν.* Athenaeus 13 p. 590. D.

2. *Ὑπερείδης δὲ πάλιν ἐν τοῖς ὑπὲρ Φρύνης, ἐξισάζοντος, ὅτι αὐτός τε καὶ Εὐθίας ὡμιληκότες ἦσαν τῇ Φρύνῃ· — — Ὑπερείδης γοῦν ὁ ῥήτωρ ἐν τῷ ὑπὲρ αὐτῆς λόγῳ εὑρών τινα διαφορὰν ἐξέφυγε τὸ ἐξισάζον, φήσας· οὐ γὰρ ὅμοιόν ἐστι τὸν μὲν ὅπως σωθήσεται ἐκ παντὸς τρόπου ζητεῖν, τὸν δὲ ὅπως ἀπολέσει.* Syrianus ad Hermog. 4 p. 119 Walz. cf. Marcellinum p. 120. 203

3. *διασυρμὸς δ' ἐστίν, ἐπειδάν τι λέγωμεν ἀξιοπίστως διαβάλλοντες, ὡς Ὑπερείδης ἐπὶ Δημοσθένους· — — καὶ ὁ αὐτὸς ἐπὶ τῆς Φρύνης· τί γάρ ἐστιν αἰτία αὕτη* (sc. Phryne), *εἰ Ταντάλῳ ὑπὲρ τῆς κεφαλῆς λίθος κρέμαται;* Alexander de schem. 8 p. 457 Walz. cf. Hyperid. frg. or. XVII, 2. Euthias videtur cum magna verborum pompa de flagitiosa impietatis, gravissimis poenis a diis ipsis castigatae, natura exposuisse. 204

4. *ἀνεπόπτευτος· Ὑπερείδης ἐν τῷ ὑπὲρ Φρύνης.* 205
ὁ μὴ ἐποπτεύσας. τί δὲ τὸ ἐποπτεῦσαι, δηλοῖ Φιλόχορος ἐν τῇ ι'· „τὰ ἱερὰ οὗτος ἀδικεῖ πάντα, τά τε μυστικὰ καὶ τὰ ἐποπτικά." καὶ πάλιν „Δημητρίῳ μὲν οὖν ἴδιόν τι ἐγένετο παρὰ τοὺς ἄλλους, τὸ μόνον μυηθῆναί τε ἅμα καὶ ἐποπτεῦσαι καὶ τοὺς χρόνους τῆς τελετῆς τοὺς πατρίους μετακινηθῆναι." Harpocrat. cf. Bekk. anecd. p. 398, 11. *καὶ ἀνεπόπτευτον Ὑπερίδης φησίν.* Pollux 2 §. 58.

5. *ἐπωπτευκότων· Ὑπερίδης ἐν τῷ ὑπὲρ Φρύνης. οἱ μυηθέντες ἐν Ἐλευσῖνι ἐν τῇ δευτέρᾳ μυήσει ἐποπτεύειν λέγονται, ὡς δῆλον ἐστιν ἔκ τε τοῦ Δημοσθένους λόγου καὶ ἐκ τῆς δεκάτης Φιλοχόρου.* Harpocrat. 206

6. *Εὐθίας· Ὑπερίδης ὑπὲρ Φρύνης. τῶν ἐπὶ συκοφαντίᾳ διαβεβλημένων ἦν ὁ Εὐθίας. τὸν μέντοι λόγον αὐτῷ τὸν κατὰ Φρύνης Ἀναξιμένην πεποιηκέναι φησὶν Ἕρμιππος.* Harpocr. 207

7. *Ἰσοδαίτης· Ὑπερίδης ἐν τῷ ὑπὲρ Φρύνης.* 208
ξενικός τις δαίμων, ᾧ τὰ δημώδη γύναια καὶ μὴ πάνυ σπουδαῖα ἐτέλει. Harpocr.

---

38. *συνεξητάσθη*] cf. Plutarch. Phoc. 10. Demosth. 21 §. 127. 190. 39. cf. frg. 8.

1. *Ὑπερείδης* P: *Ὑπερίδης* reliqui. 3. de Myrrhine cf. Hyperid frg. or. V. Haec ex Idomenei libro pariter atque ea, quae apud Athenaeum praecedunt, desumta esse coniicias. Alciphro vero (1, 32) videtur traditum invenisse, Myrrhinem ante Phrynae causam ab Hyperide amatam esse. 5 et 7. erat *Ὑπερίδης*. 9. Videntur etiam haec verba ad prooemium pertinuisse. Hyperides explicabat, cur pro Phryne verba faceret: cf. Anaxim. rhet. c. 36 et Spengelii commentar. p. 254. 22. *ἀνεπόπτευτον τὸ μὴ ἐποπτεῦον. οὕτως ὑπερίδης.* B et Bekk. anecd. *ὑπερείδης* N. *φύνης* AC, *φήνης* B. 23. Philochor. frg. 148. 26. *μυηθῆναί τε ἅμα* E et anecd: *ἅμα μυηθῆναι* b. 33. num Demosth. 4 §. 25? 34. Philochr. frg. 149. 40. *ἰσοδέτης* A. cf. Lobeck. Aglaoph. p. 622. *θιασώτας Ἰσοδαίτου Δημότου* sibi videtur C. Keilius reperisse in titulo quodam attico: anal. epigr. p. 142 Non video, cur a Sabazio vel Zagreo Lobeckius hunc daemonem differre voluerit.

209 8. *ὁ δὲ Ὑπερείδης συναγορεύων τῇ Φρύνῃ, ὡς οὐδὲν ἤνυε λέγων, ἐπίδοξοί τε ἦσαν οἱ δικασταὶ καταψηφιούμενοι, παραγαγὼν αὐτὴν εἰς τοὐμφανὲς καὶ περιρρήξας τοὺς χιτωνίσκους, γυμνά τε τὰ στέρνα ποιήσας, τοὺς ἐπιλογικοὺς οἴκτους ἐκ τῆς ὄψεως αὐτῆς ἐπερρητόρευσε δεισιδαιμονῆσαί τ' ἐποίησε τοὺς δικαστὰς καὶ τὴν ὑποφῆτιν καὶ ζάκορον Ἀφροδίτης ἐλέῳ χρησαμένους μὴ ἀποκτεῖναι. καὶ ἀφεθείσης ἐγράφη μετὰ ταῦτα ψήφισμα, μηδένα οἰκτίζεσθαι τῶν λεγόντων ὑπέρ τινος μηδὲ βλεπόμενον τὸν κατηγορούμενον ἢ τὴν κατηγορουμένην κρίνεσθαι.* Athenaeus 13 p. 590. E. cf. Eustathius ad Il. p. 1259, 1 Rom. Idem narrant biographus decem oratorum p. 849. E. (cf. frg. 1 huius orationis), Syrianus in Hermogenem 4 p. 414 Walz., Maximus Plan. 5 p. 285, anonymus 7 p. 335 et 338 (hic apparet *Εὐθίου* scribendum esse). Cum hi ab Hyperide Phrynen productam eiusque pulcritudinem iudicibus monstratam esse referant, alii Phrynen ipsam oratoris arti parum efficaci lenociniis venustatis suae subvenisse eamque plus valuisse quam summam eloquentiam tradunt: schol. Hermog. 7 p. 7 Walz., Sextus Empiricus adv. mathematicos 2 §. 4 p. 675, 6 Bk. Eodem referenda sunt, et quae Alciphro epistol. 1, 31 scripsit, et quae Quintilianus ait: *et Phrynen non Hyperidis actione, quanquam admirabili, sed conspectu corporis, quod illa, speciosissimum alioqui, diducta nudaverat tunica, putant periculo liberatam.* Quintil. 2. 15, 9.

210 9. *Ne in $\bar{a}$ quidem atque $\bar{s}$ literas exire temere masculina graeca nomina recto casu patiebantur, ideoque et apud Caelium legimus »Pelia Cincinnatus« et apud Messalam: bene fecit Euthia.* Quintilianus inst. orat. 1. 5, 61.

LIX. *ΥΠΕΡ ΧΑΙΡΕΦΙΛΟΥ ΠΕΡΙ ΤΟΥ ΤΑΡΙΧΟΥΣ ΛΟΓΟΙ Β.*

Quae de Charephilo eiusque filiis, ab Atheniensibus auctore Demosthene civitate donatis, tradita sunt, diligentissime collegit Th. Bergkius epistol. ad Schiller. p. 156 sqq. cf. Maetzner. ad Dinarchi 1 §. 43. Chaerephilus videtur a sycophanta quodam, fortasse Agasicle (frg. 5), postulatus esse, quod salsamenta portorio non soluto (frg. 6) vel legibus atticis de mercibus importandis et vendendis alio modo migratis (frg. 7) invexisset et venditasset. De portu Piraeeo et emporio attico nuper exposuit H. N. Ulrichs in Bergkii et Caesaris diurnis lit. ant. 1844 p. 25 sqq., de legibus et causis atticis, quae ad has res pertineant, dixerunt A. Boeckhius de oecon. publ. Ath. 1 p. 58 sqq. Meier. de lit. att. p. 86 sqq, Hermann. antiqu. publ. §. 136, 6.

1. *ἀφεὶς τὴν ὑπέραν τὸν πόδα διώκει·* Ὑπερίδης ἐν τῷ περὶ τοῦ ταρίχους α'. *παροιμία ἐπὶ τῶν παριέντων τὰ σπουδαιότερα καὶ περὶ τὰ φαῦλα διατριβόντων. ὑπέραι δ' εἰσὶ ναυτικαὶ σχοῖνοι, αἷς μετάγεται τὸ κέρας.* Harpocrat. cf. Crameri anecd. oxon. 2 p. 491, 35. Apostol. proverb. 5, 8. Arsenii Viol. p. 86 Walzii. 211

2. *Πυκνί.* Ὑπερίδης ἐν τῷ ὑπὲρ Χαιρεφίλου α' *φησί· καὶ τῆς Πυκνὸς τοσοῦτον εὑρισκούσης. ἡ τῶν Ἀθηναίων ἐκκλησία οὕτως ἐκαλεῖτο. πολλὴ δ' ἡ μνήμη αὐτῆς παρ' Ἀττικοῖς. Κλείδημος δ' ἐν γ' Πρωτογονίας „συνῄεσάν" φησιν „εἰς τὴν Πύκνα ὀνομασθεῖσαν διὰ τὸ τὴν συνοίκησιν πυκνουμένην εἶναι."* Harpocrat. 212

3. *Τοσαύτην δ' Ἀθηναῖοι σπουδὴν ἐποιοῦντο περὶ τὸ τάριχος ὡς καὶ πολίτας ἀναγράψαι τοὺς Χαιρεφίλου τοῦ ταριχοπώλου υἱούς, ὥς φησιν Ἄλεξις ἐν Ἐπιδαύρῳ —· μνημονεύει δ' αὐτῶν καὶ Ὑπερείδης ὁ ῥήτωρ.* Athenaeus 3 p. 120. A. 213

4. *Abundant* (praepositiones). — — Ὑπερίδης ἐν τῷ περὶ τοῦ ταρίχους· *μετὰ ταῦτα ὕστερον ἦλθον ἀναθησομένη τὸ τάριχος.* Priscian. inst. gramm. 17 c. 23 p. 92 Kr. 214

5. *Ἀγασικλῆς. περὶ Ἀγασικλέους Ὑπερίδης λέγει· γέγραπται καὶ Δεινάρχῳ λόγος κατ' αὐτοῦ, ἐν ᾧ δεδήλωται ὅτι Ἁλιμουσίους συνεδέκασε καὶ διὰ τοῦτο ξένος ὢν τῇ πολιτείᾳ ἐνεγράφη.* Harpocr. cf. Bekker. anecd. p. 329, 6. 215

6. *Ἀκτὴ ἐπιθαλαττίδιός τις μοῖρα τῆς Ἀττικῆς·* Ὑπερίδης ἐν τῷ περὶ τοῦ ταρίχους· *ὅθεν καὶ ὁ Ἀκτι-* 216

---

1. *Ὑπερείδης* P: *Ὑπερίδης* reliqui. 7. *καὶ τὴν* Sauppius: *τὴν* libri. cf. Eustath l. d. 7. *χρησαμένους* Casaubonus: *χρισαμένους* basil., *χρισάμενος* aldina, *χαρισάμενος* P, *χαρισαμένους* ABC. 32. Messalam orationem Hyperidis pro Phryne in latinum vertisse tradit Quintilianus 10. 5, 2. cf. H Meieri fragm. orat. roman. p. 513.

12. *διώκεις* D. 13. *τοῦ* om. BC. *ταρίχου* CF. — de his funibus ipsis cf. Boeckh de rebus naval. Ath. p. 153 et p. 155 sqq. 19. *Πυκνί — Πυκνὸς — Πύκνα* cum Valesio b: *πυκνί — πυκνὸς — πύκνα* libri. *χεραιφίλου ᾱ φησι* B, *χαιρεφίλου ᾶ φησι* C. 20. *εὑρισκούσης*] fort. *εὖρος ἐχούσης* vel *σχούσης* (Dobreeus advers. 1 p. 588 *εὖρος οὔσης*). 22. Clidemi frg 18 Müll. 28. Meinek. com. 3 p. 413 sq 600 sq 385. — Cf. de Chaerephilo eiusque filiis Th. Bergk. epist. ad Schiller. p. 156 sqq. 29. erat *Ὑπερίδης*. 32. aut *ἦλθεν* aut *ἀναθησόμενοι* legendum. 36. *Δεινάρχῳ* b cum Valesio (et M, ut videtur): *δημάρχῳ* reliqui. — Collato frg. 12 recte videbor Agasiclis mentionem ad hanc orationem retulisse. 37. *Ἁλιμουσίους* Bekkerus: *ἁλιμουσίοις* CG, *ἁλιμουσίνοις* B, *ἁλιμουσίνοις* FM, *ἅλιμον οἴνοις* AO, *ἅλιμον σίνοις* K, *Ἁλιμουσίοις* edd. ante b. *συνεδέκασε* Bekkerus: *συνεδίκασε* libri. 40. videtur regio portubus propinqua sic nominata esse: cf. Lycurgi §. 17. 55. 41. *τοῦ* om. BCDH.

της λίθος. ἐκάλουν δὲ οὕτω καὶ τὴν Ἀττικὴν οἱ μὲν ἀπό τινος Ἀκταίωνος βασιλεως, οἱ δὲ διὰ τὸ τὴν πλείω τῆς χώρας επιθαλάττιον εἶναι. Harpocr.

217 7. τα δὲ περὶ τοὺς λιμενας μέρη δεῖγμα, χῶμα, εμπόριον, καὶ ὡς Ὑπερίδης φησίν, ἐξαίρεσις, ὅπου τὰ φορτία ἐξαιρεῖται, ὥσπερ καὶ τὸ δεῖγμα τοὔνομα ἀπὸ τοῦ δείγματα τῶν ἀγωγίμων τοῖς ὠνητιῶσι δίδοσθαι, παρ' Ὑπερίδῃ ἐν τοῖς ὑπὲρ τοῦ ταρίχους. Pollux 9 §. 34.

218 8. καταχειροτονία. ἔθος ἦν Ἀθήνησι κατὰ τῶν ἀρχόντων και κατά τῶν συκοφαντῶν προβολὰς ἐν τῷ δήμῳ τίθεσθαι· ει δέ τινος καταχειροτονηθείη, οὗτος εἰσήγετο εἰς τὸ δικαστήριον. ἔστι δὲ πολλάκις τοὔνομα παρά τε Δημοσθενει ἐν τῷ κατὰ Μειδίου καὶ Ὑπερίδῃ ἐν τῷ ὑπὲρ Χαιρεφίλου περὶ τοῦ ταρίχους. διεξῆλθε δὲ περι τῆς καταχειροτονίας καὶ Θεόφραστος ἐν δ' Νόμων. Harpocr.

219 9. κεστρῖνοι· Ὑπερίδης ἐν τῷ περὶ τοῦ ταρίχους. κεστρῖνος ἰχθύς. ἐπισκεπτέον δὲ εἰ διαφέρει τι κεστρέως. Harpocr.

220 10. ναύκληρος. Ὑπερίδης ἐν τῷ περὶ τοῦ ταρίχους οὐ μόνον ὡς ἡ συνήθεια χρῆται τῷ ὀνόματι, ἀλλὰ καὶ ἐπὶ τοῦ μεμισθωμένου, ἐπὶ τῷ τὰ ἐνοίκια ἐκλεγειν, ἢ οἰκίας ἢ συνοικίας, ὡς ὁ αὐτὸς ῥήτωρ δηλοῖ ἐν τῷ πρὸς Ἀριστογείτονα καὶ Σαννυρίων Γέλωτι καὶ Δίφιλος Ἐμπόρῳ. Harpocr. cf. fragm. lex. cantabr. p. 673, 20.

221 11. Παλληνεύς· Ὑπερίδης ἐν τῇ ὑπὲρ Χαιρεφίλου ἀπολογίᾳ. Παλλήνη δῆμος τῆς Ἀντιοχίδος. τὸ δὲ εκ τόπου ἐπίρρημα Δείναρχος ἐν τῷ κατὰ Στεφάνου Παλλήνηθέν φησιν, ὁ δὲ δημότης Παλληνεύς. ὅτι δ' εστὶ καὶ ἐν Θρᾴκῃ Παλλήνη, γνώριμον. Harpocr.

222 12. προμετρητής· Ὑπερίδης ἐν τῷ περὶ τοῦ ταρίχους. Δείναρχος κατ' Ἀγασικλέους „Σκύθου τοίνυν τοῦ προμετρητοῦ ἦν υἱὸς καὶ ἐν δημόταις γεγονε καὶ αὐτὸς ἐν τῇ ἀγορᾷ προμετρῶν διατετέλεκεν.“ Harpocr.

LX. ΠΡΟΣ ΧΑΡΗΤΑ ΕΠΙΤΡΟΠΙΚΟΣ.

223 1. ἐπιδιετὲς ἡβῆσαι· Δημοσθένης ἐν τῷ κατὰ Στεφάνου. Δίδυμός φησιν ἀντὶ τοῦ εως ις' ἐτῶν γενωνται· τὸ γὰρ ἡβῆσαι μεχρι ιδ' εστιν. ἀλλ' οἱ ἔφηβοι παρ' Ἀθηναίοις ὀκτωκαιδεκαετεῖς γίνονται, καὶ μένουσιν ἐν τοῖς εφήβοις ἔτη β', ἔπειτα τῷ ληξιαρχικῷ ἐγγράφονται γραμματείῳ, καθά φησιν Ὑπερίδης εν τῷ πρὸς Χάρητα ἐπιτροπικῷ· ἐπεὶ δὲ ἐνεγράφην ἐγὼ καὶ ὁ νόμος ἀπέδωκε τὴν κομιδὴν τῶν καταλειφθέντων τῇ μητρί, ὅς κελεύει κυρίους εἶναι τῆς ἐπικλήρου καὶ τῆς οὐσίας ἁπάσης τοὺς παῖδας, ἐπειδὰν ἐπιδιετὲς ἡβῶσιν. Harpocr.

2. Ὑπερίδης δὲ ἐν τῷ πρὸς Χάρητα ἔφη ἀποδόμενος ἀντὶ τοῦ ὑποθείς (h. e. οἰκίαν δοὺς εἰς ὑποθήκην). Pollux 8 §. 142. 224

LXI. ΥΠΕΡ ΧΑΡΗΤΟΣ ΠΕΡΙ ΤΟΥ ΕΠΙ ΤΑΙΝΑΡΩΙ ΞΕΝΙΚΟΥ.

»Chares Ol. 113, 3 sex milibus mercenariorum praeerat, qui Taenarum promontorium occupaverunt. Circa hoc tempus Hyperides Athenieusibus suasisse videtur τὸ ἐπὶ Ταινάρῳ ξενικὸν μὴ διαλῦσαι, οὗ Χάρης ἡγεῖτο, εὐνόως πρὸς τὸν στρατηγὸν διακείμενος. Biogr. decem oratt. p. 848. E. cf. Diod. 17, 108. 111. 18, 9. Non ita multo post Chares fato functus est.« Boehneck. quaestt. oratt. 1 p. 650. 225

LXII. ΧΙΑΚΟΣ.

ηὔχοντο γὰρ Ἀθηναῖοι κοινῇ ἐπὶ τῶν θυσιῶν ἑαυτοῖς τε καὶ Χίοις. — — ὁ δὲ Ὑπερείδης ἐν τῷ Χιακῷ καὶ ὅτι Χῖοι ηὔχοντο Ἀθηναίοις δεδήλωκεν. Schol. Aristoph. Avium v. 880. Confer Thrasymachi frg. 4 (supra p. 163), ubi dixi, Χιακῷ A. Boeckhii coniectura inventum esse, cum codices haberent χαλκῷ. Quo tempore oratio habita sit, incertum est. Boehneck. l. d. p. 658 ad Ol. 109, 4 retulit, sed potest etiam ad tempora, quae pugnam chaeronensem insecuta sunt, referri. 226

LXIII. ΑΠΑΡΑΣΗΜΑ.

1. πολλὰ τῶν τοιούτων (sc. τῶν τῆς ἐπιεικείας εἰδῶν) ἐν ἰδιωτικοῖς τὰ παραδείγματα, καὶ πλείονά γε παρὰ τῷ Λυσίᾳ καὶ τῷ Ὑπερείδῃ· φύσει γὰρ οἱ ἄνδρες ἠθικώτεροι, ταῖς δὲ μεθόδοις καὶ μᾶλλον. Hermogenes 3 p. 330 sq. W. 227

2. Εὐριπίδου δὲ ἐν μὲν τῷ Οἰνομάῳ γράφοντος „τεκμαιρόμεσθα τοῖς παροῦσι τἀφανῆ“. 228

---

10. cf. Pollux 8 §. 46. Lysiae frg. 113 et 127. Quae de probolis nuper exposuit C. F. Hermannus ind. lectt. gott. 1847, non ad manum sunt. 11. Videtur Hyperides de sycophantis eorumque et artibus, quibus etiam Chaerephilum peti diceret, et poenis verba fecisse. 14. Demosth. 21 §. 6 aliisque locis. 15. ὑπερίδης A, ὑπερίδει C. χαιροφίλου C. 18. κεστρῖναι A, κενστρῶναι BC. τοῦ om. BC. 25. Hyperidis frg. VI, 9. — Meinek. fragm. com. 2 p. 874 et 4 p. 391. 33. προμετρητάς A. προμετρήσας N. — Boeckh. oecon. publ. Ath. 1 p. 52 et 257. ὑπερειδης N. 35 Fort. δημοσίοις. 40. ἐπιδιητὲς C. Demosth. or. 46 §. 20. De glossa Harpocrationis cf. Th. Voemel in Bergkii diurn. 1846 p. 74 sqq., de re ipsa Hermannus antiqu. publ. §. 123.

2. ἐπιτρεπτικῷ BC. ἐγγράφειν B. 6. παῖδας cum Valesio b: ἄπαιδας ABCN, πρώτους παῖδας mg. N. 40 παρά το Walziana. 43. Eurip. Oenomai frg. 6 et Phoenic. frg. 5 Ddf.

ἐν δὲ τῷ Φοίνικι

„τἀφανῆ
τεκμηρίοισιν εἰκότως ἁλίσκεται“,

Ὑπερείδης λέγει· ἃ δ' ἐστὶν ἀφανῆ, ἀνάγκη τοὺς διδάσκοντας τεκμηρίοις καὶ τοῖς εἰκόσι ζητεῖν. Clemens Alex. Strom. 6 p. 625. A Sylb. Theodoretus therap. 6 p. 102, 12.

229 3. *ἔτι Θεόγνιδος ποιήσαντος*

„Χρυσοῦ κιβδήλοιο καὶ ἀργύρου ἀνσχετὸς ἄτη,
Κύρνε, καὶ ἐξευρεῖν ῥᾴδιον ἀνδρὶ σοφῷ.
εἰ δὲ φίλου νόος ἀνδρὸς ἐνὶ στήθεσσι λέληθε,
ψυδνὸς ἐών, δόλιον δ' ἐν φρεσὶν ἦτορ ἔχει,
τοῦτο θεὸς κιβδηλότατον ποίησε βροτοῖσιν,
καὶ γνῶναι πάντων τοῦτ' ἀνιηρότερον.“

Εὐριπίδης μὲν γράφει

„ὦ Ζεῦ, τί δὴ χρυσοῦ μέν, ὃς κίβδηλος ᾖ,
τεκμήρι' ἀνθρώποισιν ὤπασας σαφῆ,
ἀνδρῶν δ' ὅτῳ χρὴ τὸν κακὸν διειδέναι,
οὐδεὶς χαρακτὴρ ἐμπέφυκε σώματι;“

Ὑπερείδης δὲ καὶ αὐτὸς λέγει· χαρακτὴρ οὐδεὶς ἔπεστιν ἐπὶ τοῦ προσώπου τῆς διανοίας τοῖς ἀνθρώποις. Clemens Alex. Strom. 6 p. 625. C. Sylb.

230 4. *ἱεροφάντης. Ὑπερίδης φησί που· ἐγὼ δὲ οὔτε δᾳδούχου θυγατέρα ἔχω οὔτε ἱεροφάντου. Δείναρχος ἐν τῇ Κροκωνιδῶν διαδικασίᾳ ὠνομάσθαι φησὶ τὸν πρῶτον ἱεροφάντην τὸν ἀποφήναντα ἐκ τοῦ πολέμου ἐπιόντα τὰ ἱερά. περὶ δὲ τοῦ γένους τῶν ἱεροφαντῶν δεδήλωκεν Ἑλλάνικος ἐν β' Ἀτθίδος.* Harpocr.

231 5. *ἀλλὰ καὶ κόρη νόμισμα παρ' Ἀθηναίοις ἦν, ὡς Ὑπερίδης φησίν, τῷ παιδίῳ τῆς ἐν Βραυρῶνι ἱερείας τῶν ἀναθημάτων τι λαβόντι παραβληθῆναι λέγων ἐπὶ πείρᾳ συνέσεως κόρην καὶ τετράδραχμον, κἀπειδὴ τὸ τετράδραχμον εἵλετο, δόξαι διακρίνειν ἤδη τὸ κέρδος δύνασθαι.* Pollux 9 §. 74.

232 6. *κρούειν· κατὰ τοῦ ῥαπίσαι ἠρέμα μόνον οἴονται τίθεσθαι αὐτό, ὡς ὅταν εἴπῃ Ὑπερείδης· καὶ τῷ σκέλει με ἠρέμα ἔκρουσεν. ἐπὶ δὲ τῆς συνηθείας κατὰ τοῦ κόψαι τὴν θύραν τάσσεται. καὶ κατὰ τοῦ κακεμφάτου ἐν τῇ συνηθείᾳ τὸ κροῦσαι κεῖται, ἀντὶ τοῦ συγγενέσθαι.* Antiatticista in Bekk. anecd. p. 101, 22.

7. *ἐπωμοσία ἐστὶν ἀπόδοσις αἰτίας, δι' ἣν οὐχ ὑπαντᾷ τις πρὸς τὴν δίκην. Ὑπερείδης· καὶ ἐμοὶ μὲν συμβάσης ἀρρωστίας καὶ ὑπομοσθείσης ταύτης τῆς γραφῆς ἀνεβλήθη ὁ ἀγών.* Schol. Aristoph. Pluti v. 725. 233

8. *Ὑπερείδου. Ὑπερείδης ὁ ῥήτωρ ἔφησε, τὴν ἀγωνίαν τοῦ λέγειν πέδην εἶναι.* Ioannes Stob. Flor. 8, 16. *πέδη τοῦ λέγειν ἡ ἀγωνία. Ὑπερίδης τοῦτ' ἔφη.* Michael Apostol. prov. cent. 16, 2. 234

9. *Ὑπερείδου. Ἀρχομένων δεῖ τῶν ἀδικημάτων ἐμφράσσειν τὰς ὁδούς· ὅταν δ' ἅπαξ ῥιζωθῇ ἡ κακία καὶ παλαιὰ γένηται, καθάπερ σύντροφος ἀρρωστία, χαλεπὸν αὐτὴν καταβέσαι.* Ioannes Stob. Floril. 46, 63. 235

10. *Ὑπερείδου. Δεῖ τὴν ἐκ τῆς οἰκίας ἐκπορευομένην ἐν τοιαύτῃ καταστάσει εἶναι τῆς ἡλικίας, ὥστε τοὺς ἀπαντῶντας πυνθάνεσθαι, μὴ τίνος ἐστὶ γυνή, ἀλλὰ τίνος μήτηρ.* Ioannes Stob. Floril. 73, 33. 236

11. *Τοῦ αὐτοῦ. Τοὺς μὲν πρὸς τὸν ἄνδρα τὸν ἑαυτῆς γυναικὶ καλλωπισμοὺς ὅπως ἂν βούλοιτο χρὴ γίγνεσθαι· τοὺς μέντοι περὶ τὰς ἐξόδους οὐκέτι πρὸς τὸν ἄνδρα, ἀλλὰ πρὸς τοὺς ἑτέρους.* ibid. 74, 34. 237

12. *Τοῦ αὐτοῦ. Φοβητέον οὐκ ἀνδρὸς ἀπειλήν, ἀλλὰ νόμου φωνήν.* ibid. 74, 35. „Post *φωνήν* addunt AB: *τοῦ αὐτοῦ. Κυριεύειν δεῖ τῶν ἐλευθέρων.*“ Gaisf. 238

13. *Ὑπερίδης ὁ ῥήτωρ ἔφη μὴ δύνασθαι καλῶς ζῆν, μὴ μαθὼν τὰ καλὰ τὰ ἐν τῷ βίῳ.* Ioannis Stob. Append. florent. p. 41. 239

14. *Ὑπερίδου. Δεῖ τὸν ἀγαθὸν ἐπιδείκνυσθαι ἐν μὲν τοῖς λόγοις ἃ φρονεῖ, ἐν δὲ τοῖς ἔργοις ἃ ποιεῖ.* Maximus Conf. Aphorism. p. 165. tur. 240

15. *Ὑπερίδου. Διὰ δύο προφάσεις τῶν ἀδικημάτων ἄνθρωποι ἀπέχονται, ἢ διὰ φόβον ἢ διὰ αἰσχύνην.* Maximus Conf. Aphorism. p. 169 tur. 241

16. *ὥσπερ γὰρ Ὑπερείδης ὁ ῥήτωρ ἠξίου σκοπεῖν Ἀθηναίους μὴ μόνον, εἰ πικρός ἐστιν, ἀλλ' εἰ καὶ προῖκα πικρός, οὕτως ἡ τοῦ φίλου νουθεσία καθαρεύουσα παντὸς ἰδίου πάθους, αἰδεστόν ἐστι καὶ σεμνὸν καὶ ἀναντίβλεπτον.* Plutarchus 2 p. 67. B. 242

17. *Paromologia.* Hoc fit, cum aliquot res adver- 243

4. erat *Ὑπερίδης*. 8. Theogn. v. 119 sqq 9. *ἄσχετος* Clemens. 15. Eurip. Med. 516 sqq. 20. erat *Ὑπερίδης*. 25. *διαδόχου θυγατέραν* B. — cf. Bossler. de gentibus sacerdotalibus Atticae p. 22, qui nescio quo errore v. 28. scripsit *ἐκ τοῦ Εὐμόλπου ἐπιόντα.* 31. Sacerdos quaedam Dianae, quae vel Athenis vel Braurone sacra faceret, causis sacrilegii vel petita vel implicita fuisse compluribus locis traditur. Cf. praeter hunc locum Libanii prooeminm orationis demosthenicae 25 (p. 739 a edit. tur.), Dinarchi or. 2 §. 12, Demosth. or. 54 §. 25. Sed parum verisimile est haec omnia ad eandem causam referenda esse.

3. cf. quae Schoemann. de lit. att. p. 696 dixit, ex quibus apparet a grammatico scribendum fuisse *ἐπωμοσία*. 12. erat *Ὑπερίδου*. *συμφράσσειν* AB, cf. Lycurg. §. 124. 13. *ἡ κακία* Sauppius: erat *κακία* 16. erat *Ὑπερίδου*. Nescio, cur Westermannus haec verba ad or. contra Aristagoram pertinere putaverit. 17. *ἐν τῇ αὐτῇ* A. cf. Valcken. ad Herodot. 4, 114. 21. *ἂν* ego addidi. 22. *οὐκέτι*] immo *οὐκέτι*, *τοὺς οὐ* vel *οὐκέτι*, *οὐκ ὄντας*. 28. *μαθόντα* C. Halmius lectt. Stob. p. 60, recte: neque enim verisimile est haec Hyperidem de semet ipso dixisse. 36. erat *Ὑπερίδης*.

sario concedimus, deinde aliquid inferimus, quod aut maius sit, quam superiora, aut etiam omnia quae posuimus infirmet. Hyperidis: *Sume hoc a iudicibus nostra voluntate, neminem illi propiorem cognatum quam te fuisse; concedimus officia tua in illum nonnulla exstitisse; stipendia vos una fecisse aliquamdiu nemo negat: sed quid contra testamentum dicis, in quo scriptus hic est?* Rutilius L. 1 §. 19.

244 18. *Prosopopoeia.* — — Alterum genus est ita ut fecit Hyperides, cum de adolescente impudico diceret: *Quid si tandem iudice natura hanc causam ageremus, quae ita divisit virilem et muliebrem naturam, ut suum cuique opus atque officium distribueret, et ego hunc ostenderem muliebri ritu esse suo corpore abusum; nonne vehementissime admiraretur, si quisquam non gratissimum munus arbitraretur, virum se natum, sed depravato naturae beneficio in mulierem convertere properasse?* Rutilius L. 2 §. 6.

245 19. *Synoeciosis.* Hoc schema docet diversas res coniungere et communi opinioni cum ratione adversari, et habet magnam vim vel ex laude vitium vel vitio laudem exprimendi. Hyperidis: *Nam hominis avari atque asoti unum atque idem vitium est: uterque enim nescit uti atque utrique pecunia dedecori est. Quare merito utrique pari poena afficiuntur, quos pariter non decet habere.* Rutilius L. 2 §. 9. cf. anonymus de schematis v. 140 sq.

246 20. *Parasiopesis.* — — (cf. Lycurgi frg. 105.) Hyperidis: *Cogis me iniuriae tuae causam proferre? Nihil agis; non dicam. Sed ipsum tempus eam patefaciet.* Rutilius L. 2 §. 11.

247 21. *Epitrope.* Hoc fieri solet, cum alicui rei vehementer confidimus, et de nostro iure iudicibus largimur, ut quemadmodum videatur illis constituant atque eo pareamus. Hyperidis: *Sed ego iam, iudices, summum ac legitimum, quod exposui, meae causae ius omitto; vobis quod aequissimum videatur ut constituatis permitto. Non enim vereor, quin, etiamsi sit novum vobis instituendum, libenter id quod postulo propter utilitatem communis consuetudinis sequamini.* Rutilius L. 2 §. 17.

248 22. *Ἐρώτησις δέ ἐστι λόγος ἐν ὑποκρίσει λεγόμενος ἐπὶ τῷ σαφέστερον γνῶναί τι τῶν ἐπιζητουμένων, ὡς παρὰ Ὑπερίδῃ· δοκεῖς γὰρ αὐτὸν εἰπεῖν;* Herodianus *π. σχημ.* 8 p. 597 sq. W. (p. 56, 5 Ddf.)

249 23. *ἄγειν ἀντὶ τοῦ ἔχειν Ὑπερείδης.* Bekk. anecd. p. 335, 24. (Bachm. an. p. 20, 18.)

250 24. *Αἰγιλιεύς· Ὑπερίδης Αἰγιλιὰ δῆμος φυλῆς Ἀντιοχίδος, ἔνθεν ὁ δημότης Αἰγιλιεύς.* Harpocrat.

251 25. *καὶ ὡς Ὑπερείδης αἰσχροκερδεῖν.* Pollux 3 §. 113.

252 26. *ἀλφιτεῖς· οἱ τὰ ἄλφιτα ποιοῦντες. Ὑπερείδης.* Bekk. anecd. p. 381, 7. et Suidas 1, 1 p. 255 Bernh. — *ἀλφίτεια ὡς Ὑπερείδης.* Pollux 6 §. 37.

253 27. *ἀμφισβητεῖν καὶ παρακαταβάλλειν. οἱ τῶν κλήρων ἐπιδικαζόμενοι ἀμφισβητεῖν ἢ παρακαταβάλλειν λέγονται, οἱ μὲν οὐ φάσκοντες ἐπίδικον εἶναι τὸν κλῆρον ὡς ὄντος παιδὸς τῷ τετελευτηκότι ἢ γόνῳ ἢ ποιήσει, οἱ δὲ ὡς ἄπαιδος τελευτήσαντος δικαιότερον λέγοντες ἔχειν αὐτοὶς τὸν κλῆρον τοῦ λαχόντος, ἢ συγγενεῖς ὄντες ἢ κατὰ διαθήκας κληρονόμοι. οὕτω Δημοσθένης καὶ Ὑπερίδης περὶ τοῦ παρακαταβάλλειν διεσάφησαν.* Harpocr.

254 28. *οὐ πάνυ ἐπαινῶ — οὐδὲ τὸ παρ' Ὑπερείδῃ ἀναισχύντημα.* Pollux 6 §. 183.

255 29. *ἀνδραπόδεια παρ' Ὑπερείδῃ.* Pollux 3 §. 77.

---

3. Hyperides de Hippei hereditate et de Pyrrhandri orationes scripserat. Ad alterutram haec verba videntur pertinuisse. 5. *fuisse; concedimus officia* F. Haasius in diurn. lit. halens. 1844 p. 383: erat *fuisse concedimus. Officia* —. *in illum nonnulla* AB: *nonnulla in illum* reliqui. 11. *iudice natura* Rhenanus: *iudices* libri (*iudices, apud ipsam naturam* Stephanus). ne *tandem* quidem videtur sanum esse. 12. *quae* mg. Rhenani: *atqui* libri (*ut quae* Iacobus). *virilem et* addidit Ruhnkenius. 13. *et* addidit Rigaltius ad Phaedrum 4. 14, 1. 14. *muliebri* Stephanus: *tui liberi* libri. *abusum* Stephanus: *ad lusum* libri. 16. *sed* Aldus: *se* libri. 22. ad orationem c. Aristophontem retulit Kiessling. p. 251, neque vero certum indicium agnosco. 33. *de* addidit Caussinus.

1. *videatur* Iacobus: *videtur* libri. 2. *ei pareamus* Stephanus, *eis pareamus* Caussinus, *adeo pareamus* Ruhnkenius. Fort. *eo persuademus.* Eo, quod iudicibus rem permittunt, persuadere student, ut iustam esse existiment. 5. *etiamsi sit* Ruhnkenius: *etiam sit* AB, *etiam si* exc. Gronovii et aldina. (Quod F. Haasius ad Reisig. scholas grammat. p. 584 voluit legi: *permitto: non enim vereor. Quin etiam si novum* — id ferri non potest.) 6. *instituendum* [*instituatis, nedum*] *libenter* Iacobus. quod quanquam acute inventum est, tamen necessarium esse non videtur. Nam novum non esse quod postulasset ex iis ipsis, quae dixerat, iudices noverant. 11. *εὐριπίδῃ* Ven. et Pariss. 1. 2. 13. *Ὑπερίδης* Bekk. anecd. 15. *αἰγιλλιεὺς* B, *αἰγιαλιεὺς* N. *αἰγιαλία* N, *Αἰγιλία* b. 17. *Ὑπερίδης* erat. et sic apud Pollucem Bekkerus ubique dedit, quanquam in codd. suis vestigia verae scripturae exstare ipse videtur testari p. 490. 19. *ἀλφιστεῖς* codex. 21. *ἀλφιτεία* vel *ἀλφιτσία* Iungermannus, coll. 3, 78. 7, 18. 19. Rectius videtur Th. Fixius ad H. Stephan. s. v. *ἀλφιτεῖς* substituisse. 22. glossa videtur ad Demosth. 43 §. 5 pertinere, ut malim scribi *ἀμφ. ἢ παρ.* 23. *τῶν κλήρων* Dobreeus advers. 1 p. 585: *τὸν κλῆρον* b. cf. Schaefer. ad Demosth. p. 1051, 6. 24. *οὐ* add. Dobreeus l. d. cf. Meier. de lit. att. p. 460. Contra E. Otto de indic. Ath. 2 p. 9 et Platner. de lit. et act. Ath. 2 p. 310 Pollucem 8 §. 32 secuti *ὡς οὐκ ὄντος* legi voluerunt, sed cf. Isaei 3 §. 6 aliosque locos multos. Atque Harpocrationem *ὡς ὄντος* scripsisse et particulae *ἢ — ἢ* quae sequuntur ostendunt et quae opponuntur *ὡς ἄπαιδος* —. 27. malim *ἑαυτοῖς*. *λαχόντος* C. de Boor (de hered. ab intest. p. 98): *λαβόντος* b. 29. *ὑπερείδης* N. *παρακαταβάλλειν* b cum Iungermanno (ad Polluc. 8, 32): *καταβάλλειν* libri.

256 30. καὶ ἀνδριζόμενοι Ὑπερείδης. Pollux 2 §. 20.

257 31. ἀντέχει· — Ὑπερείδης ἀντὶ τοῦ ἀντιλαμβάνει. Bekk. anecd. p. 408, 1. cf. Dinarchi frg. inc. s. v. ἀντέχει.

258 32. ἀντιγραφή. ἰδίως μὲν ἐπὶ ταῖς τῶν κλήρων διαδικασίαις ἀντιγραφὴ καλεῖται, ὅταν τις ὡς ἄπαιδος ὄντος τοῦ τετελευτηκότος ἑαυτῷ φάσκῃ προσήκειν τὸν κλῆρον κατὰ γένος ἢ δόσιν. κοινῶς δ' ἐν ταῖς δίκαις ταῖς δημοσίαις [καὶ ταῖς ἰδίαις] τὰ τῶν δικαζομένων γράμματα, ἃ ἐδίδοσαν περὶ τοῦ πράγματος, καὶ τὰ τοῦ διώκοντος καὶ τὰ τοῦ φεύγοντος, ἀντιγραφή· καὶ τὰ μαρτύρια. Δημοσθένης κατὰ Στεφάνου καὶ Ὑπερίδης. Πλάτων δὲ ἐν τῇ Σωκράτους ἀπολογίᾳ τὸ αὐτὸ καλεῖ ἀντωμοσίαν καὶ ἀντιγραφήν. Harpocr.

259 33. καὶ ἀποκεκαρμένος, ὡς Ὑπερείδης. Pollux 2 §. 33.

260 34. τάχα δὲ καὶ τὸ ἀπρόγραφα (de iis, quae imprudenter et temere aliquis loquatur). Ὑπερείδης μὲν γὰρ αὐτῷ ἐπ' ἄλλου κέχρηται, εἰπών· ἀπροβούλευτα καὶ ἀπρόγραφα. ἔχοι δ' ἂν καὶ ἐνταῦθα χώραν. Pollux 6 §. 144.

261 35. ἐξήλασεν· — Δημοσθένης δὲ καὶ ἐξώρισεν εἶπε καὶ Ὑπερείδης ἀφώρισεν. Pollux 9 §. 157.

262 36. σὺ δὲ ὦ Οὐλπιανὲ εἰ τὴν γαλεάγραν ζητεῖς, ἔχεις παρ' Ὑπερείδῃ τῷ ῥήτορι· ὅπου δέ, σὺ ζήτει. Athenaeus 14 p. 616. C. ἴδιον δὲ Ὑπερείδου τὸ καὶ ταῖς λέξεσιν ἀφειδέστερόν πως καὶ ἀμελέστερον χρῆσθαι· ὥσπερ ὅταν μονώτατος λέγῃ καὶ γαλεάγρα καὶ ἐκκοκκύζειν καὶ ἐστηλοκόπηται καὶ ἐπήβολος καὶ ὅσα τοιαῦτα. Hermogenes 3 p. 382. W. cf. Maximus Plan. 5 p. 560 W. Ὑπερείδης δὲ καὶ Δημοσθένης ἐπ' ἀλεκτρυόνων τὸ κοκκύζειν εἶπον. Pollux 5 §. 89. ἐστηλιτευμένος κατεστηλιτευμένος, ἐστηλοκοπημένος· οὕτω γὰρ Ὑπερείδης. Pollux 8 §. 73.

263 37. Ὑπερείδης δὲ καὶ γηροβοσκὸν εἴρηκε. Pollux 2 §. 14.

264 38. διαλέγεσθαι καὶ τὸ πλησιάζειν ταῖς γυναιξίν, ὡς Ὑπερείδης. Moeris p. 195, 8 Bk. οὐ μὴν ὁ πλησιασμὸς οὐδ' ἡ διάλεξις (de concubitu), ἀλλὰ διελέχθην αὐτῇ καὶ διειλεγμένος εἰμὶ ὡς Ὑπερείδης. Pollux 5 §. 93. Ὑπερείδης δὲ διειλεγμενος ἐπὶ ἀφροδισίων. Pollux 2 §. 124.

265 39. δικογράφος, ὡς Ὑπερείδης. Pollux 8 §. 24.

40. ἡ δὲ δουλὶς Ὑπερείδῃ εἰρημένον φαῦλόν ἐστιν. Pollux 3 §. 74. 266

41. Ἑκατομβαιὼν ὄνομα μηνός· Ὑπερίδης. ὁ τοῦ Ἀμφίονός φησιν ἀπὸ τοῦ πλείστας τούτῳ τῷ μηνὶ θύεσθαι ἑκατόμβας κεκλῆσθαι. Harpocr. 267

42. φυγαδευθῆναι, διωχθῆναι (Ὑπερείδης δέ που καὶ ἐξεδιώχθη λέγει, καὶ Δείναρχος ἐδίωξεν), ὑπερορισθῆναι, ἐκπεσεῖν. Pollux 8 §. 70. 268

43. ἔμμηνοι δίκαι αἵ τε ἐμπορικαὶ καὶ ἐρανικαί· Δημοσθένης καὶ Ὑπερείδης. Harpocr. 269

44. καὶ κατηγόρησεν ἐνδόσιμα ὡς Ὑπερείδης. Pollux 8 §. 143. 270

45. καὶ ἐπιβασίαν τῇ δίκῃ Ὑπερείδης. Pollux 2 §. 200. 271

46. Ὑπερίδης δὲ ἐπισυκοφαντεῖν ἔφη. Pollux 8 §. 31. 272

47. εὐημερία. ὡς ἐν τῇ συνηθείᾳ Ἄλεξις Ὀλυνθίᾳ „Εὐημερία δέσποινα καὶ Μοῦσαι φίλαι". καὶ εὐημερήσαντος Ὑπερίδης. Photius lex. p. 30, 16 et Suidas 1, 2 p. 598, 1 Bernh. 273

48. Ζυγομαχεῖ· στασιάζει, ὡς οἱ βόες ἐζευγμένοι. μετῆκται ἡ λέξις ἀπὸ τῆς τῶν βοῶν πρὸς ἀλλήλους μάχης. ἐκεῖνοι γὰρ πολλάκις, ὅταν ἕλκωσι, κάμνοντες ἐπερείδουσι τὸ βάρος πρὸς ἀλλήλους· κέχρηται Ὑπερίδης. Photius lex. p. 54, 21 et Suidas 1, 2 p. 744, 4 B. et Etymol. M. p. 412, 15 (ubi v. 19 apparet legendum esse κέχρηται Ὑπερίδης). 274

49. κακοπράγμων, ὡς Ὑπερείδης ἔφη. Pollux 4 §. 36 et 6 §. 169. 275

50. καὶ Ὑπερείδης τὰ ὄντα καταβέβρωκεν φησιν ἀντὶ τοῦ κατεδήδοκεν. Pollux 6 §. 39. 276

51. καττύεσθαι Ὑπερείδης τὸ ὑποδεδέσθαι· ἀπὸ τῶν καττυμάτων. Photius lex. p. 150, 19. cf. Etymol. M. p. 493, 47. 277

52. ἐπὶ κεφαλὴν σπεύδειν, ὡς Ὑπερείδης. Pollux 2 §. 42. 278

53. Κρόνος· μωρός. Ὑπερείδης. Antiatticista in Bekk. anecd. p. 104, 7. 279

54. κώδεια. εἶδος φυτοῦ, ἡ τῆς μήκωνος κεφαλή. Ὑπερίδης καὶ Ἀριστοφάνης. Suidas 2, 1 p. 368 B. κωδία ἡ τῆς μήκωνος κεφαλή. ὑπερίδης καὶ ἀριστοφάνης. Harpocr. cod. D. p. 118, 9. 280

---

8. γένος ἢ cum Valesio b: γένους libri. 9. καὶ ταῖς ἰδίαις add. Schoemann. de lit. att. p. 629. 12. Demosth. 45 §. 46. 13. Platon. Apolog. p. 27. C coll. cum p. 19. B et 24. B. 18. coll. Libanii prooemio ad Demosth. or. 25 v. 8 ed. turic. videntur haec verba ad orationem c. Aristogitonem referenda esse. 19. καὶ ἐνταῦθα Sauppius: ἐνταῦθα libri. 24. Ὑπερείδῃ P: Ὑπερίδῃ reliqui. 25. erat Ὑπερίδου. 28. erat ἐκκοκύζειν. sed fortasse scribendum κοκκύζειν, quanquam Maximus Planudes l. d. illud agnoscit: ἐκκοκκύζειν δὲ τὸ μεγα κοκκύζειν. ἐπήβολος] cf. Hyperid. frg. XIII, 3.

3. ὑπερείδης τοῦ N. 4. ἀμφίωνος C, ἀφίωνος G. Λυσιμαχίδης ὁ τοῦ Ἀμφίονός vel ὁ γοῦν Ἀπολλώνιός Valesius. Possis etiam ὁ δ' οὖν Ἀμμώνιός. 10. Demosth. 33 §. 23. 37 § 2. 17. Meinek. com. gr. 3 p. 458. 32. Ὑπερείδης codex: Ὑπερίδης editiones. 40. Harpocr. s. v. docet intelligendum esse fragmentum Γεωργῶν 166 Ddf.

281 55. μεσεγγυήματα δὲ Ὑπερείδης. Pollux 8 §. 28.

282 56. μικρολόγον δὲ Ὑπερείδης τὸν εἰς ἀργύριον ἀνελεύθερον. Pollux 2 §. 123.

283 57. καὶ ξενοτροφία παρ' Ὑπερείδῃ. Pollux 3 §. 58.

284 58. ὀρθὴν δ' ἐντυγχάνει· ἀντὶ τοῦ εὐθύς. Ὑπερείδης. Photius lex p. 346, 12 et Bachmanni anecd. 1 p. 320, 17.

285 59. λέγοιτο δ' ἂν καθ' Ὑπερίδην καὶ ἐπὶ γήρως οὐδῷ. Pollux 2 §. 15.

286 60. καὶ ὠφθαλμίασε τὸ ἐπεθύμησεν Ὑπερείδης. Pollux 2 §. 62.

287 61. ὀψαρτυτὴς ὡς Ὑπερείδης. Pollux 6 §. 37.

288 62. παραχειμάζοντι· Δημοσθένης. καὶ παρεχείμασεν Ὑπερείδης. Photius lex. p. 392, 19.

289 63. Ὑπερείδης δὲ καὶ τοῦ παροδίου τοίχου εἴρηκεν. Pollux 7 §. 121.

290 64. πελαγίζειν· τὸ διὰ πελάγους πορεύεσθαι. Ὑπερείδης. Antiatticista in Bekk. anecd. p. 111, 28. Idem etiam Photio lexic. p. 406, 10 restituendum esse patet ubi nunc legitur: τὸ ἀπὸ πελάγους περαιοῦσθαι.

291 65. καὶ περιλωπίσαι, ὅπερ Ὑπερείδης περιδῦσαι εἴρηκεν. Pollux 7 §. 44.

292 66. εἶτα λείαν ἠλάσαντο, βοσκήματα, λείαν περιεσύραντο, ὡς Ὑπερείδης. Pollux 1 §. 162.

293 67. πίθος ἢ πιθάκνη· Ὑπερίδης δὲ καὶ πιθάκνιον εἴρηκεν. Pollux 6 §. 14.

294 68. πολυπληθία ὡς Δημοσθένης καὶ Ὑπερείδης. Pollux 4 §. 163.

295 69. καὶ πολυφίλοις Ὑπερείδης. Pollux 3 §. 63.

296 70. τὴν πομπείαν αὐτὸς ὁ τεχνικὸς (Hermogenes) ἡρμήνευσε, καὶ μάλα σαφῶς· εἴληπται δὲ αὐτῷ τὸ τοιόνδε ὄνομα ἀπὸ τῶν λόγων Λυσίου καὶ Ὑπερείδου καὶ Δεινάρχου· πολὺ γὰρ παρ' αὐτοῖς τὸ ὄνομα. Gregorius Cor. ad Hermog. 7 p. 1118 W.

71. προσμετροῦντας Ὑπερείδης. Pollux 4 297 §. 166.

72. καὶ σηκώματα ὡς Ὑπερείδης. Pollux 4 §. 172 298 (de sacomatis).

73. καὶ τὸ συγκαταδουλώσασθαι παρ' Ὑπερ- 299 είδῃ, καὶ „οἱ συνδουλεύοντες“ παρὰ Δεινάρχῳ. „σύνδουλοι“ δὲ λέγει Λυσίας καὶ Εὐριπίδης, Ὑπερείδης δὲ καὶ Εὐκλείδης ὁμόδουλον λέγουσιν· ἔνιοι δ' ὁμόδουλον μὲν οἴονται τὸν τῆς αὐτῆς τύχης, σύνδουλον δὲ τὸν τοῦ αὐτοῦ δεσπότου. Pollux 3 §. 81. 82.

74. τοκίζων, ὅθεν καὶ τὸ τοκίζεται αὐτῷ ἀρ- 300 γύριον παρ' Ὑπερείδῃ. Pollux 3 §. 85.

75. φιλοτησία. ἡ φιάλη ἡ διδομένη ἐν τοῖς πό- 301 τοις. ἐν γὰρ τοῖς συμποσίοις φιλοφρονούμενοι ἀλλήλους ἐπεδίδοσαν οἴνου κύλικα, ἣν φιλοτησίαν ἐκάλουν· ὡς Ὑπερίδης φησὶ καὶ Ἄλεξις. Suid. 3 p. 611 K. φιλοτησία· Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου. ἡ κύλιξ ἣν κατὰ φιλίαν τοῖς φίλοις προύπινον φιλοτησία ἐκαλεῖτο, ὡς Ὑπερείδης φησὶ καὶ Ἄλεξις. Harpocr. cod. D p. 181, 25 et Photius lex. p. 649, 9.

76. φρονηματισθῆναι. οὕτως Ὑπερίδης. ἀντὶ 302 τοῦ φρονήματος καὶ οἰήσεως πληρωθῆναι. „οἱ δὲ φρονηματισθέντες ὑπὸ τῶν δεδηλωμένων ἕτοιμοι ἦσαν.“ Suid. 3 p. 633 K. φρονηματισθῆναι Ὑπερίδης. Etym. Magn. p. 800, 43.

77. λόγου χάριν· φησὶν Ὑπερείδης. Photius 303 p. 229, 22.

78. χάριν ἔχειν ὡς Ὑπερίδης τε καὶ Λυσίας. 304 Pollux 5 §. 142.

XLVII. ΕΥΒΟΥΛΟΣ.

De Eubulo Anaphlystio, homine summae auctoritatis, cf. Ruhnken. hist. crit. orat. gr. p. 66 sqq. Brückner. de Philippo rege Maced. p. 118. Droysen. de populiscitis orationi de cor. additis p. 104 sq. E. Stechow de Aeschinis vita p. 25 sq. Boehneckius quaestt. orator. vol. 1 locis permultis (cf. p. 692). Eum et in contione et in iudiciis saepissime dixisse cum per se verisimile sit, tum Demosthenes 19 §. 191 Tharrecem et Smicythum, §. 293 Moeroclem et Ctesiphontem ab eo accusatos esse testatur. Aeschinem ab eo defensum esse Demosthenes or. 19 §. 290 narrat. Sed ex permultis illis orationibus non exstant nisi duo fragmenta admodum pusilla.

1. πρόσφατοι (sc. μάρτυρες) δ' ὅσοι γνώριμοί τι κεκρίκασιν· χρήσιμοι γὰρ αἱ τούτων κρίσεις τοῖς περὶ τῶν αὐτῶν ἀμφισβητοῦσιν· οἷον Εὔβουλος ἐν τοῖς δι-

---

7. Ὑπερείδης Bachm. anecd.: Ὑπερίδης Photius. 9. idem dixit Lycurgus §. 30. 11. ἐνοφθαλμιᾶσαι – ἐπιθυμῆσαι cod. V apud Lederlinum, ἐποφθαλμιᾶσθαι cod. apud Dorvil. ad Charit. p. 252. Fort. ἐπωφθαλμίασε. 15 erat Ὑπερίδης. 22. εὐριπίδης C. 31. Hermogenes περὶ μεθόδου δεινότ. c. 2. – cf. Harpocratio p. 155, 12.

1. Lysiae frg. suo loco omisi. erat Ὑπερίδου. 10. Lysiae frg. 331, ubi Hyperidis nomen me recte restituisse, cetera manum Polluris non assecutum esse Bekkeri codd. docent. 16. cf. quae ad Demosth. or. 3 §. 22 adnotavi. Meinek. com gr. 3 p. 515. 20. Demosth 19 §. 128. 22. Ὑπερείδης codex Photii: Ὑπερίδης Photii edd. et Harpocr. cod. D. 29. erat Ὑπερίδης.

καστηρίοις ἐχρήσατο κατὰ Χάρητος ᾧ Πλάτων εἶπε πρὸς Ἀρχίβιον, ὅτι ἐπιδέδωκεν ἐν τῇ πόλει τὸ ὁμολογεῖν πονηροὺς εἶναι. Aristot. rhet. 1, 15 p. 1376 a 7 Bk.

2. *καὶ ἐν μὲν τῷ δήμῳ κατηρῶ Φιλίππῳ καὶ κατὰ τῶν παίδων ὤμνυες ἦ μὴν ἀπολωλέναι Φίλιππον ἂν βούλεσθαι.* Demosthenes 19 §. 292.

XLVIII. ΑΙΣΧΙΝΗΣ.

Aeschinis, notissimi Demosthenis adversarii, tres orationes adhuc exstant. Sed quarta, *deliaca*, videtur ei a rhetore aliquo supposita esse, qui quid voluerit ex iis cognosci potest, quae de Hyperidis deliaca exposuimus. Huius declamationis haec testimonia exstant: *λόγος δ' Αἰσχίνου κατ' ἐνίους μὲν καὶ τέταρτός τις Δηλιακός, καταψευδόμενος τῆς ἐκείνου γλώττης· οὐ γὰρ ἄν ποτε τοὺς μὲν περὶ τὴν Ἄμφισσαν λόγους – εὐπροσώπως τε καὶ ξὺν ὥρᾳ διέθετο –, ἐπὶ δὲ τοὺς Δηλιακοὺς μύθους, ἐν οἷς θεολογία τε καὶ θεογονία καὶ ἀρχαιολογία, φαύλως οὕτως ὥρμησε, καὶ τοῦτο προαγωνιζόμενος Ἀθηναίων οὐ μικρὸν ἀγώνισμα ἡγουμένων τὸ μὴ ἐκπεσεῖν τοῦ ἐν Δήλῳ ἱεροῦ.* Philostratus vit. sophist. 1, 19 p. 216 Kays. *τριῶν δὲ ὄντων λόγων τῶν ὑπ' αὐτοῦ γεγραμμένων, καὶ τούτων δημοσίων – ὁ γὰρ Δηλιακὸς νόθος ἐστὶ – τὸν μὲν κ. τ. λ.* Apollonius de vita Aeschinis p. 402, 25 ed. turic. *φέρονται δ' αὐτοῦ λόγοι τέσσαρες, ὅ τε κατὰ Τιμάρχου καὶ ὁ τῆς παραπρεσβείας καὶ ὁ κατὰ Κτησιφῶντος, οἳ καὶ μόνοι εἰσὶ γνήσιοι. ὁ γὰρ ἐπιγραφόμενος Δηλιακὸς οὐκ ἔστιν Αἰσχίνου· ἀπεδείχθη μὲν γὰρ ἐπὶ τὴν κρίσιν τὴν περὶ τοῦ ἱεροῦ τοῦ ἐν Δήλῳ, συσταθεὶς συνήγορος, οὐ μὴν εἶπε τὸν λόγον· ἐχειροτονήθη γὰρ Ὑπερείδης ἀντ' αὐτοῦ, ὥς φησι Δημοσθένης.* Plutarch. moral. p. 840. E. *φέρεται δὲ αὐτοῦ καὶ ἄλλος λόγος, ὁ Δηλιακὸς λεγόμενος· οὐκ ἐγκρίνει δὲ αὐτὸν ὁ Καικίλιος, ἀλλ' Αἰσχίνην ἄλλον σύγχρονον τοῦδε Ἀθηναῖον τὸν πατέρα εἶναι τοῦ λόγου φησίν.* Photius bibl. p. 20 a 9 Bk. *ἠναγκάσθη οὖν ὁ Ὑπερείδης τῇ ὕλῃ τῶν πραγμάτων χρήσασθαι καὶ παραβῆναι τὴν τέχνην διὰ τὴν ὕλην τῆς ὑποθέσεως, καὶ ὁ Αἰσχίνου Δηλιακὸς ὁμοίως ἔχει, καὶ εἰ νοθεύεται.* Maximus Plan. ad Hermog. 5 p. 481 sq. W.

XLIX. ΑΡΙΣΤΟΓΕΙΤΩΝ.

De hoc Demosthenis, Lycurgi, Hyperidis, bonorum omnium, adversario exposuerunt J. Taylorus proleg. ad Demosth. or. in Aristogitonem (appar. demosth. 4 p. 299 sq.), B. Thorlacius opuscul. 2 p. 201 — 240, Westerm. hist. eloqu. gr. §. 54, 26, Schmidtius Dinarchi p. 109, Kiesslingius de Lycurgi et Hyperidis fragm. p. 21 sqq., Rehdantzius de vita Iphicr. etc. p. 191. Cf. fragmenta Lycurgi et Hyperidis orationum contra Aristogitonem habitarum. — *Ἀριστογείτων, Κυδιμάχου ἢ Λυσιμάχου, Ἀθηναῖος, ῥήτωρ, μητρὸς δὲ ἀπελευθερικῆς· ὅστις ἐπεκαλεῖτο κύων διὰ τὴν ἀναίδειαν αὐτοῦ, ἐφονεύθη δὲ ὑπὸ Ἀθηναίων· λόγους ποιήσας Ἀπολογίαν πρὸς Δημοσθένην τὸν στρατηγόν, Πρὸς Λυκοῦργον, Κατὰ Τιμοθέου, Κατὰ Τιμάρχου, Κατὰ Ὑπερίδου, Κατὰ Θρασύλλου, Ὀρφανικόν.* Suidas 1, 1 p. 726, 3. De petulanti et furioso genere dicendi, quo Aristogiton usus esset, monuit Hermogenes: *καὶ μὴν καὶ τὸ πρὸ τῶν ἀποδείξεων λοιδορίαις ἢ σφοδρότησιν εἰκῇ κεχρῆσθαι, ἢ ἔνθα ὅλως μηδενὸς τοιούτου δεῖ, καθάπερ εἴωθεν Ἀριστογείτων ποιεῖν, φαινομένη τίς ἐστιν, οὐ μὴν οὖσα δεινότης.* Hermogenes 3 p. 363 W.

I. *ΠΡΟΣ ΤΗΝ ΕΝΔΕΙΞΙΝ ΛΥΚΟΥΡΓΟΥ ΚΑΙ ΔΗΜΟΣΘΕΝΟΥΣ.*

πολλῷ μείζων ἐστὶν ἤπερ ἡ ἐκείνου (Dionysii Ha- 1
licarnassensis) *ἀπόφασις αὐτὸς ὁ Ἀριστογείτων ἀνο-*

---

2. *ἀρτάβιον* A'. *Ἀγύρριον* Meinekius fragm. com. gr. 1 p. 161. *Ἀρχῖνον* idem l. d. 2 p. 692. — Cf. de his verbis Ruhnk. l. d. Gaisford. ad Proculi scholia in Hesiod. *ἔ. καὶ ἡ.* v. 198. Spengel. *συναγ. τεχν.* p. 20. Gros. ad Philodem. p. XIII. Cobet. observatt. in Platon. com. p. 198.

XLVIII. 9. *λεγόμενος* Sauppius: *νόμος* b.

XLIX. 10. Dinarch. 2 §. 8. 11. Pollux 5 §. 65. 13. *πρὸς Λεωσθένην τὸν στρατηγόν, πρὸς Λυκοῦργον* Kiessling. l. d., *πρὸς Λεωσθένην τὸν στρατηγόν, πρὸς Δημοσθένην, πρὸς Λυκοῦργον* Bernhardy, *πρὸς Δημοσθένην, πρὸς Λεωσθένην τὸν στρατηγόν, πρὸς Λυκοῦργον* vel *πρὸς Δημοσθένην, πρὸς Λυκοῦργον* Walzius rhet. gr. 7 p. 1021. Mihi Suidas quae ab auctore suo fere in hunc modum scripta invenerat: *πρὸς Δημοσθένην καὶ Λυκοῦργον, κατὰ Τιμοθέου τοῦ στρατηγοῦ,* turbasse videtur.

μολογῶν Δημοσθένην κατὰ αὑτοῦ γεγραφέναι· καὶ γὰρ ἀπολογούμενος οὐκ ἐν τῷ παρέργῳ λέγων ἀλλ' ἐπιμελῶς ἀνταγωνιζόμενος ἐν τῷ λόγῳ δείκνυται, ὃς ἐπιγέγραπται ἀπολογία πρὸς τὴν ἔνδειξιν Λυκούργου καὶ Δημοσθένους. Photius bibl. p. 491 a 36 Bk.

II. *ΚΑΤΑ ΤΙΜΑΡΧΟΥ.*

Apparet ad hanc causam pertinere quae Suidas tradit 2, 2 p. 1127: *ἐπίτροπος δὲ αἱρεθεὶς Ἀριστογείτονος ἀντειπόντος ἐκωλύθη.* quanquam quaenam illa *ἐπιτροπὴ* fuerit nescimus. Fortasse de ea dignitate nomen accipiendum est, qua qui fungerentur *ἐπίσκοποι* vulgo dicebantur: cf. Boeckh. oecon. publ. Ath. 1 p. 436 sq. De Timarcho supra diximus, quadragesimo quarto eorum, quorum fragmenta collecta damus. Fortasse Demosthenes populisciti, quo Timarchus designaretur, auctor fuit.

2 1. *πάλιν κατὰ Τιμάρχου δὲ καὶ Δημοσθένους λέγει·*
Ἄρχοντα ἀποστέλλετε τὸν Τίμαρχον, ὦ ἄνδρες,
οὐκ ἐὰν νεῦρα ἔχητε καὶ τὰ σεμνὰ τηρῆτε,
Τίμαρχον, ὃς τῷ σώματι τὰ πλείω τούτου μέρη
φέρει γυναικός, ἅπαν δὲ πράττει τῶν μισουμένων.
ἀλλ' οὐ Λυκούργῳ φίλος μέν, τῷ δέ γε Δημοσθένει·
ὧν γὰρ τοῖς ἄλλοις βδελυρὸς ἐκεῖνος μισεῖ τοῦτον,
ὁ Δημοσθένης δὲ φιλεῖ. ἀφίημι τὰ ἄλλα.
Ioannes Tzetz. chil. 6 v. 104 sqq.

3 2. *Αὐτοκλείδης. Αἰσχίνης κατὰ Τιμάρχου „Κηδωνίδην καὶ Αὐτοκλείδην καὶ Θέρσανδρον.“ οὗτοι παιδερασταὶ σφοδροί, ὡς καὶ Ἀριστογείτων κατὰ Τιμάρχου.* Harpocr. — *Θέρσανδρος· Αἰσχίνης κατὰ Τιμάρχου. ὅτι παιδεραστὴς οὗτος σφοδρός, καὶ Ἀριστογείτων ἐν τῷ κατὰ Τιμάρχου δηλοῖ.* Harpocr.

4 3. *καὶ ἀκόσμητον μὲν λόγον καλεῖ τὸν τραχύτητος μόνης ἀνάπλεων, οἷα δὴ πολλὰ παρὰ τῷ Ἀριστογείτονί ἐστιν ἐν τῷ κατὰ Δημοσθένους.* Anonymus ad Hermog. 7 p. 1021. quae huc retuli, quod Tzetzae locus docet in oratione contra Timarchum Aristogitonem etiam in Demosthenem invectum esse. Sed Demosthenem saepe ab Aristogitone accusatum esse auctor or. prioris quae est contra Aristogitonem inter demosthenicas tradit (§. 37. Boehneck. quaest. orat. 1 p. 571 sq.). Cf. Hermogenes 3 p. 236 W.

III. *ΚΑΤΑ ΥΠΕΡΕΙΔΟΥ ΠΑΡΑΝΟΜΩΝ.*

Ἀριστογείτων. — Ὑπερίδην δὲ ἐγράψατο παρανόμων ἐπὶ τῷ μετὰ Χαιρώνειαν ψηφίσματι, καὶ οὐχ εἷλεν. Suidas 1, 1 p. 727, 5. De causa ipsa exposuimus, cum de Hyperidis oratione diceremus. Ex iis vero, quae ex Hyperidis oratione supersunt, possunt etiam quaedam eorum, quae Aristogito dixerat, intelligi.

1. *ἀλλὰ καὶ Ἀριστογείτων ἐν τῷ κατὰ Ὑπερίδου λόγῳ οὕτω φησί* (ut ex tempore dicere videatur)· *περὶ μὲν οὖν τοῦ παρανόμου ἱκανὰ καὶ τὰ εἰρημένα ἐν τῷ παρόντι· ἂν μή τι ὕστερον ἀναμνησθῶ. εἶτα μετ' ὀλίγα ὥσπερ ἀναμνησθεὶς πάλιν φησίν· οἱ γὰρ ἐπιβουλεύοντες τῇ δημοκρατίᾳ ἡσυχίας μὲν οὔσης κατὰ τὴν πόλιν καὶ τοῦ δήμου ἀθορύβως καὶ ἀσφαλῶς πολιτευομένου ἀναγκάζονται μηδὲν παρακινεῖν, ἀλλ' ἐπακολουθεῖν τοῖς νόμοις, καὶ τὰ λοιπά.* Gregorius Cor. ad Hermog. 7 p. 1272 W. 5

2. *Ἐν τῷ κατὰ τῶν παρανόμων γὰρ τοῦ Ὑπερίδου* 6
Ἀριστογείτων οὑτωσὶ τάδε κατ' ἔπος λέγει·
Κνώδαλα τὰ ἐξάγιστα τῶν τρισαλιτηρίων,
ὁ Δημοσθένης ἅμα τε καὶ ὁ Λυκοῦργος, λέγω.
καὶ πάλιν Διοπείθη δὲ τὸν Σουνιέα λέγει
ἐκ τῆς πρὸς τὸν Ἑλλήσποντον συστάσης ναυμαχίας
ὠνήσασθαι αἰχμαλώτους Λυκοῦργον, Δημοσθένην·
οὗτοι δὲ τὸ ἀργύριον ἐκείνῳ οὐκ ἐδίδουν,
ἀλλὰ πρὸς δικαστήριον εἵλκυσαν μᾶλλον τοῦτον.
καὶ ἐκινδύνευσε θανεῖν ὁ ἄνθρωπος ἐκ τούτων,
εἰ μὴ συνηγωνίσαντο Δημέας Καλλικλῆς τε.
Ioannes Tzetz. Chil. 6 v. 93 sqq.

IV. *ΚΑΤΑ ΦΡΥΝΗΣ.*

Ἀριστογείτων δ' ἐν τῷ κατὰ Φρύνης τὸ κύριον αὐτῆς φησιν εἶναι ὄνομα Μνησαρέτην. Athenaeus 13 p. 591. E. 7

L. ΦΙΛΟΚΡΑΤΗΣ.

Quae Aristoteles narrat putabam apte ad Philocratem illum, qui Philippi partibus studebat, referri posse, quanquam concedendum est etiam ad unum Atheniensium cognominum pertinere posse, quos enu-

---

1. *κατὰ αὑτοῦ* Sauppius: erat *κατ' αὐτοῦ*. 29. Aeschin. 1 §. 52. 31. *ἀρίστων* pr. B.

14. erat *Ὑπερίδου*. 26. erat *Ὑπερίδου*. — Nescio quomodo Th. Kiesslingius et haec et quae supra (frg. 2) adscripsimus Hyperidi tribuere potuerit (Tzetzae Chil. p. 547). 31. *αἰχμαλώτους* Sauppius: erat *αἰχμάλωτον*.

merant interpretes Lysiae or. 29. De auctore pacis cum Philippo faciundae cf. Boehneck. quaest. orat. 1 p. 382 sq. aliisque locis p. 702 indicatis.

παύει δὲ καὶ ἑτέρου ὀργὴν μείζω ἡ παρ' ἄλλου ληφθεῖσα τιμωρία πρότερον· διὸ εὖ Φιλοκράτης εἰπόντος τινὸς ὀργιζομένου τοῦ δήμου „τί οὐκ ἀπολογεῖ;“ „„οὔπω γε““ ἔφη. „ἀλλὰ πότε;“ „„ὅταν ἄλλον ἴδω διαβεβλημένον.““ πρᾶοι γὰρ γίγνονται, ὅταν εἰς ἄλλον τὴν ὀργὴν ἀναλώσωσιν. Aristot. rhetor. 2, 3 p. 1380 b 6 Bk.

LI. ΠΥΘΕΑΣ.

De Pythea exposuerunt D. Ruhnkenius ad Rutil. p. 40 sq. (cf. hist. crit. p. 82) et Wachsmuth. antiqu. graec. 1 p. 682 (ed. 2).

I. *ΚΑΤΑ ΑΔΕΙΜΑΝΤΟΥ.*

1 *ὀξυθύμια. — ἔστι τοὔνομα καὶ παρὰ Πυθέᾳ ἐν τῷ κατὰ Ἀδειμάντου.* Harpocr. p. 138, 18. cf. Hyperidis or. *κατὰ Δημάδου*.

II. *ΠΡΟΣ ΤΗΝ ΕΝΔΕΙΞΙΝ ΑΠΟΛΟΓΙΑ.*

Nisseni coniecturam hac oratione Aristogitonem adversus Lycurgum et Demosthenem defensum esse opinati suo iure improbavit Westermannus quaest. demosth. 3 p. 108 not. Magis probabile est Pytheam se hac oratione adversus Dinarchum, qui eum peregrinitatis arguere studeret, defendisse: cf. Dinarchi frg. *κατὰ Πυθέου ξενίας*. Neque enim raro *εἰσαγγελία* et *ἔνδειξις* commutantur: vide Dinarchi frg. or. *κατὰ Καλλισθένους*.

2 *ἀγραφίου εἶδός τι δίκης — — Πυθέας ἐν τῇ πρὸς τὴν ἔνδειξιν ἀπολογίᾳ.* Harpocr. p. 3, 24. cf. Lycurgi frg. or. adv. Aristogitonem.

III. *ΚΑΤΑ ΔΗΜΟΣΘΕΝΟΥΣ.*

Hanc orationem ad causam harpalicam pertinuisse iure existimat Ruhnken. ad Rutilium p. 41. cf. Maetzner. ad Dinarch. p. 85.

3 1. *ἦν δὲ περὶ αὐτοῦ* (de Isaeo) *δόξα παρὰ τοῖς τότε γοητείας καὶ ἀπάτης, ὡς δεινὸς ἀνὴρ τεχνιτεῦσαι λόγους ἐπὶ τὰ πονηρότερα· καὶ εἰς τοῦτο διεβάλλετο. δηλοῖ δὲ τοῦτο τῶν ἀρχαίων τις ῥητόρων ἐν τῇ Δημοσθένους κατηγορίᾳ, Πυθέας ὡς ἐμοὶ δοκεῖ. πονηρίαν γὰρ τῷ Δημοσθένει καὶ κακίαν τὴν ἐξ ἀνθρώπων πᾶσαν ἐνοικεῖν φήσας καὶ τόδε τὸ μέρος ὅλον εἰς διαβολὴν ἐπιτίθησιν, ὅτι τὸν Ἰσαῖον ὅλον καὶ τὰς τῶν λόγων ἐκείνου τέχνας σεσίτισται.* Dionysius 5 p. 591, 13 R.

2. *καὶ Πυθέας γοῦν φησίν· Ἀλλὰ τοὺς νῦν* 4
δημαγωγοὺς ὁρᾶτε, Δημοσθένη καὶ Δημάδην, ὡς ἐναντίως τοῖς βίοις διάκεινται. ὁ μὲν γὰρ ὑδροποτῶν καὶ μεριμνῶν τὰς νύκτας, ὥς φασιν, ὁ δὲ πορνοβοσκῶν καὶ μεθυσκόμενος κατὰ τὴν ἡμέραν ἑκάστην προγάστωρ ἡμῖν ἐν ταῖς ἐκκλησίαις ἀνακυκλεῖται. Athenaeus 2 p. 44 F.

2^b. *Πυθέᾳ δὲ ὁ κρότος τῶν Δημοσθενικῶν λόγων* 4b
ἀπόζειν ἐφαίνετο τοῦ νυκτερινοῦ λύχνου. Lucianus laud. Demosth. c. 15.

3. *Epanalepsis.* Hoc schema fieri solet, cum id, 5
quod dictum semel est, quo gravius sit iteratur. Id interdum fit uno verbo, interdum plurium verborum coniunctione. Verbum sic iteratur. Pytheae: *Quid contra tot res tamque evidentes dicere potes, Demosthenes? Cognitum enim est, rempublicam venalem habuisse, cognitum est.* Rutilius L. 1 §. 11.

4. *ὁ μέντοι λόγος ἔστω τοῦ πολιτικοῦ μήτε νεαρὸς* 6
καὶ θεατρικός, — — μήτ' αὖ πάλιν, ὡς ὁ Πυθέας τὸν Δημοσθένους ἔλεγεν, ἐλλυχνίων ὄζων καὶ σοφιστικῆς περιεργίας ἐνθυμήμασι πικροῖς καὶ περιόδοις πρὸς κανόνα καὶ διαβήτην ἀπηκριβωμέναις. Plut. moral. p. 802. E. cf. Plut. Demosth. c. 8. Aelian. V. H. 7, 7.

5. *ἐν δὲ τῇ μάχῃ καλὸν οὐδὲν οὐδ' ὁμολογούμενον* 7
ἔργον οἷς εἶπεν ἀποδειξάμενος ᾤχετο λιπὼν τὴν τάξιν ἀποδρὰς αἴσχιστα καὶ τὰ ὅπλα ῥίψας, οὐδὲ τὴν ἐπιγραφὴν τῆς ἀσπίδος, ὡς ἔλεγε Πυθέας, αἰσχυνθείς, ἐπιγεγραμμένης γράμμασι χρυσοῖς· Ἀγαθῇ τύχῃ. Plut. Demosth. c. 20. Idem narravisse Ioannes Tzetza in Hermogenem dicitur apud Ruhnken. ad Rutilium p. 41. Cf. de inscriptione illa sculi etiam biographus decem oratt. p. 845. E.

6. *ᾧ τὸ ἱερὸν πῦρ οὐκ ἔξεστι φυσῆσαι.* 8

---

8. *Ἀδειμάντου* Ruhnkenius ad Rutil. p. 41: *Ἀδείμαντος* b. 23. *πυθίας* BCFHKM. 32. *ἀνὴρ* Sauppius: erat *ἀνήρ*. 37. *φήσας* Sylburgius: *φῆσαι* libri. *τὸ μέρος ὅλον*] Fort. *τοῦ ῥήτορος ὅλον*.

4. *πυθίας* B. 9. *ἑκάστοτε* B. 10. *ἀνακυκλεῖται*] quid in CD scriptum fuerit dignosci non potest. 18. *Pythiae* libri. 19. *iamque* laurent B. *potes? DEMOSTENIS. cognitum* laur. A. 31. *πυθίας* M°. 37. cf. Ruhnken. ad Rutil. p. 8. Timaei frg. 140. 141. Goeller. Timaei p. 238.

Τίμαιον ἐν λη' ἱστορεῖν, ὡς οἱ περὶ Δημοκλείδην κατὰ Δημοχάρους εἶπον, ὅτι μόνῳ αὐτῷ πάντων Ἀθηναίων οὐκ ἔξεστι τὸ ἱερὸν πῦρ φυσῆσαι, ὡς μὴ καθαρεύοντι τοῖς ἄνω μέρεσιν. Δοῦρις δὲ ἐν τῇ ι' Πυθέαν κατὰ Δημοσθένους τὸ ὅμοιον εἰπεῖν. Suidas 2, 1 p. 1296 B.

IV. *ΑΠΑΡΑΣΗΜΑ.*

9 1. *Polysyntheton.* Hoc schema efficitur, cum sententiae multorum articulorum convenienti copula continentur. Pytheae: *Ille hunc pone constrictum trahebat, hic autem vociferabatur; concursus vero non mediocris, cum tantum non omnes opitulari vellent, sed nemo auderet: neque ibi magistratus aderat nec circumspicientes, quo potissimum confugeremus, reperiebamus; sed uno tempore nos et praesens et futurum malum perturbabat. Nam praesens tempus acerbitatis erat plenum, reliquum vero timoris.* Rutilius L. 1 §. 14.

10 2. *Πυθέου. Εἰ δέ τις ὑπείληφε βεβαίως ἔχειν τὸν πλοῦτον καὶ οὐδέποτε προλείψειν αὐτόν, οὗτος ἔοικε τύχης καὶ παραδόξων πραγμάτων καταπεφρονηκέναι καὶ οὐκ εἰδέναι, ὅτι πεπλανημένον τὸ εὖ πράττειν καὶ οὐκ ἀεὶ παρὰ τοῖς αὐτοῖς.* Ioannes Stob. Floril. 105, 55.

3. *Πυθέας ἔτι μειράκιον ὢν παρῆλθεν ἀντερῶν τοῖς περὶ Ἀλεξάνδρου γραφομένοις ψηφίσμασιν· εἰπόντος δέ τινος· Σὺ νέος ὢν τολμᾷς λέγειν περὶ τηλικούτων; Καὶ μὴν Ἀλέξανδρος, εἶπεν, ὃν ψηφίζεσθε θεόν, ἐμοῦ νεώτερός ἐστι.* Plut. moral. p. 187. F. et 804. B, quibus locis ad ea quae p. 784. C scripsit explicanda opus est. 11

4. *Ἐν δ' Ἀρκαδίᾳ καὶ λοιδορίαν τοῦ Πυθέου καὶ τοῦ Δημοσθένους γενέσθαι πρὸς ἀλλήλους εἴρηκεν ὁ Φύλαρχος ἐν ἐκκλησίᾳ, τοῦ μὲν ὑπὲρ τῶν Μακεδόνων, τοῦ δ' ὑπὲρ τῶν Ἑλλήνων λέγοντος. λέγεται δὲ τὸν μὲν Πυθέαν εἰπεῖν, ὅτι καθάπερ οἰκίαν, εἰς ἣν ὄνειον εἰσφέρεται γάλα, κακόν τι πάντως ἔχειν νομίζομεν, οὕτω καὶ πόλιν ἀνάγκη νοσεῖν, εἰς ἣν Ἀθηναίων πρεσβεία παραγίνεται· τὸν δὲ Δημοσθένην στρέψαι τὸ παράδειγμα φήσαντα, καὶ τὸ γάλα τὸ ὄνειον ἐφ' ὑγιείᾳ καὶ τοὺς Ἀθηναίους ἐπὶ σωτηρίᾳ παραγίνεσθαι τῶν νοσούντων.* Plutarchus Demosth. c. 27. cf. Luchtius Phylarchi p. 129. Ab aliis Polyeuctum in Peloponnesum missum esse tradi supra diximus, cum de Polyeucto exponeremus. 12

LII. ΔΗΜΑΔΗΣ.

De Demadis rebus, quem et brevissime et verissime Velleii verbis (2, 68) *ingeniose nequam* fuisse dixeris, post D. Ruhnkenium (hist. crit. p. 71 sqq.) nuper exposuerunt H. Lhardy (Berolini, 1834) et G. G. Pluygers (Hagae Comitis, 1836), quibuscum comparari possunt, quae in Zimmermanni diurnis ego 1835, 77 et A. Westermannus 1837, 26 explicavimus. Adde quae G. Kiesslingius in lycurgeis p. 161 sqq. disputavit. Hoc loco nihil videtur quaerendum esse nisi hoc, utrum Demades aliquid scriptum reliquerit an quae ei tribui solent supposita sint. Ac Cicero quidem Bruti §. 36 ait: *is, cuius nulla exstant scripta, Demades.* Similiter Quintilianus inst. orat. 2. 17, 13: *neque enim* (Demades) *orationes scribere est ausus, ut eum multum valuisse in dicendo sciamus.* idem 12. 10, 49: *ideoque in agendo clarissimos quosdam nihil posteritati mansurisque mox literis reliquisse, ut Periclem, ut Demadem.* Contra Suidas 1, 1 p. 1241 B.: *ἔγραψεν Ἀπολογισμὸν πρὸς Ὀλυμπιάδα τῆς ἑαυτοῦ δωδεκαετίας, Ἱστορίαν περὶ Δήλου καὶ τῆς γενέσεως τῶν Λητοῦς παίδων* (quo loco quid verbis *πρὸς Ὀλυμπιάδα* faciendum sit non liquet, quanquam mihi quidem Ruhnkenii ratio l. d. proposita maxime probatur). Neque tantum *Defensionis* illius pars quaedam in multis libris manuscriptis servata adhuc exstat, sed etiam Ioannes Tzetza Chil. 5, 342 sqq. 6, 16 sqq. et 112 sqq., Anonymus Seguerii, interpres Hesiodi videntur scripta quaedam Demadis oculis et manibus usurpavisse. Nam reliqua sane omnia, quae Demades dixisse narratur, similia sunt eorum, quae Isocrati, Demostheni, aliis tribui vidimus, desumta illa ex peripateticorum aliorumque hominum doctorum libris. Quanto enim studio facete graviterque dicta aetate alexandrina collecta sint multis exemplis constat. At iure quaeritur, utrum scripta illa genuina fuerint an a rhetoribus ficta et Demadis nomini supposita. Ac de quo paulo certius iudicari possit, exstat fragmentum *περὶ τῆς δωδεκαετίας.* Quod quanquam a plerisque hominibus doctis genuinum haberi scio (unum nomino L. Spengelium *συναγ. τεχν.* p. 54), tamen certa mihi viden-

---

4. *χυθίαν* BE. 9. immo *Polysyndeton.* cf. Quintil. inst. orat. 9. 3, 51. anonym. de schematis v. 50. 10. *copula* mg. Rhenani: *copia* libri. 11. *pone* Iacobus: *poena* libri, *catena* Ruhnkenius. 13. *tantum non* F. Haasius in diurn. lit. halens. 1844 p. 383: *tamen* libri. 14. *ibi*] *enim* Iacobus. 20. *Πυθέου* Gaisfordus (Photii auctoritate confisus p. 114 b 16 Bk.): *Ὀουθέου* A, *Οὐθέου* Trincav.

1. *ὅτε πρὸς τὰς Ἀλεξάνδρου τιμὰς ἀντέλεγεν* p. 804. 5. *σύ*] *Οὕτω σύ* p. 804. 6. *θεόν*] *θεὸν εἶναι* p. 804.

tur adulterinae originis indicia inesse. Sententiae quaesitae nec tamen magnae gravitatitis, sermo fucatus neque nativa illa facilitate et faceliis sanis, quibus Demadem excelluisse veteres testes omnes consentiunt (Cic. orat. §. 90), insignis, res quae narrantur communibus verbis magis tecte quam quod a Demade, homine diuturno usu prudentiam nacto permagnam, necessario requisiveris, accurate et praecise explicatae. Cum veteres in Demade ingenii felicitatem admirentur, qua res fere acu tangere solitus sit, hic eam ambages quaesivisse dixeris. Nec, si quis partem tantum exstare excusaverit, intelligas, quomodo post ea quae supersunt ad brevem et aptam rerum gestarum narrationem redire potuerit. Fateor igitur me iis assentiri, qui fragmentum illud rhetoris alicuius fraude fictum et Demadi tributum esse statuant. Neque enim quidquam in eo traditur, quin facile ex iis quae de Demade narrarentur hauriri potuerit. Qui dedita opera fraudem illam arguerit, memini neminem, sed dubitant A. Boeckhius oecon. publ. Ath. 2 p. 246, Bellinus de Ballu hist. eloqu. gr. 1 p. 330 (cf. Lhardy l. d. p. 13), Pluygers p. 75 sq., alii multi. Accedit quod in brevi illo fragmento haud pauca vocabula leguntur, quibus reliqui oratores non usi sunt, neque ea facile illi aetati conveniant. Affero *παρανάλωμα* §. 2, *πρωτολογίας* §. 3, *λογογραφίας* §. 8, *εἰς δίκας — ἔθηκα τὸν πόνον* §. 8, *ταφῇ — κηδευθεῖσα* §. 9, *πρόβλημα* §. 11, ut alia omittam. De iis, quibus Ioannes Tzetza et anonymus Seguerii usi sunt, certo iudicari non potest, sed etiam has orationes suppositas fuisse crediderim. Deli insulae historiam eo tempore, quo de templo Apollinis lis exorta est, a Demade scribi potuisse Boeckhius existimat (de inscript. deliaca §. 6 p. 14). Cf. quae de Hyperidis oratione deliaca exposui. Hic deinceps omnia collecta dedi, quae ad Demadem referrentur, cum plura quam quis requireret inveniri mallem quam iure aliquid desiderari.

1 I. ΥΠΕΡ ΤΗΣ ΔΩΔΕΚΑΕΤΙΑΣ.

p. 178 Steph. *Τῆς μὲν τῶν κινδυνευόντων σωτηρίας, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τῆς τιμωρίας ὑμεῖς παρὰ τῶν νόμων τὴν ἐξουσίαν εἰλήφατε· οὔτε δὲ ἰατρὸς ἐμπείρως δύναται θεραπεῦσαι τοὺς κάμνοντας, ἂν μὴ τὴν αἰτίαν τοῦ νοσήματος κατανοήσῃ, οὔτε δικαστὴς ὁσίαν θεῖναι τὴν ψῆφον, ἐὰν μὴ τοῖς τῆς κρίσεως δικαίοις ᾖ παρηκολουθηκώς.*
ἐμπεσὼν δὲ αὐτὸς εἰς μέσην τὴν τῶν 2
ῥητόρων δυσμένειαν, ὥσπερ τῆς παρὰ θεῶν, οὕτω τῆς παρ' ὑμῶν δέομαι τυχεῖν βοηθείας. διαβάλλουσι γάρ μου τὸν βίον, οἰόμενοι τὸν λόγον ἄπιστον καταστήσειν. ἐγὼ δ' ἀποθανὼν μὲν ἢ ζῶν οὐδέν εἰμι· τί γὰρ Ἀθηναίοις ἢ παρανάλωμα Δημάδης; δακρύσει δέ μου τὴν ἀπώλειαν οὐχ ὁ στρατιώτης — πῶς γάρ; ὃν αὔξει μὲν πόλεμος, εἰρήνη δ' οὐ τρέφει· — ἀλλ' ὁ τὴν χώραν γεωργῶν καὶ ὁ τὴν θάλατταν πλέων καὶ πᾶς ὁ τὸν ἡσύχιον βίον ἠγαπηκώς, ᾧ τὴν Ἀττικὴν ἐτείχισα, τοὺς ὅρους τῆς χώρας περιβαλὼν οὐ λίθοις ἀλλὰ τῇ τῆς πόλεως ἀσφαλείᾳ.
δεινὸν δέ τι συμβαίνει πολλοῖς 3
τῶν κρινόντων, ὦ ἄνδρες δικασταί. ὥσπερ γὰρ ἡ τῶν ὀφθαλμῶν νόσος την ὅρασιν συγχέασα κωλύει τὰ ἐμποδὼν κείμενα θεωρεῖν, οὕτως ἄδικος παρεισδύνων λόγος εἰς τὰς τῶν δικαστῶν γνώμας οὐκ ἐᾷ δι' ὀργὴν συνορᾶν τὴν ἀλήθειαν. διὸ καὶ δεῖ συνορᾶν ὑμᾶς εὐλαβῶς ἐπὶ τῶν κινδυνευόντων μᾶλλον ἢ τῶν ἐγκαλούντων· οἱ μὲν γὰρ αὐτόθεν ἔχουσιν ἐκ τῆς πρωτολογίας ὁποῖον αὐτοὶ βούλονται τὸν δικαστήν, οἱ δ' ἀναγκάζονται πρὸς ὠργισμένους κριτὰς τὴν διάνοιαν ἀντιτάσ- 179
σεσθαι. ἐὰν μὲν οὖν φαίνωμαι τοῖς ἐγκαλουμένοις 4
ἔνοχος, καταψηφίσασθε, μὴ φείσησθε· ου παραιτοῦμαι· ἂν δ' εὑρίσκωμαι τῶν ἐγκεκλημένων κεχωρισμένος τῷ δικαίῳ, τοῖς νόμοις, τῷ συμφέροντι, μὴ πρόησθέ με τῇ τῶν κατηγόρων ὠμότητι. εἰ δὲ πάντως ἀποθανὼν συμβαλοῦμαί τι πρὸς τὴν κοινὴν σωτηρίαν, ὡς οὗτοι λέγουσιν, ἑτοίμως ἔχω τελευτᾶν· κτήσασθαι γὰρ ἰδίῳ θανάτῳ δημοσίαν εὐδαιμονίαν καλόν, ἐὰν ἡ χρεία τῆς πατρίδος ἀλλὰ μη ὁ τούτων λόγος τὸ ζῆν
ἀφαιρῆται. δότε δή μοι πρὸς θεῶν, ὦ ἄνδρες Ἀθη- 5
ναῖοι, δότε διαλεχθῆναι ὡς προαιροῦμαι πρὸς ὑμᾶς περὶ τῶν δικαίων. δοκῶ μὲν γὰρ δύναμιν εἶναί μοι καὶ τοῖς ἄλλοις βοηθεῖν· ἐν δὲ τούτοις ἐμποδίζει μου τὸν λόγον ὁ φόβος. ἄλλως δὲ οὐ τὸν ἔλεγχον τοῦ πράγματος δέδια, ἀλλὰ τὸν τῶν ἀντιδίκων φθόνον, ὃς οὐ κρίνει τοὺς ἀδικοῦντας, ἀλλὰ φύεται τοῖς δοκοῦσι
λέγειν ἢ πράττειν. ἡ παρ' ὑμῖν ἐλπὶς δὲ δικαία· ἐὰν 6
ταύτης κατατύχω, πάσας ἀπολύσομαι τὰς διαβολάς· ἄνευ δὲ ταύτης οὔτε ὁ λόγος οὔθ' οἱ νόμοι οὔθ' ἡ τῶν πραγμάτων ἀλήθεια σῶσαι δύνανται τὸν ἀδίκως κρινό-

§. 2, 1. *μέσην τὴν* Sauppius: *τὴν* E, *μέσην* b. 6. *ἢ* H. Stephanus: *εἰ* b cum aldina et codd. cf. Wesseling. ad Diodor. 14, 5. 9. *θάλασσαν* E. 10. *ἥσυχον* E. — 3, 2. *ὦ ἄνδρες* b cum rc. E, *ὧδε* M, *ὦ* N, om. pr. E, *ὧδε* reliqui. 10. *ὀργιζομένους* E. — 4, 5. *τῇ* om. T. 8. *εὐδαιμονίαν* Sauppius: *εὔνοιαν* b. *ἡ* b cum EIT: *ᾗ* reliqui. 9. *τὸ* b cum libris: erat *τι*. *ζῆν* Sauppius: *νῦν* b. 10. *ἀφαιρῆται* Bekkerus: *ἀφαιρήσηται* C, *ἀφαιρήσεται* reliqui. — 5, 6. *δέδια, ἀλλὰ* Sauppius: *δέδοικα, ἀλλὰ* b cum C, *ἀλλὰ* reliqui. *τὸν τῶν* Sauppius: *τὴν τῶν* b cum C, *τῇ τῶν* reliqui. *ἀντιδίκων* b cum C, *ἀδίκων* reliqui. *φθόνον, ὃς* Sauppius: *διαβολὴν μόνον, ἥτις* b cum C, *μόνον ὃς* reliqui. 7. *δοκοῦσι*] *εὖ δοκοῦσι* Bekkerus, *δοκοῦσί τι* Sauppius. — 6, 2. *ταύτης* libri (praeter C): *δὴ ταύτης* b cum C. *κατατύχω* b cum C: *κατατυχὼν* reliqui (*κατατύχω* iam Hauptmannus voluerat). *ἀπολύσωμαι* I. 4. *δύνανται* libri (praeter C): *δύναιντ' ἂν* reliqui.

*μενον. οὐκ ἀγνοεῖτε δὲ ὅτι πολλοὶ πολλάκις ἤδη τῶν
ἐγκαλούντων ἀπὸ μὲν τῆς κατηγορίας ἔδοξαν δίκαια
λέγειν, παρατεθείσης δὲ τῆς ἀπολογίας εὑρέθησαν αὐ-
τοὶ συκοφαντοῦντες· ὃ δὴ καὶ νῦν πέπεισμαι τούτοις
παρακολουθήσειν ὑμῶν ἀκούειν προαιρουμένων μετ'
εὐνοίας.*

7 *Ἐπεὶ δὲ καὶ τῆς ἄλλης μου πολιτείας κατηγορεῖν
ἐπεχείρησαν, βραχέα βούλομαι περὶ αὐτῆς εἰπεῖν,
ἔπειθ' οὕτως ἐπὶ τὴν λοιπὴν δικαιολογίαν ἀπελθεῖν,
ἵνα μὴ λάθωσιν ὑμᾶς παρακρουσάμενοι. γεγονὼς γὰρ
ὦ ἄνδρες Ἀθηναῖοι Δημάδου πατρός, ὡς καὶ ὑμῶν οἱ
πρεσβύτεροι γινώσκουσιν, τὸν μὲν ἄλλον χρόνον οὕτως
ἔζων ὡς ἠδυνάμην, οὔτε κοινῇ τὸν δῆμον ἀδικῶν οὔτ'
ἰδίᾳ λυπῶν οὐδένα τῶν ἐν τῇ πόλει, πειρώμενος δ' ἀεὶ
τοῖς ἰδίοις πόνοις τὴν ἀσθένειαν τοῦ βίου διορθοῦσθαι.
8 ἡ πενία δ' ἴσως δύσχρηστον μὲν ἔχει τι καὶ χαλεπόν,
κεχώρισται δ' αἰσχύνης, ὡς ἄν, οἶμαι, τῆς ἀπορίας
ἐπὶ πολλῶν οὐ τρόπου κακίαν ἀλλὰ τύχης ἀγνωμοσύ-
νην ἐλεγχούσης. προσελθὼν δὲ τοῖς κοινοῖς οὐκ εἰς
δίκας καὶ τὴν ἀπὸ τῆς λογογραφίας ἐργασίαν ἔθηκα
τὸν πόνον, ἀλλ' εἰς τὴν ἀπὸ τοῦ βήματος παρρησίαν,
ἣ τοῖς μὲν λέγουσιν ἐπισφαλῆ παρέχεται τὸν βίον,
τοῖς δ' εὐλαβουμένοις μεγίστην δίδωσιν ἀφορμὴν πρὸς
κατόρθωσιν· οὐ γὰρ ἐν τῇ τοῦ λέγοντος χάριτι δεῖ
9 συνεκπίπτειν τὴν τῆς πατρίδος σωτηρίαν. χιλίων ταφὴ
Ἀθηναίων μαρτυρεῖ μοι, κηδευθεῖσα ταῖς τῶν ἐναντίων
χερσίν, ἃς ἀντὶ πολεμίων φιλίας ἐποίησα τοῖς ἀπο-
θανοῦσιν. ἐνταῦθα ἐπιστὰς τοῖς πράγμασιν ἔγραψα
τὴν εἰρήνην· ὁμολογῶ. ἔγραψα καὶ Φιλίππῳ τιμάς·
οὐκ ἀρνοῦμαι. δισχιλίους γὰρ αἰχμαλώτους ἄνευ λύ-
τρων καὶ χίλια πολιτῶν σώματα χωρὶς κήρυκος καὶ
τὸν Ὠρωπὸν ἄνευ πρεσβείας λαβὼν ὑμῖν ταῦτ' ἔγραψα.
10 ἐπείληπτο δὲ τῆς γραφούσης χειρὸς οὐχ ἡ δωροδοκία
τῶν Μακεδόνων, ὡς οὗτοι πλαττόμενοι λέγουσιν, ἀλλ'
ὁ καιρὸς καὶ ἡ χρεία καὶ τὸ τῆς πατρίδος συμφέρον
καὶ ἡ τοῦ βασιλέως φιλανθρωπία· ἐλθὼν γὰρ ἐπὶ τὸν
κίνδυνον ἐχθρὸς τῶν ἀγώνων φίλος ἐχωρίσθη, τὸ τῶν
11 νενικηκότων ἆθλον τοῖς σφαλεῖσι προσθείς. πάλιν τοί-
νυν ἧκε τῇ πόλει καιρὸς ἕτερος, ἵνα τοὺς μεταξὺ κιν-
δύνους ἑκὼν ἐπιλάθωμαι· καὶ πάντες μὲν οἱ τὴν Ἑλ-
λάδα κατοικοῦντες τὸν Ἀλέξανδρον ἐπὶ τὴν ἡγεμονίαν
ἀνεβίβαζον, καὶ τοῖς ψηφίσμασιν ἀναπλάττοντες φρό-
νημα μεῖζον τοῦ δέοντος ἀνδρὶ νέῳ καὶ φιλοδόξῳ πε-
ριέθηκαν, λοιποὶ δὲ ἦμεν ἡμεῖς καὶ Λακεδαιμόνιοι,
πρόβλημα τῆς σωτηρίας ἔχοντες οὐ χρημάτων πλῆθος,
οὐχ ὅπλων παρασκευάς, οὐχὶ πεζῶν σύνταξιν, ἀλλ'
ἐπιθυμίαν μεγάλην, δύναμιν δ' ἀσθενῆ καὶ ταπεινήν.
ὧν μὲν γὰρ ἐσάλησε τὴν ἰσχὺν ὁ περὶ Λεῦκτρα κινδυ- 12
νος, ὁ δὲ πρότερον ἀπείρατος ὢν πολεμίας σάλπιγγος 180
Εὐρώτας Βοιωτοὺς ἐν τῇ Λακωνικῇ στρατοπεδεύοντας
εἶχεν· ἀπέκειρε γὰρ τὴν ἀκμὴν τῆς Σπάρτης ὁ Θη-
βαῖος, καὶ τοὺς ὅρους τῆς Λακωνικῆς τεθειμένους τὴν
ἀκμὴν τῶν νέων συνέκλεισε ταῖς τέφραις. τὰς δ' ἡμε-
τέρας παρασκευὰς ἀνάλωσεν ὁ πόλεμος, καὶ τὴν ἐλ-
πίδα τῶν ζώντων συνέτριψεν ἡ συμφορὰ τῶν ἀποθα-
νόντων. Θηβαῖοι δὲ μέγιστον εἶχον δεσμὸν τὴν τῶν 13
Μακεδόνων φρουράν, ὑφ' ἧς οὐ μόνον τὰς χεῖρας συν-
εδέθησαν ἀλλὰ καὶ τὴν παρρησίαν ἀφῄρηντο· τῷ γὰρ
Ἐπαμινώνδου σώματι συνέθαψε τὴν δύναμιν τῶν Θη-
βαίων ὁ καιρός. ἤκμαζον δὲ τοῖς σώμασιν οἱ Μακε-
δόνες, οὓς ἤδη ταῖς ἐλπίσιν ἐπὶ τὰ σκῆπτρα καὶ τοὺς
Περσῶν θησαυροὺς ἡ τύχη διεβίβαζεν. ἐνταῦθ' ὁμοίως 14
Δημοσθένης μὲν ἐκύρωσε πόλεμον, καλὴν μὲν τοῖς
ὀνόμασιν οὐ σωτήριον δὲ τοῖς ἔργοις συμβουλίαν εἰσ-
ηγησάμενος τοῖς πολίταις· ὡς δὲ πλησίον ἔστη τῆς
Ἀττικῆς, ἡ χώρα δὲ εἰς τὴν πόλιν κατεκλείετο, καὶ τὸ
περιμάχητον καὶ θαυμαζόμενον ὑπὸ πάντων ἄστυ βοῶν
καὶ προβάτων ὥσπερ ἔπαυλις καὶ τῶν βοσκημάτων
ἐπληροῦτο, βοηθείας δ' οὐδαμόθεν ἦν ἐλπίς, ἔγραψα
τὴν εἰρήνην. ὁμολογῶ, καὶ φημι καλῶς καὶ συμφε- 15
ρόντως πεπραχέναι τοῦτο· κρεῖττον γὰρ ἐπερχόμενον
ἐκκλῖναι τὸ νέφος ἢ φερομένῳ συναπενεχθῆναι τῷ
ῥεύματι. ἀξιῶ δε, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν ἐκ τῶν
πραγμάτων λύπην ἐμοὶ παρ' ὑμῶν μηδεμίαν ἀπογεν-
νῆσαι δυσμένειαν. οὐ γὰρ ἐγὼ κρατῶ τῆς τύχης, ἀλλ'
ἡ τύχη τοῦ βίου, δι' ἣν κινδυνεύει. δεῖ δὲ τὸν σύμ-
βουλον, καθάπερ τὸν ἰατρόν, οὐ τῆς νόσου τὴν αἰτίαν
ἔχειν, ἀλλὰ τῆς θεραπείας τὴν χάριν ἀπολαμβάνειν.
καταχωρίσαντες οὖν τὰ συμβάντα διὰ τὰς ἔξωθεν αἰ- 16
τίας, ψιλῶς ἐπὶ τῶν πραγμάτων γυμνὴν θεωρήσατέ
μου τὴν πολιτείαν. μετὰ ταῦτα τοίνυν τῇ πόλει τρίτος
ἐπήγετο κίνδυνος πάντων χαλεπώτατος, οὐκέτι πεμ-
φθεὶς ὑπὸ τῆς τύχης, ἀλλ' ὑπὸ τῶν τότε ῥητόρων
ἐπαχθείς. καὶ μοι τῶν πεπραγμένων ἀναμνήσθητε, 17
ἡνίκα Δημοσθένης καὶ Λυκοῦργος τῷ μὲν λόγῳ πα-
ρατεττόμενοι τοὺς Μακεδόνας ἐνίκων ἐν Τριβαλλοῖς,
μόνον δ' οὐχ ὁρατὸν ἐπὶ τοῦ βήματος νεκρὸν τὸν Ἀλέ-
ξανδρον προέθηκαν, ἐν τῷ δήμῳ δ' ἀλείψαντες λόγοις*

6, 3. *παραθείσης* C. — **7**, 4. *Δημαίου* [h. e. *Δημέου*] Lhardy p. 20 sq. et Kiessling. Lycurg. p. 177. 7. *ἐδυνάμην* E. — **8**, 2. *ὡς ἄν*] cf. G. Herm. *ἄν* p. 185. 8. *πρὸς την κατόρθωσιν* T. 9. *ἐν* deleverim. Bekk. sed cf. Maetzner. ad Antiphont. 1 §. 8. — **9**, 1. *ταφὴ*] *τε φὴ* MNT, *τε φῇ*. E. de veritate lectionis dubitat Benseler de hiatu p. 195. 7. *κήρυκας* T. 8. *ὀρωπὸν* N, *ὀρωπὸν* MT. — **10**, 1. *ἐπείληστο* I. — **11**, 2. *τῇ πόλει* om. E. 3. *μὲν* om. C. 6. *μεῖζον*] *μικρὸν* K. *περιέθηκα* EIMNT. — **12**, 2. *πρότερος* M. 4. malim *εἶδεν*, quod est in aldina. *ἀπέκειρε — —*] cf. epigr. apud Aristidem 2 p. 541 Ddf. 6. *νεῶν* EIMNT. — **13**, 2. *συνεδόθησαν* T. 3. *καὶ* om. I. — **14**, 4. *ἔστη*] *ἐστι* T. — **15**, 2. *πεπράχθαι* C. 8. *τὸν ἰατρόν*] *τὸν* om. C. — **16**, 1. *καταχωρήσαντες* T. 4. *ἐπήγετο*] om. I, *ἐπὶ* N, *εγένετο* b cum T. *ἐπῄει* Scheibius in Bergkii diurn. lit. ant. 1845, 27. — **17**, 3. *τριβαλοῖς* codd. Bekkeri.

εὐπρεπέσι Θηβαίων τοὺς παρόντας φυγάδων θυμοῖς ἐπ' ἐλπίδι τῆς ἐλευθερίας ἠκόνησαν, ἐμὲ δὲ στυγνὸν καὶ περίλυπον ἔφασκον εἶναι μὴ συνευδοκοῦντα. . . . .

II. *ΑΠΑΡΑΣΗΜΑ.*

2 1. *λαμβάνεται* (sc. *ἡ πρόθεσις*) *δὲ καὶ μειώσεως ἕνεκεν, ὡς ὁ Δημάδης· ἥρπασαν οἱ Διόσκουροι τὰς Λευκιππίδας, Ἀλέξανδρος τὴν Ἑλένην· καὶ διὰ τοῦτο τοῖς Ἕλλησι πόλεμος ἐγένετο. καὶ νῦν τοῦ πορνοβοσκοῦ θυγάτηρ ἥρπασται.* Anonymus Seguerii p. 51.

3 2 (Lhardy 5). *ἄλλος* (sc. *τόπος τῶν φαινομένων ἐνθυμημάτων*) *παρὰ τὸ ἀναίτιον ὡς αἴτιον, οἷον τῷ ἅμα ἢ μετὰ τοῦτο γεγονέναι· τὸ γὰρ μετὰ τοῦτο ὡς διὰ τοῦτο λαμβάνουσι, καὶ μάλιστα οἱ ἐν ταῖς πολιτείαις, οἷον ὡς ὁ Δημάδης τὴν Δημοσθένους πολιτείαν πάντων τῶν κακῶν αἰτίαν· μετ' ἐκείνην γὰρ συνέβη ὁ πόλεμος.* Aristot. rhetor. 2, 24 p. 1401 b 29 Bk. cf. Dionys. ad Ammaeum ep. 1, 12 (vol. 6 p. 745).

4 3 (Lh. 32). *καὶ Δημάδης δὲ ὁ ῥήτωρ ἔλεγε τὴν μὲν Αἴγιναν εἶναι λήμην τοῦ Πειραιῶς, τὴν δὲ Σάμον ἀπώρυγα τῆς πόλεως, ἔαρ δὲ τοῦ δήμου τοὺς ἐφήβους, τὸ δὲ τεῖχος ἐσθῆτα τῆς πόλεως, τὸν δὲ σαλπιγκτὴν κοινὸν Ἀθηναίων ἀλέκτορα.* Athenaeus 3 p. 99. D.

5 4 (Lh. 10). *ἀργυράγχη, ὡς Δημάδης σκώπτων Δημοσθένη συνάγχῃ λέγοντα εἰλῆφθαι.* Pollux 7 §. 104.

6 5. *ὁ δὲ* (Demades) *διαβεβαιούμενος ὅτι δεῖ τὸ λυσιτελέστατον ὥσπερ ἐπὶ τῶν ἄλλων οὕτω καὶ ἐπὶ τῶν ὅρκων αἱρεῖσθαι· ὁρᾶν δὲ τὸν ἐπιορκήσαντα παραχρῆμα ταῦτ' ἔχοντα περὶ ὧν ὤμοσε, τὸν δὲ ὁρκίζοντα φανερῶς τὸ ἴδιον ἀπολλύντα.* Diod. Sic. exc. vaticanor. 7—10, 38 p. 34 Ddf.

7 6 (Lh. 6 et 11 et 12 et 15 et 33). *Δεινὰ δὲ καὶ τὰ Δημάδεια, καίτοι ἴδιον καὶ ἄτοπον τρόπον ἔχειν δοκοῦντα· ἔστι δὲ αὐτῶν ἡ δεινότης ἔκ τε τῶν ἐμφάσεων γινομένη καὶ ἐξ ἀλληγορικοῦ τινος παραλαμβανομένου, καὶ τρίτον ἐξ ὑπερβολῆς. οἷόν ἐστι τό· οὐ τέθνηκεν Ἀλέξανδρος, ὦ ἄνδρες Ἀθηναῖοι· ὦζε γὰρ ἂν ἡ οἰκουμένη τοῦ νεκροῦ. τὸ μὲν γὰρ ὦζεν ἀντὶ τοῦ ᾐσθάνετο ἀλληγορικὸν καὶ ὑπερβολικὸν ἅμα· τὸ δὲ τὴν οἰκουμένην αἰσθάνεσθαι ἐμφαντικὸν τῆς δυνάμεως τῆς Ἀλεξάνδρου· καὶ ἅμα δέ τι ἐκπληκτικὸν ἔχει ὁ λόγος ἠθροισμένον ἐκ τῶν τριῶν. πᾶσα δὲ ἔκπληξις δεινόν, ἐπειδὴ φοβερόν* (cf. Plut. Phoc. 22. Gregor. Cor. ad Hermog. 7 p. 1181, 6).
Τοῦ δὴ αὐτοῦ εἴδους καὶ τὸ ὅτι τοῦτο τὸ ψήφισμα οὐκ ἐγὼ ἔγραψα, ἀλλ' ὁ πόλεμος τῷ Ἀλεξάνδρου δόρατι γράφων. 8
καὶ τό· ἔοικε γὰρ ἡ Μακεδονικὴ δύναμις, ἀπολωλεκυῖα τὸν Ἀλέξανδρον, τῷ Κύκλωπι τετυφλωμένῳ (Plut. Galb. 1. et moral. p. 182. A). 9
Καὶ ἀλλαχοῦ που· πόλιν οὐ τὴν ἐπὶ προγόνων τὴν ναύμαχον, ἀλλὰ γραῦν, σανδάλια ὑποδεδεμένην καὶ πτισάνην ῥοφῶσαν. 10
τὸ μὲν γὰρ γραῦν ἀλληγοροῦν ἀντὶ τοῦ ἀσθενῆ καὶ ἐξίτηλον ἤδη καὶ ἅμα ἐμφαῖνον τὴν ἀδρανίαν αὐτῆς ὑπερβολικῶς, τὸ δὲ πτισάνην ῥοφῶσαν ἐπὶ τοῦ ἐν κρεανομίαις τότε καὶ πανδαισίαις διάγουσαν ἀπολλύειν τὰ στρατιωτικὰ χρήματα. Περὶ μὲν οὖν τῆς Δημαδείου δεινότητος ἀρκεῖ τοσαῦτα, καίτοι ἐχούσης τι ἐπισφαλὲς καὶ οὐκ εὐμίμητον μάλα· ἔνεστι γάρ τι καὶ ποιητικὸν τῷ εἴδει, εἴγε ποιητικὸν ἡ ἀλληγορία καὶ ὑπερβολὴ καὶ ἔμφασις· ποιητικὸν δὲ μικτὸν κωμῳδίᾳ. Demetrius *π. ἑρμηνείας* §. 282—286. Cum iis, quae Demetrius ultimo loco attulit, haec conferenda sunt: *παρέλαβον τὴν πόλιν, οὐ τὴν ἐπὶ τῶν προγόνων, ἀλλὰ γραῦν, σανδάλια ὑποδεδεμένην καὶ πτισάνην ῥοφοῦσαν.* Photius lex. p. 395, 5. *παρελαβε τὴν πολιν, οὐ τὴν ἐπὶ τῶν προγόνων, ἀλλὰ γραῦν σανδάλια ὑποδεδεμενην καὶ πτισάνην ῥοφοῦσαν.* Suidas 2 2 p. 110 B.

7. *δέχεται δὲ ὁ πολιτικὸς λόγος δικανικοῦ μᾶλλον καὶ γνωμολογίας — καὶ μεταφοράς, αἷς μάλιστα κινοῦσιν οἱ χρώμενοι μετρίως καὶ κατὰ καιρόν. ὡς — — καὶ Δημάδης, τὰ ναυάγια λέγων πολιτεύεσθαι τῆς πόλεως.* Plutarch. moral. p. 803. A. cf. vit. Phocion. c. 1. 11

8 (Lh. 7). Demadis quoque dictum sapiens: nolentibus enim Atheniensibus divinos honores Alexandro decernere: *Videte*, inquit, *ne dum coelum custoditis terram amittatis.* Valerius Max. 7. 2, 10. cf. Pytheae frg. 11. Pluygers de Demade p. 50 sq. 12

9 (Lh. 17). *εἰ μὴ καὶ τοῦ φορτίου τὸν ἱμάντα καὶ τοῦ βιβλίου τὴν κόλλαν ἀξιοῦσι μέρος εἶναι, καὶ τὰς διανομὰς τοῦ πολιτεύματος, ὡς ἔλεγε Δημάδης, κόλλαν ὀνομάζων τὰ θεωρικὰ τῆς δημοκρατίας.* Plutarch. moral. p. 1011. B. 13

10 (Lh. 29). *καὶ Δημάδης τὰς τριήρεις μὲν καθέλκειν καὶ πληροῦν ποτε τῶν Ἀθηναίων κελευόντων, χρήματα δ' οὐκ ἐχόντων, πρότερόν ἐστιν, ἔφη, τοῦ πρωρατεῦσαι τὸ φυρᾶσαι.* Plut. Cleomen. 27. quae 14

---

2. *δὲ* om. codd. Bekkeri. 22. *ἀπώρυγα* APV: *ἀπορρῶγα* reliqui. cf Lhardy p. 87. 25. quae apud Athenaeum sequuntur Casaubonus (p. 197) iure videtur ad Pompeianum sophistam referre (Athen. 3 p. 98 A.). 26. cf. I. Toup. apud Taylor. ad Aeschin. p. 608 R. — A. Gellius 11, 9 a Milesiis corruptum, Plutarchus Demosth. 25 pecunia ab Harpalo accepta Demosthenem illud dixisse narrant. 28. *διεβεβαιοῦτο* oportuerat. L. Dind.

7. *πολιν* Lhardy p. 89: *πάλιν* libri. *ἐπὶ*] immo *ἐπὶ τῶν*. 12. *ἐπὶ τοῦ* Sauppius: *ἐπεὶ* libri. 20. *παρέλαβον* Sauppius: *παρελαβεν* liber.

quanquam corrupta esse patet, tamen post varios hominum doctorum conatus quomodo emendanda sint incertum est.

15 11 (Lh. 1).

Ὁ δὲ Δημάδης ἀνελεῖν τὸν Δημοσθένην λέγει,
συγκείμενον ἀνθρώπιον ἐκ συλλαβῶν καὶ γλώττης.
καὶ πάλιν· κόλαξ, πού φησι, καὶ ἄνθρωπος δὲ γόης
δυστήνους λόγους μελετῶν κυκᾷ τε καὶ ταράσσει,
τυρβάσας, οἰκτισάμενος, ἄλλα ποιῶν μυρία,
προσποίητά τε δάκρυα σὺν τούτοις ἐκδακρύων.
πάλιν ἐναντιούμενος Ἀλοννησίταις λέγει·
ὑπὲρ μικρᾶς τῆς νήσου τε καὶ πόρων ἐλαχίστων
μέλλετε διαφέρεσθαι πρὸς Φίλιππον, ὦ ἄνδρες,
ἀνδρὸς ὀχλοκοποῦντός τε καὶ στασιώδους λόγοις.
καὶ πάλιν· ὑπὸ ῥήτορος ἀνδρὸς καὶ γυναικείου.
πάλιν· γυναικιζόμενος χλανίσι τῶν εὐσήμων
καὶ σύρων τὸ ἱμάτιον καὶ φωνασκῶν, ὡς ἔθος,
δειλοὺς ἀνάνδρους τε καλεῖ τοὺς πρεπωδῶν συμβούλους.
καὶ πάλιν· τρίβων κεφαλὴν καὶ συνεχῶς ἐκβήττων,
ὡς καὶ κατακλύσειν λόγοις μέλλων τὴν ἐκκλησίαν,
Ἑλλάδα συνταράξειν τε καὶ σύμπαντας φιμώσειν,
οἳ καὶ αὐτὸν ἐπίστανται καὶ τὴν αὐτοῦ πατρίδα,
καὶ τίς τελῶν καὶ πόθεν ὢν ὑπὲρ αὐτῶν φυσᾶται.
καὶ τὰς ὀφρύας ἀνασπᾷ, καθάπερ ὁ Κριτίας,
ὁ εἷς ἐκ τῶν τριάκοντα, μὴ παῖς μαχαιρουργοῦ δέ,
ὁ βδελυρὸς καὶ βάναυσος. καὶ πάλιν· πλάνης, γόης,
ῥήτωρ οὐκ ἐπιχώριος, ξένος τελῶν καὶ Σκύθης,
ὡς παῖς δ' οὐκ ὢν μαχαιρουργοῦ, μητρὸς δὲ τῆς Σκυθίδος,
κυκᾷ, ταράττει, θορυβεῖ τὴν σύμπασαν Ἑλλάδα.

Ioannes Tzetza Chil. 6 v. 112 sqq.

16 12 (Lh. 8).

Κατὰ Δημάδου λέγει δὲ καὶ φλυαρεῖ ὁπόσα,
ἐπὶ υἱῷ τὸν Φίλιππον γαμβρὸν κατονομάζων,
ἀνθ' ὧν ὑπῆρχεν ἐραστὴς εἰρήνης ὁ Δημάδης
φάσκων· ἀνάνδρους οὐ καλῶ καθάπερ Δημοσθένης,
ἀναρριπίζων πόλεμον, εἰρήνην ἀπελαύνων,
δειλός εἰμι καὶ ἐραστὴς καθέστηκα εἰρήνης,
οὐ στέργω μάχης ἀραγμούς, οὐδὲ πολέμων κρότους,
οὐδὲ πρὸς πολυάνδριον θέλω φιλοτιμεῖσθαι.
περὶ εἰρήνης λέγοντι, ὦ ἄνδρες, πείθεσθέ μοι,
μὴ ὀχλοκόπῳ δὲ ἀνδρὶ μάτην ὀχλοκοποῦντι·
ἀντιστροφὴ γὰρ γίνεται πραγμάτων τῷ πολέμῳ·
θάπτει πατὴρ τὸν παῖδα γάρ, γέρων τὸν γηροτρόφον.
εἴθ' ὤφελον Δημάδην μὲν ἔχειν καὶ οἱ Θηβαῖοι·
ἔτι γὰρ ἄν, Δημόσθενες, ἦσαν αἱ Θῆβαι πόλις·
νῦν δ' εἰσὶ πολυάνδριον καὶ τόπος οἰκοπέδων.

Ioannes Tzetza Chil. 6 v. 16 sqq.

13 (Lh. 23). 17

πρῶτος ὁ Δράκων γέγονεν Ἀθήναις νομογράφος,
ἅπασι τοῖς ἐγκλήμασιν μέχρι κλοπῆς λαγχάνων
φόνον τὸ ἐπιτίμιον ἀνηλεῶς ὁρίζων·
διὸ Δημάδης ὕστερον ῥήτωρ ὡραῖος κάλλει,
πολὺ δὲ ὡραιότερος ἀποφθεγμάτων λόγοις
μεγάλως εὐδοκίμησεν ἐν κριτηρίῳ λέξας·
ἔοικεν, ἄνδρες δικασταί, Δράκων ὁ νομογράφος
οὐ μέλανι, δι' αἵματος τοὺς νόμους δὲ χαράξαι.

Ioannes Tzetza Chil. 5 v. 342 sqq. cf. Plutarch. Solon. c. 17.

14 (Lh. 14). *Δημάδης ἀπολογούμενος διὰ τὴν ἐν τῇ πολιτείᾳ μεταβολὴν ἔλεγεν αὑτῷ μὲν αὐτὸν τἀναντία πολλάκις εἰρηκέναι, τῇ δὲ πόλει μηδέποτε.* Plutarch. Demosth. c. 13. 18

15. *Δημάδου. Τοῖς Ἀσκληπιάδαις μείζων ὀφείλεται χάρις ἐπερχομένην ἀναστέλλουσι νόσον ἢ παραπεσοῦσαν ἰασαμένοις· τοῦ γὰρ ἀπηλλάχθαι κακοῦ τὸ μὴ πάσχειν αἱρετώτερον.* Antonius Mel. p. 62 tur. 19

16. *Δημάδου. Ὅσον τοῖς δικαίοις τὸ θεῖον συναγωνίζεται, τοσοῦτον τοῖς ἀδίκοις ἐναντιοῦται.* Antonius Melissae p. 52 tur. 20

17 (Lh. 28). *Δημάδου. Τοῖς μὲν δούλοις ἡ ἀνάγκη νόμος, τοῖς δὲ ἐλευθέροις ὁ νόμος ἀνάγκη.* Antonius Mel. p. 68 tur. et Michael Apostol. proverb. 19, 46. 21

18 (Lh. 13). *Δημάδους. Δημάδης ἐρωτηθείς, τίς αὐτοῦ διδάσκαλος γεγονὼς εἴη, Τὸ τῶν Ἀθηναίων, ἔφη, βῆμα. ἐμφαίνων, ὅτι ἡ διὰ τῶν πραγμάτων ἐμπειρία κρείττων πάσης σοφιστικῆς διδασκαλίας ἐστίν.* Ioannes Stob. Floril. 29, 91. cf. Cramer. anecd. oxon. 4 p. 253. et Antonius Mel. p. 57 tur. Demadem a remis ad suggestum transiisse multi narrant, velut Sext. Emp. adv. Math. 2 §. 16 p. 677, 28 Bk. cf. Lhardy l. d. p. 21 sq. Pluygers p. 16 sq. 22

19 (Lh 26). *Δημάδου. Δημάδης τοὺς Ἀθηναίους εἴκαζεν αὐλοῖς, ὧν εἴ τις ἀφέλοι τὴν γλῶτταν, τὸ λοιπὸν οὐδέν ἐστι.* Ioannes Stob. Floril. 4, 69. 23

20 (Lh. 24). *Δημάδους. Δημάδης εἶπε τὴν αἰδῶ τοῦ κάλλους ἀκρόπολιν εἶναι.* Ioannes Stob. Floril. 74, 56. 24

---

5. haec omnia quae I. Tzetza narrat mira quidem sunt, sed tamen ita comparata, ut facile in oratione aliqua contra Demosthenem habita vel pluribus orationibus locum habere potuerint. Videtur igitur existimandum esse declamationes complures in Demosthenem, Demadi suppositas, temporibus Tzetzae vel eorum, ex quibus sua hausit, exstitisse. 11. cf. Zimmerm. diurn. 1835 p. 622. 20. *καὶ* add. Kiesslingius. 33. *κατὰ* Kiesslingius: *καὶ τὰ* libri. *λέγει*] sc. Demosthenes. neque enim recte Lhardy p. 67 de Timarcho cogitat.

8. *διὸ* Sauppius: *δι' ὃν* libri. 40. Aeschines 3 §. 229 eadem de Demosthene dicit.

25 21. *ὁ Δημάδης πολεμικοὺς ἀκαίρως τοὺς Ἀθηναίους ὄντας ἔλεγε μηδέποτε χειροτονεῖν εἰρήνην ἄνευ μελάνων ἱματίων.* Plutarch. moral. p. 126. E.

26 22 (Lh. 25). *Ὁ δὲ νεώτερος Ἆγις, Δημάδου λέγοντος, ὅτι τὰ Λακωνικὰ ξίφη διὰ μικρότητα καταπίνουσιν οἱ θαυματοποιοί, καὶ μήν, ἔφη, μάλιστα οἱ Λακεδαιμόνιοι τῶν πολεμίων τοῖς ξίφεσιν ἐφικνοῦνται.* Plutarch. moral. p. 191. E et 216. C. cf. vit. Lycurg. 19.

27 23 (Lh. 9). *Οὐ χεῖρον δὲ καὶ μετάγειν ἐπ' ἄλλα χρειώδη τὸ σπουδαζόμενον, ὡς ἐποίησε Δημάδης, ὅτε τὰς προσόδους εἶχεν ὑφ' ἑαυτῷ τῆς πόλεως· ὡρμημένων γὰρ ἐκπέμπειν τριήρεις βοηθοὺς τοῖς ἀφισταμένοις Ἀλεξάνδρου καὶ χρήματα κελευόντων παρέχειν ἐκεῖνον· Ἔστιν ὑμῖν, ἔφη, χρήματα· παρεσκευασάμην γὰρ εἰς τοὺς Χόας, ὥσθ' ἕκαστον ὑμῶν λαβεῖν ἡμιμναῖον· εἰ δ' εἰς ταῦτα βούλεσθε μᾶλλον, αὐτοὶ καταχρῆσθε τοῖς ἰδίοις. Καὶ τοῦτον τὸν τρόπον, ὅπως μὴ στεροῖντο τῆς διανομῆς, ἀφέντων τὸν ἀπόστολον, ἔλυσε τὸ πρὸς Ἀλέξανδρον ἔγκλημα τοῦ δήμου.* Plutarch. moral. p. 818. F.

ὀνομάτων εὐφημότερον εἰώθασιν οἱ Ἀττικοὶ προφέρεσθαι· καὶ τὸν πίθηκον οὖν καλλίαν προσηγόρευσαν. Δείναρχος ἐν τῷ κατὰ Πυθέου· ἀλλ' οἶμαι ὥσπερ οἱ τοὺς καλλίας ἐν τοῖς οἴκοις τρέφοντες. τουτέστι πιθήκους. Suidas 2, 1 p. 42 Bernh. cf. Bekk. anecd. p. 190, 20 et 275, 6.

3. ἀντιβληθέντας ἀντὶ τοῦ ὑπαγορευθέντας Δείναρχος ἐν τῇ κατὰ Πυθέου εἰσαγγελίᾳ. Harpocr. cf. Bekk. anecd. p. 409, 32.

4. ἀρρηφορεῖν· Δείναρχος κατὰ Πυθέου. δ' μὲν ἐχειροτονοῦντο δι' εὐγένειαν ἀρρηφόροι, β' δὲ ἐκρίνοντο, αἳ τῆς ὑφῆς τοῦ πέπλου ἦρχον καὶ τῶν ἄλλων τῶν περὶ αὐτόν. λευκὴν δ' ἐσθῆτα ἐφόρουν. εἰ δὲ χρυσία περιέθεντο, ἱερὰ ταῦτα ἐγίνετο. Harpocr.

5. βασιλικὴ διαδρομή. ἔοικεν ἡ γινομένη διαδρομὴ τοῦ βασιλέως παρόντος, ὅσπερ εἷς ἐστὶ τῶν Ἀθήνησιν θ' ἀρχόντων, βασιλικὴ διαδρομὴ καλεῖσθαι· Δείναρχος κατὰ Πυθέου. Harpocr.

6. ἐπιμελητὴς ἐμπορίου· Δείναρχος ἐν τῷ κατὰ Πυθέου. Ἀριστοτέλης „ἐμπορίου δ' ἐπιμελητὰς ί κληροῦσιν, τούτοις δὲ προστέτακται τῶν τε ἐμπόρων ἐπιμελεῖσθαι, καὶ τοῦ σίτου τοῦ καταπλέοντος εἰς τὸ Ἀττικὸν ἐμπόρειον τὰ β' μέρη τοὺς ἐμπόρους ἀναγκάζειν εἰς τὸ ἄστυ κομίζειν." Harpocr. cf. Bekk. anecd. p. 255, 21.

7. καταδεδέσθαι ἀντὶ τοῦ πεφαρμακεῦσθαι καὶ δεδέσθαι φαρμάκοις Δείναρχος ἐν τῇ κατὰ Πυθέου εἰσαγγελίᾳ. Harpocr.

8. κοβαλεία· Δείναρχος ἐν τῇ κατὰ Πυθέου εἰσαγγελίᾳ. κοβαλεία ἐλέγετο ἡ προσποιητὴ μετ' ἀπάτης παιδιά, καὶ κόβαλος ὁ ταύτῃ χρώμενος. ἔοικε δὲ συνώνυμον τῷ βωμολόχῳ· Φιλόχορος β' Ἀτθίδος „οὐ γάρ, ὥσπερ ἔνιοι λέγουσι, βωμολόχον τινὰ καὶ κόβαλον γενέσθαι νομιστέον τὸν Διόνυσον." Ἀριστοτέλης δὲ ἐν η' ζῴων ἱστορίας τὸν ὦτόν φησι κόβαλον καὶ μιμητὴν ὄντα ἀντορχούμενον ἁλίσκεσθαι. Harpocr. cf. Bekk. anecd. p. 272, 21.

9. λαμπάδιον. ἣν νῦν ἡμεῖς λαμπάδα καλοῦμεν, οὕτως ὠνόμαζον· Δείναρχος ἐν τῷ κατὰ Πυθέου καὶ Πλάτων ἐν α' τῆς Πολιτείας. Harpocr.

10. μητρῷον· Λυκοῦργος κατ' Ἀριστογείτονος. τοὺς νόμους ἔθεντο ἀναγράψαντες ἐν τῷ μητρῴῳ· δηλοῖ Δείναρχος ἐν τῷ κατὰ Πυθέου. Harpocr. cf. Lycurgi frg. 8.

11. νομοφύλακες. – – Δείναρχος καθ' Ἱμεραίου καὶ ἐν τῷ κατὰ Πυθέου. Harpocr. p. 133, 9. cf. Dinarchi frg.

12. ὑπόλογον. Λυσίας περὶ ἀμβλώσεως. – – – Δείναρχος ἐν τῷ κατὰ Πυθέου· οὐδεὶς ὑπόλογος βουλῇ γέγονεν, ἀντὶ τοῦ οὐδεμία συγγνώμη, οὐδεμία παραίτησις. Harpocr. p. 179, 20. cf. Lysiae frg. 21.

13. χρυσοχοεῖν· Δείναρχος ἐν τῷ κατὰ Πυθέου· πάλιν παρ' Αἰσχίνην ἀποφοιτήσας παρὰ τούτῳ δῆλον ὅτι χρυσοχοεῖν ἐμάνθανεν, ἀλλ' οὐ τὸ προκείμενον αὐτῷ πράττειν ἢ πάσχειν. κέχρηται τῇ παροιμίᾳ καὶ Πλάτων ἐν ε' Πολιτείας λέγων „τί δέ; ἦ δ' ὃς ὁ Θρασύμαχος· χρυσοχοήσοντας οἴει τούσδε νῦν ἐνθάδε ἀφῖχθαι, ἀλλ' οὐ λόγων ἀκουσομένους;" ἄρξασθαι δέ φασι τὴν παροιμίαν ἐντεῦθεν. ἔπεσέ τις φήμη ποτὲ εἰς τὸ πλῆθος τὸ Ἀθηναίων ὡς ἐν Ὑμηττῷ φανείη χρυσοῦ ψῆγμα πολὺ καὶ φυλάττοιτο ὑπὸ τῶν μαχίμων μυρμήκων· οἱ δὲ ἀναλαβόντες ὅπλα ἐξῆλθον ἐπ' αὐτούς. ἄπρακτοι δ' ὑποστρέψαντες καὶ μάτην κεκακοπαθηκότες ἔσκωπτον ἀλλήλους, λέγοντες „σὺ δὲ ᾤου χρυσοχοήσειν", ὅπερ δηλοῖ, σὺ δὲ ᾤου ψῆγμα πολὺ συλλέξας καὶ χρυσοχοήσας πλουτήσειν. ἐχλευάζοντο δὲ καὶ ὑπὸ τῶν κωμικῶν· Εὔβουλος γοῦν ἐν Γλαύκῳ φησὶν „ἡμεῖς ποτ' ἄνδρας Κεκροπίδας ἐπείσαμεν λαβόντας εἰς Ὑμηττὸν ἐξελθεῖν ὅπλα καὶ σιτί' ἐπὶ μύρμηκας ἡμερῶν τριῶν, ὡς χρυσοτεύκτου ψήγματος πεφηνότος." Harpocr. Ad eundem locum videtur pertinuisse glossa in Bekkeri anecdotis: χρυσοχοεῖν ἐμάνθανε τί ἐστι; παροιμία ἐν ἤθει λεγομένη ἀντὶ τοῦ ἐπόρνευσε (p. 316, 3). quanquam haec explicatio sententiae, quam pro-

3. πυθίου BE. ὥσπερ] sic Pytheam ab Atheniensibus nutriri orator fortasse dixerat. 7. ἀντιβληθέντος – ὑπαγορευθέντος E et Bekk. anecd. – ὑπαγορεύειν dictare, praeire verba cf. Demosth. 17 §. 29. 8. πυθίου B, πυθία C. 10. πυθίου BC. – De arrhephoris cf. C. F. Herm. antiqu. sacr. §. 61, 9. 13. 15. γινομένη Bekkerus: γενομένη b. – Lampadephoriam equestrem intelligendam esse (Plat. Civit. 1 p. 328. A. Pollux 8 §. 90), fragmento 9 commendatur. 18. πυθίου BCL. 19. cf. H. Ulrichs in Bergkii diurn. 1844 p. 27 sqq. 21. ἐμπόρων Bekkerus (p. 229): ἐμπορίων b. 29. cf. Lobeck. Aglaoph. p. 1312 sqq. 32. Philoch. frg. 24 Müll. 34. γίνεσθαι operae Bekkeri. Aristoteles hist. anim. 8, 12 p. 597 b 23 Bk. 36. quae apud Harpocrationem sequuntur κόβαλοι δαίμονές εἰσί τινες σκληροὶ περὶ τὸν Διόνυσον, ea videntur aliunde addita esse. Atque in codd. AB ea verba loco alio (p. 115, 6) addita sunt.

1. cf. frg. 5 12. immo τῇ βουλῇ. 15. χρυσοχοεῖον AB. – cf. Welcker. script. min. 1 p. 366 sqq. 16. αἰσχίνου BCG. γὰρ Αἰσχίνου voluit Valcken. apud Pierson. ad Moer. p. 400, sed ἀποφοιτᾶν hic non videtur esse παύσασθαι φοιτῶντα (Lysiae frg. 309. Ruhnken. ad X. Comment. 1. 2, 16), sed magistro vetere relicto ad alium transire. 17. τούτου BC. 18. οὐ] οὐδὲ B. αὐτῷ b cum D: αὐτὸ reliqui. ἢ πάσχειν Salmasius deleri voluit. 19. Plat. Civit. 5 p. 450. B. 20. χρυσοχοήσοντας Plato: χρυσοχόης AB, χρυσοχόος C, χρυσοχοεῖν reliqui. 31. Meinek. com. 3 p. 215. 33. σιτί' cum Valesio b: σὺ ABC, συὸς I.

verbio illo expressam esse reliqua testimonia ostendunt, non convenit.

14. *Χύτροι· — ἔστι δὲ καὶ Ἀττική τις ἑορτὴ Χύτροι, ἧς μνημονεύει Δείναρχος ἐν τῷ κατὰ Πυθέου.* Harpocr. p. 186, 6. cf. Lysiae frg. 5.

VII. *ΚΑΤΑ ΤΙΜΟΚΡΑΤΟΥΣ.*

1. *λογισταὶ καὶ λογιστήρια. ἀρχή τις παρ' Ἀθηναίοις οὕτω καλουμένη· εἰσὶ δὲ τὸν ἀριθμὸν ι', οἳ τὰς εὐθύνας τῶν διῳκημένων ἐκλογίζονται ἐν ἡμέραις λ', ὅταν τὰς ἀρχὰς ἀποθῶνται οἱ ἄρχοντες· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. διείλεκται περὶ τούτων Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ, ἔνθα δείκνυται ὅτι διαφέρουσι τῶν εὐθύνων. μέμνηνται τῆς ἀρχῆς καὶ οἱ κωμικοί· Εὔπολις Πόλεσιν „ἄνδρες λογισταὶ τῶν ὑπευθύνων χορῶν." λογιστήρια δ' ἐστὶ τὰ τῶν λογιστῶν ἀρχεῖα, ὡς Δείναρχος ἐν τῷ κατὰ Τιμοκράτους καὶ Ἀνδοκίδης ἐν τῷ περὶ τῶν μυστηρίων δηλοῦσιν.* Harpocr. cf. Scholia bavar. Demosth. 18 §. 117.

2. *Πάραλος καὶ Σαλαμινία. ταύτας τὰς τριήρεις εἶχον διὰ παντὸς πρὸς τὰς ἐπειγούσας ὑπηρεσίας· ἐφ' αἷς καὶ ταμίαι τινὲς ἐχειροτονοῦντο. ἐχρῶντο δὲ αὐταῖς, εἰ δέοι στρατηγὸν μεταπέμψασθαι κριθησόμενον, ὥσπερ Ἀλκιβιάδην. ἡ δὲ Πάραλος δὴ ἀπό τινος ἥρωος ἐπιχωρίου ἐκλήθη. τῆς μὲν Παράλου καὶ Σαλαμινίας ἐν τρίτῃ μνημονεύει Θουκυδίδης καὶ Ἀριστοφάνης ἐν Ὄρνισιν, Ἀριστοτέλης δὲ Ἀμμωνιάδα καὶ Πάραλον οἶδε, καὶ Δείναρχος ἐν τῷ κατὰ Τιμοκράτους. Φιλόχορος δὲ ἐν τῇ ς' τέτταρας αὐτὰς οἶδε, πρώτας μὲν δύο, Ἀμμωνιάδα καὶ Πάραλον, προσγενομένας δὲ Δημητριάδα καὶ Ἀντιγονίδα. ἐκαλοῦντο δὲ οἱ ἐμπλέοντες τῇ Παράλῳ Πάραλοι, ὡς καὶ παρ' Αἰσχίνῃ, οἱ δὲ τῇ Σαλαμινίᾳ Σαλαμίνιοι.* Fragm. cantabrig. p. 675, 28.

VIII. *ΚΑΤΑ ΛΥΚΟΥΡΓΟΥ ΕΥΘΥΝΑΙ.*

Lycurgum oratorem saepe munerum a se administratorum rationes reddidisse verisimile est: cf. Meier. de Lycurgo p. LXXXVII sq. et quae de Lycurgi frg. 1 supra dixi. Sed qua potissimum in causa haec Dinarchi oratio dicta sit non potest diiudicari.

1. *μὴ ἀγνοῶμεν δὲ ὅτι καὶ ἄλλοι εἰσὶν ἱεροποιοὶ τῶν σεμνῶν θεῶν, τὸν ἀριθμὸν δέκα. Δημοσθένης ἐν τῷ κατὰ Μειδίου· „περιεῖδε δὲ ταῖς σεμναῖς θεαῖς ἱεροποιὸν αἱρεθέντα ἐξ Ἀθηναίων ἁπάντων καὶ περὶ τὸν αὐτὸν καιρὸν καταρξάμενον". Δείναρχος δὲ ἐν τῷ κατὰ Λυκούργου εὐθυνῶν φησι· καὶ τὰς σεμνὰς θεὰς αἷς ἐκεῖνος ἱεροποιὸς καταστὰς δέκατος αὐτός.* Etymol. magn. p. 469, 6.

2. *διαγράψαντος· Δείναρχος κατὰ Λυκούργου. μήποτε ἀντὶ τοῦ καταβαλόντος καὶ καταθέντος. ἔνιοι δὲ ἀντὶ τοῦ διὰ τραπέζης ἀριθμήσαντος, ὡς λέγομεν ἐν τῇ συνηθείᾳ.* Harpocr.

3. *καταλεύσιμον τὸν ἄξιον τοῦ καταλευσθῆναι λίθοις εἶπε Δείναρχος ἐν τῷ κατὰ Λυκούργου.* Photius p. 138, 13 et Suidas 2, 1 p. 110 Bernh.

4. *τρίτον ἡμίδραχμον· Δείναρχος κατὰ Λυκούργου. τὰς β' ἥμισυ δραχμὰς οὕτως εἰώθασιν ὀνομάζειν οἱ παλαιοί.* Harpocr.

IX. *ΣΥΝΗΓΟΡΙΑ ΑΙΣΧΙΝΗΙ ΚΑΤΑ ΔΕΙΝΙΟΥ*

Neque de his hominibus neque de causa quidquam dici potest. Fortasse de oratore Deinia Erchiensi (cf. Demosth. 20 §. 146. 151 sq.) cogitandum est.

1. *κλιμάξῃ. Δείναρχος ἐν τῷ ἐπιγραφομένῳ συνηγορία Αἰσχίνῃ κατὰ Δεινίου ὅταν οὖν ἀπολογούμενος κλιμάξῃ καὶ παράγῃ τοὺς νόμους ἀντὶ τοῦ παρακλίνῃ καὶ παρατρέπῃ. μήποτε δὲ δεῖ γράφειν βλιμάξῃ, ἵν' ᾖ οἷον θλίβῃ καὶ βιάζηται.* Harpocr. *βλιμάζειν τὸ ταῖς χερσὶ διαθλίβειν. καὶ τὸ τὰ κηρία θλῖψαι βλίσαι λέγεται.* Harpocr. p. 15, 3. cf. Bekk. anecd. p. 221, 16. *κλιμακίζειν. μέμνηται Δείναρχος ἐν τῇ ὑπὲρ Αἰσχίνου συνηγορίᾳ, λέγων· οὗτος κλιμακίζει τοὺς νόμους. ἔστιν δὲ οἷον παράγει καὶ διαστρέφει· ἴσως ἀπὸ τῆς κλίμακος εἰρημένου τοῦ ὀνόματος, ἥτις οὖσα ὄργανον βα-*

---

8. cf. C. F. Hermann. antiqu. §. 154. 11. Demosth. 18 §. 117. 13. cf. frg. cantabr. p. 672, 20. 14. *εὐθύνων* L. Dindorfius (in H. Steph. lex.): *εὐθυνῶν* b. 15. Meinek. com. gr. 2 p. 518 sq. 18. Andocid. 1 §. 78. 20. cf. de navibus sacris Atheniensium A. Boeckh. de re nav. p. 76 sqq. 23. *αὐτοῖς* codex. 24. *δὴ* Sauppius: *καὶ* codex. 26. Thucyd. 3, 33 et 77. Aristoph. Avv. 147. 27 et 30. *Ἀμμωνιάδα* Sauppius: *ἀμοριάδα* codex. cf. Dinarchi frg. XIV, 1. 29. *Φιλόχορος* Dobraeus (p. 734 ed. lips.): *στησίχορος* liber. Philoch. frg. 30 Müll. 31. *Ἀντιδονίδα* codex. 32 Aeschin. 3 §. 162. 33. *οἱ δὲ* Dobraeus (1834): *οἷον* codex.

4. C. F. Herm. ant. publ Gr. §. 150, 1. Ussing. inscr. graec. p. 47 sq. 5. Demosth. 21 §. 115. 6. *Μειδίου* Sauppius: *Μειδίου· οὐ* erat. *δὲ* addidi ex Demosthene. 7. *καὶ περὶ τὸν αὐτὸν καιρὸν*] *τρίτον αὐτὸν καὶ* Demosth. 9. erat *εὐθύνων*. quod hic tradi videtur Lycurgum Eumenidum sacrificulum aliquando fuisse ab hominibus doctis neglectum est 12. *διαγράψαντες* I. 27. *κλιματίζει* B, *κλιμάζει* AC. 28. *Αἰσχίνῃ* cum Valesio b: *αἰσχί* C, *αἰσχίνης* reliqui. *Δεινίου* b cum C: *δινίου* reliqui. *ὅταν*] *οὗτος*, quod apud Suidam legitur, placet Bernhardyo, ita ut ubique indicativos restitui velit. 31. *βλιμάζειν* BCN, *βλιμάζει* A. *θλίβῃ καὶ βιάζηται* b cum N: *θλίβει καὶ βιάζεται* reliqui. 34. *καμμακίζειν* V. 35. *συνηγορίᾳ* cum H. Valesio b: *εἰσηγορίᾳ* libri. — Apparet in Dinarchi libris *κλιμάξῃ* (vel *κληιμάξῃ*, nam sic Harpocrationem certe scribere voluisse ordo literarum docet) scriptum fuisse. Quod cum corruptum esse intelligerent, alii *βλιμάξῃ*, alii *κλιμακίζῃ* substitui voluerunt. Neque de sensu dubitari potest. Huic vero *κλιμακίζῃ* magis videtur convenire, quam *βλιμάξῃ*.

σανιστικὸν διαστρέφει τὰ σώματα τῶν βασανιζομένων. Suidas 2, 1 p. 296 B. cf. Bekk. anecd. p. 221, 19. 272, 15. Etymol. M. p. 200, 54.

2. *ἐκμαρτυρία διαφέρει τῆς μαρτυρίας, ὅτι ἡ μὲν μαρτυρία τῶν παρόντων ἐστίν, ἡ δ᾽ ἐκμαρτυρία τῶν ἀπόντων. σαφέστατα δὲ περὶ τούτων διδάσκουσι Δημοσθένης τε ἐν τῷ κατὰ Στεφάνου καὶ Δείναρχος ἐν τῷ ὑπὲρ Αἰσχίνου κατὰ Δεινίου.* Harpocr.

3. *παραφρυκτωρεῖν· Δείναρχος ἐν τῇ κατὰ Δεινίου ἐνδείξει. τὸ τοῖς φρυκτοῖς παρὰ τὸ προσῆκον χρῆσθαι, τουτέστιν ἐπὶ συμφέροντι μὲν τῶν πολεμίων ἐπὶ βλάβῃ δὲ τῶν φιλίων, οὕτως ἔλεγον, ὡς ὁ αὐτὸς ῥήτωρ ἐν τῷ λόγῳ αὐτὸ ἐξηγήσατο.* Harpocr.

4. *πινάκια τὰ καθιέμενα ἀντὶ κλήρων τοῖς κληρουμένοις. ἔοικε δ᾽ εἶναι ταῦτα χαλκᾶ, ὡς ὑποσημαίνει Δημοσθένης ἐν τῷ περὶ τοῦ ὀνόματος. ἐν δὲ τοῖς Φιλιππικοῖς ὅταν λέγῃ „μικρόν, ὦ Ἀθηναῖοι, μικρὸν πινάκιον πάντα ταῦτα", ἐνταῦθα τυχὸν πινάκιον λέγει εἰς ὃ ἐγγράφεται τὰ ἐγκλήματα τὰ κατὰ τῶν εἰσαγγελλομένων, ὡς καὶ παρὰ Δεινάρχῳ ἐν συνηγορίᾳ Αἰσχίνῃ δείκνυται.* Harpocr.

5. *φρυκτωρῶν. φρυκτωρεῖν ἐστὶ κυρίως τὸ διὰ πυρσῶν ἀνατεινομένων σημαίνειν ὁτιοῦν· Δείναρχος ἐν τῇ Αἰσχίνου συνηγορίᾳ κατὰ Δεινίου.* Harpocr.

5^b. cf. frg. incert. 13.

$_2$X. *ΚΑΤΑ ΦΟΡΜΙΣΙΟΥ ΑΣΕΒΕΙΑΣ.*

Cum Phormisii nomen haud ita vulgare Athenis fuisse videatur, Phormisium aliquis eundem esse existimare possit, qui a Dinarcho 1 §. 38 commemoratur. Sed id per temporum rationes ferri non potest.

1. *ἀποβάτης καὶ ἀποβαίνειν καὶ ἀποβατικοὶ τροχοί. Δείναρχος κατὰ Φορμισίου καὶ ἐν τῇ πρὸς Ἀντιφάνην ἀπολογίᾳ.* Harpocr. cf. Lycurgi frg. 20.

2. *ἠλινδημένον· ἀντὶ τοῦ ἀνεστραμμένον· Δείναρχος ἐν τῷ κατὰ Φορμισίου, ὅπῃ Ἰσοκράτης καλινδεῖσθαι λέγει.* Photius lex. p. 66, 25. Suidas 1, 2 p. 838, 21.

3. *προστρόπαιον. Αἰσχίνης περὶ τῆς πρεσβείας „ἐάσετε οὖν αὐτὸν τὸ τοιοῦτον προστρόπαιον" ἀντὶ τοῦ ἄγος καὶ τὸ μίασμα. καὶ προστροπὴ δὲ καὶ ἀρὰ ταὐτὸ λέγεται· ἐν γοῦν τῷ κατὰ Κτησιφῶντος ἐκ παραλλήλου τίθησι τὰ ὀνόματα ὁ ῥήτωρ. κεῖται δὲ τοῦτο τὸ ὄνομα καὶ παρὰ Δεινάρχῳ ἐν τῷ κατὰ Φορμισίου ἀσεβείας.* Harpocr.

4. *ὑποφόνια τὰ ἐπὶ φόνῳ διδόμενα χρήματα τοῖς οἰκείοις τοῦ φονευθέντος, ἵνα μὴ ἐπεξίωσιν· Δείναρχος ἐν τῷ κατὰ — Φορμισίου.* Harpocr. cf. Dinarchi frg. $_2$XVIII, 11.

$_2$XI. *ΚΑΤΑ ΚΑΛΛΑΙΣΧΡΟΥ ΠΕΡΙ ΤΩΝ ΤΙΜΩΝ.*

1. *κύκλοι· Δείναρχος ἐν τῷ κατὰ Καλλαίσχρου. κύκλοι ἐκαλοῦντο οἱ τόποι ἐν οἷς ἐπωλοῦντό τινες· ὠνομάσθησαν δὲ ἀπὸ τοῦ κύκλῳ περιεστάναι τοὺς πωλουμένους. Μένανδρος Ἐφεσίῳ „ἐγὼ μὲν ἤδη μοι δοκῶ νὴ τοὺς θεοὺς ἐν τοῖς κύκλοις ἐμαυτὸν ἐκδεδυκότα ὁρᾶν, κύκλῳ τρέχοντα καὶ πωλούμενον."* Harpocr.

2. *Κηφισόδωρος· — ἕτερος δ᾽ ἂν εἴη Κηφισόδωρος, ὃς ἵππαρχος ὢν ἐν Μαντινείᾳ μετὰ Γρύλλου τοῦ Ξενοφῶντος ἀπέθανεν, οὗ μνημονεύει Δείναρχος ἐν τῷ κατὰ Καλλαίσχρου.* Harpocr. p. 111, 7. cf. Lycurgi frg. 82.

$_2$XII. *ΤΥΡΡΗΝΙΚΟΣ.*

De argumento et tempore huius orationis bene exposuit A. Boeckhius de re navali Athen. p. 459.

1. *περίστασιν. Δείναρχος Τυρρηνικῷ· μετὰ ταῦτα τοῦ Δάμωνος ἤδη περὶ ἀναγωγὴν ὄντα με περίστασιν ποιησαμένου καὶ μαρτυρεῖν ἀξιοῦντος καὶ τὰ ἑξῆς. μήποτε τοιοῦτόν ἐστι τὸ λεγόμενον, ἐν κύκλῳ περιέστη με αὐτὸς καὶ οἱ συμπαρόντες αὐτῷ, καὶ μαρτυρεῖν ἠνάγκαζον, ἵνα τὴν αὐτὴν ἔννοιαν ἔχῃ τῷ περιστατόν με ἐποίησαν. ἐν ἐνίοις δὲ παράστασιν γράφεται.* Harpocr.

2. *κερκοῦρος εἶδός τι νεώς· Δείναρχος Τυρρηνικῷ.* Harpocr.

---

4. *ἐκμαρτυρία*] cf. Dinarchi frg. $_2$LX, 1 et 2. 7. Demosth. 46 §. 7. 8. 8. *κατὰ*] *καὶ* B. *δινίου* AB. 9. *τῇ*] *τῷ* ABC. 13. *αὐτὸ* A: *αὐτοὶ* BC, *αὐτῷ* b. Dinarchi videntur fere haec verba esse: *ἐπὶ συμφέροντι — φιλίων.* 14. cf. Fritzschius de sortitione iudicum p. 26 sq. 16. Demosth 39 §. 12. 17. Demosth. 8 §. 28. 18. *ταῦτα, ἐνταῦθα τυχὸν* Schaefer. (appar. dem. 1 p. 511): *τὰ ἐνταῦθα, τυχὸν* b. 20. *αἰσχίνη* A, *αἰσχίνου* B. 22. *φρυκτωρῶν*] *φρυκτωρεῖν* B, om. C. 24. *Αἰσχίνῃ* Bekkerus: *Αἰσχίνου* b. *κατηγορία* ABC. *κατὰ*] *καὶ* C. *ὥς τι* *δεινίου* b cum C: *δινίου* reliqui. 34. *φορμησίου* B. *ἀπολλοφάνην* B. 38. *ὅπερ* Suidas. Isocrat. 5 §. 81. 14 §. 20.

1. Aeschin. 2 §. 158. 2. *ἐάσετε* Aeschines: *ὅσα τε* ABC, *ἐάσατε* b. 3. *καὶ ἀρὰ ταὐτὸ* Sauppius: *παρὰ τοῦτο* b. cf. epist. crit. ad G. Herm. p. 53 sq. 4. Aeschin. 3 §. 54. 6. *φορμίωνος* BC. 15. cf. Becker. Charicl. 1 p. 269 ff. 18. Meinek. com 4 p. 125. 21. cf. Diog. Laert. 2 §. 54 31. *τυραννικῷ* B. 32. *ἤδη περιαγωγὴν* BC. *ὄντα με*] cf. Matth. Gr. Gr. §. 421 adnot. 4. *περίστασιν ποιεῖσθαι τινα* = *περιΐστασθαί τινα.* 33. *ποιησαμένου* Bekkerus: *ποιήσουσιν οὗ* A et Photius, *ποιήσουσιν οἷς* BCG, *ποιήσαντος* N. — Explicatione grammaticis hoc egere visum est, quod Damo unus *circumstetisse* eum, qui navem solvere vellet, dicebatur. 38. *παράστασις* BC. 39. *τυραννικῷ* ABC.

3. *Λιπάρα· Δείναρχος Τυρρηνικῷ. μία τῶν καλουμένων Αἰόλου νήσων περὶ τὴν Σικελίαν ἡ Λιπάρα, ὡς Εὔδοξος ζ' περιόδου.* Harpocr.

4. *οἴκημα ἀντὶ τοῦ δεσμωτήριον Δείναρχος ἐν Τυρρηνικῷ καὶ ἐν τῷ κατὰ Ποσειδίππου, ἀντὶ δὲ τοῦ πορνεῖον Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου.* Harpocr.

5. *Στροφάδες νῆσοι· Δείναρχος Τυρρηνικῷ. νῆσοί τινές εἰσι μεταξὺ Ζακύνθου καὶ Ἤλιδος κείμεναι.* Harpocr.

6. Ad eandem fortasse orationem pertinet Harpocrationis glossa p. 21, 21. *Ἀντιάταις τοῖς ἀπὸ Ἀντίου πόλεως, ἥτις ἀπέχει Ῥώμης τ' σταδίους.* Nam Antiates pariter atque Tyrrhenos illis temporibus piratica infames fuisse Strabo 5. 3 §. 5 tradidit.

₂XIII. *ΚΑΤΑ ΔΙΟΝΥΣΙΟΥ ΤΟΥ ΕΠΙ ΤΗΣ ΔΙΟΙΚΗΣΕΩΣ.*

Cf. Meier. in Kiesslingii Lycurgeis p. XVII.

ὀργεῶνές εἰσιν οἱ κοινωνοῦντες ἀλλήλοις θεῶν ἢ ἡρώων ἐν ἱεροῖς καὶ κοινῇ θυηπολοῦντες, ὡς Δείναρχος λέγει ἐν τῷ κατὰ Διονυσίου. καὶ πάλιν ὀργεῶνές τινες, ἐν Ἀπολογίᾳ ὕβρεως σαφὲς ποιεῖ. οὗτοί εἰσιν οἱ τοῖς ἰδίᾳ ἀφιδρυμένοις θεοῖς ὀργιάζοντες καὶ τῶν ἱερῶν δὲ κοινωνοῦντες ὀργεῶνας ἑαυτοὺς ἐκάλουν. Bekk. anecd. p. 191, 27.

₂XIV. *ΚΑΘ' ΙΜΕΡΑΙΟΥ ΕΙΣΑΓΓΕΛΤΙΚΟΣ.*

Himeraeus Demetrii Phalerei frater videtur intelligendus esse.

1. *Ἀμμωνὶς ἡ τοῦ Ἄμμωνος ἱερὰ τριήρης· Δείναρχος ἐν τῷ κατὰ Ἱμεραίου.* Harpocr.

2. *νομοφύλακες. ἀρχή τις παρ' Ἀθηναίοις οὕτως ἐκαλεῖτο, διαφέρουσα τῶν θεσμοθετῶν· Δείναρχος καθ' Ἱμεραίου καὶ ἐν τῷ κατὰ Πυθέου. Φιλόχορος δὲ ἐν τῷ ζ' ἄλλα τέ τινα διεξῆλθε περὶ αὐτῶν, καὶ ὅτι οὗτοι τὰς ἀρχὰς ἠπηνάγκαζον τοῖς νόμοις χρῆσθαι.* Harpocr.

₂XV. *ΚΑΤΑ ΠΙΣΤΙΟΥ ΕΙΣΑΓΓΕΛΙΑ.*

De Pistia eiusque causa cf. A. Westerm. quaest. dem. 3 p. 124 et Maetzner. ad Dinarchi 1 §. 52.

1. *ἔσχε δὲ τρεῖς παῖδας* (Lycurgus) *ἐκ Καλλιστοῦς, τῆς Ἅβρωνος μὲν θυγατρός, Καλλίου δὲ τοῦ Ἅβρωνος Βατῆθεν ἀδελφῆς, τοῦ ταμιεύσαντος στρατιωτικῶν ἐπὶ Χαιρώνδου ἄρχοντος· περὶ δὲ τῆς κηδείας ταύτης λέγει ὁ Δείναρχος ἐν τῷ κατὰ Πιστίου.* Vitae decem oratt. p. 842. F.

2. *βουλεύσεως εγκλήματος ὄνομα ἐπὶ δυοῖν ταττόμενον πραγμάτων· τὸ μὲν γάρ ἐστιν ὅταν ἐξ ἐπιβουλῆς τίς τινι κατασκευάσῃ θάνατον, ἐάν τε ἀποθάνῃ ὁ ἐπιβουλευθεὶς ἐάν τε μή. τὸ δ' ἕτερον ὅταν — —. τοῦ μὲν οὖν προτέρου μάρτυς Ἰσαῖος ἐν τῷ πρὸς Εὐκλείδην, ἐπὶ παλλαδίῳ λέγων εἶναι τὰς δίκας, Δείναρχος δὲ ἐν τῷ κατὰ Πιστίου ἐν Ἀρείῳ πάγῳ.* Harpocr. p. 46, 4. cf. Isaei frg. 62.

₂XVI. *ΚΑΤ' ΑΓΑΣΙΚΛΕΟΥΣ ΕΙΣΑΓΓΕΛΙΑ.*

Agasicles, servi publici filius et ipse servus publicus, corruptione effecerat, ut ab Halimusiis in demotarum indicem referretur et ita civitatem atticam nancisceretur. Quod cum factum esset, festis diebus vel ipse vel filii eius ad certamina et munera quaedam, quae ad cives atticos tantum pertinerent, videntur aditum sibi aperuisse. Quare *εἰσαγγελίᾳ* reus actus est, non quod peregrinus esset, sed quod arrogasset sibi, quae peregrini non essent vel a peregrino fieri nefas esset. Nam *εἰσαγγελίᾳ* peregrinitatis rei non solebant in iudicium vocari, sed *γραφῇ* (cf. ad orat. V). *ξενίας* igitur non Dionysii esse puto, sed Dinarchi orationem ipsam hoc initium habuisse.

1. *Ἀγασικλῆς· — γέγραπται καὶ Δεινάρχῳ λόγος κατ' αὐτοῦ, ἐν ᾧ δεδήλωται ὅτι Ἁλιμουσίους συνδέκασε καὶ διὰ τοῦτο ξένος ὢν τῇ πολιτείᾳ ἐνεγράφη.* Harpocr. cf. Hyperidis frg. or. LIX, 5.

2. *εὐανδρία· Δείναρχος ἐν τῷ κατ' Ἀγασικλέους.*

---

1. *Τυρρηνικῷ* cum Valesio b: *τυραννικῷ* libri. — cf. Boehneck. quaestt. oratt. 1 p. 568. 5. *Τυρρηνικῷ* cum Valesio b: *τυραννικῷ* ABC. 6. Aeschin. 1 §. 74. 7. *Στροφάδες* cum Valesio b; *στρομβίδες* ABCG, *στρομφίδες* D. *Τυρρηνικῷ* cum Valesio b: *τυραννικῷ* libri. 11. *ἀντιάτας τοῖς* E. 21. *ἢ* add. Bekkerus cum Ruhnkenio hist. crit. orat. p. 92. — De re cf. Hermann. antiqu. gr. §. 99, 7. 10. 22. *Δείναρχος* Ruhnkenius: *Χάρης* b. cf. Albert. ad Hesych. 2 p. 775. 24. cf. Dinarchi frg. or. ₂LVIII. 26. *κοινωνοῦντες* Sauppius: *κρίνοντες* codex. *ἑαυτοὺς* Sauppius: *ἑαυτοὺς ἀλλήλους* codex. 33. cf. Dinarchi frg. or. ₂VII, 2. 34. *ἡμεραίου* ABCF. 35. cf. Boeckh. de atthide Philochori p. 26. Hermann. ant. gr. publ. §. 129, 16. 37. *ἡμεραίου* AC, *ἡμερίου* B. cf. Dinarchi frg. ₂VI, 11. Philochori frg. 141. Müll.

5. *καλιστοῦς* codd. *ah*. 6. *Ἅβρωνος e: ἅβρωνος* reliqui. cf. G. Keilii anal. epigr. p. 139. *Καλλίου* Salmasius: *καλαιοῦ* libri. 8. *Χαιρώνδου ah: χαρώνδου* ceteri. — Ol. 110. 3. 9. *Πιστίου* Meursius (lectt. att. 3, 5): *παστίου* libri. 17. *πιστίου* C. 36. *δημάρχῳ* codd. ABCFGHKO (*Δεινάρχῳ* ut videtur M). 40 de hoc certamine cf. Meier. de Andoc. or. c. Alcib. 5 p. 117 sq. et Hermann. ant. sacr. Graec. § 54, 29.

Παναθηναίοις εὐανδρίας ἀγὼν ἤγετο. Ἀνδοκίδης τ' ἐν τῷ κατ' Ἀλκιβιάδου δηλοῖ καὶ Φιλόχορος. Harpocr. Digna sunt quae conferantur Bekk. anecd. p. 257, 13: *εὐανδρία· ἀγών τις εὐανδρίας τοῖς Παναθηναίοις ἀγόμενος, οὗ κοινωνεῖν οὐκ ἐξῆν τοῖς ξένοις.* nam postrema ostendunt haec ad eundem locum Dinarchi pertinuisse.

3. *σκαφηφόροι. Δείναρχος ἐν τῷ κατὰ Ἀγασικλέους φησίν· οἳ ἀντὶ σκαφηφόρων ἔφηβοι εἰς τὴν ἀκρόπολιν ἀναβήσονται, οὐχ ὑμῖν ἔχοντες χάριν τῆς πολιτείας ἀλλὰ τῷ τούτου ἀργυρίῳ, ἀντὶ τοῦ μέτοικοι· οὗτοι γὰρ ἐσκαφηφόρουν Ἀθήνησι. Δημήτριος γοῦν ἐν γ' Νομοθεσίας φησὶν ὅτι προσετάττεν ὁ νόμος τοῖς μετοίκοις ἐν ταῖς πομπαῖς αὐτοῖς μὲν σκάφας φέρειν, τὰς δὲ θυγατέρας αὐτῶν ὑδρεῖα καὶ σκιάδια. διείλεκται περὶ τούτων καὶ Θεόφραστος ἐν ι' Νόμων.* Harpocr.

4. *προμετρητής· Ὑπερίδης ἐν τῷ περὶ τοῦ ταρίχους. Δείναρχος κατ' Ἀγασικλέους· Σκύθου τοίνυν τοῦ προμετρητοῦ ἦν υἱὸς καὶ ἐν δημοσίοις γέγονε καὶ αὐτὸς ἐν τῇ ἀγορᾷ προμετρῶν διατετέλεκεν.* Harpocr. cf. Hyper. frg. or. LIX, 12. Plenior est locus Dinarchi apud Suidam 2, 2 p. 447, 14: *προμετρητής· ὁ τοῖς πιπρασκομένοις πυροὺς ἐν τῇ ἀγορᾷ καὶ τῶν ἄλλων σπερμάτων ἕκαστον διαμετρῶν, καὶ τούτου τοῦ ἔργου μισθὸν λαμβάνων προμετρητὴς ἐκαλεῖτο. Δείναρχος· Ὁ Σκύθου τοῦ προμετρητοῦ υἱὸς ἐν δημόταις γέγονε καὶ ὁ αὐτὸς ἐν τῇ ἀγορᾷ προμετρῶν διατετέλεκε καὶ ὑμεῖς ἐκλαβόμενοι παρ' αὐτοῦ τοὺς πυροὺς διατελεῖτε.* postrema ante Bekkerum etiam in Harpocrationis exemplis addi solebant, sed cum Bekkerus in libris suis non invenerit, ex Suidae tantum loco videntur ab editoribus in Harpocrationis glossam translata esse. Dinarchi igitur verba videntur haec fuisse: *Σκύθου τοίνυν τοῦ προμετρητοῦ ἦν υἱὸς καὶ ἐν δημοσίοις γέγονε καὶ αὐτὸς ἐν τῇ ἀγορᾷ προμετρῶν διατετέλεκε καὶ ὑμεῖς ἐκλαμβανόμενοι παρ' αὐτοῦ τοὺς πυροὺς διατελεῖτε.*

5. *ἀπόταφος ἀντὶ τοῦ ἀπεστερημένος τῶν προγονικῶν τάφων Δείναρχος ἐν τῇ κατ' Ἀγασικλέους εἰσαγγελίᾳ.* Harpocr. cf. Bekk. anecd. p. 437, 13.

[XVI. ΚΑΤΑ ΘΕΟΚΡΙΝΟΥ ΕΝΔΕΙΞΙΣ.

Dionysius hanc orationem sine dubitatione in genuinis Dinarchi numerat neque qui Demosthenis genus dicendi bene perspectum habet dubitare potest, quin Demosthenis illa esse non possit: de callimacheo vero orationum demosthenicarum, quas habemus, ordine in epist. crit. ad G. Herm. p. 49 exposui. Quodsi Dinarchi est, in antiquissimis quas scripsit habenda fuerit: cf. Clinton. F. H. ad a. 333.

1. *ἀγραφίου εἶδός τι δίκης οὕτω καλουμένης κατὰ τῶν ὀφειλόντων μὲν τῷ δημοσίῳ καὶ διὰ τοῦτο ἐγγραφέντων, εἶτα πρὶν ἐκτῖσαι ἐξαλειφθέντων. διδάσκουσι δὲ τοῦθ' οὕτως ἔχειν Δημοσθένης τε ἢ Δείναρχος ἐν τῷ κατὰ Θεοκρίνου καὶ Λυκοῦργος ἐν τῷ κατ' Ἀριστογείτονος, ἔτι τε Πυθέας ἐν τῇ πρὸς τὴν ἔνδειξιν ἀπολογίᾳ.* Harpocr.

2. *Θεοκρίνης. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος λοιδορούμενος Αἰσχίνῃ φησὶ „τραγικὸς Θεοκρίνης." βούλεται δὲ λέγειν αὐτὸν συκοφάντην, ἐπειδὴ ὁ Θεοκρίνης τοιοῦτος, ὡς ἔστι δῆλον ἐκ τοῦ κατὰ Θεοκρίνου, εἴτε Δημοσθένους ἐστὶν εἴτε Δεινάρχου οὗτος ὁ λόγος· τὸν γοῦν πάλαι μὲν ὑποκριτὴν τραγικὸν ὕστερον δὲ συκοφάντην εἰκότως ὠνόμασε „τραγικὸν Θεοκρίνην".* Harpocr.]

XVII. ΚΑΤΑ ΣΤΕΦΑΝΟΥ ΠΕΡΙ ΤΟΥ ΟΧΕΤΟΥ.

Quanquam certi quidquam neque de reo neque de causa dici potest, tamen id videtur apparere canali aliquo ducto agros sacros vel publicos demi alicuius detrimentum cepisse ideoque Stephanum reum factum esse. Iam cum Harpocratio (frg. 4) orationem *περὶ τοῦ ὀχετοῦ* inscriptam fuisse testetur et vox *χαρανόμων* apud Dionysium coniectura tantum nitatur, satius est coniectura haud difficiliori efficere, ut ne testimonia Dionysii et Harpocrationis sibi adversentur.

1. *γηπέδων· Δείναρχος ἐν τῷ κατὰ Στεφάνου. γήπεδον τὸ χωρίον, ὥσπερ καὶ οἰκόπεδον τὸ γῇ καὶ οἰκήμασιν ἀπαρτιζόμενον. Πλάτων γοῦν ἐν ε' Νόμοις φησὶν „ὧν ἔλαχεν οἰκοπέδων ἢ γηπέδων."* Harpocr.

2. *δημοτελῆ καὶ δημοτικὰ ἱερὰ διέφερον ἀλλήλων καὶ τῶν ὀργεωνικῶν καὶ τῶν γενικῶν, ὡς Δείναρχος δηλοῖ ἐν τῷ κατὰ Στεφάνου.* Harpocr.

---

1. τ' Bekkerus: δ' b. — Andocid. 4 §. 42. 2. Philochor. frg. 27 Müll. 8. *κατὰ* om. CG. — cf. Meier. in encyclop. halensi s. v. *Panathenaea* p. 288 sq. *ἀγησικλέους* D. 10. *ἡμῖν* BCDG. 18. *προμετρητὰς* A, *προμετρήσας* N. — cf. Herm. ant. publ. Gr. §. 150, 14. 19. *τοίνυν* om. D. 20. *ἦν* om AN. *δημοσίοις* Sauppius: *δημόταις* b. 21. *αὐτὸς* D. *οὕτως* AN. *προμετρωδία τετέλεκεν* D, *μετρῶν διατετέλεκε* A. 26. *καὶ τούτου* Bernhardy: *καὶ ὁ τούτου* libri. 27. *σκύθης* V. 28. *καὶ ὁ αὐτὸς — διατετέλεκε* om. A. 30. *ἐκλαμβανόμενοι* Bernhardy.

14. *τε ἢ Δείναρχος* om. C. — [Demosth.] or. 58 §. 51. *ἢ* Valesius: *καὶ* libri (praeter C). *δίναρχος* A. 15. Lycurg. frg. 6. 18. Demosth. 18 §. 313. 39. Plato de Legg. 5 p. 741. C.

3. *Ἐρχιάθεν·* *Δείναρχος κατὰ Στεφάνου. Ἐρχιὰ δῆμός ἐστι τῆς Αἰγηΐδος, ὥς φησι Διόδωρος.* Harpocr.

4. *Παιανιεῖς καὶ Παιονίδαι. Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος „ὅτ' ἐγράψατο εἰς Ἄρειον πάγον Δημομέλη τὸν Παιανιέα ἀνεψιὸν ὄντα.“ Δίδυμος γραπτέον εἶναί φησι Παιανέα, χωρὶς τοῦ ι. εἰσὶ δὲ διττοὶ δῆμοι Παιανιέων τῆς Πανδιονίδος φυλῆς, οὓς Διόδωρος καλεῖσθαί φησι Παιανιέων καθύπερθεν καὶ Παιανιέων ὑπένερθεν· ὁμοίως δ' ἑκατέρου τῶν δήμων τὸν δημότην καλεῖσθαί φησι Παιανιέα. διαφέρουσι δὲ οὗτοι τῶν Παιονιδῶν, ὡς Ἴστρος ἐν Ἀτάκτῳ ὑποσημαίνει. μνημονεύουσι δὲ καὶ τούτων οἱ ῥήτορες, ὥσπερ καὶ Δείναρχος ἐν τῷ κατὰ Στεφάνου περὶ τοῦ ὀχετοῦ. δῆμος δέ ἐστιν οὗτος τῆς Λεοντίδος, ὡς ὁ αὐτὸς Διόδωρος δηλοῖ.* Harpocr.

5. *Παλληνεύς. — — τὸ δὲ ἐκ τόπου ἐπίρρημα Δείναρχος ἐν τῷ κατὰ Στεφάνου Παλλήνηθεν φησίν, ὁ δὲ δημότης Παλληνεύς. ὅτι δ' ἐστὶ καὶ ἐν Θρᾴκῃ Παλλήνη, γνώριμον.* Harpocr. cf. Hyperidis frg. or. LIX, 11.

6. *ὑποκυδεῖς γάρ εἰσιν οἱ τόποι·* *Δείναρχος ἐν τῷ κατὰ Στεφάνου. ὑποκυδής ἐστιν ὁ δίυγρος, ὡς ἐκ τῆς γ' Κτησίου φανερόν ἐστιν. Εὐφορίων „οἷόν θ' εἰαμενῆς ὑποκύδεος.“ ἐν ἐνίοις μέντοι τῶν ἀντιγράφων παρὰ τῷ ῥήτορι γέγραπται ὑπόκοιλοι.* Harpocr. cf. Bekk. anecd. p. 312, 5: *ὑποκυδεῖς τίνες εἰσί; κοῖλοι τόποι.*

XVIII. *ΚΑΤΑ ΚΑΛΛΙΣΘΕΝΟΥΣ ΕΙΣΑΓΓΕΛΙΑ.*

Quae ex hac oratione exstant, magis in avia errorum, quam in viam veritatis ducunt. Nam cum Callisthenes quidam a. 357 a. Chr. n. rem frumentariam bene curavisse tradatur (Demosth 20 §. 33) et Callisthenes quidam corona aurea a populo ornatus esse dicatur (Lycurgi frg. 29), ad rem frumentariam vero etiam orationem dinarcheam pertinuisse fragmenta luculenter doceant, G. Droysen de populiscitis in Dem. orat. de cor. p. 148 et A. Westermannus in Bergkii diurnis lit. ant. 1844 p. 583 in hac oratione de eodem Callisthene atque de illa ipsa cura rei frumentariae tractatum esse statuerunt. At Boehneckius quaestt. oratorr. 1 p. 619 dubitat. Rectissime: nam neque illud ferri potest, a. 336, quo Dinarchus Dionysio iudice orationes scribere incepit, de iis in iudicio actum esse, quae viginti annis ante facta essent, neque verisimile est, id quod Westermannus statuit, hanc orationem iniuria a Dionysio in genuinarum numerum referri. Quare statuendum est aut eundem hominem plus semel munere *σιτώνου* functum esse, aut Callisthenem alium oratione Dinarchi reum agi. Nam multos Callisthenes illis temporibus Athenis vixisse Boehneckius l. d. ostendit.

1. *βουλαία. Δείναρχος ἐν τῇ κατὰ Καλλισθένους ἐνδείξει· μαρτύρομαι τὴν Ἑστίαν τὴν βουλαίαν, οἷον τὴν ἐν τῇ βουλῇ ἱδρυμένην.* Harpocr.

2. *διάμετρον τὸ ἐλλεῖπον ἀπὸ τοῦ δικαίως μετρηθέντος· Δείναρχος ἐν τῇ κατὰ Καλλισθένους εἰσαγγελίᾳ.* Harpocr.

3. *ἡμίεκτον καὶ ἡμιμέδιμνον·* *Δείναρχος ἐν τῇ κατὰ Καλλισθένους εἰσαγγελίᾳ. τοῦ μεδίμνου ἔχοντος χοίνικας μη', τὸ χωροῦν κδ' χοίνικας ἡμιμέδιμνόν ἐστιν, ἡμίεκτον δὲ τὸ χωροῦν δ' χοίνικας, τοῦ ἕκτου, ὅπερ ἐστὶ χοίνικες η', τὸ ἥμισυ.* Harpocr.

4. *κόμματα καὶ κυρήβια·* *Δείναρχος ἐν τῇ κατὰ Καλλισθένους εἰσαγγελίᾳ. τὰ μὲν κυρήβιά εἰσι τὰ πίτυρα, τὰ δὲ κόμματα ἔοικεν εἶναι μέρη τινὰ ἢ τῆς καλάμης ἢ τῶν περὶ τὸν σῖτον αὐτὸν ἐν τῷ σταχυῒ γινομένων ἢ τῶν ἀνθερίκων.* Harpocr.

5. *λουτροφόρος καὶ λουτροφορεῖν. — — — λέγει περὶ τούτων Δείναρχος ἐν τε τῷ κατὰ Θεοδότου καὶ ἐν τῇ κατὰ Καλλισθένους εἰσαγγελίᾳ.* Harpocr. cf. Dinarchi frg. or. LXXXII.

6. *μέδιμνος·* *Δείναρχος ἐν τῷ κατὰ Καλλισθένους. μέτρον ἐστὶ ξηρῶν, οἷον πυρῶν ἢ κριθῶν, ἔχει δὲ χοίνικας μη', καθά φησι Νίκανδρος ὁ Θυατειρηνὸς ἐν τοῖς ἐξηγητικοῖς τῆς Ἀττικῆς διαλέκτου.* Harpocr.

7. *μετρονόμοι. ἀρχή τις Ἀθήνησιν ἐστὶν ἡ τῶν μετρονόμων, ὡς Δείναρχος ἐν τῷ κατὰ Καλλισθένους. ἦσαν δὲ τὸν ἀριθμὸν ιε', εἰς μὲν τὸν Πειραιᾶ ι', ι' δ'*

---

1. *Ἐρχιάθεν* Sauppius: *ἐρχιάδαι* Photius et Suidas, *Ἐρχειαθεν* b. *ει* in inscriptionibus non invenitur neque analogia commendatur. Veri accentus vestigia et apud Photium exstant et apud Plat. Alcib. 1 p. 123. D. Spiritum asperum fuisse et Polemo tradidit (p. 106 Prell) et tituli testantur antiquiores, sed Harpocratio lenem admiserit. 3. *παιανεῖς* C. *παιανίδαι* cod. coisl. 177 ap. Montefalc. Bekk. Aeschin. 3 §. 51. 6. *Παιανέα* Bekkerus: *παιανιέα* libri. 8. *Παιανιέων* A: *παιανιέα* G, *Παιανιέαν* b. 11. Istri frg. 31 Müll. 14. *ἐστιν* Sauppius: *ἐστι καὶ* b. 14. *λεωνίδος* C. in quo *Λεωντίδος* latere putes, sed Harpocratio ubique *Λεοντίδος* scripsit. 21. *γάρ* *καὶ γάρ* A, om. C. *τροχοὶ* B. 23. Ctesiae frg. XXI p. 451 Baehr. Euphorion frg. 101 Mein. 24. *θ' εἰαμενῆς* Meinekius: *τ' εἰαμενῆς* (s. *εἰαμενεῖς*) libri. *ὑποκύδεος* cum Salmasio b: *ὑποκύδεες* libri. 25. *ὑπόκηλοι* C, *ὑποκιλοι* G, *ὑπόκοιλοι* B.

14. *τῷ* ABLN. *κατὰ* om. BN. 15. *τὴν Ἑστ.*] *γὰρ ἑστ.* G. — cf. Aeschin. 2 §. 45. Wesseling. ad Diod. Sic. 14, 4. 17. cf. Vales. ad h. l. p. 44. 18. *κατὰ* om. ABC. 26. *κατὰ* om. BC. 32. *ἀγγελία* ABC. 34. *κατὰ* om. AC. 39. *κατὰ* om. BC. 40. *ε', ι'* Boeckhius (de oecon. civ. Ath. 1 p. 52): *ι', ε'* b. (*ιε μὲν εἰς Πειραιᾶ θ δὲ εἰς ἄστυ* D, *δέκα τὸν ἀριθμόν, ὧν πέντε μὲν ἦσαν ἐν τῷ Πειραιεῖ, πέντε δὲ ἐν ἄστει* anecd. Bekk.) cf. Herm. ant. publ. Gr. §. 150, 13.

εἰς ἄστυ, εἶχον δὲ τὴν ἐπιμέλειαν ὅπως δίκαια εἴη τὰ μέτρα τῶν πωλούντων, ὡς καὶ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ δηλοῖ. Harpocr. *καὶ Δείναρχος μετρονόμου τοῦ ἐπὶ τῶν μέτρων.* Pollux 4 §. 167. cf. Bekkeri anecd. p. 278, 25.

8. *σιτοφύλακες· Δείναρχος ἐν τῇ [κατὰ] Καλλισθένους εἰσαγγελίᾳ. ἀρχή τις ἦν Ἀθήνησιν ἥτις ἐπεμελεῖτο ὅπως ὁ σῖτος δικαίως πραθήσεται καὶ τὰ ἄλφιτα καὶ οἱ ἄρτοι. ἦσαν δὲ τὸν ἀριθμὸν ιε', ι' μὲν ἐν ἄστει ε' δ' ἐν Πειραιεῖ, ὡς Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.* Harpocr.

9. *τεταρτημόριον· Δείναρχος ἐν τῇ κατὰ Καλλισθένους εἰσαγγελίᾳ. τεταρτημόριόν ἐστι τὸ τέταρτον μέρος τοῦ ὀβολοῦ, τουτέστι χαλκοῖ β'.* Harpocr. cf. Bachmanni anecd. p. 385, 11.

10. *τριτημόριον· Δείναρχος κατὰ Καλλισθένους. ὅτι τριτημόριόν ἐστιν ς' χαλκοῖ, Φιλήμων ἐν ἀρχῇ τοῦ Σαρδίου διδάσκει.* Harpocr.

11. *ὑποφόνια τὰ ἐπὶ φόνῳ διδόμενα χρήματα τοῖς οἰκείοις τοῦ φονευθέντος, ἵνα μὴ ἐπεξίωσιν· Δείναρχος ἐν τῷ κατὰ Καλλισθένους καὶ ἐν τῷ κατὰ Φορμισίου, Θεόφραστος Νόμων ις'.* Harpocr.

12. *μυλωθρὸς ὁ μυλῶνα κεκτημένος καὶ ἐργαζόμενος ἐν αὐτῷ· Δείναρχος ἐν τῷ κατὰ Δημοσθένους πολλάκις. ἔστι δὲ καὶ παρὰ τοῖς κωμικοῖς πολὺ τοὔνομα.* Harpocr. Sed cum Dinarchus or. 1 § 23 tantum hoc vocabulo usus sit et Aldus habeat *Δ. ἐν τῷ Καλλισθένους πολλάκις*, in BCG haec legantur: *ἔστι καὶ τοὔνομα παρὰ καλλισθένει καὶ παρὰ τοῖς ἀττικοῖς πολλάκις*, Maetznerus ad Dinarchum p. 101 non sine iure orationem contra Callisthenem ab Harpocratione commemoratam esse existimavit. Fortasse legendum est: *ἐν τῷ κατὰ Δημοσθένους [καὶ ἐν τῷ κατὰ Καλλισθένους] πολλάκις.*

[2]XIX. *ΔΙΑΔΙΚΑΣΙΑ ΦΑΛΗΡΕΩΝ ΠΡΟΣ ΦΟΙΝΙΚΑΣ ΥΠΕΡ ΤΗΣ ΙΕΡΩΣΥΝΗΣ ΤΟΥ ΠΟΣΕΙΔΩΝΟΣ.*

Cf. Meier. de gentil. attica p. 53.

Ἀλόπη· — Κερκυόνος θυγάτηρ, ἐξ ἧς καὶ Ποσειδῶνος Ἱπποθῶν ὁ τῆς Ἱπποθωντίδος φυλῆς ἐπώνυμος, ὡς — Δείναρχος ἐν τῇ διαδικασίᾳ Φαληρέων. Harpocr. p. 13, 5. cf. Lycurgi frg. 32.

B. Ψευδεπίγραφοι δημόσιοι.

[2]XXVII. *ΚΑΤΑ ΜΟΣΧΙΩΝΟΣ.*

G. Wagner de Moschionis vita p. 8 poetam tragicum intelligendum esse existimat et discipulum Dinarchi auctorem orationis esse.

ἕρκειος Ζεύς. Δείναρχος ἐν τῷ κατὰ Μοσχίωνος· εἰ φράτορες αὐτῷ καὶ βωμοὶ Διὸς ἑρκείου καὶ Ἀπόλλωνος πατρῴου εἰσίν. ἕρκειος Ζεύς, ᾧ βωμὸς ἐντὸς ἕρκους ἐν τῇ αὐλῇ ἵδρυται· τὸν γὰρ περίβολον ἕρκος ἔλεγον. ὅτι δὲ τούτοις μετῆν τῆς πολιτείας οἷς εἴη Ζεὺς ἕρκειος, δεδήλωκε καὶ Ὑπερίδης ἐν τῷ ὑπὲρ δημοποιήτου, εἰ γνήσιος, καὶ Δημήτριος ἐν τοῖς περὶ τῆς Ἀθήνησι νομοθεσίας. Harpocr.

[2]XXX. *ΔΙΑΔΙΚΑΣΙΑ ΤΗΣ ΙΕΡΕΙΑΣ ΤΗΣ ΔΗΜΗΤΡΟΣ ΠΡΟΣ ΤΟΝ ΙΕΡΟΦΑΝΤΗΝ.*

cf. Meier. de lit. att. p. 370.

1. *Δυσαύλης· Δείναρχος ἐν τῇ περὶ τῆς ἱερείας διαδικασίᾳ, εἰ γνήσιος. Ἀσκληπιάδης δ' ἐν δ' Τραγῳδουμένων τὸν Δυσαύλην αὐτόχθονα εἶναί φησι, συνοικήσαντα δὲ Βαυβοῖ σχεῖν παῖδας Πρωτονόην τε καὶ Νῖσαν. Παλαίφατος δ' ἐν θ' Τρωικῶν σὺν τῇ γυναικί φησιν αὐτὸν ὑποδέξασθαι τὴν Δήμητραν.* Harpocr.

2. *ὀρθάπτου δὲ μέμνηται Δείναρχος ἐν τῇ τῆς ἱερείας δοκιμασίᾳ· ἔστι δ' ἐξ ἐρίου εἴλημα φοινικοῖν, ᾧ φαιδρύνουσι τὰ ἕδη τῶν θεῶν.* Pollux 7 §. 69.

2[h] cf. or. LXXXV.

C. Ἰδιωτικοὶ γνήσιοι.

[2]XLII. *ΚΑΤΑ ΠΡΟΞΕΝΟΥ ΒΛΑΒΗΣ.*

1. *οὗτος μὲν ὁ βίος τἀνδρός· ἀποδείκνυται δ' ἕκαστον αὐτῶν ἔκ τε τῶν ἱστοριῶν τῶν Φιλοχόρου καὶ ἐξ ὧν αὐτὸς περὶ ἑαυτοῦ συνέγραψεν ἐν τῷ λόγῳ τῷ κατὰ Προξένου, ὃς εἴρηται μὲν μετὰ τὴν φυγήν, προσκειμένην δ' ἔχει τὴν γραφὴν ταύτην· Δείναρχος Σωστράτου Κορίνθιος Προξένῳ ᾧ σύνειμι βλάβης, ταλάντων δύο. ἔβλαψέ με Πρόξενος, ὑποδεξάμενος εἰς τὴν οἰκίαν τὴν ἑαυτοῦ τὴν ἐν ἀγρῷ, ὅτε πεφευγὼς Ἀθήνηθεν κατ-*

6. κατὰ add. Sauppius. 7. ἀγγελίᾳ CG. 9. ι' μὲν cum Valesio b: μὲν libri. cf. Boeckh. oecon. civ. Ath. 1 p. 91. Bergk. de reliqu. com. att. p. 18. 13. τῶ A. 18. Σαρδίου] δίου ABC. cf. Meinek. com. gr. 4 p. 24. 21. cf. Dinarchi frg. or. X, 4.

7 et 12. ἑρκεῖος CG et 11. ἑρκίου. — cf. Herm. ant. publ. Gr. §. 100, 5 et Meier. de gentil. att. p. 28. 10. αὐλῇ cum Suida b: βουλῇ libri Harpocrationis. 12. cf. Hyperid. frg. 100. 20. τῶ A. περὶ τῆς] immo τῆς. 22. de Dysaule et Baubo cf. Lobeck. Agl. p. 823 sq. Preller. de Cerere et Proserpina p. 134 sq. 24. Νῖσαν Sauppius: νῆσαν DE, κτίσαν B, Νῖσαν b. 27. ἱερείας b cum Kühnio: ἱερᾶς libri. δοκιμασίᾳ] cum apud Dionysium nulla exstet eius orationis mentio, in proclivi est conicere διαδικασίᾳ. φοινικοῦ Bekkerus. 36. Philochori frg. 144 et 146 Müll. 39. γραφὴν] cf. Meier. de lit. att. p. 608.

ἥκειν ἐκ Χαλκίδος, χρυσίου μὲν στατῆρας ὀγδοήκοντα καὶ διακοσίους καὶ πέντε, οὓς ἐκόμισα ἐκ Χαλκίδος, εἰδότος Προξένου, καὶ εἰσῆλθον ἔχων εἰς τὴν οἰκίαν αὐτοῦ, ἀργυρώματα δὲ οὐκ ἔλαττον εἴκοσι μνῶν ἄξια, ἐπιβουλεύσας τούτοις. οὐ μὴν ἀλλὰ καὶ ἐν αὐτῷ τῷ λόγῳ εὐθὺς μὲν ἐν ἀρχῇ περὶ τοῦ μηδεμίαν δίκην πρότερον εἰσελθεῖν δεδήλωκεν, ἐν δὲ τοῖς μετὰ ταῦτα πρῶτον μὲν ἐν τῷ προοιμίῳ τὴν βλάβην τὴν γενομένην αὐτῷ διὰ Προξένου δεδήλωκεν, ἐν δὲ τοῖς ἑξῆς περί τε τῆς φυγῆς καὶ τῶν ἄλλων διεξέρχεται πάντων, ἐξ ὧν γίγνεται φανερὰ τὰ προειρημένα, καὶ ἔτι πρὸς τούτοις, ὅτι ξένος διέμεινε καὶ γέρων ἤδη ὢν εἶπε τὸν λόγον, ἐξ ὧν ἐπὶ τῷ τέλει τῆς δίκης εἴρηκε. ταῦτα μὲν αὐτὸς ὁ Δείναρχος περὶ ἑαυτοῦ. Dionysius 5 p. 635 sq. R. τίθεμεν δὴ αὐτὸν ἑβδομηκοστὸν ἔχοντα ἔτος ἀπὸ τῆς φυγῆς κατεληλυθέναι· ὡς καὶ αὐτός φησι γέροντα αὐτὸν ἀποκαλῶν. ἀφ' οὗ χρόνου καὶ καλεῖν τοὺς ἐν τῇ ἡλικίᾳ ταύτῃ μάλιστα εἰώθαμεν. Dionysius p. 638 R. καταλύσας (post reditum) δὲ παρὰ Προξένῳ, ἑταίρῳ αὐτοῦ, καὶ τὸ χρυσίον ἀπολέσας, ἤδη γηραιὸς ὢν καὶ τὰς ὁράσεις ἀσθενής, οὐ βουλομένου τοῦ Προξένου ἀναζητεῖν, λαγχάνει αὐτῷ δίκην, καὶ τότε πρῶτον εἶπεν ἐν δικαστηρίῳ. σώζεται δ' αὐτοῦ καὶ ὁ λόγος. Vitae decem oratt. p. 850. E et Photius bibl. p. 496 b 30 Bk.

2. *Antitheton.* — — Hoc idem fieri potest in una persona, ita ut fecit Dinarchus, cum ipse de se diceret: *Olim in adolescentia sedulo omnem gloriam sectabar; at nunc in senectute summum me ambitionum invasit odium. tunc facile multis opitulabar; nunc iam me ipsum tueri vix possum. tunc mihi beatissimus videbar, si quam plurimis benigne fecissem; nunc contra vereor, ne quid mihi desit ad necessarium aetatis meae cultum. tunc ego ipse pro republica fortiter arma capiebam; nunc praeterquam laudare eos qui rempublicam armati defendunt nihil valeo.* Rutilius L. 2 §. 16.

3. ἀργυριοθήκη· Δείναρχος ἐν τῷ κατὰ Προξένου βλάβης. διττὰ ἦν γραμματείδια οἷς ἐχρῶντο Ἀθηναῖοι, τὰ μὲν ὥστε γράφειν μόνον τι ἐν αὐτοῖς, τὰ δὲ ὥστε καὶ ἀργυρίδιον κατατίθεσθαι, ἅπερ καὶ κιβώτια ἐκάλουν, τὰ δ' ἄλλα μαρτύρια. Harpocr. Quid glossa Harpocrationis velit intelligimus collatis Pollucis verbis 4 §. 19: γραμματεῖον δὲ παρὰ τοῖς Ἀττικοῖς καὶ ἐν ᾧ ἀργύριον ἀπέκειτο, ὃ καὶ γραμματεῖον Βοιώτιον ἐκάλουν· οἱ δὲ νεώτεροι αὐτὸ καὶ ἀργυροθήκην ὠνόμαζον. ubi pro vv. γραμματεῖον Βοιώτιον videtur κιβώτιον legendum, deinde vero ἀργυριοθήκην scribendum esse. Cf. Hemsterhusii anecd. 1 p. 229.

4. βασανίσας ἀντὶ τοῦ δοκιμάσας Δείναρχος ἐν τῷ κατὰ Προξένου. πολὺ δ' ἐστὶ τοὔνομα ἐπὶ τούτου τοῦ σημαινομένου παρ' Ἀττικοῖς. Harpocr.

5. ματρυλεῖον· Δείναρχος ἐν τῷ κατὰ Προξένου. Ἡρακλέων καὶ Δίδυμος τόπον τινά φασιν εἶναι ἐν ᾧ γρᾶες διατρίβουσαι δέχονται τοὺς βουλομένους καταμεθυσθῆναι· Μένανδρος Ἐπιτρέπουσιν „οὐκ οἰμώξεται καταφθαρεὶς ἐν ματρυλείῳ τὸν βίον;" Harpocr.

6. ὀρνιθευτής ὁ ὀρνιθοθήρας· Δείναρχος κατὰ Προξένου, Πλάτων ἢ Κάνθαρος Συμμαχίᾳ. ἔστι δὲ καὶ ἐν τῇ νέᾳ κωμῳδίᾳ δρᾶμα Ὀρνιθευτὴς Νικοστράτου. Harpocr.

7. σκιράφια· Δείναρχος ἐν τῷ κατὰ Προξένου. σκιράφια ἔλεγον τὰ κυβευτήρια, ἐπειδὴ διέτριβον ἐν Σκίρῳ οἱ κυβεύοντες, ὡς Θεόπομπος ἐν τῇ ι' ὑποσημαίνει. Harpocr.

₂XLIV. ΚΑΤΑ ΚΗΦΙΣΟΚΛΕΟΥΣ ΚΑΙ ΤΩΝ ΟΙΚΕΙΩΝ ΒΛΑΒΗΣ.

μηδὲν ἀπηχές] ἡ λέξις κατὰ μεταφορὰν εἴρηται ἀπὸ τῶν μελῶν· δηλοῖ δὲ τὸ ὑβριστικὸν καὶ ἔξω τοῦ καλοῦ καὶ τραχύτερον εἰς ἀκοὴν καὶ οἷον τοῦ ῥυθμοῦ καὶ μέλους τοῦ τεταγμένου παρηλλαγμένον καὶ ἐκπεπτωκός. Δείναρχος μέμνηται τῆς λέξεως ἐν τῷ πρὸς Κηφισοκλέα· ἀπηχὲς οὖν ἀντὶ τοῦ ἄμουσον καὶ ἄφθογγον. Schol. Aristidis p. 196 Fr. — ἀπήχεια ἀντὶ τοῦ ἀπέχθεια Λυσίας πρὸς Μέδοντα καὶ Δείναρχος κατὰ Κηφισοκλέους. Harpocr. cf. Lysiae frg. 168.

₂XLVI. ΠΡΟΣ ΛΥΣΙΚΡΑΤΗΝ ΥΠΕΡ ΝΙΚΟΜΑΧΟΥ ΒΛΑΒΗΣ.

Collatis inter se Harpocrationis glossa et Dionysii loco priore nemo dubitabit, quin recte apud Dionysium p. 662 Λυσικράτην restituerim. Nam protheseon, quae sunt κατὰ et πρὸς, haud rara est permutatio: cf. frg. or. L.

1. τοῦ μὲν Λυσιακοῦ χαρακτῆρος (sc. παραδείγματά

---

1. χρυσίου] haec corrupta sunt. Fortasse [καὶ ἐπεὶ ἀπώλεσα] χρυσίον, coll. iis quae e vitis decem oratorum adscripsi. 5. ἔλαττον Reiskius: ἐλάττω libri. 9. μετὰ ταῦτα Sylburgius: πρότερον μετὰ ταῦτα libri, ὕστερον μετὰ ταῦτα Reiskius. 23. οἱ addidit Xylander. 32. tunc Frotscherus: tum libri. 35. ipse om. laurent. B. — de pugna chaeronensi cogitat Boehneck. quaest. orat. 1 p. 540, 5. 38. ἀργυροθήκη ADM, ἀργυρὶς θήκη E. 39. λαβῆς ECF, περὶ λαβῆς A.

6. δίναρχος A, more suo Bekk. 9. ματριλλεῖον N. et 13. ματριλλείῳ. 12. Meinek. com. gr. 4 p. 120. 14. 16. Meinek. com. gr. 2 p. 667 et 1 p. 348. 19. ἐν Σκίρῳ cum Valesio b: σκίρω D, σκίρωνι ABCG. — Bergmann. ad Isocr. Areop. p. 281 Bens. 20. Theopompi frg. 254. 29 μέλους Sauppius: μέλους καὶ liber παρηλλαγμένον καὶ ἐκπεπτωκός Frommel: παρηλλαγμένου καὶ ἐκπεπτωκότος liber.

τις ἔχει ἐκθέσθαι) ἔν τε τῷ περὶ Μνησικλέους [κλήρου] λόγῳ καὶ ἐν τῷ κατὰ Λυσικράτους ὑπὲρ Νικομάχου. Dionysius Hal. 5 p. 640 R. cf. Dinarchi frg. or. LVII.

2. κρᾶστις· Δείναρχος ἐν τῷ πρὸς Λυσικράτην. κρᾶστίς ἐστιν ἡ πόα, ὡς καὶ Ἀριστοφάνης. Harpocr.

₂XLVIII. ΚΑΤΑ ΠΟΣΕΙΔΙΠΠΟΥ ΚΛΟΠΗΣ.

οἴκημα ἀντὶ τοῦ δεσμωτήριον Δείναρχος — ἐν τῷ κατὰ Ποσειδίππου. Harpocr. p. 135, 5. cf. Dinarchi frg. or. ₂XII, 4

₂XLIX. ΚΑΤΑ ΗΔΥΛΗΣ ΑΠΟΣΤΑΣΙΟΥ.

οὗτος δὲ ὁ ῥήτωρ (Dinarchus) ἐν τῷ κατὰ Ἡδύλης καὶ τὸν τρόπον διαγράφει τῆς διαμαρτυρίας. Harpocr. p. 60, 4. cf. Lysiae frg. 33

₂L. ΑΠΟΣΤΑΣΙΟΥ ΠΡΟΣ ΑΡΧΕΣΤΡΑΤΟΝ.

Si quid inverso verborum ordini, quo Dionysius utitur, tribuendum est, πρὸς Ἀρχέστρατον verior titulus fuerit. cf. or. LXX. Neque enim cum Meiero de bonis damn. p. 36, 102 de duabus orationibus cogitandum esse puto: cf. frg. or. ₂XLVI.

ἀποψηφίζονται ἀντὶ τοῦ καταδικάζουσιν αὐτὸν μὴ εἶναι πολίτην Δείναρχος ἐν τῷ κατ' Ἀρχεστράτου. καὶ ἀποψήφισιν δὲ τὸ πρᾶγμα λέγει Δημοσθένης ἐν τῇ πρὸς Εὐβουλίδην ἐφέσει. Harpocr. cf. Bekker. anecd. p. 440, 7.

₂LI. ΣΥΝΗΓΟΡΙΑ ΗΓΕΛΟΧΩΙ ΥΠΕΡ ΕΠΙΚΛΗΡΟΥ.

Utrum Dionysius rectius orationem pro Hegelocho scriptam fuisse tradiderit an Harpocratio contra Hegelochum iudicari non magis potest, quam illud, duaene an una oratio fuerit.

ληξιαρχικὸν γραμματεῖον Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου, εἰς ὃ ἐνεγράφοντο οἱ τελεωθέντες τῶν παίδων, οἷς ἐξῆν ἤδη τὰ πατρῷα οἰκονομεῖν, παρ' ὃ καὶ τοὔνομα γεγονέναι, διὰ τὸ τῶν λήξεων ἄρχειν· λήξεις δ' εἰσὶν οἵ τε κλῆροι καὶ αἱ οὐσίαι, ὡς καὶ Δείναρχος ἐν τῇ α' καθ' Ἡγελόχου συνηγορίᾳ ὑπὲρ ἐπικλήρου. Harpocr.

₂LIV. ΔΙΑΜΑΡΤΥΡΙΑ ΠΕΡΙ ΤΟΥ ΜΗ ΕΠΙΔΙΚΟΝ ΕΙΝΑΙ ΤΗΝ ΑΡΙΣΤΟΦΩΝΤΟΣ ΘΥΓΑΤΕΡΑ.

Cum Harpocratio duobus locis titulum orationis prorsus eodem modo retulerit, altero etiam addens ita eam inscriptam esse, huic potius fidem habendam esse existimo quam Dionysio.

1. Δείναρχος μέντοι διαμαρτυρήσαντι εἴρηκεν οὐκ ἐπὶ τοῦ μαρτυρήσαντος αὐτοῦ, ἀλλ' ἐπὶ τοῦ παρασχόντος τινὰ διαμαρτυρήσαντα ἐν τῇ διαμαρτυρίᾳ περὶ τοῦ μὴ ἐπίδικον εἶναι τὴν Ἀριστοφῶντος θυγατέρα. Harpocr. p. 59, 23. cf. Lysiae frg. 33. Dinarchi frg. or. ₂XLIX.

2. ἐπίκληρος μέν ἐστιν ἡ ἐπὶ παντὶ τῷ κλήρῳ ὀρφανὴ καταλελειμμένη, μὴ ὄντος αὐτῇ ἀδελφοῦ (ἡ δὲ αὐτὴ καὶ ἐπικληρῖτις)· ἐπίπροικος δὲ ἡ ἐπὶ μέρει τινὶ τοῦ κλήρου ὥστε προῖκα ἔχειν, ἀδελφῶν αὐτῇ ὄντων· ἐπίδικος δὲ ἡ ἀμφισβητουμένη ἐπίκληρος ὅτῳ χρὴ αὐτὴν γαμηθῆναι. ταῦτα δὲ δηλοῦσιν Ἰσαῖος — καὶ Δείναρχος ἐν τῷ ἐπιγραφομένῳ διαμαρτυρία περὶ τοῦ μὴ ἐπίδικον εἶναι τὴν Ἀριστοφῶντος θυγατέρα. ἐν δὲ τούτῳ τῷ λόγῳ δείκνυται καὶ ὅτι τὰς ἀπορουμένας κόρας ἐξεδίδοσαν οἱ ἄγχιστα γένους ε' μνᾶς ἐπιδιδόντες. Harpocr. p. 79, 13. cf. Isaei frg. 120.

₂LVII. ΠΕΡΙ ΤΟΥ ΜΝΗΣΙΚΛΕΟΥΣ ΚΛΗΡΟΥ.

τοῦ μὲν Λυσιακοῦ χαρακτῆρος ἔν τε τῷ περὶ Μνησικλέους [κλήρου] λόγῳ καὶ ἐν τῷ κατὰ Λυσικράτους ὑπὲρ Νικομάχου καὶ ἐν ἄλλοις πολλοῖς (sc. πολλά δή τις ἔχει παραδείγματα ἐκθέσθαι). Dionysius Hal. 5 p. 640 R. cf. Dinarchi frg. or. ₂XLVI, 1.

₂LVIII. ΑΠΟΛΟΓΙΑ ΥΒΡΕΩΣ ΠΡΟΣ ΠΡΟΞΕΝΟΝ.

Quod addidi πρὸς Πρόξενον, id nititur iis, quae Dionysius de vero et falso titulo huius orationis tradidit. Etiam hoc loco igitur oratio κατά τινος dicta esse traditur, cum πρός τινα dicenda fuerit.

καὶ πάλιν ὀργεῶνάς τινας ἐν ἀπολογίᾳ ὕβρεως σαφὲς ποιεῖ. Bekkeri anecd. p. 191, 29. cf. Dinarchi frg. or. ₂XIII.

₂LX. ΚΑΤΑ ΚΛΕΟΜΕΔΟΝΤΟΣ ΑΙΚΙΑΣ
λόγοι δύο.

1. ἐκμαρτυρία μαρτυρίας ἐν τίνι διαφέρει,

---

1. κλήρου add. Sauppius. 5. λυσιστράτην B, λυσικράτους A. 6. Meinek. com. gr. 2 p. 1213. 17. εἰδύλης A. 29. Ἀρχεστράτου DEMO, Suidas, Zonaras, Bekk. anecd.: ἀρχεκράτου BF, ἀρχεκράτους CG, ἀριστοκράτους A, Ἀρχεστρατίδου cum Maussaco b. 30. Demosth. or. 57 §. 2. 40. Aeschin. 1 §. 18. — cf. Hermanni antiqu. publ. Gr. §. 123, b 45. καταγελόχου O.

8 διαμαρτυρήσαντι εἴρηκεν Sauppius: διαμαρτυρῆσαι τεθεώρηκεν b. 10. ἐν τῇ διαμαρτυρίᾳ om. I. 11. μὴ om N. 29. κλήρου add. Sauppius.

δηλοῖ Δείναρχος ἐν τῷ κατὰ Κλεομέδοντος, λέγων· ἀναγνώσεται δὲ τῶν μὲν ἐπιδημούντων τὰς μαρτυρίας, τῶν δὲ ἀποδημούντων τὰς ἐκμαρτυρίας. Ammonius *π. διαφ. λέξ.* p. 48 Valck.

2. *μαρτυρία καὶ ἐκμαρτυρία διαφέρει. μαρτυρία μὲν γάρ ἐστιν ἡ τῶν ἐπιδημούντων, ἐκμαρτυρία δὲ ἡ τῶν ἀποδημούντων, ὡς διασαφεῖ Δείναρχος ἐν τῷ κατὰ Κλεομέδοντος αἰκίας, λέγων· πολλὰ κἀγαθά, ὦ ἄνδρες δικασταί, γένοιτο ὑμῖν καὶ τῷ νομοθετήσαντι ἐξεῖναι τῶν ἀποδημούντων ἐκμαρτυρίας παρέχεσθαι.* Ammonius *π. διαφ. λεξ.* p. 91 Valck.

3. *ἢ ὡς Δείναρχος ἐν τῷ α' κατὰ Κλεομέδοντος αἰκίας πολλὰ μετενήνοχεν αὐτοῖς ὀνόμασιν ἐκ τοῦ Δημοσθένους κατὰ Κόνωνος αἰκίας.* Eusebius praepar. evang. X, 3 p. 466 Viger. (ex Porphyrio). cf. Hyperidis frg. or. XVIII, 1.

4. *αὐτοδικεῖν ἀντὶ τοῦ ἑαυτοῖς τὰ δίκαια ὁρίζειν Δείναρχος ἐν τῷ κατὰ Κλεομέδοντος.* Harpocr. cf. Bekkeri anecd. p. 465, 14. Crameri anecd. oxon. 2 p. 491, 15.

$_2$LXI. *ΠΡΟΣ ΔΙΟΣΚΟΥΡΙΔΗΝ ΠΕΡΙ ΝΕΩΣ.*

Ex iis, quae Dionysius et Harpocratio de titulo orationis tradiderunt, videor mihi iure *περὶ νεώς* Dinarcho tribuisse.

παρουσία ἀντὶ τοῦ περιουσία ἢ αἰτία πλούτου οὐσία· Δημοσθένης ἐν τῷ περὶ συντάξεως καὶ Δείναρχος ἐν τῷ ὑπὲρ τῆς νεώς. καὶ Κράτης Θηρίοις „ἔχοντες εὐπαθῆ βίον παρουσίαν τε χρημάτων.“ Harpocr.

$_2$LXII. *ΚΑΤΑ ΤΩΝ ΠΑΤΡΟΚΛΕΟΥΣ ΠΑΙΔΩΝ ΕΡΑΝΙΚΟΣ.*

Cf. Meier. de lite att. p. 540.

1. *ἄλογοι ἐρανισταί. μήποτε οἱ μήπω ἐξειλεχότες τὸ ἐπιβάλλον ἑαυτοῖς κατὰ τὴν ἐκ τῆς περιόδου τάξιν τῶν ὀνομάτων τῶν εἰς τὸν ἔρανον ἐκφερομένων. Δείναρχος ἐν τῷ κατὰ τῶν Πατροκλέους παίδων ἐρανικῷ.* Harpocr.

2. *πληρωτής· Δημοσθένης κατ' Ἀριστογείτονος. πληρωτὰς ἐκάλουν τοὺς ἀποδιδόντας τὸν ἔρανον τοῖς ἤτοι λαχοῖσιν ἢ ἐωνημένοις. εἶεν δ' ἂν οὗτοι οἱ παρ' ἡμῖν καλούμενοι ἐρανάρχαι. τὸ δὲ πληρωτής ὄνομα καὶ ἐν τῷ κατὰ Μειδίου, καὶ ἐν τῷ κατὰ τῶν Πατροκλέους παίδων Δεινάρχου.* Harpocr.

$_2$LXIV. *ΠΡΟΣ ΑΝΤΙΦΑΝΗΝ ΠΕΡΙ ΤΟΥ ΙΠΠΟΥ.*

1. *ἀποβάτης καὶ ἀποβαίνειν καὶ ἀποβατικοὶ τροχοί· Δείναρχος κατὰ Φορμισίου καὶ ἐν τῇ πρὸς Ἀντιφάνην ἀπολογίᾳ.* Harpocr. cf. Dinarchi frg. or. $_2$X, 1 et Lycurgi frg. 20.

2. *ὀχεῖον ἀντὶ μὲν τοῦ ὄχημα Δείναρχος ἐν ἀπολογίᾳ πρὸς Ἀντιφάνην περὶ τοῦ ἵππου, ἀντὶ δὲ τοῦ εἰς ὀχείαν ἀποδεδειγμένον ὁ αὐτὸς ἐν τῷ αὐτῷ λόγῳ· φησὶ γοῦν· ὠνοῦνταί μοι τὸν ἵππον τὸν ὀχεῖον. Λυκοῦργος δ' ἐν τῷ περὶ διοικήσεως „γείτονας τοῦ ὀχείου“ φησί· μήποτε δὲ ἐπὶ τόπου τινός, ἐν ᾧ ὀχεῖαι γίνονται κτηνῶν ἢ ὀχήματα μισθοῦται.* Harpocr.

$_2$LXVI. *ΚΑΤΑ ΔΑΟΥ* (s. *ΠΡΟΣ ΔΑΩΝΑ*) *ΥΠΕΡ ΑΝΔΡΑΠΟΔΩΝ.*

Quam incerta sit coniectura orationem a Galeno commemoratam esse eam, quam Dionysius intelligat, me non fugit; neque tamen aliam novi, quam intelligendam esse veri similius sit.

Δείναρχος μὲν οὖν ἐν τῷ πρὸς Δάωνα οὕτως εἶπε· διοικῶν δὲ τὴν οὐσίαν αὐτοῦ Κεφαλίων μειρακιωδέστερον καὶ φύσει χρηστὸς ἦν καὶ εὐήθης Galenus in Hippocr. prognost. l. 3 vol. 18, 2 p. 237 Kühn.

$_2$LXIX. *ΠΕΡΙ ΤΗΣ ΑΓΑΘΩΝΟΣ ΔΙΑΜΑΡΤΥΡΙΑΣ, ΣΥΝΗΓΟΡΙΑ.*

τοῦ δ' Ὑπερείδου, ταῖς τε οἰκονομίαις ἀκριβεστέρου καὶ ταῖς κατασκευαῖς γενναιοτέρου πως ὄντος τῶν Λυσιακῶν, ἐν πλείοσι μὲν ἢ τριάκοντα Δεινάρχου λόγοις παραδείγματα εὑρεῖν ἔστιν, οὐχ ἥκιστα δὲ καὶ ἐν τῷ περὶ τῆς Ἀγάθωνος διαμαρτυρίας. Dionysius Hal. 5 p. 640 R.

---

1. *Δείναρχος* Meursius (att. lectt. 3, 5): *Μέναρχος* libri. cf. Dinarchi frg. or. $_2$IX, 2. 3. *τὰς* add. Sauppius. 8. cf. oratt. $_1$I et $_1$L. — Existimaverim igitur haec verba orationis alterius contra Cleomedontem initium fuisse. 18. *αὐτοδοκεῖν* ABKF et Bekk. anecd. 19. *κατὰ τοῦ κλ.* F. 29. ad Demosth. 13 §. 1 (*περιουσίας*) Bekkerus glossam Harpocrationis refert 30. *ὑπὲρ*] *περὶ* C. *καὶ Κράτης* ex Suida add. cum Maussaco b. Meinek com. gr. 2 p. 240. 37. apparet duplicem exstitisse huius vocabuli quod est *ἄλογοι* explicationem; altera est Harpocrationis, altera in Bekk. anecd. p. 203, 1. 380, 6. Etym. Magn. p. 70, 32. 39. *τῶν* ante *εἰς* add. Sauppius. 40. *δίναρχος* A, ut solet. Bekk. *τῶν προκλέους* ABK, *τὸν πατροκλέα* F. 42. Demosth. 25 §. 21. cf. Meier. de lite att. p. 541. Holst. de eranis p. 51 et 116.

4. Demosth. 21 §. 101. 184. — *τῶν* om. C. *προκλέους* AB. 5. *Δεινάρχου* Bekkerus: *Δείναρχος* b. 14. *τῆς ἵππου* C. 16. *τὸν ὀχεῖον* Sauppius: *ὀχεῖον* b. 17. Lycurgi frg 27. 29. vel *αὐτοῦ* vel *τὴν αὐτοῦ* scribendum est.

$_{2}$LXX. *ΑΠΟΣΤΑΣΙΟΥ ΑΠΟΛΟΓΙΑ ΑΙΣΧΥΛΩΙ ΠΡΟΣ ΞΕΝΟΦΩΝΤΑ.*

Diogene Laertio teste Xenophontem Socratis discipulum intelligendum esse patet.

εἴχετο δὲ αὐτῷ (Xenophonti, cum Scilluntem veniret) *καὶ γύναιον ὄνομα Φιλησία, καθά φησι Δημήτριος ὁ Μάγνης, καὶ δύο υἱεῖς, Γρύλλος καὶ Διόδωρος, ὥς φησι Δείναρχος ἐν τῷ πρὸς Ξενοφῶντα ἀποστασίου, οἳ καὶ Διόσκουροι ἐπεκαλοῦντο. — φησὶ δ' ὁ Δείναρχος ὅτι καὶ οἰκίαν καὶ ἀγρὸν αὐτῷ ἔδοσαν Λακεδαιμόνιοι.* Diogenes Laert. 2 §. 52.

D. *Ἰδιωτικοὶ ψευδεπίγραφοι.*

$_{2}$LXXIX. *ΣΑΤΥΡΩΙ ΠΡΟΣ ΧΑΡΙΔΗΜΟΝ ΕΠΙΤΡΟΠΗΣ ΑΠΟΛΟΓΙΑ.*

καὶ τὸν ὑπὲρ Σατύρου δὲ λόγον τῆς ἐπιτροπῆς πρὸς Χαρίδημον — — Καλλίμαχος οὐδ' ἱκανὸς ὢν κρίνειν Δεινάρχου νομίζει. Photius biblioth. p 491 b 29 Bk. cf. Demosth. frg. 14.

E. *A Dionysio non commemoratae orationes.*

LXXX. *ΚΑΤΑ ΔΗΜΟΚΛΕΟΥΣ.*

Hanc orationem se Aristogitoni vindicaturum esse professus est H. Adler de Dinarchi vita p. 43.

ῥαχίζει· ἀντὶ τοῦ μεγάλα ψεύδεται. Δείναρχος κατὰ Δημοκλέους. Antiatticista in Bekk. anecd. p. 113, 7.

[LXXX[b]. *ΚΑΤ' ΕΥΕΡΓΟΥ ΚΑΙ ΜΝΗΣΙΒΟΥΛΟΥ.*

ἐκαλίστρουν· Δημοσθένης ἐν τῷ κατ' Εὐέργου καὶ Μνησιβούλου, εἰ γνήσιος. Ἰακὸν δ' ἐστί, καὶ τάχ' ἂν εἴη Δείναρχος· καὶ οὗτος γὰρ ξενικοῖς ὀνόμασι χρῆται. Harpocr.]

LXXXI. *ΥΠΕΡ ΕΥΘΥΓΕΝΟΥΣ.*

Cum G. Kiesslingius nescio quo errore in Crameri anecdotis *Εὐθυνογένους* legi opinaretur, hanc glossam ad Hyperidis orationem pro Athenogene habitam pertinere coniecit: de Lycurgo et Hyperide p. 227.

Δείναρχος δὲ ὁ ῥήτωρ ἐν τῷ ὑπὲρ Εὐθυγένους λόγῳ μόνος τῶν παλαιῶν τὸ ἐνεργητικὸν εὐθείᾳ συνέταξε καὶ οὐ κατὰ νόμον τῶν παλαιῶν ἀλλὰ κατὰ λόγον τῆς ἀλόγου συνηθείας εἶπε· ἀνέῳγεν πᾶς ὁ τόπος· ἐχρῆν γὰρ εἰπεῖν „ὁ τόπος πᾶς ἤνοικτο". ἡ δὲ συνήθεια καὶ τὸ ἐνεργητικὸν εὐθείᾳ συντάσσει „ἀνέῳγεν ἡ θύρα", τῶν παλαιῶν λεγόντων „ἀνέῳγε τὴν θύραν". Anecd. oxon. Crameri 1 p. 52, 10 Vel hoc vel simili grammatici alicuius loco Zachariam Calliergi usum esse in Zimmermanni diurnis a. 1835 p. 678 monui, cum Thomae Magistri verbis adderet ea, quae p. 31, 13 Ritschl. leguntur: *σημείωσαι δὲ καὶ τοῦτο· τὸ ἀνέῳγεν ἀντὶ τοῦ ἠνεῴχθη ἅπαξ εὑρίσκεται.*

LXXXII. *ΚΑΤΑ ΘΕΟΔΟΤΟΥ.*

In perpetua nominum, quae sunt *Theodorus* et *Theodotus*, permutatione coniectura habet quo se tueatur, hanc Harpocrationis glossam ad orationem XXV vel LXVIII pertinere. Ad priorem retulit Westermannus hist. eloqu. gr. p. 313.

λουτροφόρος καὶ λουτροφορεῖν. ἔθος ἦν τοῖς γαμοῦσι λουτρὰ μεταπέμπεσθαι ἑαυτοῖς κατὰ τὴν τοῦ γάμου ἡμέραν, ἔπεμπον δ' ἐπὶ ταῦτα τὸν ἐγγύτατα γένους παῖδα ἄρρενα, καὶ οὗτοι ἐλουτροφόρουν. ἔθος δὲ ἦν καὶ τῶν ἀγάμων ἀποθανόντων λουτροφόρον ἐπὶ τὸ μνῆμα ἐφίστασθαι· τοῦτο δὲ ἦν παῖς ὑδρίαν ἔχων. λέγει περὶ τούτων Δείναρχος ἔν τε τῷ κατὰ Θεοδότου καὶ ἐν τῇ κατὰ Καλλισθένους εἰσαγγελίᾳ. ὅτι δὲ τὰ λουτρὰ ἐκόμιζον ἐκ τῆς νῦν μὲν Ἐννεακρούνου καλουμένης κρήνης πρότερον δὲ Καλλιρρόης, Πολυστέφανος ἐν τῷ περὶ κρηνῶν φησί. μέμνηνται δὲ τοῦ ἔθους οἱ κωμικοί. Harpocr.

LXXXIII. *ΚΑΤΑ ΚΑΛΛΙΠΠΟΥ.*

Cum in oratione $_{1}$LXXI Callippus quidam commemoratus esse videatur et causa illa ad res metallicas pertinuerit, possis hunc eundem esse coniicere vel Harpocrationem Callippum dixisse, quem Philippum dicere debebat: sed neque hoc certum est neque illud, utrum or. LXXXIII et LXXXIV diversae fuerint necne. Quanquam cum *ἐκνονομεύοντες* et *ὁμοερκὲς* de metallis etiam hic disceptatum esse ostendant, equidem veri similius esse existimo, haec omnia ad unam eandemque orationem referenda esse.

---

8. de filiis Xenophontis cf. Krüger. de Xenoph. vita p. 27 et A. Schaefer. in mus. rhen. 1847 p. 58 sqq. 36. Demosth. 47 §. 60.

1. *ὑπὲρ* Sauppius: *περὶ* erat. 3. *καὶ οὐ* Sauppius: *οὐ* erat. 4. *ἀνέῳγεν*] cf. Lobeck. ad Phrynich. p. 157 sq. 6. *συντάσσει* Sauppius: *συντάσσεται* erat. 22. cf. G. A. Becker. Charielis 2 p. 460 sqq. 29. cf. Dinarchi frg. $_{2}$XVIII, 5.

1. *ὑπονομεύοντες ἀντὶ τοῦ ὑπονόμους ὀρύττοντες Δείναρχος ἐν τῷ κατὰ Καλλίππου.* Harpocr.

1[b]. cf. frg. incert. 13.

LXXXIV. *ΠΡΟΣ ΤΗΝ ΚΑΛΛΙΠΠΟΥ ΠΑΡΑΓΡΑΦΗΝ.*

ὁμοερκὲς Δείναρχος ἐν τῷ πρὸς τὴν Καλλίππου παραγραφὴν ἀντὶ τοῦ ὑφ' ἓν ἕρκος, τουτέστιν ὑπὸ τὸν αὐτὸν περίβολον. Harpocr. Fortasse ad eundem locum referenda est glossa in Bekk. anecd. p. 286, 33: *ὁμοερκεῖς κίονες· οἱ τῶν μετάλλων κίονες.*

LXXXIV[b]. *ΚΡΟΚΩΝΙΔΩΝ ΔΙΑΔΙΚΑΣΙΑ.*

Γοργίας ὁ Λεοντῖνος. Γοργίας, ὁ τολμήσας λέγειν ὡς οὐδὲν τῶν ὄντων ἔστιν. Isocr. 10, 3. 15, 268. — ὁ πλεῖστα κτησάμενος ὧν ἡμεῖς μνημονεύομεν (σοφιστῶν), Γοργίας ὁ Λεοντῖνος, διατρίψας περὶ Θετταλίαν, ὅτ' εὐδαιμονέστατοι τῶν Ἑλλήνων ἦσαν, πλεῖστον δὲ χρόνον βιοὺς καὶ περὶ τὸν χρηματισμὸν τοῦτον γενόμενος, πόλιν δ' οὐδεμίαν καταπαγίως οἰκήσας οὐδὲ περὶ τὰ κοινὰ δαπανηθείς, ἔτι δὲ πρὸς τούτοις οὔτε γυναῖκα γήμας οὔτε παῖδας ποιησάμενος, χιλίους μόνους στατῆρας κατέλιπεν. Isocr. 15, 155 sq. — Θηραμένης μαθητὴς Γοργίου, ὁ δὲ Γοργίας μαθητὴς Τισίου. Schol. ad Isocr. p. 3, 9. — ἤκουσε κατά τινας (Isocrates) καὶ Προδίκου τοῦ Κείου καὶ Γοργίου τοῦ Λεοντίνου. Schol. ad Isocr. p. 4 b, 15. — ζηλωτὴς ἐγένετο τοῦ Γοργίου (Isocrates) κατὰ τὸ ὁμοιοκαταληκτῶδες καὶ παρισῶδες. Schol. ad Isocr. p. 5. 16. — λέγομεν ὅτι Γοργίου ἐπιλαμβάνεται (Ἰσοκράτης ἐν τῷ Ἑλένης ἐγκωμίῳ) τοῦ Λεοντίνου, τοῦ ἐνεγκόντος τὴν ῥητορικὴν εἰς τὴν Ἑλλάδα, ὡς κακῶς γράψαντος. Schol. ad Isocr. p. 8 b, 7. — Τισίας καὶ Κόραξ, Γοργίας καὶ Θρασύμαχος πρῶτοι ῥητορικὰς τέχνας ἔγραψαν. Schol. ad Isocr. p. 11 b, 12.

Γόργιππος. προῖκα τοῦτον (Demosthenem) οἴεσθε γράψαι τὸ χαλκοῦς ἐν ἀγορᾷ στῆσαι Βηρισάδην καὶ Σάτυρον καὶ Γόργιππον τοὺς ἐκ τοῦ Πόντου τυράννους, παρ' ὧν αὐτῷ χίλιοι μέδιμνοι τοῦ ἐνιαυτοῦ πυρῶν ἀποστέλλονται; Dinarch. 1, 43.

Γοργόνειον. Φιλουργὸς ὁ τὸ Γοργόνειον ὑφελόμενος. Isocr. 18, 57.

Γοργὼ χρυσέα. Eurip. fr. XVII. 46. ap. Lyc. §. 100.

Γοργώπας (Λακεδαιμόνιος). Γοργώπαν ἀπέκτεινε Χαβρίας ἐν Αἰγίνῃ. Demosth. 20, 76.

Γύλιππος Συρακοσίοις βοηθήσας οὐ μόνον ἐκείνους διέσωσεν, ἀλλὰ καὶ τὴν δύναμιν τὴν κρατοῦσαν αὐτῶν καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ἅπασαν αἰχμάλωτον ἔλαβεν. Isocr. 6, 53. (Γύλιππος ὄνομα κύριον, Λακεδαιμόνιος. Harpocr.)

Γύλων ἦν ἐκ Κεραμέων. οὗτος προδοὺς τοῖς πολεμίοις Νύμφαιον τὸ ἐν τῷ Πόντῳ, τότε τῆς πόλεως ἐχούσης τὸ χωρίον τοῦτο, φυγὰς ἐκ τῆς πόλεως

2, 93. Libanii Vita Demosth. p. 503, 9 sqq. — *Δημοσθένης οὑμὸς πατὴρ κατέλειπεν οὐσίαν σχεδὸν τεττάρων καὶ δεκα ταλάντων* Demosth. 27, 4 sqq.

Δημοσθένης Δημοσθένους Παιανιεύς, ὁ ῥήτωρ. De eo agunt Aeschines or. 1, 119–127. 163–181. item orationibus altera et tertia, Epist. 5, 6. 11, 3. 12, 1. 3. 4. 14; Dinarchus oratione prima (*κατὰ Δημοσθένους*), or. 2, 15; Libanius Sophista p. 503 sq.; ipse Demosthenes de se orationibus 18. 19. 21. 27. 28. 29. 30 31. [58.] — *Τούτῳ πατὴρ μὲν ἦν Δημοσθένης ὁ Παιανιεύς, ὁ πρὸς μητρὸς (Κλεοβούλης) πάππος Γύλων. οὗτος γαμεῖ γυναῖκα πλουσίαν μὲν Σκύθιν δὲ τὸ γένος, ἐξ ἧς γίγνονται αὐτῷ δύο θυγατέρες, ὧν τὴν ἑτέραν ἔγημε Δημοσθένης ὁ Παιανιεύς, ἐξ ἧς ὑμῖν ὁ περίεργος καὶ συκοφάντης Δημοσθένης γεγένηται. οὐκοῦν ἀπὸ μὲν τοῦ πάππου τοῦ πρὸς μητρὸς πολέμιος ἂν εἴη τῷ δήμῳ, τὰ δ' ἀπὸ τῆς μητρὸς Σκύθης.* Aesch. 3, 171 sq conf. 2, 78. 93. 180. Dinarch. 1, 15. — *Δημοσθένης οὑμὸς πατὴρ κατέλειπεν οὐσίαν μὲν σχεδὸν ιδ' ταλάντων, ἐμὲ δ' ἑπτ' ἐτῶν ὄντα καὶ τὴν ἀδελφὴν πέντε.* Demosth. 27, 4. — *ἐν παισὶ μὲν ὢν ἐκλήθη δι' αἰσχρουργίαν τινὰ καὶ κιναιδίαν Βάταλος.* Aesch. 2, 99. Vide *Βάταλος.* — *Δημοσθένης παῖς ὢν Καλλίστρατον τὴν περὶ Ὠρωποῦ δίκην ἀγωνιζόμενον ἀκούσας οὕτω διετέθη, ὥστε ἀπ' ἐκείνης τῆς ὥρας πάντα πάρεργα πρὸς τοὺς λόγους θέσθαι.* Liban. vita Demosth. p. 503, 24 sq. — *Δημοσθένους διδάσκαλος Ἰσαῖος.* Isaei Vita p. 327, 2, 19. Libanii Vita Demosth. p. 503, 26. — *ἐγήματο (ἡ Ὀνήτορος ἀδελφὴ) Ἀφόβῳ τῷ Δημοσθένους ἐπιτρόπῳ) ἐπὶ Πολυζήλου ἄρχοντος* (Ol. 103, 2.) *σκιροφοριῶνος μηνός, ἡ δ' ἀπόλειψις ἐγράφη ποσειδεῶνος μηνὸς ἐπὶ Τιμοκράτους* (Ol. 104, 1.) *ἐγὼ δ' εὐθὺς μετὰ τοὺς γάμους δοκιμασθεὶς ἐνεκάλουν καὶ λόγον ἀπῄτουν καὶ πάντων ἀποστερούμενος τὰς δίκας ἐλάγχανον ἐπὶ τοῦ αὐτοῦ ἄρχοντος (Τιμοκράτους).* Demosth. 30, 15. — *μετὰ τοίνυν τοῦτον τὸν ἄρχοντα (Πολύζηλον) Κηφισόδωρος* (Ol 103, 3.), *Χίων* (Ol 104, 4.), *ἐπὶ τούτων ἐνεκάλουν δοκιμασθείς, ἔλαχον δὲ τὴν δίκην ἐπὶ Τιμοκράτους* Demosth. 30, 17. — *ἐκ παίδων ἀπαλλαττόμενος καὶ δεκαταλάντους δίκας ἑκάστῳ τῶν ἐπιτρόπων λαγχάνων Ἀργᾶς ἐκλήθη.* Aesch. 2, 99. Vid. *Ἀργᾶς.* — *ἡνίκα τὰς δίκας ἔλαχον τῶν πατρῴων τοῖς ἐπιτρόποις, μειρακύλλιον ὢν κομιδῇ, τότε μοι μελλουσῶν εἰσιέναι τῶν δικῶν εἰς ἡμέραν ὡσπερεὶ τετάρτην ἢ πέμπτην εἰσεπήδησεν ἀδελφὸς ὁ τούτου (Μειδίου) καὶ οὗτος εἰς τὴν οἰκίαν ἀντιδιδόντες τριηραρχίαν. τοὔνομα μὲν δὴ παρέσχεν ἐκεῖνος καὶ ἦν ὁ ἀντιδιδοὺς Θρασύλοχος· τὰ δ' ἔργα ἅπαντ' ἦν καὶ τὰ πραττόμενα τούτου. — — — κἀγὼ τότε, παντάπασιν ἔρημος ὢν καὶ νέος κομιδῇ, δίδωμι εἴκοσι μνᾶς τούτοις, ὅσου τὴν τριηραρχίαν ἦσαν μεμισθωκότες. δίκην δὲ τούτῳ λαχὼν ὕστερον τῆς κακηγορίας εἷλον ἐρήμην· οὐ γὰρ ἀπήντα. λαβὼν δ' ὑπερήμερον καὶ ἔχων οὐδενὸς ἡψάμην πώποτε τῶν τούτου, ἀλλὰ λαχὼν ἐξούλης πάλιν οὐδέπω καὶ τήμερον εἰσελθεῖν δεδύνημαι· τοσαύτας τέχνας καὶ σκήψεις οὗτος εὑρίσκων ἐκκρούει.* Demosth. 21, 78. — *κἀγὼ κατ' ἐκείνους τοὺς χρόνους ἐτριηράρχουν, εὐθὺς ἐκ παίδων ἐξελθών, ὅτε σύνδυο ἦμεν οἱ τριήραρχοι καὶ τὰ ἀναλώματα πάντα ἐκ τῶν ἰδίων οἴκων καὶ τὰς ναῦς ἐπληρούμεθ' αὐτοί.* Demosth. 21, 154. — *ἐκ τριηράρχου λογογράφος ἀνεφάνη, τὰ πατρῷα καταγελάστως προέμενος· ἄπιστος δὲ καὶ περὶ ταῦτα δόξας εἶναι καὶ τοὺς λόγους ἐκφέρων τοῖς ἀντιδίκοις ἀνεπήδησεν ἐπὶ τὸ βῆμα.* Aesch. 3, 173. — *οὐ καθεστηκότος χορηγοῦ τῇ Πανδιονίδι φυλῇ τρίτον ἔτος τουτί, παρούσης δὲ τῆς ἐκκλησίας ἐν ᾗ τὸν ἄρχοντα ἐπικληροῦν ὁ νόμος τοῖς χοροῖς τοὺς αὐλητὰς κελεύει, παρελθὼν ὑπεσχόμην ἐγὼ χορηγήσειν ἐθελοντής καὶ κληρουμένων πρῶτος αἱρεῖσθαι τὸν αὐλητὴν (Τηλεφάνην) ἔλαχον.* Demosth. 21, 13. 68. — *Δημοσθένης λ' ἔτη ἔχων ἐγένετο χορηγός.* Schol. ad Aesch. p. 13, 30 — *προὐβαλόμην ἀδικεῖν τοῦτον (Μειδίαν) περὶ τὴν ἑορτήν, οὐ μόνον πληγὰς ὑπ' αὐτοῦ λαβὼν τοῖς Διονυσίοις, ἀλλὰ καὶ ἄλλα πολλὰ καὶ βίαια παθὼν παρὰ πᾶσαν τὴν χορηγίαν.* Demosth. 21, 1. 14–18. — *Εὐκτήμων (Μειδίου μισθωσαμένου) ἐγράψατο Δημοσθένην Παιανιέα λιποταξίου καὶ οὐκ ἐπεξῆλθεν.* Demosth. 21, 103. — *βουλεύειν μοι λαχόντος* (Ol. 107, 4.) *δοκιμαζομένου κατηγόρει (Μειδίας).* Demosth. 21, 111. — *(Μειδίας) ἐπαιτιασάμενός με φόνον εἴασε μέν με εἰσιτήρια ὑπὲρ τῆς βουλῆς ἱεροποιῆσαι καὶ θῦσαι καὶ κατάρξασθαι τῶν ἱερῶν ὑπὲρ τῆς πόλεως, εἴασε δ' ἀρχιθεωροῦντα ἀγαγεῖν τῷ Διὶ τῷ Νεμείῳ τὴν κοινὴν ὑπὲρ τῆς πόλεως θεωρίαν, περιεῖδε δὲ ταῖς σεμναῖς θεαῖς ἱεροποιὸν αἱρεθέντα ἐξ Ἀθηναίων ἁπάντων τρίτον αὐτὸν καὶ καταρξάμενον τῶν ἱερῶν.* Demosth. 21, 114 sq. — *Μειδίας γεγονὼς ἔτη περὶ ν' οὐδὲν ἐμοῦ πλείους λειτουργίας λελειτούργηκεν, ὃς λβ' ἔτη γέγονα.* Demosth. 21, 154–157. — *μετὰ ταῦτ' ἐπῄει χρόνος Θεμιστοκλῆς ἄρχων* (Ol. 108, 2.)· *ἐνταῦθ' εἰσέρχεται βουλευτὴς εἰς τὸ βουλευτήριον Δημοσθένης, οὔτε λαχὼν οὔτ' ἐπιλαχών, ἀλλ' ἐκ παρασκευῆς πριάμενος.* Aesch. 3, 62 73. 76. — *εἷς τῶν βουλευτῶν ἦν Δημοσθένης — — — καὶ στεφανῶσαι τὸν Ἀριστόδημον ἔγραψεν.* Aesch 2, 17. — *ἐκκλησία γίγνεται, ἐν ᾗ Δημοσθένης τυγχάνει προεδρεύων.* Aesch. 2, 82. 84. 85. 90. 93 — *μετὰ τὴν μάχην (τὴν ἐν Χαιρωνείᾳ) αἱρούμενος σιτώνην ἐκ πάντων ἐμὲ ἐχειροτόνησεν ὁ δῆμος.*

ραίᾳ Πανδίων. Demosth. 21, 8. —] ποιεῖν τὴν ἐκκλησίαν ἐν Διονύσου μετὰ τὰ Πάνδια. Demosth. 21, 9. — [ἡ ἐκκλησία ἡ ἐν Διονύσου. Demosth. 21, 10. —] ἐξεδόθη Φανὼ τῷ Διονύσῳ γυνή. Demosth. 59, 73. 110. — μὰ τὸν Διόνυσον. Aesch. 1, 52. — γεραιαί, αἱ τῷ Διονύσῳ ἱερωμέναι γυναῖκες. Schol. ad Demosth. p. 126 b, 31. — ὁ Σεβάζιος Διόνυσος. Schol. ad Demosth. p. 83, 10. — Διόνυσος, ὄνομα ὑποκοριστικόν. Schol. ad Demosth. p. 94 b, 20. — Conf. Διονύσια.

Διοπείθης, ὁ ἕτερος τῶν διαιτητῶν, Λεωχάρει μὲν ἦν τούτῳ κηδεστής, ἐμὸς δ' ἐχθρὸς καὶ ἀντίδικος ἐξ ἑτέρων συμβολαίων. Isae. 5, 33.

Διοπείθης ὁ Σουνιεύς, δημότης ὢν Ἡγησάνδρου καὶ ἤδη ποτὲ καὶ χρησάμενος, ὅτ' ἦν ἐν ἡλικίᾳ. Aesch. 1, 63. Schol. p. 18, 8 sq.

Διοπείθης, ὁ Ἀθηναίων ἐν τῷ Ἑλλησπόντῳ στρατηγός. Demosth. 8, 2—30. 9, 15. 12, 3. 18, 70. — ἐν τῷ η' τῶν Φιλιππικῶν (or. 8.) ἡ ὑπόθεσις ἐστὶ περὶ τοῦ σῶσαι Διοπείθην. Schol. ad Aesch. p. 22, 20. Schol. ad Demosth. p. 72, 45 sqq. — οὗτος ὁ Διοπείθης πατὴρ ἦν Μενάνδρου τοῦ κωμικοῦ. Schol. ad Demosth. p. 72 b, 17.

Διοπείθης Μελιτεύς. Demosth. 59, 48.

Διοσκούρειον. τὸ πανδοκεῖον τὸ πρὸ τοῦ Διοσκουρείου ἐν Φεραῖς. Demosth. 19, 158.

Διότιμος. ἔναγχος ἠκούετε ἐν τῇ ἐκκλησίᾳ ὡς Διότιμος ἔχοι τάλαντα τετταράκοντα πλείω ἢ ὅσα αὐτὸς ὡμολόγει παρὰ τῶν ναυκλήρων καὶ ἐμπόρων. - - - ἐνθυμεῖσθε, οἷον ἂν ἐγένετο, εἰ Διότιμος ἔπαθέ τι πρὶν καταπλεῦσαι δεῦρο. Lys. 19, 50 sq. conf Xenoph. Hellen. 5, 1, 25. (Διότιμος ὄνομα κύριον, ναύαρχος Ἀθηναίων. Harpocr.)

Διότιμος Ἀχαρνεύς. καί μοι κάλει Διότιμον Ἀχαρνέα καὶ τοὺς αἱρεθέντας μετ' αὐτοῦ τοὺς δημότας ἐκλῖσαι ἀπὸ τῶν εἰσενεχθέντων χρημάτων. Lys. 31, 16.

Διότιμος. Isae. 5, 32.

Διότιμος Διοπείθους Εὐωνυμεύς. πέπυσμαι καὶ Φιλιππίδην καὶ Μνησαρχίδην καὶ Διότιμον τὸν Εὐωνυμέα καὶ τοιούτους τινὰς πλουσίους καὶ τριηράρχους ἐξαιτήσεσθαι καὶ λιπαρήσειν παρ' ὑμῶν αὐτόν (Μειδίαν). περὶ ὧν οὐδὲν ἂν εἴποιμι πρὸς ὑμᾶς φλαῦρον ἐγώ· καὶ γὰρ ἂν μαινοίμην. Demosth. 21, 208. 215. — ὅτε τὰς ἀσπίδας Διότιμος ἔδωκε καὶ πάλιν Χαρίδημος, ἐστεφανοῦντο. Demosth. 18, 114. [116.] — [Διότιμος ὁ ἐπὶ τῶν ἱππέων. Demosth. 18, 116. —] τῶν δημοτικῶν τοὺς μὲν ἡ καθήκουσα μοῖρα καὶ ἡ τύχη καὶ ὁ χρόνος παραιρεῖται, οἷον Ναυσικλέα καὶ Χάρητα καὶ Διότιμον καὶ Εὔδοξον. [Demosth.] Epist. 3. p. 961, 1 sqq. — Conf Plut. Vit. X. Oratt. p. 844 A.

Διότιμος Διοτίμου Ἰκαριεύς. Demosth. 54, 31. 34.

[Διότιμος. Κάλλαισχρος Διοτίμου Κοθωκίδης. Demosth. 18, 187.]

[Διοφάνης Διοφάνους Ἀλωπεκῆθεν. Demosth. 59, 123.]

Διόφαντος (ὁ στρατηγός). οἶμαι δ' ἂν εἰ Κόνων μὲν καὶ Τιμόθεος ἐτύγχανον ζῶντες, Διόφαντος δ' ἧκεν ἐκ τῆς Ἀσίας, πολλὴν ἂν αὐτοὺς ποιήσασθαι σπουδήν, εὑρέσθαι με βουλομένους ὧν τυγχάνω δεόμενος. περὶ ὧν οὐκ οἶδα τί δεῖ πλείω λέγειν· οὐδεὶς γὰρ ὑμῶν (τῶν Μυτιληναίων ἀρχόντων) οὕτως ἐστὶ νέος οὐδ' ἐπιλήσμων, ὅστις οὐκ οἶδε τὰς ἐκείνων εὐεργεσίας. Isocr. Epist. 8, 8. cf. Diod. Sic. 16, 48.

Διόφαντος ὁ Σφήττιος. Isae. 3, 22. — Θρασυμήδης ὁ Διοφάντου υἱὸς ἐκείνου τοῦ Σφηττίου, καὶ Μελάνωπος ὁ ἀδελφὸς αὐτοῦ. Demosth. 35, 6.

Διόφαντος (ὁ ῥήτωρ). πολλοὶ παρ' ὑμῖν ἐπὶ καιρῶν γεγόνασιν ἰσχυροί, Καλλίστρατος, αὖθις Ἀριστοφῶν, Διόφαντος, τούτων ἕτεροι πρότερον. Demosth. 19, 297. — λέγε δὴ τὸ ψήφισμα λαβὼν τὸ τοῦ Διοφάντου (καθ' ὃ ἔδοξεν αὐτοῖς θύειν τοῖς θεοῖς εἶρξασι Φιλίππου τὴν ἐπὶ τὰς Πύλας ὁδὸν τὸ πρότερον. Ol. 106, 4. Ulp. p. 93 c. 94 a. ed. Bas.), ἵν' εἰδῆτε ὅτι, ὅτε τὰ δέοντ' ἐποιεῖτε, θυσιῶν καὶ ἐπαίνων ἠξιοῦσθε παρ' ὑμῖν αὐτοῖς καὶ παρὰ τοῖς ἄλλοις. Demosth. 19, 86. — περὶ ταύτης τῆς γυναικὸς Διόφαντος ἐν ὑμῖν ἀπήγγελλεν ἃ νῦν μαρτυρεῖν αὐτὸν (κατ' Αἰσχίνου) ἀναγκάσω. Demosth. 19, 198. — ἔστιν ἑκάστῳ τις αὐτῶν (τῶν ἀτελῶν) ἐχθρός, τῷ μὲν Διόφαντος, τῷ δ' Εὔβουλος. Demosth. 20, 137.

Διόφαντος, ὁ ὀρφανὸς καλούμενος, ὁμότροπος Τιμάρχου. Aesch. 1, 158.

[Διόφαντος. Νικόμαχος Διοφάντου. Demosth. 18, 137.]

Δίπαια (πόλις Ἀρκαδίας). Isocr. 6, 99.

Διοσέφορος. (Isocrates) Ἐφόρου ἀπελθόντος ἐν τῇ πατρίδι καὶ ἐλθόντος πάλιν καὶ δόντος τὰς χιλίας, ἐκάλει τοῦτον Διοσέφορον. Schol. ad Isocr. p. 4, 1–3.

Δίφιλος. προῖκα τούτων (Demosthenem) οἴεσθε γράψαι Διφίλῳ τὴν ἐν πρυτανείῳ σίτησιν καὶ τὴν εἰς τὴν ἀγορὰν ἀνατεθησομένην εἰκόνα; Dinarch. 1, 43.

Δίφιλος ὁ Σατύρου Μελιτεύς. Demosth. 59, 58.

[Δίφιλος. Ἡγήσανδρος Διφίλου Στειριεύς. Aesch. 1, 68.]

Δίων, ἄνθρωπος ἀπελεύθερος. Isae. 6, 20.

Δίων ὁ Φρεάρριος. Demosth. 18, 129.

Δίων (ὁ ναύκληρος). Λάμπις ὁ Δίωνος οἰκέτης. Demosth. 34, 5. — Λάμπις μετὰ τῶν ἄλλων παίδων τοῦ Δίωνος. Demosth. 34, 10.

Δίων (ὁ Συρακούσιος). οὐδὲ ὁ νῦν ὢν Διονύσιος ἠλ-

105. Dinarch. 1, 73. Schol. ad Aesch. p. 47 b, 26. Schol. ad Demosth. p. 63 b, 36.

Ἔπαφος. *Λιβύη ἡ Ἐπάφου τοῦ Διός.* Isocr. 11, 10.

Ἐπήρατος. *Κλεώναξ καὶ Ἐπήρατος, ξένοι Τενέδιοι τοῦ Πασίωνος.* Demosth. 50, 56.

Ἐπιγένης. *ἴστε Ἐπιγένην καὶ Δημοφάνην καὶ Κλεισθένην ἰδίᾳ μὲν καρπωσαμένους τὰς τῆς πόλεως συμφοράς, δημοσίᾳ δὲ ὄντας μεγίστων κακῶν αἰτίους.* Lys. 25, 25.

Ἐπιγένης. *προῖκα τοῦτον* (Demosthenem) *οἴεσθε γράψαι τὸ ποιῆσαι πολίτας ὑμᾶς Ἐπιγένην καὶ Κόνωνα τοὺς τραπεζίτας;* Dinarch. 1, 43.

[Ἐπιγένης. *Ἔνδιος Ἐπιγένους Λαμπτρεύς.* Demosth. 45, 8.]

Ἐπίδαμνος. Aesch. Epist. 10, 9.

Ἐπιδαύριοι. Isocr. 6, 91.

Ἐπίδαυρος. Lyc. §. 42.

Ἐπικέρδης ὁ Κυρηναῖος. *οὗτος ἀνήρ, ὡς τὸ ψήφισμα δηλοῖ τὸ τότε αὐτῷ γραφέν, τοῖς ἁλοῦσι τότ' ἐν Σικελίᾳ τῶν πολιτῶν ἔδωκε μνᾶς ρ' καὶ τοῦ μὴ τῷ λιμῷ πάντας αὐτοὺς ἀποθανεῖν αἰτιώτατος ἐγένετο. καὶ μετὰ ταῦτα δοθείσης ἀτελείας αὐτῷ διὰ ταῦτα παρ' ὑμῶν, ὁρῶν ἐν τῷ πολέμῳ πρὸ τῶν λ' μικρὸν σπανίζοντα τὸν δῆμον χρημάτων, τάλαντον ἔδωκεν αὐτὸς ἐπαγγειλάμενος.* Demosth. 20, 41 sq.

Ἐπικράτης. *Κατὰ Ἐπικράτους καὶ τῶν συμπρεσβευτῶν ἐπίλογος* Lysiae or. 27. — *οὗτός ἐστιν ὁ τῶν Ἀθηναίων δημαγωγὸς ὁ σακεσφόρος ἐπικαλούμενος, οὗ μνημονεύει καὶ Δημοσθένης ἐν τῷ περὶ τῆς πρεσβείας* (or. 19. §. 277: „*κατὰ τουτὶ τὸ ψήφισμα τῶν πρέσβεων ἐκείνων ὑμεῖς θάνατον κατέγνωτε, ὧν εἷς ἦν Ἐπικράτης, ἀνὴρ σπουδαῖος καὶ πολλὰ χρήσιμος τῇ πόλει καὶ τῶν ἐκ Πειραιῶς καταγαγόντων τὸν δῆμον καὶ ἄλλως δημοτικός.*" §. 280: „*ὑπομενεῖτε τὸν μὲν εὐεργέτην τοῦ δήμου καὶ τὸν ἐκ Πειραιέως, Ἐπικράτην, ἐκπεσεῖν καὶ κολασθῆναι*" *κτλ.*). Harpocr.

Ἐπικράτης. *ἄλλος δ' ἐστὶν Ἐπικράτης (Φιλοδήμου υἱός, Φίλωνος ἀδελφός) Αἰσχίνου τοῦ ῥήτορος κηδεστής, ὡς δηλοῦται ὑπ' αὐτοῦ ἐν τῇ περὶ τῆς πρεσβείας ἀπολογίᾳ* (Aesch. or. 2. §. 150 sqq.)· *οὗτος μέντοι ἐπωνύμιον εἶχε Κυρηβίων, ὡς Δημοσθένης φησὶν ἐν τῷ κατ' Αἰσχίνου* (or. 19. §. 287.). Harpocr. Schol. ad Aesch. p. 37, 24 sq.

Ἐπικράτης. *διεπράξατο καθίζεσθαι νομοθέτας διὰ ψηφίσματος ἐπὶ τῇ τῶν Παναθηναίων προφάσει. ΨΗΦΙΣΜΑ. [Ἐπικράτης εἶπεν κτλ.]* Demosth. 24, 27. — *τὸ ψήφισμα λέγει, ὅπερ ἔγραψεν ὁ Ἐπικράτης, φίλος ὢν τοῦ Τιμοκράτους, λέγων· Ἐπειδὴ ἐγγύς ἐστι τὰ Παναθήναια, συναχθῶμεν ἐπὶ τῷ σκέψασθαι περὶ αὐτῶν.* Schol. p. 113 b, 20 sqq.

Ἐπικράτης. *βούλεται ὁ τὸν λόγον ποιῶν ἐπαινεῖν Ἐπικράτην, ὃν ᾤετο πολλῶν καὶ ἀγαθῶν ὄντων νέων ἐν τῇ πόλει χαριέστατον εἶναι.* Demosth. 61, 1.

Ἐπίλυκος *ἦν ὁ Τισάνδρου θεῖός μοι* (Andocidi), *ἀδελφὸς τῆς μητρὸς τῆς ἐμῆς· ἀπέθανε δ' ἐν Σικελίᾳ ἄπαις ἀρρένων παίδων, θυγατέρας δὲ δύο καταλιπών.* Andoc. 1, 117–128. — *βασιλεῖ τῷ μεγάλῳ σπονδὰς ποιησάμενοι καὶ συνθέμενοι φιλίαν εἰς τὸν ἅπαντα χρόνον, ἃ ἡμῖν ἐπρέσβευσεν Ἐπίλυκος Τισάνδρου, τῆς μητρὸς τῆς ἡμετέρας ἀδελφός.* Andoc. 3, 29.

Ἐπίμαστος πόλις. Schol. ad Demosth. p. 73, 32.

Ἐπιμενίδης. Schol. ad Aesch. p. 32, 11. adnot. crit.

Ἐπίνικος. Demosth. Epist. 6. v. 11.

Ἐπίτιμος. *Μενεκράτης ἔφη Ἐπίτιμον ἐνδεδεῖχθαι καὶ ἀπῆχθαι ὑπὸ Ἀράτου, σὲ δὲ (Ἡρακλεόδωρον) ἀγωνίζεσθαι καὶ ἁπάντων αὐτῷ χαλεπώτατον εἶναι.* [Demosth.] Epist. 5, 3 sqq.

Ἐπιτρέφης. *Καλλικλῆς Ἐπιτρέφους Θριάσιος.* Demosth. 50, 47.

Ἐπιφάνιος, *ὁ τεχνικός.* Schol. ad Demosth. p. 72, 45 sq. 76 b, 23.

[Ἐπίφρων. *Πολυκράτης Ἐπίφρονος.* Demosth. 18, 165.]

Ἐπιχάρης ὁ Λαμπτρεύς. *Ἐπιχάρης οὗτος, ὁ πάντων πονηρότατος, ἐβούλευεν ἐπὶ τῶν τριάκοντα.--- ἐν δημοκρατίᾳ μὲν συκοφαντῶν ἔζη, ἐν ὀλιγαρχίᾳ δὲ ἐδούλευε τοῖς τριάκοντα.* Andoc. 1, 95. 99. — *τούτων (τῶν μετὰ τοὺς λ' καταστάντων ι' ἀρχόντων Φείδων καὶ Ἱπποκλῆς καὶ Ἐπιχάρης ὁ Λαμπτρεὺς καὶ ἕτεροι οἱ δοκοῦντες εἶναι ἐναντιώτατοι Χαρικλεῖ καὶ Κριτίᾳ καὶ τῇ ἐκείνων ἑταιρείᾳ.* Lys. 12, 55.

Ἐπιχάρης. *Λυσίστρατον, Ἡγήμονα, Ἐπιχάρην ὁρῶν φίλους ὄντας ἐμοὶ* (Andocidi) *καὶ χρωμένους.* Andoc. 1, 122.

Ἐπιχάρης *ὁ πάππος ὁ ἐμὸς Ὀλυμπίασι νικήσας παῖδας στάδιον ἐστεφάνωσε τὴν πόλιν.* Demosth. 58, 66. — *Ἀριστοκράτης ὁ Σκελλίου, θεῖος ὢν Ἐπιχάρους τοῦ πάππου τοῦ ἐμοῦ, οὗ ἔχει ἀδελφὸς οὑτοσὶ τοὔνομα.* Demosth. 58, 67.

Ἐπιχάρης *ὁ Θεοκρίνην ἐνδείξας.* Demosth. 58. *ὑπόθ.* v. 12. In ipsa oratione actor nusquam nominatur, sed dumtaxat avus eius §§. 66. 67.

Ἐπιχάρης ὁ Σικυώνιος. *τῆς ἰδίας ἕνεκ' αἰσχροκερδείας τὰ κοινῇ συμφέροντα προΐεντο, τοὺς ὑπάρχοντας πολίτας ἐξαπατῶντες καὶ διαφθείροντες, ἕως δούλους ἐποίησαν, --- Σικυωνίους Ἀρίστρατος, Ἐπιχάρης.* Demosth. 18, 295. (Ἐπιχάρης. *ὄνομα κύριον, Σικυώνιος προδότης.* Harpocr.)

[Ἐπιχάρης. *Χαρῖνος Ἐπιχάρους Λευκονοεύς.* Demosth. 35, 14.]

Ἐπώνυμοι *ἐκαλοῦντό τινες ἀνδριάντες ἡρώων, ἐξ ὧν ἐκαλοῦντο αἱ δέκα φυλαί.* Schol. ad Demosth.

p. 112, 2 sqq. – *οἱ νομοθέται τοὺς νόμους ἀναγράφοντες ἐν σανίσιν ἐκτιθέντων πρὸς τοὺς Ἐπωνύμους, σκοπεῖν τῷ βουλομένῳ.* Andoc. 1, 83. – *ἄν τι τοιοῦτον εὑρίσκωσιν (οἱ θεσμοθέται), ἀναγεγραφότας ἐν σανίσιν ἐκτιθέναι κελεύει (ὁ νομοθέτης) πρόσθεν τῶν ἐπωνύμων.* Aesch. 3, 39. – *ὁ Σόλων ἐπέταξεν ἐκθεῖναι τοὺς νόμους πρόσθε τῶν ἐπωνύμων.* Demosth. 20, 94. – *ὁ νομοθέτης προστάττει τοὺς νόμους ἐκθεῖναι πρόσθε τῶν ἐπωνύμων γράψαντα, σκοπεῖν τῷ βουλομένῳ.* Demosth. 24, 18. [23.] 25. Schol. p. 112 b, 9. 18. – *ἐψηφίσασθε ἡμᾶς στεφανῶσαι καὶ πρόσθε τῶν ἐπωνύμων ἀνειπεῖν.* Isocr. 18, 61. – *ἐπ' αἰσχίστῳ ἐπιγράμματι ἐξετέθη αὐτοῦ τοὔνομα ἔμπροσθεν τῶν ἐπωνύμων.* Isae. 5, 38. – *ἐκκεῖσθαι πρὸ τῶν ἐπωνύμων.* Demosth. 21, 103. – *ἰδὼν Ἀνδροτίωνα χρήματα πολλὰ τῆς θεοῦ καὶ τῶν ἐπωνύμων καὶ τῆς πόλεως ἔχοντα καὶ οὐκ ἀποδιδόντα ἦλθον ἐπ' αὐτόν.* Demosth. 24, 8. Schol. p. 112, 1 sqq. – *ἐάν τις ὀφείλῃ τῇ Ἀθηνᾷ ἢ τῶν ἄλλων θεῶν ἢ τῶν ἐπωνύμων.* Demosth. 58, 14 sq. – *διττοί εἰσιν οἱ ἐπώνυμοι, οἱ μὲν ι' τὸν ἀριθμόν, ἀφ' ὧν αἱ φυλαί, ἕτεροι δὲ β' καὶ μ', ἀφ' ὧν αἱ ἡλικίαι προσαγορεύονται τῶν πολιτῶν καθ' ἕκαστον ἔτος, ἀπὸ ιη' ἐτῶν μέχρις ξ'.* Harpocr. – *αἱ ἐκ διαδοχῆς ἔξοδοι αἱ ἐν τοῖς ἐπωνύμοις καὶ τοῖς μέρεσιν.* Aesch. 2, 168.

Ἐπώνυμος *ὁ Ἀχαρνεύς, ὁ πατὴρ ὁ ἡμέτερος.* Isae. 2, 3.

Ἐρασικλῆς [*κυβερνήτης*]. Demosth. 35, [20.] 33. [34.]

Ἐρασινίδης *(ὁ στρατηγός).* Lys. 21, 8. Xenoph. Hellen. 1, 5, 16.

Ἐρασίστρατος. *Ἐράτων ἐτελεύτησε καταλιπὼν υἱοὺς τρεῖς, Ἐρασιφῶντα καὶ Ἐράτωνα καὶ Ἐρασίστρατον.* Lys. 17, 3. 5. 6.

Ἐρασιφῶν. *Ἐράτων ὁ Ἐρασιφῶντος πατήρ.* Lys. 17, 2. – *Ἐράτων ἐτελεύτησε καταλιπὼν υἱοὺς τρεῖς, Ἐρασιφῶντα καὶ Ἐράτωνα καὶ Ἐρασίστρατον.* Lys. 17, 5. 6.

Ἐρατοσθένης. *ὑπὲρ τοῦ Ἐρατοσθένους φόνου ἀπολογία* Lysiae or. 1. – *Ἐρατοσθένης τὴν Εὐφιλήτου γυναῖκα ἐμοίχευεν.* Lys. 1, 4. – *Ἐρατοσθένης Οἴηθεν.* Lys. 1, 16. cf. §§. 23. 40. 43.

Ἐρατοσθένης. *Κατὰ Ἐρατοσθένους τοῦ γενομένου τῶν τριάκοντα* Lysiae or. 12. Xenoph. Hellen. 2, 3, 2. – *Ἐρατοσθένης Πολέμαρχον ἐν τῇ ὁδῷ λαβὼν εἰς τὸ δεσμωτήριον ἀπήγαγεν.* Lys. 12, 16–31. – *Ἐρατοσθένης καὶ ἐπὶ τῶν τετρακοσίων ἐν τῷ στρατοπέδῳ ὀλιγαρχίαν καθιστὰς ἔφευγεν ἐξ Ἑλλησπόντου τριήραρχος καταλιπὼν τὴν ναῦν.* Lys. 12, 42. – *ἐπειδὴ ἡ ναυμαχία καὶ ἡ συμφορὰ τῇ πόλει ἐγένετο, δημοκρατίας ἔτι οὔσης, πέντε ἄνδρες ἔφοροι κατέστησαν ὑπὸ τῶν καλουμένων ἑταίρων, ἐναντία τῷ ὑμετέρῳ πλήθει πράττοντες· ὧν Ἐρατοσθένης καὶ Κριτίας ἦσαν.* Lys. 12, 43. 46. – *τοὺς τριάκοντα ἐξέβαλον πλὴν Φείδωνος καὶ Ἐρατοσθένους.* Lys. 12, 54. 58. – *πυνθάνομαι ταῦτα ἀπολογήσεσθαι αὐτόν* (Eratosthenem), *ὅτι ἐκείνῳ* (Therameni) *φίλος ἦν καὶ τῶν αὐτῶν ἔργων μετεῖχε.* Lys. 12, 62. cf. §. 50.

Ἐράτων *ὁ Ἐρασιφῶντος πατήρ.* Lys. 17, 1. 2. 4. – *Ἐράτων ἐτελεύτησε καταλιπὼν υἱοὺς τρεῖς, Ἐρασιφῶντα καὶ Ἐράτωνα καὶ Ἐρασίστρατον.* Lys. *σίστρατον.* Lys. 17, 3.

Ἐράτων *ὁ Ἐράτωνος. Ἐράτων ἐτελεύτησε καταλιπὼν υἱοὺς τρεῖς, Ἐρασιφῶντα καὶ Ἐράτωνα καὶ Ἐρασίστρατον.* Lys. 17, 3.

Ἐργαμένης *ὁ Εὐκτήμονος. Εὐκτήμονι τοὺς ὄντως γενομένους παῖδας, Φιλοκτήμονα καὶ Ἐργαμένην καὶ Ἡγήμονα καὶ δύο θυγατέρας, καὶ τὴν μητέρα αὐτῶν, Μειξιάδου Κηφισιέως θυγατέρα, πάντες οἱ προσήκοντες ἴσασιν.* Isae. 6, 10. 44.

Ἐργίσκη. Aesch. 3, 82. Demosth. 7, 37. 18, 27. – *καὶ ἡ Ἐργίσκη τῶν Θρᾴκης ἐστίν, ὠνόμασται δὲ ἀπὸ Ἐργίσκου τοῦ Ποσειδῶνος καὶ Ἄβας νύμφης.* Harpocr. – *Ἐργίσκη, ὃ λέγουσι νῦν Σεργέντζιν.* Schol. ad Demosth. p. 77 b, 30.

Ἐργοκλῆς. *Κατ' Ἐργοκλέους ἐπίλογος* Lysiae or. 28. – *οἶμαι Ἐργοκλέα περὶ μὲν Ἁλικαρνασσοῦ καὶ περὶ τῆς ἀρχῆς καὶ περὶ τῶν αὐτῷ πεπραγμένων οὐκ ἐπιχειρήσειν ἀπολογεῖσθαι, ἐρεῖν δὲ ὡς ἀπὸ Φυλῆς κατῆλθε καὶ ὡς δημοτικός ἐστι καὶ ὡς τῶν κινδύνων τῶν ὑμετέρων μετέσχεν.* Lys 28, 12. – *Ἐργοκλέους διὰ τοῦτο ὑμεῖς θάνατον κατεχειροτονήσατε, ὅτι κακῶς διαθεὶς τὰ τῆς πόλεως πλέον ἢ τριάκοντα ταλάντων οὐσίαν ἐκτήσατο.* Lys. 29, 2 sqq. – *δεινὸν ἂν εἴη, εἰ Φιλοκράτης τὰ τῆς πόλεως Ἐργοκλεῖ συνειδὼς κλέπτοντι καὶ ἐπὶ τοῖς ὑμετέροις δωροδοκοῦντι μὴ τῆς αὐτῆς τιμωρίας τυγχάνοι ἀλλ' ἆθλα λάβοι τὴν ὑπ' ἐκείνου καταληφθεῖσαν οὐσίαν ἀντὶ τῆς αὐτοῦ πονηρίας.* Lys. 29, 11 sq. – *ὅσοι διὰ ταῦτ' (διὰ τὸ προέσθαι τὰ τῆς πόλεως) ἀπολώλασι παρ' ὑμῖν, οἱ δὲ χρήματα πάμπολλ' ὠφλήκασιν, οὐ χαλεπὸν δεῖξαι, Ἐργόφιλος, Κηφισόδοτος, Τιμόμαχος, τὸ παλαιόν ποτε Ἐργοκλῆς, Διονύσιος, ἄλλοι.* Demosth. 19, 180. – *Ἐργοκλῆς στρατηγὸς Ἀθηναίων.* Harpocr.

Ἐργόφιλος. *καὶ οὗτος στρατηγὸς Ἀθηναίων.* Harp. – *ὅσοι διὰ ταῦτ' (διὰ τὸ προέσθαι τὰ τῆς πόλεως) ἀπολώλασι παρ' ὑμῖν, οἱ δὲ χρήματα πάμπολλ' ὠφλήκασιν, οὐ χαλεπὸν δεῖξαι, Ἐργόφιλος, Κηφισόδοτος, Τιμόμαχος κτλ.* Demosth. 19, 180. – *ὅτι Μιλτοκύθης ἀπέστη Κότυος, συχνὸν ἤδη χρόνον ὄντος τοῦ πολέμου καὶ ἀπηλλαγμένου μὲν Ἐργοφίλου* (Ol. 104, 3.), *μέλλοντος δ' Αὐτοκλέους*

γονα οἶδα. καίτοι σύ γ' ἔφησθά με ταῦτα λέγοντα εἰς ἔχθραν ἐμβαλεῖν τουτουσί, Εὐβούλου καὶ Ἀριστοφῶντος καὶ Διοπείθους τῶν περὶ τούτων ψηφισμάτων ὄντων, οὐκ ἐμῶν. Demosth. 18, 70. – τοῦτο τὸ ψήφισμα Εὔβουλος ἔγραψεν, οὐκ ἐγώ. Demosth. 18, 75. – ὁρῶν ἐγὼ Θηβαίους σχεδὸν δὲ καὶ ὑμᾶς τὸ τὸν Φίλιππον ἐᾶν αὐξάνεσθαι παρορῶντας, εἰς ἔχθραν δὲ καὶ τὸ προσκρούειν ἀλλήλοις ἑτοίμως ἔχοντας, ὅπως τοῦτο μὴ γένοιτο παρατηρῶν διετέλουν οὐκ ἀπὸ τῆς ἐμαυτοῦ γνώμης μόνον ταῦτα συμφέρειν ὑπολαμβάνων, ἀλλ' εἰδὼς Ἀριστοφῶντα καὶ πάλιν Εὔβουλον πάντα τὸν χρόνον βουλομένους πρᾶξαι ταύτην τὴν φιλίαν, καὶ περὶ τῶν ἄλλων πολλάκις ἀντιλέγοντας τοῦθ' ὁμογνωμονοῦντας ἀεί, οὓς σὺ ζῶντας μὲν κολακεύων παρηκολούθεις, τεθνεώτων δ' οὐκ αἰσθάνει κατηγορῶν· ἃ γὰρ περὶ Θηβαίων ἐπιτιμᾷς ἐμοί, ἐκείνων πολὺ μᾶλλον ἢ ἐμοῦ κατηγορεῖς, τῶν πρότερον ἢ ἐγὼ ταύτην τὴν συμμαχίαν δοκιμασάντων. Demosth. 18, 161 sq. — Εὔβουλος κατηγόρει Θάρρηκος καὶ Σμικύθου συσσεσιτηκώς. Demosth. 19, 191. — τί γὰρ δήποτε, Εὔβουλε, Ἡγησίλεῳ μὲν κρινομένῳ, ὃς ἀνεψιός ἐστί σοι, καὶ Θρασυβούλῳ πρῴην, τῷ Νικηράτου θείῳ, ἐπὶ τῆς πρώτης ψήφου οὐδ' ὑπακοῦσαι καλούμενος ἤθελες; εἶτα ὑπὲρ μὲν συγγενῶν καὶ ἀναγκαίων ἀνθρώπων οὐκ ἀναβαίνεις, Εὔβουλε, ὑπὲρ Αἰσχίνου δὲ ἀναβήσει, ὅς, ἡνίκ' ἔκρινεν Ἀριστοφῶν Φιλόνεικον καὶ δι' ἐκείνου τῶν σοὶ πεπραγμένων κατηγόρει, συγκατηγόρει μετ' ἐκείνου σοῦ καὶ τῶν ἐχθρῶν τῶν σῶν εἷς ἐξητάζετο; ἐπειδὴ δὲ σὺ μὲν τουτουσὶ δεδιξάμενος, καὶ φήσας καταβαίνειν εἰς Πειραιᾶ δεῖν ἤδη καὶ χρήματ' εἰσφέρειν καὶ τὰ θεωρικὰ στρατιωτικὰ ποιεῖν, ἢ χειροτονεῖν ἃ συνεῖπε μὲν οὗτος ἔγραψε δ' ὁ βδελυρὸς Φιλοκράτης, αἰσχρὰν ἀντὶ καλῆς γενέσθαι τὴν εἰρήνην, οὗτοι δὲ τοῖς μετὰ ταῦτ' ἀδικήμασι πάντ' ἀπολωλέκασι, τηνικαῦτα διήλλαξαι; καὶ ἐν μὲν τῷ δήμῳ κατηρῶ Φιλίππῳ, καὶ κατὰ τῶν παίδων ὤμνυες ἦ μὴν ἀπολωλέναι Φίλιππον ἂν βούλεσθαι· νῦν δὲ βοηθήσεις τούτῳ; τί γὰρ δή ποτε Μοιροκλέα μὲν ἔκρινας, εἰ παρὰ τῶν τὰ μέταλλα ἐωνημένων εἴκοσιν ἐξέλεξε δραχμὰς παρ' ἑκάστου, καὶ Κηφισοφῶντα γραφὴν ἱερῶν χρημάτων ἐδίωκες, εἰ τρισὶν ὕστερον ἡμέραις ἐπὶ τὴν τράπεζαν ἔθηκεν ἑπτὰ μνᾶς· τοὺς δὲ ἔχοντας, ὁμολογοῦντας, ἐξελεγχομένους, ἐπ' αὐτοφώρῳ ἐπὶ τῷ τῶν συμμάχων ὀλέθρῳ ταῦτα πεποιηκότας, τούτους σώζειν κελεύεις. Demosth. 19, 290 sqq. – Εὔβουλον εἰς ὑποψίαν κατέστησε (Demosthenes) φιλιππισμοῦ καὶ κοινωνίας τῆς πρὸς Αἰσχίνην. Schol. ad Demosth. p. 95, 24 sqq. – τίς ὁ πείσας ὑμᾶς μόνον οὐκ ἐπὶ τὴν ἐρυθρὰν θάλασσαν πρεσβείας πέμπειν; οὐχ ὁ μὲν γράφων τὸ ψήφισμα Εὔβουλος ἦν, ὁ δὲ πρεσβεύων εἰς Πελοπόννησον Αἰσχίνης οὑτοσί; Demosth. 19, 304. — ἔστιν ἑκάστῳ τις τῶν ὑπέρ?? ἐχθρός, τῷ μὲν Διόφαντος, τῷ δ' Εὔβουλος. Demosth. 20, 137. – παρῆν καὶ ἐκάθητο Εὔβουλος ἐν τῷ θεάτρῳ, ὅτε ὁ δῆμος κατεχειροτόνησε Μειδίου, καὶ καλούμενος ὀνομαστὶ καὶ ἀντιβολοῦντος τούτου καὶ λιπαροῦντος, οὐκ ἀνέστη. εἰ δὲ καταγνοὺς ἀδικεῖν τότε διὰ ταῦτ' οὐχ ὑπήκουσε, νῦν δ' ὅτι προσκέκρουκεν ἐμοί, διὰ ταῦτα τοῦτον ἐξαιτήσεται, ὑμῖν οὐχὶ καλῶς ἔχει χαρίσασθαι. ἀλλ' εἰ κακῶς ἐμὲ βούλει ποιεῖν, Εὔβουλε, δύνασαι μὲν καὶ πολιτεύῃ, κατὰ τοὺς νόμους δ' ἥν τινα βούλει παρ' ἐμοῦ δίκην λάμβανε, ὧν δ' ἐγὼ παρὰ τοὺς νόμους ὑβρίσθην, μή μ' ἀφαιροῦ τὴν τιμωρίαν. Demosth. 21, 206 sq. – ὅτι ὁ Εὔβουλος ἐπολέμει τῷ Δημοσθένει ἀπὸ τῆς αἰτίας τῆς κατὰ Ἀρίσταρχον. Demosth. or. 19. ὑπόθ. v. 192 sqq. – Εὔβουλον ἀνεῖλεν ὁ Ἀρίσταρχος. Schol. ad Aesch. p. 24, 39. – Conf. Schol. ad Demosth. p. 59 b, 39. 60, 8. 64, 11. 83 b, 15 sq. 95, 32 sq. 95 b, 5. 103 b, 41.

Εὔβουλος. Σπίνθαρος ὁ Εὐβούλου. Demosth. 54, 7.

Εὔβουλος Προβαλίσιος. Demosth. 59, 48.

[Εὔβουλος Μνησιθέου Κύπριος. Demosth. 18, 73.]

Εὐδέρκης. ἐπειδὴ οἱ κατάρατοι καὶ θεοῖς ἐχθροὶ ῥήτορες Κερσοβλέπτην ἠξίουν ὧν αὐτοῖς ἐδόκει, προστιθέασι δύο αὐτῷ, τὸν μὲν ὅσα ὑμεῖς ἀκηκόατε εἰργασμένον κακά, τὸν δ' ὅλως οὐδεὶς οἶδεν ἀνθρώπων τίς ἐστιν, Εὐδέρκην ὄνομα. Demosth. 23, 203.

Εὔδημος ὁ Κυδαθηναιεύς. Εὔδημον τὸν Κυδαθηναιέα νόμον δόξαντα θεῖναι οὐκ ἐπιτήδειον ἐπ' Εὐάνδρου ἄρχοντος ἀπεκτείνατε. Demosth. 24, 138.

Εὔδημος. Vid. Εὔδικος.

Εὔδικος. μέχρι τούτου Εὔδικος φίλος ὠνομάζετο καὶ Σῖμος ὁ Λαρισαῖος, ἕως Θετταλίαν ὑπὸ Φιλίππῳ ἐποίησαν. Demosth. 18, 48. (εἷς δ' ἐστὶν οὗτος τῶν κατασταθέντων ὑπὸ Φιλίππου κυρίων Θετταλίας ἁπάσης. Harpocr.)

Εὔδικος (Ἀθηναῖος). τῶν δημοτικῶν τοὺς μὲν ἡ καθήκουσα μοῖρα καὶ ἡ τύχη καὶ ὁ χρόνος παρῄρηται, οἷον Ναυσικλέα καὶ Χάρητα καὶ Διότιμον καὶ Μενεσθέα καὶ Εὔδοξον, ἔτι δ' Εὔδικον (al. Εὔδημον. Apud Dinarch. 1, 33 cum Ephialte componitur Εὐθύδικος.) καὶ Ἐφιάλτην καὶ Λυκοῦργον, τοὺς δ' ὑμεῖς προεῖσθε. [Demosth.] Epist. 3. p. 961, 1 sqq.

Εὔδοξος (Ἀθηναῖος) εἷς τῶν δημοτικῶν. [Demosth.] Epist. 3. p. 961, 3. Conf. Εὔδικος.

Εὔεργος δανειστής. ἡ Πανταινέτου πρὸς Εὔεργον δίκη. Demosth. 37, 2 sqq. – Κατὰ Εὐέργου καὶ Μνησιβούλου ψευδομαρτυριῶν Demosthenis or. 47. – Εὔεργος ὁ Θεοφήμου ἀδελφός. Demosth. 47, 34. 53. 58.

[Εὐήγορος. Demosth. 21, 10.]

Εὐθετίων Κυδαθηναιεύς. Demosth. 59, 34.

Εὐθύδημος ὁ τοῦ Στρατοκλέους (Διομειεύς. cf. Στρατοκλῆς.) ἑκὼν ἐπιδοὺς τριήρη. Demosth. 21, 165.

Εὐθύδημος ὁ Παμφίλου. Παμφίλου υἱεῖς Βοιωτὸς καὶ Ἥδυλος καὶ Εὐθύδημος. Demosth. 40, 23.

[Εὐθύδημος Φλυάσιος. (Φυλάσιος Boehnecke.) Demosth. 18, 164.]

Εὐθύδικος. προῃρεῖτο τὰς ὑπὲρ τοῦ δήμου πράξεις· ἔφη τούτῳ Δημοσθένης φίλος εἶναι· οὗτος ἀπώλετο. Dinarch. 1, 33.

Εὐθύδικος ὁ ἰατρός. Demosth. 40, 33. – τὸ Εὐθυδίκου ἰατρεῖον ἐν Πειραιεῖ. Aesch. 1, 40.

Εὐθυκλῆς (Θάσιος). τοῦ Ἀριστοκράτους ψηφίσματος κατηγορεῖ Εὐθυκλῆς τῷ Δημοσθένους λόγῳ χρώμενος. Demosth. 23. ὑπόθ. v. 11. – Εὐθυκλῆς τις Θάσιος (f. Θριάσιος) τὸν δῆμον, λαβὼν παρὰ τοῦ Δημοσθένους τὸν λόγον κατηγόρει τοῦ Ἀριστοκράτους. Demosth. 23. ὑπόθ. v. 59 – 64. – Εὐθυκλῆς ἐστιν ὁ κατὰ Ἀριστοκράτους (or. 23.) λέγων, λαβὼν τὸν λόγον παρὰ Δημοσθένους. Schol. ad Aesch. p. 42 b, 25 sq. – πάνυ τῶν αἰσχρῶν ἐνόμιζον εἶναι νῦν μὲν ἡσυχίαν ἄγειν καὶ σιωπῆσαι, πρότερον δ᾽, ὅτ᾽ ἔπλευσα τριηραρχῶν εἰς Ἑλλήσποντον, εἰπεῖν καὶ κατηγορῆσαί τινων οὓς ἀδικεῖν ὑμᾶς ἡγούμην. Demosth. 23, 5. Euthycles in ipsa oratione haud nominatur, sed nomen servavit etiam Dionysius Halic. Epist. I. ad Ammaeum §. 4: ἐν τούτῳ τῷ χρόνῳ (ἐπ᾽ Ἀριστοδήμου ἄρχοντος) καὶ τὸν κατὰ Ἀριστοκράτους ἔγραψε λόγον Εὐθυκλεῖ, τῷ διώκοντι παρανόμων τὸ ψήφισμα. Conf. *E. G. Weber* in Prolegg. ad Aristocrateam p. XVI sq. quocum ne Euthyclem revera *Thasium* fuisse civitate Attica donatum, faciunt addita verba τὸν δῆμον, quae de corruptela adiectivi Θάσιος dubitare non sinunt.

[Εὐθυκλῆς archon pseudeponymus. Ἐπὶ ἄρχοντος Εὐθυκλέους. Demosth. 18, 118.]

Εὐθυκράτης, ὁ Ἀστυφίλου πατήρ. Isae. 9, 19. 36. – Εὐθυκράτει τῷ πατρὶ τῷ Ἀστυφίλου αἴτιος γενέσθαι λέγεται τοῦ θανάτου Θούδιππος, αἰκισάμενος ἐκεῖνον, καὶ οὕτως αὐτὸν διατεθῆναι, ὥστε ἐκ τῶν πληγῶν αὐτὸν ἀσθενήσαντα οὐ πολλαῖς ἡμέραις ὕστερον ἀποθανεῖν. Isae. 9, 17.

Εὐθυκράτης ὁ Ὀλύνθιος. σκεψάσθωσαν Εὐθυκράτη καὶ Λασθένη τοὺς Ὀλυνθίους, οἳ δοκοῦντες οἰκειότατ᾽ αὐτῷ (Φιλίππῳ) διακεῖσθαι, ἐπειδὴ τὴν πόλιν προὔδοσαν, πάντων κάκιστ᾽ ἀπολώλασιν. Demosth. 8, 40. – Λασθένης μὲν ἤρεψε τὴν οἰκίαν τοῖς ἐκ Μακεδονίας δοθεῖσι ξύλοις, Εὐθυκράτης δὲ βοῦς ἔτρεφε πολλὰς τιμὴν οὐδενὶ δούς. Demosth. 19, 265. – οἱ οἰόμενοι δίκην ὑφέξειν τοιαῦτ᾽ ἔπραξαν, τούτους, ἐὰν τὰ παρ᾽ ὑμῶν αὐτοῖς ἐφεθῇ, τί οἴεσθε ποιήσειν; ποῖον Εὐθυκράτη, ποῖον Λασθένη, τίν᾽ οὐχ ὑπερβαλεῖσθαι προδότην; Demosth. 19, 342.

Εὐθύκριτος, πρεσβύτατος Πλαταιέων. Lys. 23, 5. 8.

Εὐθύμαχος. θανάτῳ ἐζημιώσατε Εὐθύμαχον, διότι τὴν Ὀλυνθίαν παιδίσκην ἔστησεν ἐπ᾽ οἰκήματος. Dinarch. 1, 23.

Εὐθύμαχος ὁ Ὀτρυνεύς. Εὐθυμάχῳ τῷ Ὀτρυνεῖ γίγνονται υἱεῖς τρεῖς, Μιδυλίδης καὶ Ἄρχιππος καὶ Ἀρχιάδης καὶ θυγάτηρ Ἀρχιδίκη. Demosth. 44, 9.

Εὐθυμένης ἄρχων (Ol. 85, 4). ἐπὶ ἄρχοντος Ἀθήνησιν Εὐθυμένους. Schol. ad Aesch. p. 29, 27.

Εὔθυνος ὁ παλαιστής. ἴσασιν ἅπαντες Εὔθυνον τὸν παλαίσαντά ποτ᾽ ἐκεῖνον, τὸν νεανίσκον, Σώφιλον τὸν παγκρατιαστὴν ἐν Σάμῳ ἐν συνουσίᾳ τινί, ὅτι αὑτὸν ὑβρίζειν ᾤετο, ἀμυνάμενον οὕτως ὥστε καὶ ἀποκτεῖναι. Demosth. 21, 71.

Εὐθύνους. Πρὸς Εὐθύνουν ἀμάρτυρος Isocratis or. 21. – Εὐθύνους ἀνεψιὸς ὢν Νικίου τυγχάνει, λέγειν δὲ καὶ πράττειν μᾶλλον δύναται τούτου, ἔτι δὲ χρήματα μὲν ὀλίγα φίλους δὲ πολλοὺς κέκτηται. Isocr. 21, 9.

Εὐθύφημος ὁ γραμματεὺς ὁ τῶν τοῦ ἐμπορίου ἐπιμελητῶν. Demosth. 58, 8.

Εὐκαμπίδας. τῆς ἰδίας ἕνεκ᾽ αἰσχροκερδείας τὰ κοινῇ συμφέροντα προΐεντο, τοὺς ὑπάρχοντας πολίτας ἐξαπατῶντες καὶ διαφθείροντες, ἕως δούλους ἐποίησαν, Ἀρκάδας Κερκιδᾶς, Ἱερώνυμος, Εὐκαμπίδας. Demosth. 18, 295. conf. Polyb. 17, 14, 2.

Εὐκλείδης ἄρχων (Olymp. 94, 2). ἐψηφίσαντο Ἀθηναῖοι καινοὺς νόμους εἰσφέρειν ἀντὶ τῶν ἀπολωλότων ἐπ᾽ ἄρχοντος Εὐκλείδου, ὃς πρῶτος ἦρξε μετὰ τοὺς τριάκοντα. Schol. ad Aesch. p. 15 b, 14–17. – ἄρξαντος Εὐκλείδου μετὰ τὴν τῶν λ᾽ κατάλυσιν τὰ πρὸς αὐτῶν πραχθέντα ἄκυρα εἶναι ἐψηφίσαντο οἱ Ἀθηναῖοι. Schol. ad Aesch. p. 15 b, 34 – 37. – πρὸ Εὐκλείδου (ἄρχοντος). Demosth. 57, 30. Schol. p. 16, 5. p. 114 b, 26. – οἱ πρὸ Εὐκλείδου ἄρχοντος. Demosth. 24, 133. – ἔστω ταῦτα ἄκυρα ὥσπερ τὰ ἐπὶ τῶν τριάκοντα καὶ τὰ πρὸ Εὐκλείδου ἢ εἴ τις ἄλλη πώποτε τοιαύτη γέγονε προθεσμία. Aesch. 1, 39. Schol. p. 16, 1–6. – ἐπ᾽ Εὐκλείδου ἄρχοντος. Lys. 21, 4. – ἀπ᾽ Εὐκλείδου ἄρχοντος. Andoc. 1, 87. 88. 89. 93. 94. 99. Isae. 6, 47. [Demosth. 43, 51.] – μετ᾽ Εὐκλείδην ἄρχοντα. Isae. 8, 43. Demosth. 24, 134. [– Διοκλῆς εἶπε τοὺς νόμους τοὺς πρὸ Εὐκλείδου τεθέντας ἐν δημοκρατίᾳ, καὶ ὅσοι ἐπ᾽ Εὐκλείδου ἐτέθησαν καί εἰσιν ἀναγεγραμμένοι, κυρίους εἶναι. τοὺς δὲ μετ᾽ Εὐκλείδην τεθέντας καὶ τὸ λοιπὸν τιθεμένους κυρίους εἶναι ἀπὸ τῆς ἡμέρας ἧς ἕκαστος ἐτέθη. Demosth. 24, 42. Schol. p. 114 b, 24–32.]

Εὐκλείδης πρεσβευτὴς πρὸς Φίλιππον. Λέγε δὴ καὶ

τὴν ἑτέραν μαρτυρίαν, ἃ πρὸς Εὐκλείδην ὕστερον ἐλθόντα τουτονὶ ἀπεκρίνατο Φίλιππος. Demosth. 19, 162. Ulpian. ad h. l. p. 104 c: ἀκούσασα ἡ πόλις ἀπολωλέναι τὸν Κερσοβλέπτην, ἀπέστειλεν ὕστερον Εὐκλείδην, αἰτιασόμενον Φίλιππον διὰ τὰ ἐν Θρᾴκῃ γενόμενα. ὁ δὲ ἀπεκρίνατο μηδὲν ἡμαρτηκέναι· ὀψὲ γάρ ποτε συντυχεῖν τοῖς πρέσβεσι καὶ πρὸ τῶν ὅρκων λαβεῖν αὐτά.

Εὐκλῆς ὁ στρατηγός. οἱ μετ᾽ Εὐκλέους καὶ Θουκυδίδου ἠτύχησαν περὶ τὰς Ἐννέα καλουμένας ὁδούς (Ol. 89, 1.). Schol. ad Aesch. p. 29, 16.

Εὐκλῆς, ὁ Ἀνδοκίδῃ περὶ τῆς ἱκετηρίας μαρτυρήσας. (Ol. 95, 1.) Andoc. 1, 112. 115.

Εὐκράτης ὁ Νικίου ἀδελφός, κηδεστὴς Καλλίου, ἀπογραφεὶς ὑπὸ Διοκλείδου ἐπὶ τοῖς Ἑρμαῖς, σωθεὶς ὑπ᾽ Ἀνδοκίδου. Andoc. 1, 47. 68. — Εὐκράτης, ἀδελφὸς μὲν ὢν Νικίου, πατὴρ δ᾽ ἐμός, ἡττημένων ἐν τῇ ναυμαχίᾳ στρατηγὸς ὑφ᾽ ὑμῶν ᾑρημένος, καὶ παρακαλούμενος μετέχειν τῆς ὀλιγαρχίας ὑπὸ τῶν ἐπιβουλευόντων τῷ πλήθει, οὐκ ἠθέλησεν αὐτοῖς πείθεσθαι, ἀλλ᾽ ἐξὸν αὐτῷ καὶ τῶν λ᾽ γενέσθαι καὶ μηδενὸς ἔλαττον δύνασθαι, μᾶλλον εἵλετο πράττων ὑπὲρ τῆς ὑμετέρας σωτηρίας ἀπολέσθαι ἢ ἐπιδεῖν τὰ τείχη καθαιρούμενα καὶ τὰς ναῦς τοῖς πολεμίοις παραδιδομένας καὶ τὸ ὑμέτερον πλῆθος καταδουλούμενον. Lys. 18, 4 sq.

Εὐκράτης ὁ Λευκάδιος, Νεαίρας ἐραστής. Demosth. 59, 29—36.

Εὔκρατος ὁ Στρομβίχου υἱός, ἐν Ὀλύνθῳ ἐγκαταληφθείς. Aesch. 2, 15.

Εὐκτήμων μηνυθεὶς ὑπὸ Τεύκρου ἐπὶ τοῖς Ἑρμαῖς. Andoc. 1, 35.

Εὐκτήμων (ὁ Κηφισιεύς). Εὐκτήμονι τοὺς ὄντως γενομένους παῖδας Φιλοκτήμονα καὶ Ἐργαμένην καὶ Ἡγήμονα καὶ δύο θυγατέρας, καὶ τὴν μητέρα αὐτῶν, ἣν ἔγημεν ὁ Εὐκτήμων, Μιξιάδου Κηφισιέως θυγατέρα, πάντες οἱ προσήκοντες ἴσασιν. Isae. 6, 10—17. — Εὐκτήμων εβίω ἔτη ἓξ καὶ ἐνενήκοντα, τούτου δὲ τοῦ χρόνου τὸν μὲν πλεῖστον ἐδόκει εὐδαίμων εἶναι (καὶ γὰρ οὐσία ἦν οὐκ ὀλίγη αὐτῷ καὶ παῖδες καὶ γυνή, καὶ τἆλλ᾽ ἐπιεικῶς εὐτύχει), ἐπὶ γήρως δὲ αὐτῷ συμφορὰ ἐγένετο οὐ μικρά, ἣ ἐκείνου πᾶσαν τὴν οἰκίαν ἐλυμήνατο. Isae. 6, 18—65.

Εὐκτήμων Λουσιεύς. ὅτι λιποταξίου γραφὴν κατεσκεύασε (Μειδίας) κατ᾽ ἐμοῦ καὶ τὸν τοῦτο ποιήσοντα ἐμισθώσατο, τὸν μιαρὸν καὶ λίαν εὐχερῆ, τὸν κονιορτόν, Εὐκτήμονα, ἐάσω. καὶ γὰρ οὔτ᾽ ἀνεκρίνατο ταύτην ὁ συκοφάντης ἐκεῖνος, οὔθ᾽ οὗτος οὐδενὸς ἕνεκα αὐτὸν ἐμισθώσατο πλὴν ἵν᾽ ἐκκέοιτο πρὸ τῶν ἐπωνύμων καὶ πάντες ὁρῷεν „Εὐκτήμων Λουσιεὺς ἐγράψατο Δημοσθένην Παιανιέα λιποταξίου.“ καί μοι δοκεῖ κἂν προσγράψασθαι τοῦθ᾽ ἡδέως, εἴ πως ἐνῆν, ὅτι Μειδίου μισθωσάμενος γέγραπται. ἀλλ᾽ ἐῶ τοῦτο· ἐφ᾽ ᾗ γὰρ ἐκεῖνος ἠτίμωκεν ἑαυτὸν οὐκ ἐπεξελθών, οὐδεμιᾶς ἔγωγ᾽ ἔτι προσδέομαι δίκης, ἀλλ᾽ ἱκανὴν ἔχω. Demosth. 21 103. — νῦν τούτου (Μειδίου) προβέβληται Πολύευκτος, Τιμοκράτης, Εὐκτήμων ὁ κονιορτός τοιοῦτοί τινές εἰσι μισθοφόροι περὶ αὐτόν. Ibid. §. 139.

Εὐκτήμων ὁ τοῦ Αἰσίωνος, ἑκὼν ἐπιδοὺς τριήρη Demosth. 21, 165. [— Εὐκτήμων Σφήττιος, τριήραρχος Δημοσθένει μαρτυρῶν. Demosth. 21, 168.

Εὐκτήμων. Ἀνδροτίων γέγραφεν ἐν τῷ δήμῳ ψήφισμα στεφανῶσαι τὴν βουλήν. ἐπὶ τούτῳ παρανόμων κρίνεται, κατηγορούντων αὐτοῦ δύο ἐχθρῶν, Εὐκτήμονος καὶ Διοδώρου. καὶ προείρηκε μὲν ὁ Εὐκτήμων, δεύτερος δὲ ὁ Διόδωρος ἐπαγωνίζεται τούτῳ τῷ λόγῳ. Demosth. or. 22. ὑπόθ. v. 12—15. 119—124. 129 sqq. 172—177. Schol. p. 104, 26. — Ὅπερ Εὐκτήμων παθὼν ὑπ᾽ Ἀνδροτίωνος κακῶς ἅμα τῇ τε πόλει βοηθεῖν οἴεται δεῖν καὶ δίκην ὑπὲρ αὑτοῦ λαβεῖν, τοῦτο κἀγὼ πειράσομαι ποιεῖν. συμβέβηκε δὲ πολλὰ καὶ δεινὰ καὶ παρὰ πάντας τοὺς νόμους Εὐκτήμονος ὑβρισμένου ἐλάττω ταῦτ᾽ εἶναι τῶν ἐμοὶ γεγενημένων δι᾽ Ἀνδροτίωνος πραγμάτων· οὗτος μέν γε εἰς χρήματα καὶ τὸ παρ᾽ ὑμῶν ἀδικῶς ἐκπεσεῖν ἐπεβουλεύθη· ἐμὲ δὲ κτλ. Demosth. 22, 1. 3. 24, 7. 8. — Ἀνδροτίων Εὐκτήμονα φήσας τὰς ὑμετέρας ἔχειν εἰσφοράς, καὶ τοῦτ᾽ ἐξελέγξειν ἢ παρ᾽ ἑαυτοῦ καταθήσειν, τὸν μὲν Εὐκτήμονα οὐδὲν εἶχεν ἐλέγχειν περὶ τούτων, ὑμᾶς δ᾽ εἰσέπραττεν, ὥσπερ οὐ διὰ τὴν Εὐκτήμονος ἔχθραν ἐπὶ ταῦτα ἐλθών, ἀλλὰ διὰ τὴν ὑμετέραν. Demosth. 22, 48—50. 24, 159—162. — ἐμήνυσεν Εὐκτήμων ἔχειν Ἀρχέβιον καὶ Λυσιθείδην τριηραρχήσαντας χρήματα Ναυκρατιτικά. Demosth. 24, 11—15. — τὸ Εὐκτήμονος ψήφισμα. Demosth. 24, 101. 117.

[Εὐκτήμων ὁ Εὐβουλίδου τοῦ Βουσέλου ἐξ Οἴου. Εὐκτήμων ὁ βασιλεύσας. Demosth. 43, 42. 43. — Εὐκτήμων ἀδελφὸς ὁμοπάτριος Φιλάγρῳ τῷ πατρὶ τῷ Εὐβουλίδου, ἐκ πατραδέλφων ἀνεψιὸς Πολέμωνι τῷ πατρὶ Ἁγνίου. Demosth. 43, 43—46. — Καλλίστρατος ἀδελφὸς Εὐκτήμονι τῷ βασιλεύσαντι καὶ Φιλάγρῳ. Demosth. 43, 46.]

Εὐκτήμων, ὁ Ἀπολλοδώρου τοῦ Πασίωνος πεντηκόνταρχος. Demosth. 50, 18—27.

Εὐμάρης. Ἀγόρατος δοῦλος καὶ ἐκ δούλων ἐστίν. τούτῳ μὲν γὰρ πατὴρ ἦν Εὐμάρης, ἐγένετο δὲ Εὐμάρης οὗτος Νικοκλέους καὶ Ἀντικλέους. Lys. 13, 64.

Εὐμενίδες. ἐν τούτῳ τῷ δικαστηρίῳ (Areopago) ἠξίωσαν δικάσαι Εὐμενίσι καὶ Ὀρέστῃ οἱ δώδεκα θεοί. Demosth. 23, 66. — Αἰσχύλος ἐν Εὐμενί-

σιν εἰπὼν τὰ περὶ τὴν κρίσιν τὴν Ὀρέστου φησὶν ὡς ἡ Ἀθηνᾶ πραΰνασα τὰς Ἐρινύας ὥστε μὴ χαλεπῶς ἔχειν πρὸς τὸν Ὀρέστην, Εὐμενίδας ὠνόμασεν. εἰσὶ δὲ Ἀληκτώ, Μέγαιρα, Τισιφόνη. Harp. – τρεῖς ἦσαν αἱ λεγόμεναι σεμναὶ θεαὶ ἢ Εὐμενίδες ἢ Ἐρινύες. φασὶ μέντοι αὐτὰς οἱ μὲν Γῆς εἶναι καὶ Σκότους, οἱ δὲ Σκότους καὶ Εὐωνύμης, ἣν καὶ Γῆν ὀνομάζεσθαι. κληθῆναι δὲ Εὐμενίδας ἐπ' Ὀρέστου, πρότερον Ἐρινύας καλουμένας. Schol. ad Aesch. p. 25, 27 sqq. Schol. ad Demosth. p. 102 b, 10.

Εὐμηλίδης. ὁ παῖς ὁ Εὐμηλίδου. Demosth. 49, 11.

Εὔμηλος ὁ Περιπατητικὸς ἐν τῷ τρίτῳ περὶ τῆς ἀρχαίας κωμῳδίας. Schol. ad Aesch. p. 16, 1.

Εὐμολπίδαι, Εὐμόλπου ἀπόγονοι. ἐγένετο δὲ Εὔμολπος Μουσαίου υἱὸς ἢ μαθητής, τοῦ τὰ μυστήρια εἰρηκότος. οἱ Εὐμολπίδαι εἰσὶν ἀπὸ Εὐμόλπου. οὗτοί εἰσιν οἱ μυοῦντες, ἐκ τούτων γίνεται ἱεροφάντης. – ἱεροφάνται τῆς Δήμητρος ἀπὸ Εὐμολπιδῶν. Schol. ad Aesch. p. 41 b, 11 sqq. – Ἀρχίας ὁ ἱεροφάντης ἐκ γένους τοῦ Εὐμολπιδῶν. Demosth. 59, 117. – Εὐμολπίδαι γένος ἀπὸ τοῦ Θρᾳκός, ὃς καὶ τὴν μύησιν εὗρεν, ἢ ἀπὸ τοῦ Μουσαίου υἱοῦ. Schol. ad Demosth. p. 107 b, 10 sqq. – τοὺς ἱερεῖς καὶ τὰς ἱερείας ὑπευθύνους εἶναι κελεύει ὁ νόμος, καὶ οὐ μόνον ἰδίᾳ ἀλλὰ καὶ κοινῇ τὰ γένη, Εὐμολπίδας καὶ Κήρυκας καὶ τοὺς ἄλλους ἅπαντας. Aesch. 3, 18. – Εὐμολπίδαι καὶ Κήρυκες ἐν τῇ τελετῇ τῶν μυστηρίων διὰ τὸ Περσῶν μῖσος καὶ τοῖς ἄλλοις βαρβάροις εἴργεσθαι τῶν ἱερῶν, ὥσπερ τοῖς ἀνδροφόνοις, προαγορεύουσιν. Isocr. 4, 157. – τῆς ἀσεβείας ἔστιν ἀπάγειν, γράφεσθαι, δικάζεσθαι πρὸς Εὐμολπίδας, φράζειν πρὸς τὸν βασιλέα. Demosth. 22, 27. – ὁ βασιλεὺς εἰσῆγε τὰς τῆς ἀσεβείας γραφὰς πρὸς τοὺς Εὐμολπίδας. Schol. ad Demosth. p. 107 b, 2. – κατ' ἀγράφους νόμους Εὐμολπίδαι ἐξηγοῦνται. Lys. 6, 10.

Εὔμολπος ὁ Ποσειδῶνος. φασὶν Εὔμολπον τὸν Ποσειδῶνος καὶ Χιόνης μετὰ Θρᾳκῶν ἐλθεῖν τῆς χώρας ταύτης ἀμφισβητοῦντα. ὁ δὲ Ἐρεχθεὺς τοὺς ἐπιστρατευομένους ἐκ τῆς χώρας ἐξέβαλεν. Lyc. §. 98 sq. 100. (Eurip. frgm. XVII. 48.) Isocr. 4, 68. 12, 193. – τὸν Εὐμόλπου καὶ τῶν πολλῶν ἄλλων στόλον οἱ πρόγονοι οὐ μόνον ἐκ τῆς οἰκείας ἀλλὰ καὶ ἐκ τῆς τῶν ἄλλων Ἑλλήνων χώρας ἐξήλασαν. Demosth. 60, 8. – ὁ Εὔμολπος ἐστράτευσε κατ' Ἐρεχθέως. Schol. ad Demosth. p. 95 b, 35. – Conf. Εὐμολπίδαι.

Εὔνικος Χολαργεύς. Demosth. 57, 43. 68.

Εὐνομία. ἡ τὰ δίκαια ἀγαπῶσα Εὐνομία, ἣ πάσας καὶ πόλεις καὶ χώρας σώζει. Demosth. 25, 11.

Εὔνομος. βουλομένου Κόνωνος πέμπειν τινὰ εἰς Σικελίαν, ᾤχετο ὑποστὰς Ἀριστοφάνης μετὰ Εὐνόμου καὶ Λυσίου. ἦσαν δ' ἐλπίδες τοῦ πλοῦ πεῖσαι Διονύσιον κηδεστὴν μὲν γενέσθαι Εὐαγόρᾳ, πολέμιον δὲ Λακεδαιμονίοις, φίλον δὲ καὶ σύμμαχον τῇ πόλει τῇ ὑμετέρᾳ. Lys. 19, 19 sq. 23. – ἤρξαντο ἐν πρώτοις Εὔνομός μοι καὶ Λυσιθείδης καὶ Κάλλιππος πλησιάζειν. – – – τούτους ἅπαντας ἡ πόλις χρυσοῖς στεφάνοις ἐστεφάνωσεν ὡς ἄνδρας ἀγαθοὺς ὄντας καὶ πολλὰ τῶν ἰδίων εἰς τὴν πόλιν ἀνηλωκότας. Isocr. 15, 93 sq.

Εὔνομος ὁ Αἰσχίνου ἀδελφός. Demosth. or. 19. ὑπόθ. ἑτ. v. 105. 107. Quae argumenti scriptor hic narrat, desumpta sunt ex orationis §. 124, ubi frater Aeschinis memoratur nomine non addito. Duos sibi fratres fuisse, Aphobetum alterum, alterum Philocharem, ipse Aeschines testatur or. 2, 149. Εὔνομος igitur nomen procul dubio errori debetur.

Εὔνομος ὁ Ἀριστογείτονος ἀδελφός. Demosth. or. 25. ὑπόθ. v. 25.

[Εὔνομος Ἀναφλύστιος κῆρυξ ἐκ τοῦ δήμου. Demosth. 18, 165.]

Εὐξίθεος ὁ Χολλείδης. Demosth. 54, 10.

Εὐξίθεος ὁ Θουκρίτου καὶ Νικαρέτης, Ἁλιμούσιος, ὁ τὸν πρὸς Εὐβουλίδην λόγον λέγων. Demosth. or. 57. ὑπόθ. v. 13. In ipsa oratione haud nominatur, et argumenti auctor male in Euxitheo Timocratis filio actorem huius causae sibi repperisse videtur. Nomina patris et matris leguntur §. 41 et §. 68.

Εὐξίθεος Τιμοκράτους Μελιτεύς. τῷ Τιμοκράτει τῷ τῆς μητρὸς ἀδελφῷ τῆς ἐμῆς γίγνεται Εὐξίθεος, τοῦ δ' Εὐξιθέου τρεῖς υἱεῖς· οὗτοι πάντες ζῶσιν. Demosth. 57, 39.

Εὐξίθεος. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος (or. 18. §. 295.) ὑπὸ τούτου φησὶν Ἠλείους προδοθῆναι. Harpocr.

Εὐπατρίδαι, ὧν τὴν εὐγένειαν ἐξ αὐτῆς τῆς ἐπωνυμίας ῥᾴδιον γνῶναι. Isocr. 16, 25.

Εὐπόλεμος ὁ παιδοτρίβης. ἦσαν οὗτοι τρεῖς ἀδελφοί, Εὐπόλεμός τε ὁ παιδοτρίβης καὶ Ἀρίζηλος καὶ Ἀρίγνωτος. Aesch. 1, 102.

Εὐπόλεμος. Demosth. 43, 7.

Εὔπολις (ὁ ποιητής). Schol. ad Aesch. p. 22 b, 41. Schol. ad Demosth. p. 82 b, 4.

Εὔπολις καὶ Θράσυλλος καὶ Μνήσων ἀδελφοὶ ἦσαν. Isae. 7, 5–10. – κατέλιπεν Εὔπολις δύο θυγατέρας. Ibid. §. 11. 12. 18. – ὁ Εὐπόλιδος υἱὸς Ἀπολλόδωρος ἄπαις ἐτελεύτησεν. Ibid. §. 19. 24.

Εὐριπίδης. Ξενοφῶν ὁ Εὐριπίδου υἱός. Lys. 19, 14.

Εὐριπίδης (ὁ ποιητής). Lyc. §. 100. Aesch. 1, 128. 151. 153. Schol. p. 5 b, 6. 69, 31. 94, 23. – Εὐριπίδης Μηδείᾳ. Schol. ad Aesch. p. 47 b, 14. – Εὐριπίδου Παλαμήδης. Isocr. or. 11. ὑπόθ. p.

λος ὁ Θρασυβούλου τοῦ δημοτικοῦ καὶ τοῦ ἀπὸ Φυλῆς καταγαγόντος τὸν δῆμον. Demosth. 19, 280. — ὅσοις πατρικὰς εὐεργεσίας ἀπεμνημονεύσατε τῶν ἄλλων, ἡδέως ἂν ἴδοιμι ὑμᾶς ἀναμνησθέντας, οἷον τοῖς Ἀριστείδου καὶ Θρασυβούλου καὶ τοῖς Ἀρχίνου καὶ πολλῶν ἑτέρων ἀπογόνοις. [Demosth.] Epist. 3. p. 960, 7 sqq.

Θρασύβουλος Θρασυβούλου Στειριεύς. ὑπομενεῖτε πρῴην μὲν Θρασύβουλον ἐκεῖνον τὸν Θρασυβούλου τοῦ ἀπὸ Φυλῆς καταγαγόντος τὸν δῆμον, τάλαντα δέκα ὠφληκέναι, τὸν δὲ Αἰσχίνην ἀφήσετε; Demosth. 19, 280 sq. — τί δή ποτε, Εὔβουλε, κρινομένῳ Θρασυβούλῳ πρῴην, τῷ Νικηράτου θείῳ, ἐπὶ μὲν τῆς πρώτης ψήφου οὐδ' ὑπακοῦσαι καλούμενος ἤθελες; εἶτα ὑπὲρ μὲν συγγενῶν καὶ ἀναγκαίων ἀνθρώπων οὐκ ἀναβαίνεις, ὑπὲρ Αἰσχίνου δὲ ἀναβήσει; Demosth. 19, 290.

Θρασύβουλος ὁ Κολλυτεύς. μετ' Εὐκλείδην ἄρχοντα Θρασύβουλον τὸν Κολλυτέα πάντες μέμνησθε δὶς δεθέντα καὶ κριθέντα ἀμφοτέρας τὰς κρίσεις ἐν τῷ δήμῳ· καίτοι τῶν ἐκ Πειραιῶς καὶ ἀπὸ Φυλῆς οὗτος ἦν. Demosth. 24, 134. — πολλὰς μὲν πρότερον πρεσβείας ἐπρέσβευον εἰς Θήβας οἱ μάλιστα οἰκείως ἐκείνοις διακείμενοι, πρῶτος μὲν Θρασύβουλος ὁ Κολλυτεύς, ἀνὴρ ἐν Θήβαις πιστευθεὶς ὡς οὐδεὶς ἕτερος - - -. ἀλλ' ὅμως οὐδεὶς πώποτε αὐτοὺς ἐδυνήθη προτρέψασθαι εἰς τὴν ὑμετέραν φιλίαν. Aesch. 3, 138 sq. — ὁ αὐτὸς οὗτος ἀνὴρ Θρασύβουλος αἴτιος γεγένηται Λεωδάμαντά τε ἀποδοκιμασθῆναι καὶ τοῦτον (Εὔανδρον) δοκιμασθῆναι, τοῦ μὲν κατήγορος γενόμενος, ὑπὲρ τούτου δὲ ἀπολογήσασθαι παρασκευασάμενος. Lys. 26, 13. — ὑμέτερον δὴ ἔργον ἐστίν, σκέψασθαι ποτέρῳ ἂν πειθόμενοι περὶ τῆς δοκιμασίας ταύτης ἄμεινον βουλεύσαισθε, πότερον ἐμοὶ ἢ Θρασυβούλῳ, ὃς αὐτῷ ἀπολογήσεται. §. 21. — περὶ τούτου (Θρασυβούλου) τρία ἔξω εἰπεῖν τηλικαῦτα τὸ μέγεθος, ὥστ' ἄξιον εἶναι ἕκαστον ἔργον θανάτου· πρῶτον μὲν ὅτι τὴν ἐν Βοιωτοῖς πολιτείαν χρήματα λαβὼν μετέστησε καὶ τῆς συμμαχίας ὑμᾶς ταύτης ἀπεστέρησεν, ἔπειτα ὅτι τὰς ναῦς προὔδωκε καὶ τὴν πόλιν περὶ σωτηρίας βουλεύεσθαι πεποίηκεν, ἔπειτα ὅτι παρὰ τῶν αἰχμαλώτων, οὓς αὐτὸς ἀπώλεσε, λ' μνᾶς ἐσυκοφάντησεν, οὐ φάσκων αὐτοὺς λύσεσθαι, εἰ μὴ τοῦτο αὐτῷ παρὰ σφῶν αὐτῶν παράσχοιεν. §. 23 sq. cf. Xenoph. Hellen. 5, 1, 26 sqq.

Θρασύβουλος Αἰσχίνου Λουσιεύς. Εὐπόλιδος θυγάτηρ, ἣν ἔσχεν Αἰσχίνης ὁ Λουσιεύς, ἣ τετελεύτηκεν υἱὸν ἄνδρα ἤδη καταλιποῦσα, Θρασύβουλον. Isae. 7, 18. — τοῦ Εὐπόλιδος υἱέος ἄπαιδος Ἀπολλοδώρου τελευτήσαντος τὰ ἡμίσεα Θρασύβουλος εἴληφεν. §. 19 sq. — Θρασύβουλος ἐκποίητος εἰς τὸν οἶκον τὸν Ἱππολοχίδου γέγονεν. §. 23. — cf. §. 26.

Θρασύβουλος ὁ Καλυδώνιος. Vid. Ἀπολλόδωρος ὁ Μεγαρεύς.

Θρασύδαος. τῆς ἰδίας ἕνεκ' αἰσχροκερδείας τὰ κοινῇ συμφέροντα προΐεντο, τοὺς ὑπάρχοντας ἕκαστοι πολίτας ἐξαπατῶντες καὶ διαφθείροντες, ἕως δούλους ἐποίησαν, Θετταλοὺς Δάοχος, Κινέας, Θρασύδαος. Demosth. 18, 295.

Θρασυκλῆς ὁ Λέκκιος. ἐπὶ Θεοφράστου ἄρχοντος (Ol. 110, 1.), ἱερομνήμονος ὄντος Διογνήτου Ἀναφλυστίου, πυλαγόρους ὑμεῖς εἵλεσθε Μειδίαν τε τὸν Ἀναγυράσιον καὶ Θρασυκλέα τὸν Λέκκιον (ante nos legebatur τὸν ἐξ Οἴου) καὶ τρίτον δὲ μετὰ τούτων ἐμέ. Aesch. 3, 115.

Θρασύλαος. Vid. Θρασύδαος.

Θράσυλλος. δεῦρο Ἄνυτε, Κέφαλε, ἔτι δὲ καὶ οἱ φυλέται οἱ ᾑρημένοι μοι συνδικεῖν, Θράσυλλος καὶ οἱ ἄλλοι. Andoc. 1, 150.

Θράσυλλος ὁ στρατηγός. οἱ μετὰ Θρασύλου δέκα. Lys. 21, 7. cf. Thucyd. 8, 73 sqq. Xenoph. Hellen. 1, 5, 16. — οἱ μετὰ Θρασύλλου καταλεγέντες ἐν τῷ Πελοποννησιακῷ πολέμῳ. Lys. 32. ὑπόθ. v. 1. — Θρασύλος ὁ ἐπὶ τῶν ὁπλιτῶν. Lys. 32, 5. 7.

Θράσυλλος. Εὔπολις καὶ Θράσυλλος καὶ Μνήσων ἀδελφοὶ ἦσαν. τούτοις οὐσίαν ὁ πατὴρ κατέλιπε πολλήν, ἣν ἐνείμαντο πρὸς ἀλλήλους. ἐτελεύτησεν ὁ Θράσυλλος τῶν ἐν Σικελίᾳ καταλεγεὶς τριηράρχων, καταλιπὼν υἱὸν Ἀπολλόδωρον, τὸν ἐμὲ νῦν ποιησάμενον. Isae. 7, 5.

Θράσυλλος Ἀπολλοδώρου. Ἀπολλοδώρῳ ἦν υἱός, ὃν ἐκεῖνος καὶ ἤσκει καὶ δι' ἐπιμελείας εἶχεν. ἕως μὲν οὖν ἐκεῖνος ἔζη, διάδοχον τῆς οὐσίας ἤλπιζεν αὐτὸν καταστήσειν τῆς ἑαυτοῦ· ἐπειδὴ δὲ ἐτελεύτησε νοσήσας, ἐλθὼν ὡς τὴν ἐμὴν μητέρα ἑαυτοῦ δὲ ἀδελφὴν (Ἀρχέδαμος ὁ πάππος οὑμός, τὴν μητέρα ἔχων τὴν Ἀπολλοδώρου, τήθην δὲ ἐμήν. §. 7.) λαβεῖν ἠξίωσέ με υἱὸν καὶ ᾔτησε καὶ ἔτυχεν. καὶ εἰς τὸ κοινὸν γραμματεῖον ἐνεγράφην Θράσυλλος Ἀπολλοδώρου. Isae. 7, 14–17. — πρὶν ἐμὲ ἥκειν ἐκ τῆς Πυθιάδος, ἔλεγε πρὸς τοὺς δημότας Ἀπολλόδωρος ὅτι πεποιημένος εἴη με υἱὸν καὶ ἐγγεγραφὼς εἰς τοὺς συγγενεῖς καὶ φράτορας καὶ διεκελεύεθ' ὅπως ἄν, εἴ τι πάθοι πρότερον, ἐγγράφωσί με εἰς τὸ ληξιαρχικὸν γραμματεῖον Θράσυλλον Ἀπολλοδώρου. §. 27. — ἐμοῦ δὲ πεῖραν εἰλήφει Ἀπολλόδωρος, δοκιμασίαν ἱκανὴν λαβών. εἴς τε γὰρ τὸν πατέρα καὶ τὴν μητέρα οἷος ἦν ἀκριβῶς ᾔδει, τῶν τ' οἰκείων ἐπιμελῆ καὶ τἀμαυτοῦ πράττειν ἐπιστάμενον· ἐν ἀρχῇ τε, θεσμοθετήσας, ὡς ἐγενόμην οὐκ ἄδικος οὐδὲ πλεονέκτης ἠπίστατο σαφῶς. §. 34.

Θράσυλλος. ἐργαστήρια δύο ἐν τοῖς ἀργυρείοις, ἓν μὲν ἐν Αὐλῶνι, ἕτερον δ' ἐπὶ Θρασύλλῳ. Aesch. 1, 101. — [τὸ Πανταινέτου ἐργαστήριον τὸ ἐπὶ Θρασύλλῳ. Demosth. 37, 25. —] ἐπὶ Θρασύλλῳ. Ἀττικὸν ἔθος ἀντὶ τοῦ ἐπὶ τῷ Θρασύλλου μνήματι. Harpocr. — ἐπὶ Θρασύλλῳ Ἀττικῶς ἀντὶ τοῦ πρὸς τῷ Θρασύλλου μνήματι. ἦν δὲ πρὸς αὐτῷ μέταλλα ἀργυρίου. Schol. p. 20 b, 22 sq.

Θράσυλλος ὁ Ἐλευσίνιος. Μεγακλείδης ὁ Ἐλευσίνιος καὶ Θράσυλλος ὁ ἀδελφὸς αὐτοῦ. Demosth. 52, 20.

Θράσυλλος ὁ Σίφνιος. Θράσυλλος ξένος Πολεμαινέτῳ τῷ μάντει γενόμενος οὕτως οἰκείως διετέθη πρὸς αὐτόν, ὥστ' ἀποθνήσκων ἐκεῖνος τάς τε βίβλους τὰς περὶ τῆς μαντικῆς αὐτῷ κατέλιπε καὶ τῆς οὐσίας μέρος τι τῆς νῦν οὔσης ἔδωκεν. λαβὼν δὲ ταύτας ἀφορμὰς ἐχρῆτο τῇ τέχνῃ. ἐπειδὴ δ' οὐσίαν τε πολλὴν ἐκτήσατο καὶ τὴν πατρίδα ἐπόθησεν, καταπλεύσας εἰς Σίφνον ἔγημεν ἀδελφὴν τοῦ πατρὸς τοῦ ἐμοῦ. — — — μετὰ δὲ ταῦτ' ἔγημεν ἐκ Σερίφου, παρ' ἀνθρώπων πολὺ πλείονος ἀξίων ἢ κατὰ τὴν αὐτῶν πόλιν, ἐξ ἧς ἐγένετο Σώπολις καὶ Θρασύλοχος καὶ θυγάτηρ ἡ νῦν ἐμοὶ συνοικοῦσα. Θράσυλλος οὖν τούτους μόνους παῖδας γνησίους καταλιπὼν τὸν βίον ἐτελεύτησεν. Isocr. 19, 5—9. cf. §. 42—46.

Θρασύλοχος ὁ Ἀναγυράσιος. εἰσεπήδησαν Θρασύλοχος ὁ Μειδίου ἀδελφὸς καὶ Μειδίας εἰς τὴν Δημοσθένους οἰκίαν ἀντιδιδόντες τριηραρχίαν. Demosth. 21, 78 sqq. — τοῖς Δημοσθένους ἐπιτρόποις ὑπηρέτησε Θρασύλοχος ὁ Ἀναγυράσιος. Demosth. 28, 17. — Τιμόμαχος τὴν τοῦ Θρασυλόχου τοῦ Ἀναγυρασίου τριήρη, ἐφ' ἧς αὐτὸς ἔπλει, τὸν Θρασύλοχον τῷ Καλλίππῳ μισθῶσαι ἔπεισεν. Demosth. 50, 52.

Θρασύλοχος δανειστής. Demosth. 50, 13. 28.

Θρασύλοχος ὁ Φιλιάδου Μεσσήνιος. τῆς ἰδίας ἕνεκ' αἰσχροκερδείας τὰ κοινῇ συμφέροντα προΐεντο, τοὺς ὑπάρχοντας ἕκαστοι πολίτας ἐξαπατῶντες καὶ διαφθείροντες, ἕως δούλους ἐποίησαν, — — — Μεσσηνίους οἱ Φιλιάδου παῖδες Νέων καὶ Θρασύλοχος. Demosth. 18, 295. cf. Polyb. 17, 14, 3.

Θρασύλοχος ὁ Θρασύλλου Σίφνιος. Περὶ τοῦ Θρασυλόχου κλήρου Isocratis or. 19. — Θράσυλλος ἔγημεν ἐκ Σερίφου παρ' ἀνθρώπων πολὺ πλείονος ἀξίων ἢ κατὰ τὴν αὐτῶν πόλιν, ἐξ ἧς ἐγένετο Σώπολις καὶ Θρασύλοχος καὶ θυγάτηρ ἡ νῦν ἐμοὶ συνοικοῦσα. §. 9.

Θρασύμαχος. Lys. 8, 14. 15. 16.

Θρασύμαχος. Ἅγνων καὶ Ἁγνόθεος Θρασυμάχου ἐπεγράψαντο τὸν Νικόστρατον· Χαριάδης δὲ καὶ οἱ συνδικοῦντες αὐτῷ Σμίκρου μὲν πατρὸς εἶναί φασι τὸν Νικόστρατον, ἀμφισβητοῦσι δὲ τοῦ Θρασυμάχου υἱοῦ κλήρου. Isae. 4, 2—6. 25.

Θρασύμαχος. [Aesch.] Epist. 4, 6.

Θρασύμαχος (ὁ σοφιστής). Τισίας καὶ Κόραξ, Γοργίας καὶ Θρασύμαχος, οἳ πρῶτοι ῥητορικὰς τέχνας ἔγραψαν. Schol. p. 11 b, 11 sqq.

Θρασυμήδης ὁ Διοφάντου υἱός, ἐκείνου τοῦ Σφηττίου, καὶ Μελάνωπος ὁ ἀδελφὸς αὐτοῦ. Demosth. 35, 6—8.

Θράσων ὁ Ἑρχιεύς. ταυτὶ τὰ μικρὸν πρὸ τῆς ἡμετέρας ἡλικίας γεγενημένα ὑπὸ Κεφάλου τοῦ ῥήτορος καὶ Θράσωνος τοῦ Ἑρχιέως καὶ ἑτέρων ἀνδρῶν ἀγαθῶν, ὧν ἐνίων ἔτι καὶ νῦν ζῇ τὰ σώματα. Dinarch. 1, 38. — πολλὰς πρότερον πρεσβείας ἐπρέσβευσαν εἰς Θήβας οἱ μάλιστ' οἰκείως ἐκείνοις διακείμενοι, πρῶτος μὲν Θρασύβουλος ὁ Κολλυτεύς, πάλιν Θράσων ὁ Ἑρχιεύς, πρόξενος ὢν Θηβαίοις. Aesch. 3, 138. — Αἰσχίνης Ἀναξίνῳ τῷ κατασκόπῳ συνιὼν εἰς τὴν Θράσωνος οἰκίαν ἐλήφθη. Demosth. 18, 137.

Θρᾷττα, θεραπαίνης ὄνομα. Demosth. 59, 35. 120. [124.]

Θριᾶσιν. Isae. 11, 42.

Θριάσιοι· [Ἀρχενομίδης,] Ἐπιτρέφης, Καλλικλῆς, Πολύευκτος. [Στράτων.]

Θρόνιον. Aesch. 2, 132. (πόλις ἐστὶ τῆς Λοκρίδος Θρόνιον, ὡς Θεόπομπος. Harpocr.)

Θυέστης. τὰ Θυέστου καὶ τῶν ἐπὶ Τροίᾳ κακά. Demosth. 19, 337. Schol. p. 96 b, 1.

Θυμαιτάδαι δῆμος τῆς Ἱπποθοωντίδος, ἀπὸ Θυμαίτου ἥρωος ὀνομασθείς, ὥς φησι Διόδωρος. Harpocr. [Ἱππίας Τιμοξένου Θυμαιτάδης. Demosth. 35, 34.]

Θυρέαι. ἀναμνήσθητε τῶν τ' τῶν ἐν Θυρέαις ἅπαντας Ἀργείους μάχῃ νικησάντων. Isocr. 6, 99. — ἐπιτάφιος τοῖς ἐν Θυραίᾳ Ἰσοκράτους λόγος ἐπεισφερόμενος. Schol. p. 5, 32.

Θύστιον. ἤδη πόρρω τῆς ἡμέρας οὔσης προελθὼν ὁ κῆρυξ ἀνεῖπε, Δελφῶν ὅσοι ἐπὶ διετὲς ἡβῶσι, ἥκειν ἅμα τῇ ἡμέρᾳ πρὸς τὸ Θύστιον (θύτειον df, θυτεῖον b.) ἐκεῖ καλούμενον· καὶ πάλιν ἀνηγόρευε τοὺς ἱερομνήμονας καὶ πυλαγόρους ἥκειν εἰς τὸν αὐτὸν τόπον. τῇ δὲ ὑστεραίᾳ ἥκομεν ἕωθεν εἰς τὸν προειρημένον τόπον, καὶ κατέβημεν εἰς τὸ Κιρραῖον πεδίον. Aesch. 3, 122. (Θύστιον· Αἰσχίνης κατὰ Κτησιφῶντος. πόλις ἐστὶ τῆς Αἰτωλίας, καθά φησι Δίδυμος ἐπαγόμενος μαρτύριον ἐκ τῆς α' Νικάνδρου τῶν Αἰτωλικῶν. ἡμεῖς μέντοι ἐν τοῖς Ἀττικιανοῖς διὰ τοῦ τ Θύτιον εὕρομεν γεγραμμένον. Harpocr. At de Aetoliae oppido apud Aeschinem cogitari non posse sed de loco quodam Delphico sermonem esse, sponte apparet.)

Ἰάσων (ὁ Αἴσονος), Θετταλὸς ὤν, ἄπιστος ὤφθη περὶ τὴν Μήδειαν. Schol. p. 53 b, 1.

φρόνιμον, καὶ τοσοῦτον ἀπέχειν τοῦ τῶν πολιτῶν τινὰς ἀποκτείνειν ἢ φυγαδεύειν ἢ δημεύειν τὰς οὐσίας ἢ ποιεῖν ἄλλο τι κακόν, ὥστε κτλ. Isocr. Epist. 7, 8 sq.

Κλεοπάτρα. Κτησιφῶν πρεσβευτὴς ὡς Κλεοπάτραν τὴν Φιλίππου θυγατέρα συναχθεσθησόμενος ἐπὶ τῇ τοῦ Μολοττῶν βασιλέως Ἀλεξάνδρου τελευτῇ. Aesch. 3, 242. – Λυκοῦργος οἰκῶν ἐν Μεγάροις ἐκ τῆς Ἠπείρου παρὰ Κλεοπάτρας εἰς Λευκάδα ἐσιτήγει καὶ ἐκεῖθεν εἰς Κόρινθον. Lyc. §. 26.

Κλεότιμος Ἠλεῖος. τῆς ἰδίας ἕνεκ' αἰσχροκερδείας τὰ κοινῇ συμφέροντα προΐεντο, τοὺς ὑπάρχοντας ἕκαστοι πολίτας ἐξαπατῶντες καὶ διαφθείροντες, ἕως δούλους ἐποίησαν, - - - Ἠλείους Εὐξίθεος, Κλεότιμος, Ἀρίσταιχμος. Demosth. 18, 295.

Κλεοφῶν ὁ λυροποιός. οὐκ ὄνειδος ὑμῖν ἐστιν ἡ Ἀνδοκίδου καὶ Λεωγόρου οἰκία οὖσα, ἀλλὰ πολὺ μᾶλλον τότ' ἦν ὄνειδος, ὅτ' ἐμοῦ φεύγοντος Κλεοφῶν αὐτὴν ὁ λυροποιὸς ᾤκει. Andoc. 1, 146. – τὴν τελευταίαν ἀβουλίαν ἐκέλευον φυλάξασθαι, ὅθ' ἡττημένοι τῷ πολέμῳ, προκαλουμένων αὐτοὺς Λακεδαιμονίων εἰρήνην ἄγειν ἔχοντας πρὸς τῇ Ἀττικῇ Λῆμνον καὶ Ἴμβρον καὶ Σκῦρον καὶ δημοκρατουμένους κατὰ τοὺς νόμους, τούτων μὲν οὐδὲν ἤθελον ποιεῖν, πολεμεῖν δὲ προῃροῦντο οὐ δυνάμενοι, Κλεοφῶν δὲ ὁ λυροποιός, ὃν πολλοὶ δεδεμένον ἐν πέδαις ἐμνημόνευον, παρεγγραφεὶς αἰσχρῶς πολίτης καὶ διεφθαρκὼς νομῇ χρημάτων τὸν δῆμον, ἀποκόψειν ἠπείλει μαχαίρᾳ τὸν τράχηλον, εἴ τις τῆς εἰρήνης μνησθήσεται. Aesch. 2, 76. – Δημοσθένης διώμνυτο τὴν Ἀθηνᾶν ἦ μὴν εἴ τις ἐρεῖ ὡς χρὴ πρὸς Φίλιππον εἰρήνην ποιήσασθαι, ἀπάξειν εἰς τὸ δεσμωτήριον ἐπιλαβόμενος τῶν τριχῶν, ἀπομιμούμενος τὴν Κλεοφῶντος πολιτείαν, ὃς ἐπὶ τοῦ πρὸς Λακεδαιμονίους πολέμου, ὡς λέγεται, τὴν πόλιν ἀπώλεσεν. Aesch. 3, 150. – ὅτε ἡ πρώτη ἐκκλησία περὶ τῆς εἰρήνης ἐγίγνετο, καὶ οἱ παρὰ Λακεδαιμονίων ἥκοντες ἔλεγον ἐφ' οἷς ἕτοιμοι εἶεν τὴν εἰρήνην ποιεῖσθαι Λακεδαιμόνιοι, εἰ κατασκαφείη τῶν τειχῶν τῶν μακρῶν ἐπὶ δέκα στάδια ἑκατέρου, τότε ὑμεῖς τε οὐκ ἠνέσχεσθε ἀκούσαντες περὶ τῶν τειχῶν τῆς κατασκαφῆς, Κλεοφῶν τε ὑπὲρ ὑμῶν πάντων ἀναστὰς ἀντεῖπεν ὡς οὐδενὶ τρόπῳ οἷόν τε εἴη ποιεῖν ταῦτα. Lys. 13, 7 sq. – οἱ ἐπιβουλεύοντες καταλῦσαι τὴν δημοκρατίαν εἰς ἀγῶνα Κλεοφῶντα καθιστᾶσι, πρόφασιν μὲν ὅτι οὐκ ἦλθεν εἰς τὰ ὅπλα ἀναπαυσόμενος, τὸ δ' ἀληθὲς ὅτι ἀντεῖπεν ὑπὲρ ὑμῶν μὴ καθαιρεῖν τὰ τείχη. ἐκείνῳ μὲν οὖν δικαστήριον παρασκευάσαντες καὶ εἰσελθόντες οἱ βουλόμενοι ὀλιγαρχίαν καταστήσασθαι ἀπέκτειναν ἐπὶ τῇ προφάσει ταύτῃ. Lys. 13, 12. – ἐπειδὴ ἀπολομένων τῶν νεῶν ἡ μετάστασις ἐπράττετο, Κλεοφῶν τὴν βουλὴν ἐλοιδόρει, φάσκων συνεστάναι καὶ οὐ τὰ βέλτιστα βουλεύειν τῇ πόλει. Σάτυρος δὲ Κηφισιεὺς βουλεύων ἔπεισε τὴν βουλὴν δήσαντας αὐτὸν παραδοῦναι δικαστηρίῳ. οἱ δὲ βουλόμενοι αὐτὸν ἀπολέσαι, δεδιότες μὴ οὐκ ἀποκτείνωσιν ἐν τῷ δικαστηρίῳ, πείθουσι Νικομαχίδην νόμον ἀποδεῖξαι ὡς χρὴ καὶ τὴν βουλὴν συνδικάζειν. - - Κλεοφῶντος τοίνυν ἕτερα μὲν ἄν τις ἔχοι κατηγορῆσαι· τοῦτο δὲ παρὰ πάντων ὁμολογεῖται, ὅτι οἱ καταλύοντες τὸν δῆμον ἐκεῖνον ἐβούλοντο μάλιστα τῶν πολιτῶν ἐκποδὼν γενέσθαι, καὶ ὅτι Σάτυρος καὶ οἱ τῶν λ' γενόμενοι οὐχ ὑπὲρ ὑμῶν ὀργιζόμενοι Κλεοφῶντος κατηγόρουν, ἀλλ' ἵνα ἐκεῖνον ἀποκτείναντες αὐτοὶ ὑμᾶς κακῶς ποιῶσιν. - - - εἰκὸς τοίνυν ἐνθυμεῖσθαι καὶ ὁπόσοι ὑμῶν ἐνόμιζον Κλεοφῶντα κακὸν πολίτην εἶναι, ὅτι καὶ τῶν ἐν τῇ ὀλιγαρχίᾳ ἀποθανόντων ἴσως τις ἦν πονηρός, ἀλλ' ὅμως καὶ διὰ τοὺς τοιούτους ὠργίζεσθε τοῖς λ', ὅτι οὐ τῶν ἀδικημάτων ἕνεκα ἀλλὰ κατὰ στάσιν αὐτοὺς ἀπέκτειναν. Lys. 30, 10 – 13. – Κλεοφῶντα πάντες ἴστε, ὅτι πολλὰ ἔτη διεχείρισε τὰ τῆς πόλεως πάντα καὶ προσεδοκᾶτο πάμπολλα ἐκ τῆς ἀρχῆς ἔχειν· ἀποθανόντος δ' αὐτοῦ οὐδαμοῦ δῆλα τὰ χρήματα, ἀλλὰ καὶ οἱ προσήκοντες καὶ οἱ κηδεσταί, παρ' οἷς κατέλιπεν, ὁμολογουμένως πένητές εἰσιν. Lys. 19, 48. — ἡ πολιτεία τοσούτῳ βελτίων ἦν καὶ κρείττων ἢ τότε τῆς ὕστερον καταστάσης, ὅσωπερ Ἀριστείδης καὶ Θεμιστοκλῆς καὶ Μιλτιάδης ἄνδρες ἀμείνους ἦσαν Ὑπερβόλου καὶ Κλεοφῶντος καὶ τῶν νῦν δημηγορούντων. Isocr. 8, 75.

Κλεοχάρης ὁ Χαλκιδεύς. ἔλεγον πρὸς ὑμᾶς ὅτι Κλεοχάρης ὁ Χαλκιδεὺς θαυμάζειν ἡμῶν καὶ Φιλίππου φαίη τὴν ἐξαίφνης ὁμόνοιαν, ὡς καὶ τὸ προστεταγμένον ἡμῖν, πράττειν ἀγαθὸν ὅ τι ἂν δυνώμεθα, ἐν τῷ ψηφίσματι· τοὺς γὰρ μικροπολίτας, ὥσπερ αὐτούς, φοβεῖν τὰ τῶν μειζόνων ἀπόρρητα. Aesch. 2, 120.

Κλέων (ὁ Κλεαινέτου). Κλεομέδων ὁ Κλέωνος. Demosth. 40, 6. – φασὶ τὸν Κλεομέδοντος πατέρα Κλέωνα τῶν ὑμετέρων προγόνων στρατηγοῦντα Λακεδαιμονίους πολλοὺς ἐν Πύλῳ ζῶντας λαβόντα, μάλιστα πάντων ἐν τῇ πόλει εὐδοκιμῆσαι. §. 25. – Κλέων ὁ δημαγωγὸς παραβὰς τὸ ἐξ ἔθους σχῆμα περιζωσάμενος δημηγορῆσαι λέγεται. Schol. p. 15, 8 sqq. – τέταρτον ἠτύχησαν Ἀθηναῖοι περὶ τὰς Ἐννέα καλουμένας ὁδοὺς οἱ μετὰ Κλέωνος, ἐπὶ ἄρχοντος Ἀλκαίου. (Ol. 89, 3.) Schol. p. 20, 17.

Κλέων Θουδίππου Ἀραφήνιος. Isae. 9, 2 – 37. – Κλέων ἀνεψιὸς Ἀστυφίλῳ πρὸς πατρός. §. 2. – Κλέων Ἀστυφίλου ἀνεψιὸς καὶ δημότης. §. 21. – εἰ λέγειν ἐμοῦ δύναται Κλέων μᾶλλον, τοῦτο αὐτῷ ἄνευ τοῦ νόμου καὶ τοῦ δικαίου μηδὲν ἰσχυσάτω. §. 35.

ἡρῷον, μνημεῖον τῶν Λεωκόρων (immo Λεὼ κορῶν) ἐν μέσῳ τῷ Κεραμεικῷ. Schol. p. 125 b, 34 sq. — Λεωκόριον τόπος τῆς Ἀττικῆς, ἀπὸ ἱστορίας. Λεὼς γὰρ ὁ Ὀρφέως υἱὸν μὲν ἔσχε Κύλανθον, θυγατέρας δὲ τρεῖς, Φασιθέαν, Θεόπην, Εὐβούλην· ἃς ὑπὲρ τῆς χώρας σφαγιασθείσας ἔτι παρθένους, ἀπαλλαγέντες τε τοῦ λιμοῦ, ἐτίμησαν Ἀθηναῖοι τῷ ἡρῴῳ· καὶ ἐκ τούτου ἐκλήθη ὁ τόπος Λεωκόριον. Schol. p. 125 b, 35 sqq.

Λεωκράτης. Κατὰ Λεωκράτους Lycurgi oratio quae sola exstat. — ἕτερος ἐκπλεύσας ἰδιώτης εἰς Ῥόδον, ὅτι τὸν φόβον ἀνάνδρως ἤνεγκε, πρῴην ποτὲ εἰσηγγέλθη καὶ ἴσαι αἱ ψῆφοι αὐτῷ ἐγένοντο· εἰ δὲ μία μόνον μετέπεσεν, ὑπερώριστ' ἂν ἢ ἀπέθανεν. Aesch. 3, 252. (τὸν Λεωκράτην νοεῖ, οὗ κατηγόρησε Λυκοῦργος. Schol. p. 48 b, 27.)

Λεωκράτης. Πολύευκτος, ἐπειδὴ οὐκ ἦσαν αὐτῷ παῖδες ἄρρενες, ποιεῖται Λεωκράτη τὸν ἀδελφὸν τῆς ἑαυτοῦ γυναικός κτλ. Demosth. 41, 3 — 6. 27 sq.

Λεωκράτης Λεωστράτου Ἐλευσίνιος. [Demosth.] 44, 13. 17. — Λεωκράτης ὁ τουτουὶ πατὴρ Λεωστράτου εἰσποιεῖ αὐτὸν υἱὸν τῷ Ἀρχιάδῃ. §. 19. — χρόνῳ δ' ὕστερον οὐ πολλῷ ὁ Λεωκράτης ὁ εἰσποιητὸς γενόμενος τῷ Ἀρχιάδῃ, ἐγκαταλιπὼν τουτονὶ Λεώστρατον ἐν τῷ οἴκῳ υἱὸν γνήσιον, ἐπανῆλθεν αὐτὸς εἰς τοὺς Ἐλευσινίους, ὅθεν ἦν τὸ ἐξ ἀρχῆς. §. 20 sq. 46.

Λεωκράτης ὁ Λεωστράτου. Λεώστρατος αὐτὸς οὑτοσί, εἰσποιητὸς ὢν υἱὸς καὶ ἐγκαταλειφθεὶς ἐν τῷ τοῦ Ἀρχιάδου οἴκῳ, ἐπανέρχεται, ὥσπερ ὁ πατὴρ αὐτοῦ, ἐπὶ τοὺς Ἐλευσινίους ἐγκαταλείπων υἱὸν γνήσιον. — — καὶ τῷ Ἀρχιάδῃ ἐγγυτάτω γένει ἐσμὲν καὶ τῷ εἰσποιητῷ Λεωκράτει· — — Λεωκράτους τετελευτηκότος ἄπαιδος οὐδεὶς ἡμῶν γένει ἐγγυτέρω ἐστίν. [Demosth.] 44, 26. 47.

Λέων, ἥρως φυλῆς ἐπώνυμος. Schol. p. 112, 8.

Λέων. Μέλητος ἀπήγαγεν ἐπὶ τῶν τριάκοντα Λέοντα, καὶ ἀπέθανεν ἐκεῖνος ἄκριτος. Andoc. 1, 94. Conf. Plat. Apol. Socr. p. 32 C. Xenoph. Hellen. 2, 3, 39.

Λέων Τιμαγόρου κατηγόρει συμπεπρεσβευκὼς τέτταρα ἔτη. Demosth. 19, 191. — πρὸς Ἀρταξέρξην ἀνῆλθον ὁ Τιμαγόρας καὶ ὁ Λέων πρεσβευταί. Schol. p. 91, 39.

Λεωνίδας. Πλαταιέων οἱ ἡμίσεις μετὰ Λακεδαιμονίων καὶ Λεωνίδου ἐν Θερμοπύλαις παραταξάμενοι τῷ βαρβάρῳ ἐπιόντι συναπώλοντο. [Demosth.] 59, 95.

Λεωντίδαι. [Demosth.] 58, 18. Conf. Λεοντίδαι.

Λεώς. ἠκηκόεσαν Λεοντίδαι μυθολογουμένας τὰς Λεὼ κόρας, ὡς αὐτὰς ἔδοσαν σφάγιον τοῖς πολίταις ὑπὲρ τῆς χώρας. [Demosth.] 60, 29. — αἱ τοῦ Λεὼ θυγατέρες. Schol. p. 62, 26. — Conf. Λεωκόριον.

Λεωσθένης. Δημοσθένης ἐπηγγέλλετο πείσειν Ἀθηναίους μὲν καταδέξασθαι Λεωσθένην, Φίλιππον δ' Ἀθηναίοις Ἀμφίπολιν ἀποδοῦναι. Aesch. 2, 21. — Λεωσθένης ὁ φεύγων ἐνθένδε διὰ τοὺς συκοφάντας, ὃν οὐκ ὀκνοῦσί τινες ἀποφαίνεσθαι μετὰ Καλλίστρατον τὸν Ἀφιδναῖον τῶν ἄλλων μάλιστα εἰπεῖν δύνασθαι. Aesch. 2, 124. — ὁ Λεωσθένης Ἀθηναῖος ἦν. οὗτος ἐφυγαδεύθη Ἀθήνηθεν ὡς φιλιππίζων· καὶ ἦν παρὰ Φιλίππῳ ἐς τὰ μάλιστα τιμώμενος. Schol. p. 28, 28 sqq. — Λεωσθένης στρατηγὸς Ἀθηναίων καὶ δόξας ἁμαρτεῖν εἰς τὸν περὶ Ἀμφιπόλεως πόλεμον ἐφυγάδευεν. ὕστερον δὲ κατελθὼν ἐστρατήγησεν ἐν τῷ Λαμιακῷ καὶ ἀπέθανε τρωθείς. Schol. p. 28, 31 sqq.

[Λεωσθένης. Κτησιφῶν ὁ Λεωσθένους Ἀναφλύστιος. Demosth. 18, 54. 118.]

Λεώστρατος Ἐλευσίνιος. ἐκδιδόασι τὴν ἑαυτῶν ἀδελφὴν Ἀρχιδίκην ὁ Μειδυλίδης καὶ ὁ Ἀρχιάδης Λεωστράτῳ Ἐλευσινίῳ· μετὰ δὲ ταῦτα ἐκ θυγατρὸς τῆς ἐκδοθείσης ἀδελφῆς ταύτης αὐτῶν γίγνεται Λεωκράτης ὁ πατὴρ Λεωστράτου τουτουί. [Demosth.] 44, 9. 13. 17.

Λεώστρατος Λεωκράτους Ἐλευσίνιος. [Demosth.] 44, 13. 17. 19. — Λεωκράτης ὁ εἰσποιητὸς γενόμενος τῷ Ἀρχιάδῃ, ἐγκαταλιπὼν τουτονὶ Λεώστρατον ἐν τῷ οἴκῳ υἱὸν γνήσιον, ἐπανῆλθεν αὐτὸς εἰς τοὺς Ἐλευσινίους, ὅθεν ἦν τὸ ἐξ ἀρχῆς. §. 21. — πάλιν Λεώστρατος αὐτὸς οὑτοσί, εἰσποιητὸς ὢν υἱὸς καὶ ἐγκαταλειφθεὶς ἐν τῷ τοῦ Ἀρχιάδου οἴκῳ, ἐπανέρχεται, ὥσπερ ὁ πατὴρ αὐτοῦ, ἐπὶ τοὺς Ἐλευσινίους ἐγκαταλείπων υἱὸν γνήσιον (Λεωκράτην). §. 22. 24. 32 sqq. — Λεώστρατος οὑτοσί, ἐπειδὴ (Λεωκράτους ἄπαιδος τετελευτηκότος) αὐτὸς ἀπετύγχανε τοῦ ἐγγραφῆναι, εἰσποιεῖ Λεωχάρην τὸν αὐτοῦ υἱὸν Ἀρχιάδῃ παρὰ πάντας τοὺς νόμους. §. 41 sqq.

Λεωχάρης. ἐπειδὴ οὐ ποιεῖ Δικαιογένης ἃ ὡμολόγησε, δικαζόμεθα Λεωχάρει ἐγγυητῇ γενομένῳ Δικαιογένους, ὥσπερ ἀντωμόσαμεν. Isae. 5, 1 sqq. — Διοπείθης Λεωχάρει ἦν τούτῳ κηδεστής. §. 32 sqq.

Λεωχάρης ὁ Λεωστράτου. Πρὸς Λεωχάρη [Demosthenis] or. 44. (§. 1. 5. 41. 42.)

Λήδα. Ζεὺς κύκνῳ ὁμοιωθεὶς Λήδαν ἐνύμφευσεν. Isocr. 10, 59. — οἱ ἐκ Λήδας. Isocr. 10, 16.

Λημνία (γυνή). Isae. 6, 13. — Θεωρίς, ἡ Λημνία. [Demosth.] 25, 79.

Λῆμνος. Andoc. 3, 12. 14. Aesch. 2, 72. 76. Demosth. 4, 27. 32. 34. 7, 4. [18, 77.] 59, 3.

Λήναια. Schol. p. 27 b, 17. — Διονύσια ἑορτὴ Ἀθήνησιν, ἣ Διονύσῳ ἤγετο, τὰ μὲν κατ' ἀγροὺς μηνὸς ποσειδεῶνος, τὰ δὲ Ληναῖα μηνὸς ληναιῶνος. Schol. p. 16, 28. — ἡ λεγομένη ἑορτὴ παρὰ Ἀθηναίοις Λήναια, ἐν ᾗ ἠγωνίζοντο οἱ ποιηταί, συγ-

Μαντίθεος ὁ Μαντίου ἐκ τῆς Πολυαράτου θυγατρὸς υἱός. Demosth. 40, 6. — δύο *Μαντίθεοι* Μαντίου. Demosth. 39, 16. 36. — *Μαντίθεος* μετ' Ἀμεινίου στρατολογήσας. Demosth. 40, 36.

Μαντίνεια. Λακεδαιμόνιοι ἐν *Μαντινείᾳ* Θηβαίους ἐνίκησαν, τῶν Ἀθηναίων ἱππέων καλῶς παραταξαμένων. μετὰ τὰ ἐν *Μαντινείᾳ* οὖν ἔπεμψαν Λακεδαιμόνιοι πρὸς Θηβαίους, αἰτοῦντες αὐτοὺς τὴν εἰρήνην. Isocr. or 6. ὑπόθ. v. 6 sqq. — Αἰσχίνης ἐν *Μαντινείᾳ* γενναίως ἐμαχέσατο. Vita Aesch. p. 402, 23. — κατηγάγετε εἰς τὴν πατρίδα φεύγοντας Θηβαίους, καὶ πάλιν τούτοις ἐμάχεσθε ἐν *Μαντινείᾳ*. Aesch. 2, 164. — δεινὸν εἰ, πρὸς οὓς ἐν *Μαντινείᾳ* παρεταττόμεθα, τούτους συμμάχους αἱρησόμεθα. Demosth. 16, 6. — ἡ ἐν *Μαντινείᾳ* μάχη. Aesch. 2, 169.

Μαντινεῖς. Lys. 34, 7. — τὴν *Μαντινέων* πόλιν εἰρήνης ἤδη γεγενημένης ἀνάστατον ἐποίησαν Λακεδαιμόνιοι. Isocr. 4, 126. — *Μαντινέων διοικισμός*. Ἰσοκράτης ἐν τῷ περὶ τῆς εἰρήνης (Isocr. 8, 100.) περὶ τῶν Λακεδαιμονίων λεγων φησὶ „*Μαντινέας* διῴκισαν“. καὶ Ἔφορος ἐν τῇ κ' φησὶν ὅτι εἰς ε' κώμας τὴν Μαντινεων διῴκισαν πόλιν Λακεδαιμόνιοι. Harpocrat. Conf. Polyb. 4, 27, 6.

Μαραθών. Lys. 2, 21. Isocr. 12, 195. Demosth. 4, 34. 19, 311. — *Μαραθῶνι*. Isocr. 15, 306. Lyc. §. 109. Demosth. 13, 21. 14, 30. 18, 208. 19, 312. — ἡ *Μαραθῶνι* μάχη. Isocr. 4, 91. 5, 147. Demosth. 23, 198. — Μιλτιάδης ὁ ἡγούμενος *Μαραθῶνι*. Demosth. 23, 196. — ἐν *Μαραθῶνι*. Isocr. 8, 38. Lyc. §. 104. — ἡ ἐν *Μαραθῶνι* μάχη. Aesch. 2, 75. 3, 181. 186. Demosth. 13, 22. Schol. p. 66, 37. — οἱ ἐν *Μαραθῶνι* τελευτήσαντες. Aesch. 3, 259. — Ἡράκλειον ἐν *Μαραθῶνι*. Schol. p. 88 b, 45. — ἡ Πεισιανάκτειος στοὰ γραφέντων ἐν αὐτῇ τῶν ἐν *Μαραθῶνι* καὶ ἄλλων τινῶν Ποικίλη ἐκλήθη. Schol. p. 97 b, 44. — τὸ ἀπὸ χαλκοῦ μόνου τῆς Ἀθηνᾶς ἐν τῇ ἀκροπόλει ἄγαλμα ἐποίησαν νικήσαντες ἐν *Μαραθῶνι*· ἐκαλεῖτο δὲ τοῦτο Προμάχου Ἀθηνᾶς. Schol. p. 105 b, 42.

Μαραθῶνάδε. [Demosth.] 59, 94. — *Μαραθῶνάδε* ἀπαντῆσαι τοῖς βαρβάροις. Andoc. 1, 107.

[*Μαραθώνιος*. Δημόνικος *Μαραθώνιος*. Demosth. 18, 135.]

Μαργίτης. Δημοσθένης ἐπωνυμίαν Ἀλεξάνδρῳ *Μαργίτην* ἐτίθετο. Aesch. 3, 160. — καὶ Μαρσύας ἐν ε' τῶν περὶ Ἀλεξάνδρου ἱστορεῖ λέγων *Μαργίτην* ὑπὸ Δημοσθένους καλεῖσθαι τὸν Ἀλέξανδρον. ἐκάλουν δὲ τοὺς ἀνοήτους οὕτω διὰ τον εἰς Ὅμηρον ἀναφερόμενον *Μαργίτην*, ὅπερ ποίημα Καλλίμαχος θαυμάζειν ἔοικεν. Harpocr. — *Μαργίτην* τουτέστιν ἠλίθιον. Πλάτων Ἀλκιβιάδῃ περὶ *Μαργίτου*

ὃς μὲν ἐπίστατο πολλά, κακῶς δ' ἠπίστατο πάντα.

ἀντὶ τοῦ μαινόμενον. Schol. p. 46, 11 sqq.

Μαρδόνιος ὁ βασιλέως στρατηγός. [Demosth.] 59, 96. — Γλαυκέτης ὁ ὑφῃρημένος ἐξ ἀκροπόλεως τόν τε δίφρον τὸν ἀργυρόποδα καὶ τὸν ἀκινάκην τὸν *Μαρδονίου*, ὃς ἦγε τριακοσίους δαρεικούς. Demosth. 24, 129. — ὁ ἀκινάκης ὁ *Μαρδονίου*. Schol. p. 63 b, 25.

Μαρκελλῖνος. οἱ περὶ *Μαρκελλῖνον*. Schol. p. 26 b, 33.

Μαρώνεια. τόπος ἐστὶ τῆς Ἀττικῆς. ἔστι μέντοι καὶ πόλις ἐν Θρᾴκῃ *Μαρώνεια*, ἥν φασιν εἶναι τὴν ὑφ' Ὁμήρου Ἴσμαρον καλουμένην· μνημονεύουσι δὲ αὐτῆς Δημοσθένης τε ἐν τῷ πρὸς Πολυκλέα καὶ Ἔφορος ἐν τῇ δ'. Harpocr.

Μαρώνεια, τόπος τῆς Ἀττικῆς. Demosth. or. 37. ὑπόθ. v. 2. — τὰ ἔργα ἐν *Μαρωνείᾳ*. Demosth. 37, 4.

Μαρώνεια s. *Μαρωνία* (πόλις ἐν Θρᾴκῃ). Demosth. 23, 183. 50, 20. 21.

Μαρωνεῖται s. *Μαρωνῖται*. Demosth. 12, 17. 17, 23. 50, 14. 20. 22.

Μασσαλία. Isocr. 6, 84. Demosth. 32, 5. — Ἰσοκράτης μέν φησιν ἐν Ἀρχιδάμῳ, ὡς Φωκαεῖς φυγόντες τὴν τοῦ μεγάλου βασιλέως δεσποτείαν εἰς *Μασσαλίαν* ἀφίκησαν· ὅτι δὲ πρὸ τούτων τῶν χρόνων ἤδη ὑπὸ Φωκαέων ᾤκιστο ἡ *Μασσαλία*, καὶ Ἀριστοτέλης ἐν τῇ Μασσαλιωτῶν πολιτείᾳ δηλοῖ. Harp.

Μασσαλιῶται. Demosth. 32, 8.

Μάστειρα. ἐν ῃ' Φιλιππικῶν (Demosth. 8, 44. 10, 15.) Δημοσθένης „τῶν μὲν ἐν Θρᾴκῃ κακῶν· τί γὰρ ἂν ἄλλο τις εἴποι Δρογγίλον καὶ Καβύλην καὶ *Μάστειραν*;“ μήποτε γραπτέον *Βάστειραν* ἢ *Πίστειραν* ἢ *Ἐπίμαστον*, ἐπεὶ ταύτας τὰς πόλεις εὑρίσκομεν παρ' Ἀναξιμένει ἐν ζ' των περὶ Φίλιππον, τὴν δὲ *Μάστειραν* οὐδαμοῦ μνήμης τυχοῦσαν. Harpocr. Schol. p. 73, 31 sqq.

Μαύσωλος. Demosth. 15, 3. 27. — *Μαύσωλος*, ὁ Καρίας ὕπαρχος. Demosth. or. 15. ὑπόθ. v. 6. — *Μαύσωλος* τῆς Καρίας σατράπης, τῆς Ἀρτεμισίας ἀνὴρ καὶ ἀδελφός. Demosth. or. 24. ὑπόθ. v. 40. 46. — Μελάνωπος καὶ Γλαυκέτης καὶ Ἀνδροτίων πρεσβευταὶ ὡς *Μαύσωλον*. Demosth. 24, 12. — *Μαύσωλος* ὄνομα κύριον, ἄρχων Καρῶν. φησὶ δὲ αὐτὸν Θεόπομπος μηδενὸς ἀπέχεσθαι πράγματος χρημάτων ἕνεκα. Harpocr. Schol. p. 75 b, 39. — ἡ νεωτέρα Ἀρτεμισία θυγάτηρ μὲν ἦν Ἑκατόμνου, γυνὴ δὲ καὶ ἀδελφὴ *Μαυσώλου*. Schol. p. 76, 3. — *Μαύσωλος*, τῆς Καρίας σατράπης, ἐπεχείρησε καταδουλώσασθαι τῷ Περσῶν βασιλεῖ Χίον καὶ Ῥόδον καὶ Κῶν. Schol. p. 111, 33.

Μελάνωπος ὁ Λάχητος. Μελάνωπος καὶ Γλαυκέτης καὶ Ἀνδροτίων πρεσβευταὶ ὡς Μαύσωλον. Demosth. 24, 12. 13. 125—127. 137. 187. 197. Schol. p. 111, 39. — Λάχης ὁ Μελανώπου. [Demosth.] Epist. 3. p. 960, 39.

Μελάνωπος Διοφάντου Σφήττιος. Θρασυμήδης ὁ Διοφάντου τοῦ Σφηττίου καὶ Μελάνωπος ὁ ἀδελφὸς αὐτοῦ. Demosth. 35, 6.

Μέλας ὁ Αἰγύπτιος. Isae. 5, 7. 8. 40.

Μέλητος. Ἀνδρόμαχος ἔλεγεν ὅτι ἐν τῇ οἰκίᾳ τῇ Πουλυτίωνος γίγνοιτο μυστήρια· Ἀλκιβιάδην μὲν οὖν καὶ Νικιάδην καὶ Μέλητον, τούτους μὲν αὐτοὺς εἶναι τοὺς ποιοῦντας, συμπαρεῖναι δὲ καὶ ὁρᾶν τὰ γιγνόμενα καὶ ἄλλους, παρεῖναι δὲ καὶ δούλους, ἑαυτόν τε καὶ τὸν ἀδελφὸν καὶ Ἱκέσιον τὸν αὐλητὴν καὶ τὸν Μελήτου δοῦλον· ὧν Πολύστρατος μὲν συνελήφθη καὶ ἀπέθανεν, οἱ δὲ ἄλλοι φεύγοντες ᾤχοντο, καὶ αὐτῶν ὑμεῖς θάνατον κατέγνωτε. Andoc. 1, 12 sq. — Τεῦκρος ἐπὶ τοῖς Ἑρμαῖς ἐμήνυσε Μέλητον. §. 35. — προσελθόντες μοι Μέλητος καὶ Εὐφίλητος ἔλεγον ὅτι „γεγένηται σὺ Ἀνδοκίδη καὶ πέπρακται ἡμῖν ταῦτα (ἡ τῶν Ἑρμῶν περικοπή)“ §. 63. — Μέλητος οὑτοσὶ ἀπήγαγεν ἐπὶ τῶν τριάκοντα Λέοντα, καὶ ἀπέθανεν ἐκεῖνος ἄκριτος. §. 94.

Μέλισσος, ὃς ἀπείρων τὸ πλῆθος πεφυκότων τῶν πραγμάτων ὡς ἑνὸς ὄντος τοῦ παντὸς ἐπεχείρησεν ἀποδείξεις εὑρίσκειν. Isocr. 10, 3. — τῶν παλαιῶν σοφιστῶν ὁ μὲν ἄπειρον τὸ πλῆθος ἔφησεν εἶναι τῶν ὄντων, Ἐμπεδοκλῆς δὲ τέτταρα, Ἴων δ' οὐ πλείω τριῶν, Ἀλκμαίων δὲ δύο μόνα, Παρμενίδης δὲ καὶ Μέλισσος ἕν, Γοργίας δὲ παντελῶς οὐδέν. Isocr. 15, 268. — καὶ ἦν ἐπὶ τῶν Ζήνωνος τοῦ Ἐλεάτου καὶ Ἐμπεδοκλέους χρόνων. οὗτος ἔγραψε περὶ τοῦ Ὄντος, καὶ ἀντεπολιτεύσατο δὲ Περικλεῖ· καὶ ὑπὲρ Σαμίων στρατηγήσας ἐναυμάχησε πρὸς Σοφοκλῆν τὸν τραγικόν, ὀλυμπιάδι ὀγδοηκοστῇ τετάρτῃ. Suid. s. v. Μέλητος.

Μελιτεῖς· Δαμόστρατος. Διοπείθης. Σάτυρος. Τιμοκράτης. Φίλαγρος. Φιλωνίδης.

Μελίτη. Demosth. 54, 7. (δῆμός ἐστι τῆς Κεκροπίδος· κεκλῆσθαι δέ φησι τὸν δῆμον Φιλόχορος ἐν γ' ἀπὸ Μελίτης θυγατρὸς κατὰ μὲν Ἡσίοδον Μύρμηκος, κατὰ δὲ Μουσαῖον Δίου τοῦ Ἀπόλλωνος. Harpocr.) — Μελίτη. Isae. 11, 42.

Μέμνων ὁ Ἠοῖς Isocr. 10, 52.

Μέμνων καὶ Μέντωρ, οἱ κηδεσταὶ τοῦ Ἀρταβάζου. Demosth. 23, 154. 157. — ἦσαν Ἀρταβάζῳ γεγονότες ἐκ τῆς Μέντορος καὶ Μέμνονος ἀδελφῆς υἱοὶ μὲν ἕνδεκα, θυγατέρες δὲ δέκα. Diod. Sic. 16, 52.

Μένανδρος (ὁ κωμικός). Schol. p. 39 b, 11. — Διοπείθης πατὴρ ἦν Μενάνδρου τοῦ κωμικοῦ. ὁ δὲ Μένανδρος φίλος ἦν Δημοσθένους. Schol. p. 79 b, 17 sqq. 78 b, 46 sqq. — Μένανδρος ἐν Μισουμένῳ. Schol. p. 9 b, 8.

Μένανδρος (ὁ σοφιστής). Demosth. or. 19. ἐκ. ὑπόθ. v. 191. Schol. p. 89 b, 7. 103, 17. 117 b, 42.

Μενδαῖος. οἶνος Μενδαῖος. Demosth. 35, [20.] 35. [— οἴνου κεράμια Μενδαῖα. Demosth. 35, 10.]

Μένδη· Δημοσθένης κατὰ Λακρίτου. [Demosth. 35, 10. 20.] μία πόλις ἐστὶ τῶν ἐν Παλλήνῃ Μένδη, ὑπὸ Ἐρετριέων ᾠκισμένη. Harpocr.

Μενεκλῆς. Περὶ τοῦ Μενεκλέους κλήρου Isaei or. 2.

Μενεκλῆς ὁ τὴν (ἱέρειαν) Νῖνον ἑλὼν ἐκεῖνος. Demosth. 39, 2. 13. 40, 9. 10. 32. — Νίνου κατηγόρησε Μενεκλῆς ὡς φίλτρα ποιούσης τοῖς νέοις. Schol. p. 94, 42. — Conf. Dion. Halic. de Dinarcho cap. 11.

[Μενεκλῆς. Στέφανος Μενεκλέους Ἀχαρνεύς. Demosth. 45, 8. 46.]

Μενεκράτης. [Demosth.] Epist. 5. v. 2.

Μενεκράτης Ἰσοκράτους λόγος ἐπεισφερόμενος. Schol. p. 5, 31.

Μενέλαος (ὁ Ἀτρείδης). Isocr. 10, 51. 62. 12, 72. 80. 89.

Μενέλαος ὁ πρεσβεύσας πρὸς βασιλέα. Lyc. §. 24.

Μενέλαος. Demosth. 4, 27. (ἀδελφὸς Φιλίππου ὁμοπάτριος. Harpocr.)

Μενέξενος. Isocr. 17, 9. 12. 13. 14. 21. 22. 31. 45. 49.

Μενέξενος ὁ Δικαιογένους. Μενεξένῳ τῷ ἡμετέρῳ πάππῳ ἐγένετο υἱὸς μὲν εἷς, Δικαιογένης, θυγατέρες δὲ δ', ὧν ἔλαβε μίαν μὲν Πολυάρατος ὁ πατὴρ ὁ ἐμός, ἄλλην δὲ Δημοκλῆς ὁ Φρεάρριος, τὴν δὲ Κηφισοφῶν ὁ Παιανιεύς· ἡ δὲ Θεοπόμπῳ ἐγήματο τῷ Κηφισοδότου πατρί. Isae. 5, 5. — Δικαιογένης ὁ Μενεξένου τοῦ ἐμοῦ πάππου πατὴρ ἀπέθανε στρατηγῶν ὅτε ἡ ἐν Ἐλευσῖνι μάχη ἐγένετο, Μενέξενος δ' ὁ ἐκείνου υἱὸς φυλαρχῶν τῆς Ὀλυσίας ἐν Σπαρτώλῳ. Isae. 5, 42. 44. — Δικαιογένης ὁ Μενεξένου. Isae. 5, 3. 4. 6. 42.

Μενέξενος Πολυαράτου Χολαργεύς, ὁ τὸν Ἰσαίου περὶ τοῦ Δικαιογένους κλήρου λόγον λέγων. Isae. 5, 5. coll. §. 34. — ἡ μήτηρ ἡ ἐμὴ θυγάτηρ μὲν ἦν Πολυαράτου Χολαργέως, ἀδελφὴ δὲ Μενεξένου καὶ Βαθύλλου καὶ Περιάνδρου. Demosth. 40, 6. 7. 25.

Μενέξενος Κηφισοφῶντος Παιανιεύς. Isae. 5, 12. 13. 14.

Μενεσθεύς.

ἔκ ποτε τῆσδε πόληος ἅμ' Ἀτρείδῃσι Μενεσθεὺς
ἡγεῖτο ζάθεον Τρωικὸν ἂμ πεδίον.

Aesch. 3, 185.

Μενεσθεὺς (Ἰφικράτους Ῥαμνούσιος). Τιμοθέου δι-

τι ᾔδει τά τ' ἄλλα τοῦ Κόνωνος ἅπαντα καὶ τὸ ἀργύριον οὗ ἦν, τὸ ἔνδον κείμενον τῷ Κόνωνι. Demosth. 48, 14 sqq.

Μόσχος. Ἀρίσταρχος ὁ τοῦ Μόσχου. Aesch. 1, 171. 2, 166. Demosth. 21, 104. [107. 121.]

[**Μόσχος Παιανιεύς.** Demosth. 21, 121.]

Μουνυχία. Andoc. 1, 80. Dinarch. 3, 2. 10. [Aesch.] Epist. 1, 1. – κατὰ τὸν ἐμὸν νόμον οὐχ ἱκετηρίαν ἔθηκε τριήραρχος οὐδεὶς πώποτ' ἀδικούμενος παρ' ἡμῖν, οὐκ ἐν Μουνυχίᾳ ἐκαθέζετο. Demosth. 18, 107. – Μουνυχία· τόπος παραθαλάσσιος ἐν τῇ Ἀττικῇ. Ἑλλάνικος δὲ ἐν β' Ἀτθίδος ὠνομάσθαι φησὶν ἀπὸ Μουνύχου τινὸς βασιλέως τοῦ Πανταχλέους. Harp. Schol. p. 80, 35 sqq. – Μουνυχία τόπος περὶ τὸν Πειραιᾶ, ἔνθα ἐστὶν ἱερὸν Μουνυχίας Ἀρτέμιδος· κἀκεῖ ἔφευγον, οἵτινες τῶν τριηράρχων ἠδικοῦντο ἢ ναῦται ἤ τινες τῶν ἐξεταζομένων ἐν τῷ Πειραιεῖ. ἐκλήθη δὲ Μουνυχία, ὥς φησιν ὁ Διόδωρος, παραφέρων τὰ Ἑλλανίκου, ὡς ὅτι Θρᾷκές ποτε στρατεύσαντες κατὰ τῶν οἰκούντων τὸν Μινύειον Ὀρχομενὸν ἐξέβαλον αὐτοὺς ἐκεῖθεν· οἱ δὲ ἐξαναστάντες ἦλθον εἰς Ἀθήνας ἐπὶ Μουνύχου βασιλέως· ὁ δὲ ἐπέτρεψεν αὐτοῖς οἰκῆσαι τὸν τόπον τοῦτον, τὴν Μουνυχίαν, ὃς οὕτως ὠνομάσθη παρ' αὐτῶν πρὸς τιμὴν τοῦ βασιλέως. Schol. p. 80, 37 sqq.

Μούνυχος βασιλεύς. Vid. Μουνυχία.

Μουνυχίαζε. Lys. 13, 29.

Μουνυχίασιν. Lys. 13, 25. 58. Isae. 6, 27. – Ἀγόρατος καὶ οἱ ἐγγυηταὶ καθίζουσιν ἐπὶ τὸν βωμὸν Μουνυχίασιν. Lys. 13, 24. 52. – ἐκκλησία Μουνυχίασιν ἐν τῷ θεάτρῳ. Lys. 13, 32. 55.

Μουργίσκη. Vid. Μυρτίσκη.

Μοῦσαι. Vid. Μουσεῖα.

Μουσαῖος. Εὔμολπος ὁ Μουσαίου υἱός. Schol. p. 107 b, 11. – ἐγένετο Εὔμολπος Μουσαίου υἱὸς ἢ μαθητής, τοῦ τὰ μυστήρια εὑρηκότος. Schol. p. 41 b, 12.

Μουσεῖα ἐν τοῖς διδασκαλείοις. Aesch. 1, 10. – ἀγαλμάτια ἦν, ὥσπερ καὶ ναϊσκάρια, ἐν τῷ ἐνδοτέρῳ οἴκῳ τῶν διδασκαλείων καὶ τῶν παλαιστρῶν, Μουσῶν καὶ Ἑρμοῦ καὶ Ἡρακλέους. Schol. p. 13, 13 sqq.

Μυόννησος. Aesch. 2, 72. – Μυόννησος μικρὰ νῆσος, ἣν λῃσταὶ καταλαβόντες καὶ ἐξ αὐτῆς ὁρμώμενοι τοὺς πλέοντας ἐλῄστευον. Schol. p. 31 b, 5 sqq.

Μυρρινούσιοι· [Ἀριστοκλῆς.] Ἄρχιππος. Μνησίθεος. [Νικόστρατος.] Φαῖδρος.

Μυρτηνόν. ταῦτα τὰ χωρία, ἃ νῦν οὗτος (Aeschines) διέσυρε, τὸ Σέρριον καὶ τὸ Μυρτηνον καὶ τὴν Ἐργίσκην. Demosth. 18, 27. – Μύρτανον· φρούριον ἦν ἐν Θρᾴκῃ, ὡς Μαρσύας ὁ πρεσβύτερος ἐν ζ' Μακεδονικῶν καὶ Ἀναξιμένης ἐν Φιλιππικῷ. Harpocr. – Conf. Μυρτίσκη.

Μύρτις. τῆς ἰδίας ἕνεκ' αἰσχροκερδείας τὰ κοινῇ συμφέροντα προΐεντο, τοὺς ὑπάρχοντας ἕκαστοι πολίτας ἐξαπατῶντες καὶ διαφθείροντες, ἕως δούλους ἐποίησαν, – – Ἀργείους Μύρτις, Τελέδαμος, Μνασέας. Demosth. 18, 295. cf. Polyb. 17, 14, 3. – Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος καταλέγων τοὺς προδεδωκότας ἑκάστην πόλιν φησὶν „Ἀργείους Μύρτις Τελέδαμος Μνασεας." Θεόπομπος δ' ἐν τῇ να' Πασέαν καὶ Ἀμυρταῖον ὀνομάζει τῶν Ἀργείων τοὺς μακεδονίζοντας. ἰδεῖν οὖν εἰ γραφικά ἐστιν ἁμαρτήματα. Harpocr.

Μυρτίσκη. οὗτός (Demosthenes) ἐστιν ὁ πρῶτος ἐξευρὼν Σέρριον τεῖχος καὶ Δορίσκον καὶ Ἐργίσκην καὶ Μυρτίσκην (μυργίσκην cdfh, Μουργίσκην b) καὶ Γάνος καὶ Γανίδα, χωρία ὧν οὐδὲ τὰ ὀνόματα ᾔδειμεν πρότερον. Aesch. 3, 82. Cf. Μυρτηνόν.

Μυρωνίδης ὁ στρατηγός. Lys. 2, 52. cf. Thucyd. 1, 105.

Μυρωνίδης ὁ Ἀρχίνου. Demosth. 24, 135.

Μυρωνίδης (Physcius). [Aesch.] Epist. 9, 2.

Μυσία. Schol. p. 79 b, 4 sqq.

Μύσιος. τὸ Μύσιον πεδίον. Isocr. 4, 144.

Μυσοί. ἡ Μυσῶν λεία. Demosth. 18, 72. (παροιμία τίς ἐστιν οὕτω λεγομένη, ἥν φησι Δήμων ἐν μ' περὶ παροιμιῶν τὴν ἀρχὴν λαβεῖν ἀπο τῶν καταδραμόντων ἀστυγειτόνων τε καὶ λῃστῶν τὴν Μυσίαν κατὰ τὴν Τηλέφου τοῦ βασιλέως ἀποδημίαν. Harpocr. Schol. p. 79 b, 1–24.)

Μυτιληναῖοι. Isocr. 14, 28. Demosth. 13, 8. 15, 19. 40, 37. Prooem. 37. v. 12. – Τοῖς Μυτιληναίων ἄρχουσιν Isocratis Epistola 8. – Conf. Μιτυληναῖοι.

Μυτιλήνη. Demosth. 40, 36. 50, 53. – Κάμμης ὁ τυραννῶν Μυτιλήνης. Demosth. 40, 37. – Conf. Μιτυλήνη.

Νάξος. Antiph. 1, 16. Andoc. 3, 9. Aesch. 2, 175. Demosth. 18, 197. – ἡ ἐν Νάξῳ ναυμαχία. Dinarch. 1, 75. Aesch. 3, 222. – ἡ περὶ Νάξον ναυμαχία. Aesch. 3, 243. Demosth. 13, 22. – τὴν περὶ Νάξον ἐνίκα ναυμαχίαν Χαβρίας. Demosth. 23, 198. – „Χαβρίας ἀπὸ τῆς ἐν Νάξῳ ναυμαχίας" inscriptio coronae aureae. Demosth. 24, 180. – Λακεδαιμόνιοι ἐκ Νάξου Λύγδαμιν ἐξέβαλον τύραννον. Schol. p. 31 b, 40.

Ναυκλείδης (Πλαταιεύς). [Demosth.] 59, 99.

Ναυκράτης. Μισγόλας Ναυκράτους Κολλυτεύς. Aesch. 1, 41.

Ναύκρατις ἡ κατ' Αἴγυπτον, ἣ καὶ νῦν οὕτω καλεῖται. Schol p. 112, 31. Conf. Ναυκρατιτικός.

Ναυκρατιτικός. χρήματα Ναυκρατιτικά. Demosth. 24, 11. – ναυκραρικά· Δημοσθένης ἐν τῷ

Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. περὶ τῆς πρὸς Φίλιππον τούτου φιλίας Θεόπομπος ἐν β' Φιλιππικῶν ἱστορεῖ. **Harpocr.**

Νέωσιν. **Demosth. 19, 148.** — *Νεῶσι· Δημοσθένης κατ' Αἰσχίνου. πόλις ἐστὶν ἐν τῇ Φωκίδι, ἣν Ἡρόδοτος μὲν ἐν η' Νεῶνα ὀνομάζει, Ἀνδροτίων δ' ἐν ς' Ἀτθίδος Νεῶνας.* **Harpocr.**

Νηλεύς. **Isocr. 6, 19.**

Νηρεύς. **Isocr. 9, 16.**

Νίκαια. **Aesch. 2, 132. 138. 3, 140. Demosth. 6, 22. 11, 4.** — *Νίκαια· Αἰσχίνης ἐν τῷ περὶ τῆς πρεσβείας. ἔστι δὲ πόλις τῆς Λοκρίδος ἐπιθαλαττίδιος.* **Harpocr.** — *Νίκαια, Λοκρικὴ πόλις παραθαλάσσιος, ἀπέχουσα Θερμοπυλῶν σταδίους μ'.* **Schol. p. 35 b, 22.**

Νικάνωρ (ὁ Σταγειρίτης). τοὺς φυγάδας Ἀλέξανδρον ἔφασαν κατάγειν, καὶ Νικάνωρ εἰς Ὀλυμπίαν ἧκεν. **Dinarch. 1, 81. 82. 103.** (*τρεῖς γεγόνασι Νικάνορες, ὁ μὲν υἱὸς Βαλάκρου, ἕτερος δὲ Παρμενίωνος υἱός, ἄλλος δὲ Σταγειρίτης τὸ γένος, οὗ μνημονεύοι ἂν νῦν ὁ ῥήτωρ.* **Harpocr.**) — *ὑπογύων ὄντων τῶν Ὀλυμπίων ἐξέπεμψεν Ἀλέξανδρος εἰς τὴν Ἑλλάδα Νικάνορα τὸν Σταγειρίτην, δοὺς ἐπιστολὴν περὶ τῆς καθόδου.* **Diod. Sic. 18, 8.**

Νικαρέτη Δημοστράτου θυγάτηρ Μελιτέως, Πρωτομάχου καὶ Θουκρίτου γυνή, μήτηρ τοῦ τὸν πρὸς Εὐβουλίδην λόγον λέγοντος. **Demosth. 57, 68.**

Νικαρέτη, Χαρισίου τοῦ Ἠλείου ἀπελευθέρα, Ἱππίου τοῦ μαγείρου τοῦ ἐκείνου γυνή, ἑπτὰ παιδίσκας κεκτημένη. **[Demosth.] 59, 18 - 29. 108. 118.**

Νίκη. **[Demosth.] Prooem. 54. v. 6.** — *οἱ τὰ ἀκρωτήρια τῆς Νίκης περικόψαντες ἀπώλοντο αὐτοὶ ὑφ' αὑτῶν.* **Demosth. 24, 121.** — *Νίκης Ἀθηνᾶς ἐστιν ἄγαλμα ἐν τῇ ἀκροπόλει. ταύτης δὲ τὰς πτέρυγας χρυσᾶς οὔσας ἐπεχείρησάν τινες κακοῦργοι ἀφελέσθαι, καὶ ἀπώλοντο αὐτοὶ ὑφ' ἑαυτῶν οἱ κακοῦργοι, στασιάζοντες πρὸς αὑτούς, τίς πλέον λάβοι ἀπὸ τῆς κλοπῆς.* **Schol. p. 118 b, 24 sqq.**

Νικήρατος. Νικίας ὁ Νικηράτου. **Andoc. 3, 8. Aesch. 2, 175.**

Νικήρατος ὁ Νικίου υἱός, εὔνους ὢν τῷ ὑμετέρῳ πλήθει, συλληφθεὶς ὑπὸ τῶν λ' ἀπέθανεν, οὔτε γένει οὔτε οὐσίᾳ οὔθ' ἡλικίᾳ δοκῶν ἀνάξιος εἶναι τῆς πολιτείας μετασχεῖν. **Lys. 18, 6. cf. Xenoph. Hellen. 2, 3, 39. Diod. Sic. 14, 5.** — *ὁ Νικηράτου υἱός.* **Lys. 18, 10.** — *Νικήρατος δτ' ἀπέθνησκεν, ἀργύριον μὲν ἢ χρυσίον οὐδ' αὐτὸς ἔφη καταλιπεῖν οὐδέν, ἀλλὰ τὴν οὐσίαν ἣν κατέλιπε τῷ υἱεῖ, οὐ πλείονος ἀξία ἐστὶν ἢ τεττάρων καὶ δέκα ταλάντων.* **Lys. 19, 47.**

Νικήρατος ὁ τοῦ Νικίου, ὁ ἀγαπητός, ὁ ἄπαις, ὁ παντάπασιν ἀσθενὴς τῷ σώματι, ἑκὼν ἐπιδοὺς τριήρη. **(Ol. 107, 3.) Demosth. 21, 165.** [— *Νικήρατος Ἀχερδούσιος τριηραρχῶν.* **Demosth. 21, 168.**]

Νικήρατος. Θρασύβουλος ὁ Νικηράτου θεῖος. **Demosth. 19, 290.**

Νικήρατος. **Demosth. 54, 32.**

Νικιάδης. Ἀνδρόμαχος ἔλεγεν δτι ἐν τῇ οἰκίᾳ τῇ Πουλυτίωνος γίγνοιτο μυστήρια· Ἀλκιβιάδην μὲν οὖν καὶ Νικιάδην καὶ Μέλητον αὐτοὺς εἶναι τοὺς ποιοῦντας. **Andoc. 1, 12 sq.**

Νικιάδης ὁ Λυσανίου. **Demosth. 57, 21.** — *ὁ Νικοστράτου πατὴρ Νικιάδης.* **Demosth. 57, 21.**

Νικίας ὁ Νικηράτου. Περὶ δημεύσεως τῶν τοῦ Νικίου ἀδελφοῦ ἐπίλογος **Lysiae or. 18.** — *Νικίας ὁ ἡμέτερος θεῖος ὅσα μὲν τῇ ἑαυτοῦ γνώμῃ χρώμενος ὑπὲρ τοῦ πλήθους τοῦ ὑμετέρου ἔπραξε, πανταχοῦ φανήσεται πολλῶν μὲν καὶ ἀγαθῶν αἴτιος τῇ πόλει γεγενημένος, πλεῖστα δὲ καὶ μέγιστα κακὰ τοὺς πολεμίους εἰργασμένος· ὅσα δὲ οὐ βουλόμενος ἀλλ' ἄκων ἠναγκάσθη ποιῆσαι, τῶν μὲν κακῶν οὐκ ἐλάχιστον αὐτὸς μετέσχε μέρος, τὴν δ' αἰτίαν τῆς συμφορᾶς οἱ πείσαντες ὑμᾶς δικαίως ἂν ἔχοιεν, ἐπεὶ τήν γε πρὸς ὑμᾶς εὔνοιαν καὶ τὴν ἀρετὴν τὴν αὑτοῦ ἐν ταῖς εὐτυχίαις ταῖς ὑμετέραις καὶ ταῖς δυστυχίαις ταῖς τῶν ἐχθρῶν ἐπέδειξε· στρατηγῶν γὰρ πολλὰς μὲν πόλεις εἷλε, πολλὰ δὲ καὶ καλὰ κατὰ τῶν πολεμίων ἔστησε τρόπαια, ὧν καθ' ἓν ἕκαστον πολὺ ἂν ἔργον εἴη λέγειν.* **Lys. 18, 2 sq. Conf. Thucyd. 6, 8 sqq. Plutarch. vita Niciae.** — *τοὺς ἐπὶ τῶν προγόνων ἡμῶν λέγοντας ἀκούω τὴν τῶν πραγμάτων σωτηρίαν ἀντὶ τῆς ἐν τῷ λέγειν χάριτος αἱρεῖσθαι, τὸν Ἀριστείδην ἐκεῖνον, τὸν Νικίαν, τὸν ὁμώνυμον ἐμαυτῷ, τὸν Περικλέα.* **Demosth. 3, 21.** — *διὰ τί μὴ τὸν Περικλέα δεύτερον τέθεικε πρεσβύτερον ὄντα τοῦ τε Νικίου καὶ τοῦ Δημοσθένους; ὅτι τοὺς ἄκρους κατ' ἀρετὴν ἐν ἄκροις ἔταξε, τοὺς δὲ μέσους ἐν μέσοις.* **Schol. p. 63, 25.** — *πάλιν διὰ Μεγαρέας πολεμήσαντες (Λακεδαιμονίοις) καὶ τὴν χώραν τμηθῆναι προϊέμενοι, πολλῶν ἀγαθῶν στερηθέντες αὖθις τὴν εἰρήνην ἐποιησάμεθα, ἣν ἡμῖν Νικίας ὁ Νικηράτου κατειργάσατο. διὰ ταύτην τὴν εἰρήνην ἑπτακισχίλια μὲν τάλαντα νομίσματος εἰς τὴν ἀκρόπολιν ἀνηνέγκαμεν, ναῦς δὲ πλείους ἢ τριακοσίας ἐκτησάμεθα, καὶ φόρος προσῄει κατ' ἐνιαυτὸν πλέον ἢ διακόσια καὶ χίλια τάλαντα, καὶ Χερρόνησόν τε εἴχομεν καὶ Νάξον καὶ Εὐβοίας πλέον ἢ τὰ δύο μέρη· τάς τε ἄλλας ἀποικίας καθ' ἕκαστον διηγεῖσθαι μακρὸς ἂν εἴη λόγος.* **Andoc. 3, 8 sq. Aesch. 2, 175.** — *μετῆκται τὰ πλεῖστα ἐκ τῶν Ἀνδοκίδου, ἔστι δὲ ψευδῆ. ἡ μὲν γὰρ Νικίου εἰρήνη ἐπὶ ἄρχοντος Ἀρίστωνος ἐγένετο τῷ τετάρτῳ ἔτει τῆς ὀγδοηκοστῆς ἐνάτης Ὀλυμπιάδος· ἐν δὲ ταύτῃ οὐχ ὅτι ἐνακισχίλια τάλαντα εἰς τὴν ἀκρόπολιν ἀνήγαγον, ἀλλὰ

Πολίοχος (*πολίαχος* libri praeter X, *πολίσχος* X). Lys. 18, 13. — *Πολίοχος καὶ Πολυάλκης ὀνόματα κύρια.* Harpocr.

Πόλλις. *Ἀθηναῖοι τὴν ἐν Νάξῳ ναυμαχίαν Λακεδαιμονίους καὶ Πόλλιν ἐνίκησαν.* Aesch. 3, 222. — *Πόλλις, στρατηγὸς Λακεδαιμονίων, περὶ οὗ καὶ ὁ Ἀριστείδης λέγει ἐν τῷ ὑπὲρ τῶν τεσσάρων, ὅτι οὗτος ἐπώλησε τὸν Πλάτωνα.* Schol. p. 47 b, 45 sqq.

Πολύαινος, ὁ τὸν Λυσίου ὑπὲρ τοῦ στρατιώτου λόγον λέγων. Lys. 9, 5.

Πολυάλκης. *ἐγὼ ἕνεκα τῆς Ἰάσονος καὶ Πολυάλκους* (*Πολυαλκοῦς* Γb) *ξενίας ἡδέως ἂν ἀφικοίμην ὡς ὑμᾶς* (τοὺς Ἰάσονος παῖδας). Isocr. Epist. 6, 1. — *Πολίοχος καὶ Πολυάλκης* (*Πολυαλκής* vulgo) *ὀνόματα κύρια.* Harpocr.

Πολυαλκώ. *ἐγὼ ἕνεκα τῆς Ἰάσονος καὶ Πολυαλκοῦς ξενίας ἡδέως ἂν ἀφικοίμην ὡς ὑμᾶς* (τοὺς Ἰάσονος παῖδας). Isocr. Epist. 6, 1.

Πολυάρατος Χολαργεύς. *Μενεξένῳ τῷ ἡμετέρῳ πάππῳ ἐγένετο υἱὸς μὲν εἷς, Δικαιογένης, θυγατέρες δὲ τέτταρες, ὧν ἔλαβε μίαν Πολυάρατος ὁ πατήρ ὁ ἐμός* (Μενεξένου). Isae. 5, 5. — *ἡ μήτηρ ἡ ἐμὴ θυγάτηρ μὲν ἦν Πολυαράτου Χολαργέως, ἀδελφὴ δὲ Μενεξένου καὶ Βαθύλλου καὶ Περιάνδρου.* Demosth. 40, 6. 24.

Πολύαρχος ὁ πατὴρ ὁ Κλεωνύμου. Isae. 1, 4. 39.

Πολυδεύκης. Vid. *Κάστωρ.*

Πολύευκτος. *Τεῦκρος ἐπὶ τοῖς Ἑρμαῖς ἐμήνυσε Πολύευκτον.* Andoc. 1, 35.

Πολύευκτος ὁ Κυδαντίδης. *Πολύευκτον τὸν Κυδαντίδην τοῦ δήμου προστάξαντος ζητῆσαι τὴν βουλήν, εἰ συνέρχεται τοῖς φυγάσιν εἰς Μέγαρα, καὶ ζητήσασαν ἀποφῆναι πρὸς ὑμᾶς, ἀπέφηνεν ἡ βουλὴ συνιέναι. κατηγόρους εἵλεσθε κατὰ τοὺς νόμους, εἰσῆλθεν εἰς τὸ δικαστήριον, ἀπελύσαθ' ὑμεῖς, ὁμολογοῦντος Πολυεύκτου βαδίζειν εἰς Μέγαρα ὡς τὸν Νικοφάνην· ἔχειν γὰρ τὴν αὐτοῦ μητέρα τοῦτον.* Dinarch. 1, 58 sq. — *Ὑπερείδης ἐν τῷ πρὸς Πολύευκτον.* Schol. p. 75, 44. — *Ὑπερείδης ἐν τῷ κατὰ Πολυεύκτου.* Schol. p. 75 b, 12.

Πολύευκτος (*ὁ Σφήττιος*). *αἱ πέρυσι πρεσβεῖαι περὶ τὴν Πελοπόννησον ἐκεῖναι καὶ κατηγορίαι, ἃς ἐγὼ καὶ Πολύευκτος ὁ βέλτιστος ἐκεινοσὶ καὶ Ἡγήσιππος καὶ οἱ ἄλλοι πρέσβεις περιήλθομεν.* Demosth. 9, 72. Plut. Vita X. oratt. p. 841 E. — *τί φασι τοὺς πρὸ ἡμῶν γεγενημένους, ὦ Δημόσθενες καὶ Πολύευκτε, διατελεῖν ποιοῦντας; οὐ κρίνειν ἀλλήλους; οὐκ εἰσαγγέλλειν; οὐ γράφεσθαι παρανόμων; ἔστιν οὖν ὅ τι πεποιήκατε τούτων ὑμεῖς οἱ φάσκοντες τοῦ δήμου κήδεσθαι καὶ τὴν σωτηρίαν ὑμῖν ἐν τῇ τούτων εἶναι ψήφῳ;* Dinarch. 1, 100.

Πολύευκτος (*συκοφάντης*). *νῦν τούτου* (Μειδίου) *προβέβληται Πολύευκτος, Τιμοκράτης, Εὐκτήμων ὁ κονιορτός· τοιοῦτοί τινές εἰσι μισθοφόροι περὶ αὐτόν.* Demosth. 21, 139.

Πολύευκτος ὁ Θριάσιος. Demosth. 41, 1–27.

Πολύευκτος ὁ Κριωεύς. [Demosth.] 42, 11.

Πολύευκτος ὁ ἔχων τὴν μητέρα τοῦ παιδὸς (*Χαριδήμου*). [Demosth.] 58, 31 sq.

Πολύζηλος ἄρχων. (Ol. 103, 2.) *ἐπὶ Πολυζήλου ἄρχοντος.* Demosth. 30, 15.

Πολύζηλος. *πρόεδρόν ποτέ φασιν ἐν ὑμῖν ὑπὸ Πολυζήλου πληγῆναι.* Demosth. 21, 36. 38. — *ὁ πληγεὶς ἐκεῖνος ὑπὸ τοῦ Πολυζήλου, ἰδίᾳ διαλυσάμενος, οὐδ' εἰσήγαγε τὸν Πολύζηλον.* §. 39.

Πολυκλῆς. Lys. 8, 10. 12. 16.

Πολυκλῆς. *Πρὸς Πολυκλέα περὶ τοῦ τριηραρχήματος* Demosthenis or. 50.

[*Πολυκλῆς ἄρχων ψευδεπώνυμος.* *ἐπὶ ἄρχοντος Πολυκλέους.* Demosth. 18, 105.]

Πολυκράτης ὁ σοφιστής, ἐξ ἀνάγκης ἐλθὼν ἐπὶ τὸ σοφιστεύειν διὰ πενίαν, Ἀθηναῖος μὲν τὸ γένος, σοφιστεύων δὲ νῦν ἐν Κύπρῳ. Isocr. or. 11. ὑπόθ. v. 1 sqq. — *τὴν ἐπιείκειαν τὴν σήν, ὦ Πολύκρατες, καὶ τὴν τοῦ βίου μεταβολὴν παρ' ἄλλων πυνθανόμενος οἶδα. — — — αἰσθόμενος οὖν οὐχ ἥκιστά σε μεγαλαυχούμενον ἐπί τε τῇ Βουσίριδος ἀπολογίᾳ καὶ τῇ Σωκράτους κατηγορίᾳ, πειράσομαί σοι ποιῆσαι καταφανὲς ὅτι πολὺ τοῦ δέοντος ἐν ἀμφοτέροις τοῖς λόγοις διήμαρτες.* Isocr. 11, 1–8. — *τινὲς λέγουσιν ὡς καὶ τὸν λόγον τοῦτον* (or. 10.) *ἔγραψε πρὸς Πολυκράτην* (Isocrates), *ἐπιλαμβανόμενος αὐτοῦ καὶ ἐν τούτῳ. οὐκ ἔστι δέ· καὶ γὰρ τὸ ἐναντίον συνέβη. ἐκεῖνος γὰρ ὁ Πολυκράτης ἐπελάβετο τοῦ Ἰσοκράτους ὡς κακῶς γράψαντος τὸν λόγον τοῦτον, ὥσπερ ἐκείνου ἐπελάβετο ἐν τῷ Βουσίριδι.* Schol. p. 8 b, 1 sqq. — *Πολυκράτης ὁ σοφιστής, ὁ γράψας περὶ τῆς Ἑλένης.* Schol. p. 10 b, 40.

Πολυκράτης. *οἱ ἐν τῇ Χερρονήσῳ κληροῦχοι κατὰ τὸ Πολυκράτους δόγμα ἐπολέμουν ἡμῖν.* [Philippi] Epist. §. 16.

[*Πολυκράτης Ἐπίφρονος.* Demosth. 18, 165.]

[*Πολύκριτος Ἀπημάντου Κοθωκίδης.* Demosth. 18, 75. 77.]

Πολυνείκης. *Ἄδραστος καὶ Πολυνείκης ἐπὶ Θήβας στρατεύσαντες.* Lys. 2, 7.

Πολυσθένης. *Τιμοθέου δόξαντός τι ποιῆσαι τῶν δεόντων ὑμῖν, πρὸς τῷ πάνθ' ἃ μέγιστ' ἦν αὐτῷ δοῦναι, προσέθηκαν αὐτῷ Φρασιηρίδην καὶ Πολυσθένην, ἀνθρώπους οὐδ' ἐλευθέρους, ὀλέθρους καὶ τοιαῦτα πεποιηκότας οἷα λέγειν ὀκνήσειεν ἄν τις εὖ φρονῶν.* Demosth. 23, 202.

Πολύστρατος. *Ἀνδρόμαχος ἔλεγεν ὅτι ἐν τῇ οἰκίᾳ τῇ Πουλυτίωνος γίγνοιτο μυστήρια· Ἀλκιβιάδην μὲν οὖν καὶ Νικιάδην καὶ Μέλητον, τούτους μὲν

οὐ χρέος ἐγκαλῶν ἀλλ' ἀπάξειν ἀπειλῶν. Isocr. 21, 14.

Τιμόδημος ὁ τραπεζίτης. Σωκλῆς τραπεζιτεύσας ἔδωκε τὴν ἑαυτοῦ γυναῖκα Τιμοδήμῳ τῷ νῦν ἔτ' ὄντι καὶ ζῶντι, γενομένῳ ποτὲ ἑαυτοῦ. Demosth. 36, 29. 50.

Τιμόθεος ὁ Κόνωνος. Lys. 19, 34. 38. — *Κόνων τῷ υἱεῖ (Τιμοθέῳ) κατέλιπε τάλαντα ἑπτακαίδεκα.* Lys. 19, 40. — *Τιμόθεος ὁ Κόνωνος καὶ οἱ τὰ μέγιστα κεκτημένοι κατὰ τὰς κε' μνᾶς φ' δραχμὰς εἰσέφερον.* Demosth. 27, 7. 29, 59. — *ἐμνήσθη δὲ (Λυσίμαχος) καὶ τῆς πρὸς Τιμόθεόν μοι* (Isocrati) *φιλίας γεγενημένης, καὶ διαβάλλειν ἡμᾶς ἀμφοτέρους ἐπεχείρησε, καὶ οὐκ ᾐσχύνθη περὶ ἀνδρὸς τετελευτηκότος καὶ πολλῶν ἀγαθῶν αἰτίου τῇ πόλει βλασφήμους καὶ λίαν ἀσελγεῖς λόγους εἰπών.* Isocr. 15, 101 sqq. — *οἶμαι δ' ἂν εἰ Κόνων μὲν καὶ Τιμόθεος ἐτύγχανον ζῶντες, πολλὴν ἂν αὐτοὺς ποιήσασθαι σπουδήν, εὑρέσθαι με βουλομένους* (a Mytilenensibus) *ὧν τυγχάνω δεόμενος.* Isocr. Epist. 8, 8. — *Τιμόθεον οὐκ ἐξ ὧν νεώτερος ὢν ἐπετήδευσεν, ἀλλ' ἐξ ὧν Ἰσοκράτει συνδιατρίψας ἔπραξε, μεγίστης δόξης καὶ πλείστων τιμῶν εὑρήσεις ἀξιωθέντα.* [Demosth.] 61, 46. — *ὑπὲρ Τιμοθέου Ἰσοκράτους λόγος ἐπεισφερόμενος.* Schol. p. 5, 34. — *ἀθροώτατον τοῦτ' εἰπεῖν ἔχω περὶ Τιμοθέου καὶ μάλιστα καθ' ἁπάντων, ὅτι τοσαύτας ᾕρηκε πόλεις κατὰ κράτος ὅσας οὐδεὶς πώποτε τῶν ἐστρατηγηκότων.* Isocr. 15, 107 sq. — *εἰ δὲ δεῖ μὴ καθ' ἕκαστον ἀλλὰ διὰ βραχέων εἰπεῖν, τεττάρων καὶ εἴκοσι πόλεων κυρίους ὑμᾶς ἐποίησε T. ἐλάττω δαπανήσας ὧν οἱ πατέρες ἡμῶν εἰς τὴν Μηλίων πολιορκίαν ἀνήλωσαν.* Isocr. 15, 113. — *τὴν μὲν ἀρχὴν ἐποιησάμεθα τοῦ πολέμου ὑπὲρ Ἀμφιπόλεως, συνέβαινε δ' ἡμῶν τὸν στρατηγὸν (Χάρητα) ἐν τῷ πολέμῳ ἑβδομήκοντα καὶ πέντε πόλεις συμμαχίδας ἀποβεβληκέναι, ἃς ἐκτήσατο Τιμόθεος ὁ Κόνωνος καὶ κατέστησεν εἰς τὸ συνέδριον.* Aesch. 2, 70. — *ἁπάσης τῆς Ἑλλάδος ὑπὸ τὴν πόλιν ἡμῶν ὑποπεσούσης καὶ μετὰ τὴν Κόνωνος ναυμαχίαν καὶ μετὰ τὴν Τιμοθέου στρατηγίαν, οὐδένα χρόνον τὰς εὐτυχίας κατασχεῖν ἠδυνήθημεν.* Isocr. 7, 12. — *εἰς τὸν περίπλουν τὸν περὶ Πελοπόννησον* (Ol. 101, 1.) *τρία καὶ δέκα μόνον τάλαντα δούσης Τιμοθέῳ τῆς πόλεως καὶ τριήρεις ν' Κόρκυραν εἷλε, πόλιν π' τριήρεις κεκτημένην, καὶ περὶ τὸν αὐτὸν χρόνον Λακεδαιμονίους ἐνίκησε ναυμαχῶν καὶ ταύτην αὐτοὺς ἠνάγκασε συνθέσθαι τὴν εἰρήνην κτλ.* Isocr. 15, 109 sq. — *Κέρκυραν εἷλε Τιμόθεος.* Demosth. 13, 22. 23, 198. — *ἐπερώτησον τοὺς δικαστὰς εἰ ἐγίνωσκον Χαβρίαν καὶ Ἰφικράτην καὶ Τιμόθεον, καὶ πυθοῦ παρ' αὐτῶν διὰ τί τὰς δωρεὰς αὐτοῖς ἔδοσαν καὶ τὰς εἰκόνας ἔστησαν. ἅπαντες γὰρ ἅμα σοι ἀποκρινοῦνται, ὅτι Τιμοθέῳ διὰ τὸν περίπλουν τὸν εἰς Κέρκυραν.* Aesch. 3, 243. — *Τιμοθέῳ διδόντες τὴν δωρεὰν δι' ἐκεῖνον ἐδώκατε καὶ Κλεάρχῳ καὶ τισιν ἄλλοις πολιτείαν.* Demosth. 20, 84. 85. — *Τιμοθέου δόξαντός τι ποιῆσαι τῶν δεόντων ὑμῖν, πρὸς τῷ πάνθ' ἃ μέγιστ' ἦν αὐτῷ δοῦναι, προσέθηκαν αὐτῷ (οἱ ῥήτορες) Φρασιηρίδην καὶ Πολυσθένην, ὀλέθρους ἀνθρώπους.* Demosth. 23, 202. — *ἡ πόλις ἡμῶν ἦν μεγάλη καὶ ἔνδοξος παρὰ τοῖς Ἕλλησιν, ὅτε Τιμόθεος τὴν ἐν Κερκύρᾳ ναυμαχίαν ἐνίκησεν.* Dinarch. 1, 75. — *μετὰ δὲ ταύτας τὰς πράξεις εἰς Σάμον στρατεύσας* (Ol. 103, 2.) *ταύτην ἐν δέκα μησὶν ἐξεπολιόρκησε T. ὀκτακισχιλίοις πελτασταῖς καὶ τριήρεσι λ', καὶ τούτοις ἅπασιν ἐκ τῆς πολεμίας τὸν μισθὸν ἀπέδωκεν.* Isocr. 15, 111. — *ὑμεῖς ἐξεπέμψατε Τιμόθεόν ποτε βοηθήσοντα Ἀριοβαρζάνῃ προσγράψαντες τῷ ψηφίσματι „μὴ λύοντα τὰς σπονδὰς τὰς πρὸς τὸν βασιλέα." ἰδὼν δ' ἐκεῖνος τὸν μὲν Ἀριοβαρζάνη φανερῶς ἀφεστῶτα βασιλέως, Σάμον δὲ φρουρουμένην ὑπὸ Κυπροθέμιδος, ὃν κατέστησε Τιγράνης ὁ βασιλέως ὕπαρχος, τῷ μὲν ἀπέγνω μὴ βοηθεῖν, τὴν δὲ προσκαθεζόμενος καὶ βοηθήσας ἠλευθέρωσεν· καὶ μέχρι τῆς τήμερον ἡμέρας οὐ γέγονε πόλεμος διὰ ταῦθ' ὑμῖν.* Demosth. 15, 9. — *Φανόστρατος ἐκπλεῖν ἤμελλε τριηραρχῶν μετὰ Τιμοθέου.* Isae. 6, 27. — *ἐντεῦθεν τοίνυν ἀναπλεύσας T. Σηστὸν καὶ Κριθώτην ἔλαβε, καὶ τὸν ἄλλον χρόνον ἀμελουμένης Χερρονήσου προσέχειν ὑμᾶς αὐτῇ τὸν νοῦν ἐποίησεν.* Isocr. 15, 112. — *ἐπειδὴ τὸν μὲν Ἰφικράτην ἀποστράτηγον ἐποιήσατε, Τιμόθεον δ' ἐπ' Ἀμφίπολιν καὶ Χερρόνησον ἐξεπέμψατε στρατηγόν, - - τοῦ μὴ λαβεῖν Ἀμφίπολιν Χαρίδημος ἐμποδὼν κατέστη.* (Ol. 103, 4.) Demosth. 23, 149. 150. 151. 154. — *ὄγδοον (περὶ τὰς Ἐννέα καλουμένας ὁδοὺς) ἐκπεμφθεὶς ὑπὸ Τιμοθέου Ἀλκίμαχος ἀπέτυχεν, αὐτοῦ παραδόντος αὐτὸν Θρᾳξίν, ἐπὶ Τιμοκράτους Ἀθήνησιν ἄρχοντος.* (Ol. 104, 1.) *ἔνατον Τιμόθεος ἐπιστρατεύσας ἡττήθη ἐπὶ Καλλιμήδους (καλαμῖνος* i. *καλαμίωνος* ceteri.) *ἄρχοντος.* (Ol. 105, 1.) Schol. p. 29, 22 sqq. — *ἡ Μακεδονικὴ δύναμις ἐν προσθήκης μέρει ἐστί τις οὐ μικρά, οἷον ὑπῆρξέ ποθ' ὑμῖν ἐπὶ Τιμοθέου πρὸς Ὀλυνθίους· πάλιν αὖ πρὸς Ποτίδαιαν Ὀλυνθίοις ἐφάνη τι τοῦτο συναμφότερον.* Demosth. 2, 14. — *τὸ δὲ τελευταῖον T. Ποτίδαιαν εἷλεν* (Ol. 104, 1.) *ἀπὸ τῶν χρημάτων ὧν αὐτὸς ἐπόρισε καὶ τῶν συντάξεων τῶν ἀπὸ Θρᾴκης· καὶ προσέτι Χαλκιδεῖς ἅπαντας κατεπολέμησεν.* Isocr. 15, 113. — *πρὸ τοῦ Φιλίππου Τιμόθεος ἔξω τυγχάνων ἐν τῇ Θρᾴκῃ ἐκτήσατο χωρία, ἅπερ νῦν εἴληφε Φίλιππος, Πύδναν καὶ Ποτίδαιαν καὶ τὰς ἄλλας. ἄγαν γὰρ εὐτυχὴς ὁ Τι-*

μόθεος, ὥστε προσιέναι τὰς πόλεις αὐτῷ καὶ τοὺς ζωγράφους κοιμώμενον γράφειν αὐτὸν καὶ Τύχας αὐτῷ τὰς πόλεις προσφερούσας. Schol. p. 63 b, 42 sqq. — Τιμόθεός ποτ' (Ol. 105, 3.) ἐκεῖνος ἐν ὑμῖν ἐδημηγόρησεν ὡς δεῖ βοηθεῖν καὶ τοὺς Εὐβοέας σώζειν, ὅτε Θηβαῖοι κατεδουλοῦντο αὐτούς, καὶ λέγων εἶπεν οὕτω πως· „εἰπέ μοι, βουλεύεσθε“ ἔφη „Θηβαίους ἔχοντες ἐν νήσῳ, τί χρήσεσθε καὶ τί δεῖ ποιεῖν; οὐκ ἐμπλήσετε τὴν θάλατταν ὦ ἄνδρες Ἀθηναῖοι τριήρων; οὐκ ἀναστάντες ἤδη πορεύσεσθε εἰς τὸν Πειραιᾶ; οὐ καθέλξετε τὰς ναῦς; οὐκοῦν εἶπε μὲν ταῦτα ὁ Τιμόθεος, ἐποιήσατε δ' ὑμεῖς· ἐκ δὲ τούτων ἀμφοτέρων τὸ πρᾶγμα ἐπράχθη. Demosth. 8, 74 sq. — Τιμόθεος οὔτε τὴν τοῦ σώματος φύσιν ἔχων ἐρρωμένην οὔτ' ἐν τοῖς στρατοπέδοις τοῖς πλανωμένοις κατατετριμμένος, ἀλλὰ μεθ' ὑμῶν πολιτευόμενος τηλικαῦτα διεπράξατο τὸ μέγεθος. Isocr. 15, 115 sqq. — Τιμόθεον τοσαύτας μὲν πόλεις ἑλόντα μηδεμίαν δ' ἀπολέσαντα περὶ προδοσίας ἔκρινεν ἡ πόλις, καὶ πάλιν διδόντος εὐθύνας αὐτοῦ, καὶ τὰς μὲν πράξεις Ἰφικράτους ἀναδεχομένου, τὸν δ' ὑπὲρ τῶν χρημάτων λόγον Μενεσθέως, τούτους μὲν ἀπέλυσε, Τιμόθεον δὲ τοσούτοις ἐζημίωσε χρήμασιν ὅσοις οὐδένα πώποτε τῶν προγεγενημένων. (Ol. 106, 3.) Isocr. 15, 129 sq. — Τιμόθεος οὔτε μισόδημος ὢν οὔτε μισάνθρωπος οὐθ' ὑπερήφανος, διὰ τὴν μεγαλοφροσύνην ἅπασιν ἔδοξεν ἔνοχος εἶναι τοῖς προειρημένοις· οὕτω γὰρ ἀφυὴς ἦν πρὸς τὴν τῶν ἀνθρώπων θεραπείαν ὥσπερ δεινὸς περὶ τὴν τῶν πραγμάτων ἐπιμέλειαν. Isocr. 15, 131 sqq. — Τιμοθέῳ Πελοπόννησον περιπλεύσαντι καὶ τὴν ἐν Κερκύρᾳ ναυμαχίαν νικήσαντι Λακεδαιμονίους καὶ Κόνωνος υἱεῖ τοῦ τοὺς Ἕλληνας ἐλευθερώσαντος καὶ Σάμον λαβόντι καὶ Μεθώνην καὶ Πύδναν καὶ Ποτίδαιαν καὶ πρὸς ταύταις ἑτέρας εἴκοσι πόλεις, οὐκ ἐποιήσασθε ὑπόλογον, οὐδὲ τῆς τότε ἐνεστώσης κρίσεως οὐδὲ τῶν ὅρκων, οὓς ὀμωμοκότες ἐφέρετε τὴν ψῆφον, ἀντικατηλλάξασθε τὰς τοιαύτας εὐεργεσίας, ἀλλ' ἑκατὸν ταλάντων ἐτιμήσατε, ὅτι χρήματ' αὐτὸν Ἀριστοφῶν ἔφη παρὰ Χίων εἰληφέναι καὶ Ῥοδίων. Dinarch. 1, 14. 16 sq. 3, 17. — Κόνων ὁ Τιμοθέου. Demosth. 40, 39. — σὺ Τιμοθέου κατηγόρεις (Ἀπολλόδωρε); Demosth. 36, 53. — Πρὸς Τιμόθεον ὑπὲρ χρέως [Demosthenis] or. 49. — Τιμόθεος ὀφείλων ἀργύριον Πασίωνι τῷ πατρὶ τῷ ἐμῷ φεύγει νῦν ὑπ' ἐμοῦ (Ἀπολλοδώρου) ταύτην τὴν δίκην. §. 1 sqq. — ἐπὶ Σωκρατίδου ἄρχοντος (Ol. 101, 3.) μουνυχιῶνος μηνὸς μέλλων ἐκπλεῖν τὸν ὕστερον ἔκπλουν Τιμόθεος οὑτοσί, περὶ ἀναγωγὴν ἤδη ὢν ἐν τῷ Πειραιεῖ, προσδεηθεὶς ἀργυρίου παρὰ τοῦ πατρὸς τοῦ ἐμοῦ ἐδανείσατο δραχμὰς χιλίας τριακοσίας πεντήκοντα μίαν δύ' ὀβολώ. §. 6 sqq. 44 sqq. — ἐπειδὴ δ' ἀπεχειροτονήθη Τ. στρατηγὸς διὰ τὸ μὴ περιπλεῦσαι Πελοπόννησον, ἐπὶ κρίσιν δὲ παρεδέδοτο εἰς τὸν δῆμον αἰτίας τῆς μεγίστης τυχών, ἐφειστήκει δ' αὐτῷ Καλλίστρατος καὶ Ἰφικράτης, οὕτω δὲ διέθεσαν ὑμᾶς κατηγοροῦντες τούτου, ὥστ' Ἀντίμαχον μὲν ταμίαν ὄντα καὶ πιστότατα διακείμενον τούτῳ κρίναντες ἐν τῷ δήμῳ ἀπεκτείνατε, αὐτὸν δὲ τοῦτον ἐξαιτουμένων μὲν τῶν ἐπιτηδείων καὶ οἰκείων αὐτοῦ ἁπάντων, ἔτι δὲ καὶ Ἀλκέτου καὶ Ἰάσονος, συμμάχων ὄντων ὑμῖν, μόλις ἐπείσθητε ἀφεῖναι, στρατηγοῦντα δ' αὐτὸν ἐπαύσατε — — — μέλλων τοίνυν καταπλεῖν ἐπὶ τὴν κρίσιν ἐν Καλαυρείᾳ δανείζεται χιλίας δραχμὰς παρ' Ἀντιφάνους, ὃς ἐπέπλει ταμίας Φιλίππῳ τῷ ναυκλήρῳ. ὁ δὲ Φίλιππος ἀπέλαβεν ἐνθάδε τοῦτο τὸ ἀργύριον παρὰ τοῦ ἐμοῦ πατρός. §. 9 sqq. 48 sqq. — ἀφικομένου Ἀλκέτου καὶ Ἰάσονος ὡς Τιμόθεον ἐν τῷ μαιμακτηριῶνι μηνὶ τῷ ἐπ' Ἀστείου ἄρχοντος (Ol. 101, 4.) ἐπὶ τὸν ἀγῶνα τὸν τούτου, βοηθησόντων αὐτῷ, καὶ καταγομένων εἰς τὴν οἰκίαν τὴν ἐν Πειραιεῖ τὴν ἐν τῇ Ἱπποδαμείᾳ ἑσπέρας ἤδη οὔσης, πέμψας ὡς τὸν πατέρα τὸν ἐμὸν Αἰσχρίωνα τὸν ἀκόλουθον τὸν αὐτοῦ ἐκέλευσεν αἰτήσασθαι στρώματα καὶ ἱμάτια καὶ φιάλας ἀργυρᾶς δύο, καὶ μνᾶν ἀργυρίου δανείσασθαι. §. 22 sqq. 31 sqq. 55 sqq. 62 sqq. — μέλλων ἀποδημεῖν ὡς βασιλέα καὶ διαπραξάμενος ἐκπλεῦσαι ὡς βασιλεῖ στρατηγήσων τὸν ἐπ' Αἴγυπτον πόλεμον, ἵνα μὴ δῷ ἐνθάδε λόγον καὶ εὐθύνας τῆς ἐνθάδε στρατηγίας, ἐδεῖτο τοῦ πατρὸς τοῦ ἐμοῦ, ἐπειδὰν ἀφίκηται ἐκ Μακεδονίας ὁ Φιλώνδας ἄγων ξύλα τὰ δοθέντα τούτῳ ὑπ' Ἀμύντου, τὸ ναῦλον τῶν ξύλων παρασχεῖν καὶ ἐᾶσαι ἀνακομίσαι τὰ ξύλα εἰς τὴν οἰκίαν τὴν ἑαυτοῦ ἐν τῷ Πειραιεῖ· αὐτοῦ γὰρ εἶναι τὰ ξύλα. §. 25 sqq. 33 sqq. 60 sqq. — καὶ οὗτος μὲν μετὰ ταῦτα τὴν ἀναγωγὴν ἐποιεῖτο ὡς τοὺς στρατηγοὺς τοὺς βασιλέως, ὁ δὲ Φιλώνδας εἰς τὴν Μακεδονίαν τὴν πορείαν ἐποιεῖτο καὶ οὗτοι οἱ χρόνοι ἦσαν περὶ θαργηλιῶνα μῆνα ἐπ' Ἀστείου ἄρχοντος. (Ol. 101, 4.) §. 28 sqq. 60. — οὗτος ὁ χρόνος ἦν Ἀλκισθένους ἄρχοντος (Ol. 102, 1.), ὁ ὕστερος ἐνιαυτὸς ᾗ οὗτος (Τιμόθεος) ἀνήγετο ὡς βασιλέα. §. 30. 60. — ἀπολογίαν ποιήσεται Τ. ὅτι ἐν τοῖς γράμμασι τοῖς τραπεζιτικοῖς ἐπ' Ἀλκισθένους ἄρχοντος (Ol. 102, 1.) ἦν ἐγγεγραμμένος τό τε ναῦλον τῶν ξύλων εἰληφὼς καὶ την τιμὴν τῶν φιαλῶν ἣν ἀπέτισε Τιμοσθένει ὑπὲρ Τιμοθέου ὁ πατήρ, καὶ ὅτι αὐτὸς ἐν τούτῳ τῷ χρόνῳ οὐκ ἐπεδήμει ἀλλὰ παρὰ βασιλεῖ ἦν. §. 59. 62 sq. — Τιμόθεος ἐν τῷ δήμῳ ὀμόσας καὶ ἐπαρασάμενος αὐτῷ ἐξώλειαν,

γραφὴ εἰς τὸ δικαστήριον, ἀρρώστως δ᾿ ἔχων ὁ Φιλοκράτης ἐκάλεσεν αὐτῷ συνήγορον τὸν Δημοσθένην. παρελθὼν δὲ Δημοσθένης κατέτριψε τὴν ἡμέραν ὅλην ἀπολογούμενος· καὶ τὸ τελευταῖον ἀποφεύγει ὁ Φιλοκράτης, ὁ δὲ γραψάμενος τὸ πέμπτον μέρος τῶν ψήφων οὐ μεταλαμβάνει. Aesch. 2, 13 sq. 20. 109. 3, 62 sq. — ὑπὸ δὲ τοὺς αὐτοὺς καιροὺς Ὄλυνθος ἥλω, καὶ πολλοὶ τῶν ἡμετέρων ἐγκατελήφθησαν πολιτῶν. ὑπὲρ δὲ τούτων ἱκετηρίαν θέντες οἱ οἰκεῖοι ἐδέοντο ὑμῶν ἐπιμέλειαν ποιήσασθαι. παρελθόντες δ᾿ αὐτοῖς συνηγόρουν Φιλοκράτης καὶ Δημοσθένης. καὶ πέμπουσι πρεσβευτὴν Ἀριστόδημον τὸν ὑποκριτὴν πρὸς Φίλιππον. παρελθὼν δ᾿ Ἀριστόδημος πολλήν τινα εὔνοιαν ἀπήγγειλε τοῦ Φιλίππου πρὸς τὴν πόλιν, καὶ προσέθηκεν ὅτι καὶ σύμμαχος βούλοιτο τῇ πόλει γενέσθαι. καὶ ταῦτ᾿ οὐκ ἐν τῇ βουλῇ μόνον εἶπεν ἀλλὰ καὶ ἐν τῷ δήμῳ. ῥηθέντων δὲ τούτων ψήφισμα ἔγραψεν ὁ Φιλοκράτης (Ol. 108, 2.) ἑλέσθαι πρέσβεις ὑμᾶς πρὸς Φίλιππον, ἄνδρας δέκα, οἵτινες διαλέξονται Φιλίππῳ περὶ εἰρήνης καὶ τῶν κοινῇ συμφερόντων Ἀθηναίοις καὶ Φιλίππῳ. χειροτονουμένων δὲ τῶν ι᾿ πρέσβεων Δημοσθένης προεβλήθη ὑπ᾿ αὐτοῦ Φιλοκράτους, ὁ νυνὶ Φιλοκράτους κατηγορῶν. Aesch. 2, 17 sqq. 3, 63. Demosth. 18, 21. Demosth. or. 19. ἐτ. ὑπόθ. v. 50. — Φιλοκράτης καὶ Δημοσθένης ἅμα μὲν πρεσβεύοντες, ἅμα δὲ τὰ ψηφίσματα γράφοντες. Aesch. 2, 8. 47. 121. 3, 64. Demosth. 19, 229. — προσελθὼν (Aeschines) ἐμοὶ (Demostheni) μετὰ ταῦτα συνετάττετο κοινῇ πρεσβεύειν, καὶ ὅπως τὸν μιαρὸν καὶ ἀναιδῆ φυλάξομεν ἀμφότεροι, τὸν Φιλοκράτην, πολλὰ παρεκελεύσατο. Demosth. 19, 13 sqq. Aesch. 2, 20. — τὸ (τρίτον) Φιλοκράτους (περὶ τῆς πρὸς Φίλιππον εἰρήνης) ψήφισμα καὶ το τοῦ δήμου. Demosth. 19, 159. 161. — ἡ εἰρήνη ἡ τοῦ Φιλοκράτους ἣ συνεῖπεν οὗτος (Aeschines). Demosth. 19, 57. 78. 94. 97. 143 sq. 150. 178. 253. 291. 333. Aesch. 1, 174. 2, 63 sqq. — ἡ γενομένη εἰρήνη καὶ συμμαχία, ἣν Φιλοκράτης ὁ Ἁγνούσιος ἔγραψε καὶ Δημοσθενης μετ᾿ ἐκείνου. Aesch. 2, 54. 56. 3, 54. 57 sq. 60. 72 sqq. Demosth. 18, 17. Dinarch. 1, 28. — ὁ Φιλοκράτης ἐν τῷ ψηφίσματι γέγραφεν ἑκατέρους ἃ ἔχουσιν ἔχειν, χαριζόμενος Φιλίππῳ· πολλὰ γὰρ ἀλλότρια ἡρπάκει. Schol. (ad [Demosth.] 7, 18.) p. 71 b, 22. — τὸ (τέταρτον) Φιλοκράτους (περὶ τῆς πρὸς Φίλιππον εἰρήνης) ψήφισμα. Demosth. 19, 47 sqq. 53 sq. 58. 310. cf. 6, 31. — εἰ μηδένα μηδὲν ἔχοντα εἴχομεν δεῖξαι τῶν πρέσβεων, βασάνους καὶ τὰ τοιαῦθ᾿ ὑπόλοιπον ἂν ἦν σκοπεῖν. εἰ δὲ Φιλοκράτης μὴ μόνον ὡμολόγει παρ᾿ ὑμῖν ἐν τῷ δήμῳ πολλάκις, ἀλλὰ καὶ ἐδείκνυεν ὑμῖν, πυροπωλῶν, οἰκοδομῶν, ξυληγῶν, τὸ χρυσίον καταλλαττόμενος φανερῶς ἐπὶ ταῖς τραπέζαις, οὐκ ἔνι δήπου τοῦτον εἰπεῖν ὡς οὐκ εἴληφε, τὸν αὐτὸν ὁμολογοῦντα καὶ δεικνύντα. Demosth. 19, 114 sq. 117. 119. 245. — τῇ μὲν δὴ πόλει ταῦτα ἐκ τῆς εἰρήνης γέγονεν, ὧν οὐδ᾿ εὑρεῖν αἴσχιω ῥᾴδιον, τοῖς δὲ πρέσβεσι τί τοῖς ταῦτα πράξασιν; τὰ μὲν ἄλλα σιωπῶ πάνθ᾿ ὅσα ἑωράκαθ᾿ ὑμεῖς, οἰκίας, ξύλα, πυρούς· ἀλλ᾿ ἐν τῇ τῶν ἀπολωλότων συμμάχων χώρᾳ κτήματα καὶ γεωργίαι παμπληθεῖς, Φιλοκράτει μὲν τάλαντον ἔχουσαι πρόσοδον, τούτῳ δ᾿ Αἰσχίνῃ τριάκοντα μνᾶς. Demosth. 19, 145. — συμπιεῖν δεινὸς ἦν Φίλιππος· Φιλοκράτης ὁ μεθ᾿ ἡμῶν δεινότερος. Aesch. 2, 52. — ἐπαναστὰς ὁ Φιλοκράτης μάλα ὑβριστικῶς „οὐδέν“ ἔφη „θαυμαστόν, μὴ ταὐτὰ ἐμοὶ καὶ Δημοσθένει δοκεῖν· οὗτος μὲν γὰρ ὕδωρ, ἐγὼ δὲ οἶνον πίνω.“ Demosth. 19, 46. cf. 6, 30. — Φιλοκράτης γυναῖκας ἐλευθέρας τῶν Ὀλυνθίων ἤγαγε δεῦρο ἐφ᾿ ὕβρει, καὶ οὕτως ἐπὶ τῷ βδελυρῶς βεβιωκέναι γιγνώσκεται, ὥστε πάντας ὑμᾶς εἰδέναι τὰ μετὰ ταῖτα καὶ ἐλεεῖν εὖ οἶδ᾿ ὅτι τὰς ἀτυχεῖς καὶ ταλαιπώρους ἀνθρώπους. Demosth. 19, 309. — Φιλοκράτης ἐκμισθώσας τὰς Ὀλυνθίας γυναῖκας καὶ ἀναγκάζων φέρειν ἑαυτῷ τὸν μισθόν, δημοσίων ἀδικημάτων φεύγει. Marcellin. Rhett. Gr. 4 p. 164. Walz. — τίνα τῶν ἐν τῇ πόλει φήσαιτ᾿ ἂν βδελυρώτατον εἶναι καὶ πλείστης ἀναιδείας καὶ ὀλιγωρίας μεστόν; οὐδεὶς ἂν ὑμῶν ἄλλον εὖ οἶδ᾿ ὅτι φήσειεν ἢ Φιλοκράτην. Demosth. 19, 206. — ὁ καταπτυστος Φιλοκράτης. §. 15. — ὁ βδελυρὸς Φιλοκράτης. §. 291. — Φιλοκράτης ὁ μιαρός. §. 113. 316. — τὸ θηρίον, ὁ Φιλοκράτης. Aesch. (ex ore Demosthenis) 2, 20. — Φιλοκράτης μὲν ἀπὸ τῶν αὐτῶν πολιτευμάτων Δημοσθένει φυγὰς ἀπ᾿ εἰσαγγελίας γεγένηται, Δημοσθένης δὲ τῶν ἄλλων κατήγορος. Aesch. 3, 79 sqq. — ἴστε δήπου πρῴην, ὅτ᾿ εἰσήγγελλεν Ὑπερείδης Φιλοκράτην, ὅτι παρελθὼν ἐγὼ δυσχεραίνειν ἔφην ἕν τι τῆς εἰσαγγελίας, εἰ μόνος Φιλοκράτης τοσούτων καὶ τοιούτων ἀδικημάτων αἴτιος γέγονεν, οἱ δ᾿ ἐννέα τῶν πρέσβεων μηδενός. Demosth. 19, 116. — Δημοσθένης ὑμᾶς ἐπηρώτα εἰ οἷόν τ᾿ ἐστὶν ἐν τῇ αὐτῇ πόλει Φιλοκράτους μὲν θάνατον καταψηφίσασθαι, ὅτι καταγνοὺς ἀδικεῖν ἑαυτοῦ τὴν κρίσιν οὐχ ὑπέμεινεν, ἐμοῦ δ᾿ ἀπογνῶναι. Aesch. 2, 6. — Φιλοκράτει [Aesch.] Epist. 1, 6.

Φιλοκράτης. τὴν εἰρήνην ἐκεῖνος (Philippus) ἔλυσε τὰ πλοῖα λαβών, οὐχ ἡ πόλις. (Ol. 110, 1.) φέρε δὴ αὐτὰ τὰ ψηφίσματα. – – – τοῦτο μὲν τὸ ψήφισμα Εὔβουλος ἔγραψε, τὸ δ᾿ ἐφεξῆς Ἀριστοφῶν, εἶθ᾿ Ἡγήσιππος, εἶτ᾿ Ἀριστοφῶν πάλιν, εἶτα Φιλοκράτης, εἶτα Κηφισοφῶν, εἶτα πάντες. Demosth. 18, 73. 75.

ONOMASTICUM FRAGMENTORUM.

(Nomina oratorum litteris maiusculis expressa sunt.)

I. INDEX

ORATORUM ET ORATIONUM OMNIUM EX ORDINE LITERARUM.

(Oratorum nomina literis maioribus descripta sunt. Nominibus orationum earum, quarum fragmenta tantum exstant, asteriscos praefiximus.)

2. INDEX

EORUM QUAE UTROQUE VOLUMINE CONTINENTUR.

CORRIGENDA ET ADDENDA.

Vol. I. p. 3. v. 4. μήτε] lege μήτε λόγων μήτε
— — — 119. not. v. 7. A. H.] lege C. H.
— — — 122. not. v. 2. Bekkerus] Reiskius (c. vindobonensi).
— — — 146. Or. 33. §. 2, 4. l. ἐπίδειξιν
— — — 147. not. v. 2. Adde: 34. ΠΕΡΙ ΤΟΥ ΜΗ - -] ex eodem Dionysio 5 p. 525 sqq.
— — — 166. §. 26, 3. l. γεγόναμεν
— — — 362. §. 17, 6. l. θεράποντες
— — — 366. §. 15, 7. τε ἐκ-] l. τε
— — — 377. §. 49, 10. l. παίδων
— — — 449. §. 44, 4. l. ἠνωχλεῖτο
— — — 454. adnot. crit. ad §. 82, 6. adde: Ἐργίσκην καὶ Μουργίσκην b.
— — — 455. §. 93, 3. l. ὀνόμασιν
— — — 664. not. v. 4. l. Ἐργινός
— — — 729. §. 111. in marg. l. 735.
— — — 813. §. 15. in marg. l. 1013.
Vol. II. p. 3, 6. Scrib. ἀπογενομένην. Plathane enim Hippiae rhetoris non filia, sed uxor fuerat. Plut. Vit X. oratt. p. 839. B. (p. 50, 6. Westerm.) Bait.
— — — 6, 31. Scrib. δικάσωσιν. Bait.
— — — 8. e. tit. Dele πρός.
— — — 62, 26. Scrib. καὶ αἱ τοῦ. Bait.
— — — 110. Pro §. 69. scrib. §. 66.
— — — 131. Vid. p. 354 a.
— — — 141 b, 18. Vid. p. 354 b.
— — — 143 b, 36. — — —
— — — 145 a, 2. — — —
— — — 145 not. v. 4. — —
— — — — — v. 6. — —
— — — 152 b. — — —
— — — 163 b, 7. — — —
— — — 154. — — —
— — — 154 b, 15. — — —
— — — 155 a, 12. — — —
— — — 162 VII. a, 6. — —
— — — 167. XII. a, 8. — —
— — — 175 a, 10. — — —

Vol. II. p. 181 b, XXIV. Vid. p. 354 b.
— — — 182 a, XXIX. — — —
— — — 185 a, 29. — — —
— — — 186 a, 4. — — —
— — — 188 b, 22. — — —
— — — — — 24. — — —
— — — 189 b, 1. — — —
— — — 191 a, 33. — — —
— — — 191 b, 43. — — —
— — — 209 a, 23. Vid. p. 355 a.
— — — 213 a, 11. — — —
— — — 214 a, 12. — — —
— — — 214 a, 37. — — —
— — — 216. XV. a, 4. — —
— — — 220. XXV. b, 6. — —
— — — 224 a, 21. — — —
— — — 228 b, 1. — — —
— — — 233 not. v. 4. a fine —
— — — 246. XXXII. a, 3. —
— — — 247 a, 39. — — —
— — — 251 not. v. ult. — —
— — — 252. IX. Vid. p. 355 b.
— — — 275 a, 20. — — —
— — — 289 b, 28. — — —
— — — 290 b, 20. — — —
— — — 291 a, 29. — — —
— — — 301 a, 44. — — —
— — — 309. XLIX. b, 2. —
— — — 309. XLIX. b, 8. —
— — — 326 a, 41. — — —
— — — 334. Pro XLII. scrib. XLIII.
— — — 346 a, 5 lege: *hominum a scriptoribus*
— — — 353 b, 15 dele *plerumque*
Indices. p. 11 a. Ἀμυθέων ὁ Δαμοστράτου υἱός. Adde: Μελιτεύς.
— — p. 50 a, 33. Leg.: *quorum ne censeam Euthyclem* cet.
— — p. 60. Adde: Θεότιμος. Demosth. 54, 7.
— — p. 93, 7. leg. Demosth. 44, 9.

Indices. p. 96, a. *Μελιτεῖς.* Adde: *Ἀμυθέων.*

— — p. 105, 15. Adde: *θεῖος.*

— — p. 107 b. *Παιανιεῖς.* Adde *Κόνων* ex Fragm. p. 350 b, 28.

— — p. 132 b. v. 21. Leg. Demosth. 19, 180.

— — p. 147 a. *ἈΓΝΩΝΙΔΗΣ.* Adde: p. 352, 17. 22.

— — p. 147 b. Adde: *Ἀκαδημία. ὁ τῆς Ἀκαδημίας ἐπιστάτης Ἀριστόμαχος.* p. 351, 4.

— — p. 149 a. *Ἀριστογείτων.* Adde: p. 355 b.

— — p. 149 a. Adde: *Ἀριστόμαχος, ὁ τῆς Ἀκαδημίας ἐπιστάτης.* p. 351, 3.

— — p. 149 b. *Ἅρπαλος.* Adde: p. 348 sqq.

— — p. 153 a. Adde: *Εὔφημος.* p. 352 b, 22.

— — p. 153 a. *Θεοδέκτης.* Adde: p. 355.

— — p. 154 b. Adde: *Καλλίας ὁ Χαλκιδεύς, ὁ Ταυροσθένους ἀδελφός· τούτους ἔγραψε Δημοσθένης Ἀθηναίους εἶναι καὶ χρῆται τούτοις πάντων μάλιστα.* p. 350, 10.

Indices, p. 155 a. Adde: *Κνωσίων.* p. 348 b, 9 sqq. (adnot.)

— — p. 155 a. *Κόνων ὁ Παιανιεύς.* p. 350 b, 28.

— — p. 156 b. v. ult. leg. 268 b, 16 sqq.

— — p. 157 b. τὸ *Ἀλκιδάμαντος Μουσεῖον.* Adde: p. 354 b.

— — p. 157 b. Adde: *Νικάνωρ.* p. 349 b, 23.

— — p. 158 a. Adde: *Ὀλυμπιάς (ἡ Φιλίππου γυνή).* p. 350, 10

— — p. 160 b. Adde: *Ταυροσθένης. Καλλίας ὁ Χαλκιδεύς, ὁ Ταυροσθένους ἀδελφός· τούτους ἔγραψε Δημοσθένης Ἀθηναίους εἶναι καὶ χρῆται τούτοις πάντων μάλιστα.* p. 350, 10.

— — p. 161 b. Adde: *Φιλόξενος.* p. 348, 9. adnot.

— — p. 165 a. * *κατὰ Δημοσθένους* Hyperidis. Adde: vol. 2. p. 348.

	Rthr.	Ngr.	fl.	kr.
Io. Casp. Orellii historia critica epistolarum Plinii et Traiani usque ad a. 1552. 4° geh.	—	11½	—	36
Io. Casp. Orellii lectiones Polybianae et Theophrasteae. 4° geh.	—	7½	—	24
Io. Casp. Orellii lectiones Petronianae. 4° geh.	—	7½	—	24
Io. Casp. Orellii symbolae nonnullae ad historiam philologiae, adiectis duabus Poggii epistolis. 4° geh.	—	7½	—	24
Petri Victorii curae tertiae in Ciceronis epistolas ad familiares et Martyni-Lagunae in Ciceronis epistolas commentarii reliquiae. Edidit **Io. Casp. Orellius.** 4° geh.	—	11½	—	36
Scholiasta Juvenalis e codice Sangallensi cura **Io. Casp. Orellii** suppletus et emendatus. 4° geh.	—	7½	—	24
Theognidis elegiae. Ed. **Io. Casp. Orellius.** 2 Partes. 4° geh.	—	15	—	48

S. Höhr in Zürich.

